SOPHOCLIS
TRAG. VII.
GRÆCE
FRANC. 1555.

A
27
485

FACULTAD
DE FILOSOFÍA Y LETRAS
1 x A
8
Núm. 15

BIBLIOTECA HOSPITAL REAL
GRANADA
Sala: A
Estante: 27
Número: 485

31

XVII - 1 * 34

40

# ΣΟΦΟΚΛΕΟΥΣ

ΤΡΑΓΩΔΙΑΙ ΕΠΤΑ, ΜΕΤΑ ΣΧΟ-
ΛΙΩΝ ΠΑΛΑΙΩΝ ΚΑΙ ΠΑ-
ΝΥ ΩΦΕΛΙΜΩΝ.

185

# SOPHOCLIS TRA-
# gœdiæ Septem, cum

Interpretationibus uetustis & ual-
de utilibus.

Τὰ τῶν τραγῳδιῶν ὀνόματα.

Tragœdiarum Nomina.

| | |
|---|---|
| Αἴας μαστιγοφόρος. | Aiax flagellifer. |
| Ἠλέκτρα. | Electra. |
| Οἰδίπους τύραννος. | Oedipus Tyrannus. |
| Ἀντιγόνη. | Antigone. |
| Οἰδίπους ἐπὶ Κολωνῷ. | Oedipus coloneus; |
| Τραχίνιαι. | Trachiniæ. |
| Φιλοκτήτης. | Philoctete. |

FRANCOFORTI
MDLV.

## ΕΚ ΤΟΥ ΣΟΥΙΔΑ.

ΣΟΦΟΚΛῆς Σοφίλου Κολωνῆθεν ἀθηναῖος τραγικός, τεχθεὶς κατὰ τὴν ογ΄. ὀλυμπιάδα. ὡς πρεσβύτερος εἶναι Σωκράτους ἔτη ιζ΄. οὗτος πρῶτος τρισὶν ἐχρήσατο ὑποκριταῖς, καὶ τῷ καλουμένῳ τριταγωνιστῇ. καὶ πρῶτος τὸν χορὸν ἐκ πεντεκαίδεκα εἰσήγαγε νέων πρότερον δυοκαίδεκα εἰσιόντων. προσηγορεύθη δὲ μέλιττα, διὰ τὸ γλυκύ. καὶ αὐτὸς ἦρξε τοῦ δρᾶμα πρὸς δρᾶμα ἀγωνίζεσθαι, ἀλλὰ μὴ στρατολογίαν. ἔγραψεν ἐλεγείαν τε καὶ παιᾶνας, καὶ λόγον καταλογάδην. περὶ τοῦ χοροῦ πρὸς Θέσπιν καὶ Χοίριλον ἀγωνιζόμενος. παῖδας δὲ οὓς ἔσχεν, οὗτοι, Ἰοφῶν, Λεωσθένης, Ἀρίστων, Στέφανος, Μενεκλείδης. τελευτᾷ δὲ μετὰ Εὐριπίδην ἐτῶν ϛ΄. ἐδίδαξε δὲ δράματα ρκγ΄. ὡς δέ τινες καὶ πολλῷ πλείω. νίκας δὲ ἔλαβε κδ΄.

ΕΠΙΓΡΑΜ-

## Σιμωνίδου.

Εσβέσθης γηραιὲ Σοφόκλεες, ἄνθος ἀοιδῶν,
Οἰνωπὸν βάκχου βότρυν ἐρεπτόμενος.
Ηρέμ᾽ ὑπὲρ τύμβοιο Σοφοκλέος, ἠρέμα κισσὲ
Ερπύζοις χλοεροὺς ἐκπροχέων πλοκάμους.
Καὶ πέταλον πάντη θάλλοι ῥόδου, ἥ τε φιλορρὼξ
ἄμπελος, ὑγρὰ πέριξ κλήματα χευαμένη.
Εἵνεκεν εὐμαθίης πινυτόφρονος, ἣν ὁ μελίχρους
Ησκησεν, μουσῶν ἄμμιγα καὶ χαρίτων.

## Ερυκίου.

Αἰεί τοι λιπαρῷ ἐπὶ σήματι δῖε Σοφόκλεις,
Σκηνίτης μαλακοὺς κισσὸς ἄλοιτο πόδας.
Αἰεί τοι βούπαισι περιστάζοιτο μελίσσαις
Τύμβος ὑμηττείῳ λειβόμενος μέλιτι.
Ως ἄν τοι ῥείῃ μὲν ἀέναος ἀτθίσι δέλτοις
Κηρός. ὑπὸ στεφάνοις δ᾽ αἰὲν ἔχεις πλοκάμους.

## Διοσκορίδου.

Τύμβος ὅδ᾽ ἔστ᾽ ὤνθρωπε Σοφοκλέος, ὃν παρὰ μουσῶν
Ἱρὴν παρθενίην ἱρὸς ὢν ἔλαχεν.
ὅς με τὸν ἐκ Φλιοῦντος ἔτι τρίβολον πατέοντα
πρίνινον, ἐς χρύσεον σχῆμα μεθηρμόσατο.
Καὶ λεπτὴν ἐνέδυσεν ἁλουργίδα. τοῦ δὲ θανόντος
Εὔθετον ὀρχηστὴν τῇδ᾽ ἀνέπαυσα πόδα.
Ὄλβιος, ὡς ἀγαθὴν ἔλαχες στάσιν. ἡ δ᾽ ἐνὶ χερσὶ
Κούριμος, ἐκ ποίης ἥδε διδασκαλίης.
Εἴτε σὸν Ἀντιγόνην εἰπεῖν φίλον, οὐκ ἂν ἁμάρτοις,
Εἴτε καὶ Ηλέκτραν, ἀμφότεραι γὰρ ἄκρον.

☙

# BERNARDVS Iuncta Lectori Salutem.

CVM IN Authoribus Gręcis, humanissime Lector, qui olim ex officina nostra prodierunt, hoc nobis propositum maxime fuisset, ut quàm emendatissimi exirent; in Tragœdijs Sophoclis, quas eo tempore unà cũ scholijs excusimus, ita nos studiose & sollicite gessimus, ut putaremus in ea editione, totius laboris & diligentię, quam in cæteris authoribus adhibebamus, iudiciũ subituros. Itaq; nõ contenti eum librũ à multis nec minimis mendis perpurgasse: dedimus etiam operam, ut auctiorem aliquanto quàm antea fuerat, emitteremus, declarationesq; nõ paucas addidimus, quas ex antiquis codicibus erutas, docti et perdiligẽtes uiri nobis benigne communicarant; & omnino eũ multis partibus meliorẽ nobis reddidisse uisi sumus. Tulimus itaq; statim diligẽtię nostrę nõ mediocrẽ fructum: nam & cõsilium nostrum præclarè eruditis probari audiebamus: & libros ipsos cupidissime à studiosis arripi uidebamus; ut breui, ex magna illorũ librorum copia, perpauci reliqui nobis forent. Sed cum sæpius studiosi græcarum literarũ eum à nobis repeterent, atq; indies impensius efflagitarent, coacti tandẽ sumus, eorum desiderijs satis facere. Itaq; eundem authorem iterum diuulgamus: multis etiam nũc scholijs auctũ & locupletatum. Iisdem enim codicibus adhibitis: & diligentius pertractatis: multa quæ tunc nos fugerant, animaduertimus: & nõnulla loca, quę temporum iniuria corrupta, aut etiam hominum incuria deprauata fuerant, ad pristinã integritatem

tatem reuocauimus. Cùm uero in hoc negocio imprimendo rum librorũ, hoc ſemper nobis ſpectandum eſſe duxerimus, ut non ſolum glorię, ſiqua hoc artificio comparari poteſt, aut etiam utilitatibus noſtris: uerumetiã multo magis cõmodis ſtudioſorum inſeruiremus: atq; propterea ſummã in eo munere induſtriam atq; fidẽ adhibuerimus: id certe nunc in Sophocle excudendo multo maximè prę ſtitimus. Nam pręter quàm quod in ea re officij noſtri exiſtimationem agi putauimus: illam etiam haud paulo iuſtiorẽ cauſam habuimus, eximium amorem, quo ſemper in hunc candidiſsimum authorem flagrauimus, ut in eo purgando, omnem noſtram operã, non modo quadam cum utilitate, ſed multa etiam cum uoluptate, poſitam putauerimus. Hic enim is eſt, qui cum grauitate ſententiarũ & admirabili quodam orationis ſono: tum maxime exquiſita coagmẽtatione rerum fabulęq; ſtructura, ita præcipuus eſt, ut parem non habeat. Et licet non deſint, qui Euripidem ſapientiorem arbitrentur, eumq; ſcenicum philoſophum appellent: hic tamen primas omniũ eruditorum conſenſu in grandi hoc poẽmate conſequutus eſt, & prope Sophoclęus cothurnus in prouerbiũ abijt. Hic (inquã) eſt, quem Diuinum poẽtam, Cicero: Dij imortales, Delicias ſuas appellauerunt. Quod ſi Lacedæmonius Lyſander rem longe gratiſsimã Dijs feciſſe putatus eſt: qui cum plenus irarum, Athenas infeſto exercitu tũc obſideret, cum politiſsimus hic Muſarum alumnus, exceſsit è uita: tamẽ Liberi Patris rogatu, pacem clariſsimo funeri dedit: quanto ſanè ampliora prę mia eos conſequi ueriſimile eſt: qui non cadauer eius humare: ſed ſcripta potius, ueras illius diuini animi reliquias, ab interitu uindicare: & totis uiribus illuſtrare pergunt? Nonne fatendum eſt, eos ſibi laudem ingentem hoc ſuo ſtudio reperiſſe, & illis ipſis rem multo iucũdiorem, hominibus etiam utiliorem effeciſſe? Sed ut hæc nunc omittamus, quę non ſunt temporis tã anguſti, illud te ſtudioſe Lector admonemus: in utroq; Oedipo & in Trachinijs, quædam à nobis immutata eſſe: multaq; ad fidem uetuſtorum codicum reſtituta. Habuimus enim mirę uetuſtatis & fidei exemplaria: ex quibus & hęc ipſa, & declarationes quę ibidem additæ ſunt, hauſimus. Quæ

quidem à docti uiri, & adiuuandi ueteres authores mirifice cupidi, sedulitate profecta sunt. Quòd si in cæteris idem nobis per eius occupationes licu issset, profecto nō ueremur affirmare, nobilissimum poetam perfectè planeq; suo nitori restituisse. Quod tamen aliquando, Deo iuuante, nos prestaturos putamus. Valete, atque interim de his laboribus, quod uos pro uestra humanitate facturos confidimus, nos amate. VI. IDVS Nouembris.

x п o4

# ΥΠΟΘΕΣΙΣ ΑΙΑΝΤΟΣ ΜΑΣΤΙΓΟΦΟΡΟΥ.

Τὸ δρᾶμα τῆς Τρωϊκῆς ἐστι πραγματείας, ὥσπερ οἱ Ἀντηνορίδαι, καὶ Αἰχμαλωτίδες, καὶ Ἑλένης ἁρπαγή, καὶ Μέμνων. πεπτωκότος γὰρ ἐν τῇ μάχῃ τοῦ Ἀχιλλέως, ἐδόκουν Αἴας τε καὶ Ὀδυσσεὺς ἐπ' αὐτῷ πλέον τι ἀριστεύειν περὶ τὴν τοῦ σώματος κομιδήν. καὶ κρινομένων περὶ τῶν ὅπλων, κρατεῖ Ὀδυσσεύς. ὅθεν ὁ Αἴας τῆς κρίσεως μὴ τυχών, παρακεκίνηται, καὶ διέφθαρται τὴν γνώμην. ὥστε ἐφαπτόμενος τῶν ποιμνίων, δοκεῖν τοὺς Ἕλληνας διαχειρίσασθαι. καὶ τὰ μὲν, ἀνεῖλε τῶν τετραπόδων. τὰ δὲ δήσας, ἀπάγει ἐπὶ τὴν σκηνήν. ἐν οἷς ἐστι καὶ κριός τις ἔξοχος, ὃν ᾤετο εἶναι Ὀδυσσέα. ὃν δήσας, ἐμαστίγου. ὅθεν καὶ τῇ ἐπιγραφῇ πρόσκειται ὁ μαστιγοφόρος. ἢ πρὸς ἀντιδιαστολὴν τοῦ Λοκροῦ. Δικαίαρχος δὲ Αἴαντος θάνατον ἐπιγράφει. ἐν δὲ ταῖς διδασκαλίαις, ψιλῶς Αἴας ἀναγέγραπται.

Ταῦτα μὲν οὖν πράττει ὁ Αἴας. καταλαμβάνει δὲ Ἀθηνᾶ Ὀδυσσέα ἐπὶ τῆς σκηνῆς διοπτεύοντα τί ἄρα πράττει ὁ Αἴας. καὶ δηλοῖ αὐτῷ τὰ πραχθέντα. καὶ προκαλεῖται εἰς τὸ ἐμφανὲς τὸν Αἴαντα ἔτι ἐμμανῆ ὄντα, καὶ ἐπικομπάζοντα, ὡς τῶν ἐχθρῶν ἀνῃρημένων. καὶ ὁ μὲν εἰσέρχεται ἐπὶ τὸ μαστιγοῦν τὸν Ὀδυσσέα. παραγίνεται δὲ χορὸς Σαλαμινίων ναυτῶν, εἰδὼς μὲν τὸ γεγονός, ὅτι ποίμνια ἐσφάλησαν Ἑλληνικά. ἀγνοῶν δὲ τὸν δράσαντα. ἔξεισι δὲ καὶ Τέκμησσα τοῦ Αἴαντος αἰχμάλωτος παλλακίς, εἰδυῖα μὲν τὸν σφαγέα τῶν ποιμνίων ὅτι Αἴας ἐστὶν, ἀγνοοῦσα δὲ τίνος εἶεν τὰ ποίμνια. ἑκάτερος οὖν παρ' ἑκατέρου μαθόντες τὸ ἀγνοούμενον, χορὸς μὲν παρὰ Τεκμήσσης, ὅτι Αἴας ταῦτα ἔδρασε, Τέκμησσα δὲ παρὰ τοῦ χοροῦ, ὅτι Ἑλληνικὰ τὰ σφαγέντα ποίμνια, ἀπολοφύρονται, καὶ μάλιστα ὁ χορός. ὅθεν δὴ ὁ Αἴας προελθὼν, ἔμφρων γενόμενος, ἑαυτὸν ἀπολοφύρεται, καὶ ῥύτου ἡ Τέκμησσα δεῖται παύσασθαι τῆς ὀργῆς. ὁ δ' ὑποκρινόμενος πεπαῦσθαι, ἔξεισι καθαρσίων ἕνεκε, καὶ ἑαυτὸν διαχρῆται.

Εἰσὶ δὲ καὶ ἐπὶ τῷ τέλει τοῦ δράματος λόγοι τινὲς Τεύκρου πρὸς Μενέλαον, οὐκ ἐῶντα θάψαι τὸ σῶμα. τὸ δὲ πέρας, θάψας αὐτὸν Τεῦκρος, ἀπολοφύρεται.

Παρίστησι δὲ ὁ λόγος τῆς τραγῳδίας, ὅτι ἐξ ὀργῆς καὶ φιλονεικίας οἱ ἄνθρωποι ἥκουσιν ἐπὶ τὰ τοιαῦτα νοσήματα. ὥσπερ ὁ Αἴας προσδοκήσας ἐγκρατὴς εἶναι τῶν ὅπλων, καὶ ἀποτυχών, ἔγνω ἑαυτὸν ἀνελεῖν. αἱ γὰρ τοιαῦται

νῖκαι οὐκ εἰσὶν ἐπωφελεῖς, οὐδὲ τοῖς δοκοῦσι νενικηκέναι. ὅρα γὰρ καὶ παρ' Ὁμήρῳ τὰ περὶ τὴν αἰτίας τοῦ Αἴαντος τὰ ἄνω διὰ βραχέων, καὶ περιπαθῶς.

Οἴη δ' Αἴαντος ψυχὴ Τελαμωνιάδαο,
Νόσφιν ἀφειστήκει κεχολωμένη εἵνεκα τευχέων.

Εἶτ' αὐτοῦ ἀκούει τοῦ κεκρατηκότος.

Ὡς δὴ μὴ ὄφελον νικᾶν τοιῷδ' ἐπ' ἀέθλῳ.

Οὐκ ἐλυσιτέλησεν ἄρα αὐτῷ ἡ νίκη, τοιούτου ἀνδρὸς διὰ τὴν αἰτίαν ἀποθανόντος.

Ἡ σκηνὴ τοῦ δράματος ἐν τῷ ναυστάθμῳ, πρὸς τῇ σκηνῇ τοῦ Αἴαντος. δαιμονίως δὲ εἰσφέρει προλογίζουσαν τὴν Ἀθηνᾶν. ἀπίθανον γὰρ τὸν Αἴαντα προϊόντα, εἰπεῖν περὶ τῶν αὐτῷ πεπραγμένων, ὥσπερ ἐξελέγχοντα ἑαυτόν. οὐδὲ μὴν ἕτερός τις ἠπίστατο τὰ τοιαῦτα, ἐν ἀπορρήτῳ, καὶ νυκτὸς τοῦ Αἴαντος δράσαντος. θεοῦ δὲ ἦν τὸ τοιοῦτον διασαφεῖν. καὶ Ἀθηνᾶς προσκηδομένης τοῦ Ὀδυσσέως, ἐφεξῆς,

Καὶ πάλαι φύλαξ ἔβην τῇ σῇ πρόθυμος εἰς ὁδὸν κυνηγίᾳ.

Περὶ δὲ τοῦ θανάτου τοῦ Αἴαντος, διαφόρως ἱστορήκασιν. οἱ μὲν γάρ φασιν, ὅτι ὑπὸ Πάριδος τρωθεὶς, ἦλθεν εἰς τὰς ναῦς αἱμορροῶν. οἱ δὲ, ὅτι χρησμὸς ἐδόθη Τρωσὶ πηλὸν κατ' αὐτοῦ βαλεῖν. σιδήρῳ γὰρ οὐκ ἦν τρωτὸς, καὶ οὕτω τελευτᾷ. οἱ δὲ, ὅτι αὐτόχειρ αὐτοῦ γέγονεν, ὧν ἐστὶ καὶ Σοφοκλῆς. περὶ δὲ τῆς πλευρᾶς, ὅτι μόνην αὐτὴν τρωτὴν εἶχεν, ἱστορεῖ καὶ Πίνδαρος, ὅτι τὸ μὲν σῶμα, ὅπερ ἐκάλυπτεν ἡ λεοντῆ, ἄτρωτον ἦν. τὸ δὲ μὴ καλυφθὲν, τρωτὸν ἔμεινε.

# ΣΧΟΛΙΑ ΠΑΛΑΙΑ

## ΤΩΝ ΠΑΝΥ ΔΟΚΙΜΩΝ, ΕΙΣ ΤΑΣ ΣΩΖΟΜΕΝΑΣ ΤΩΝ ΣΟΦΟΚΛΕΟΥΣ ΤΡΑΓΩΔΙΩΝ.

Εἰς Αἴαντα τὸν μαστιγοφόρον.

### ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

| | |
|---|---|
| Ἀθηνᾶ | Τέκμησσα. |
| Ὀδυσσεύς | Ἄγγελος. |
| Αἴας | Τεῦκρος |
| Χορὸς Σαλαμινίων γερόντων. | Μενέλαος |
| | Ἀγαμέμνων. |

Προλογίζει δὲ ἡ Ἀθηνᾶ.

### ΣΟΦΟΚΛΕΟΥΣ ΑΙΑΣ Μαστιγοφόρος.

Ἀεὶ μὲν ὦ παῖ Λαρτίου δέδορκά σε
πεῖράν τιν' ἐχθρῶν ἁρπάσαι θηρώμενον,
καὶ νῦν ἐπὶ σκηναῖς σε ναυτικαῖς ὁρῶ
Αἴαντος, ἔνθα τάξιν ἐσχάτην ἔχει,
πάλαι κυνηγετοῦντα, καὶ μετρούμενον

ΠΑΡΕΣΤΙΝ Ὀδυσσεὺς περὶ τὴν σκηνὴν ἀγρυπνιῶν καὶ πολυπραγμονῶν, μή τι ἀπὸ ἐχθροῦ πάθῃ. πάντα δὲ τὰ τῆς ὑποθέσεως συνεκτικῶς ἐδήλωσεν ἐν τῷ προοιμίῳ, πρὸς τίνα ὁ λόγος, καὶ ποῦ ἡ σκηνή, καὶ τί πράττει ὁ Ὀδυσσεύς. ἐν δὲ τῷ, πεῖράν τιν' ἐχθρῶν, λείπει ἡ κατά. ἤδη ἴχνος τι κατέσχετο τῆς ὑποθέσεως ὡς περὶ ἐχθρῶν ἧκε. δεῖ γὰρ τὰ τῆς ὑποθέσεως συνεκτικὰ εἶναι ἐν ἀρχῇ. ἀεὶ ὁρῶ σε ὦ Ὀδυσσεῦ πεῖραν καὶ δόλον μετιόντα τοὺς ἐχθρούς. πεῖρα δὲ ἡ βλάβη, ὡς καὶ ἐν Δανάῃ, οὐκ οἶδα τὴν σὴν πεῖραν. ἓν δ' ἐπίσταμαι, τοῦ παιδὸς ὄντος τοῦδ' ἐγὼ διόλλυμαι. τὸ δὲ ἀεὶ εἶπεν, ἀναφέρουσα εἰς ἐκεῖνο, ὅτι καὶ μετὰ Διομήδους κατάσκοπος γενόμενος περὶ τοὺς Τρῶας οὐκ ἔλαθεν αὐτήν. ὡς αὐτὸς μαρτυρῶν φησι, Κλῦθί μοι αἰγιόχοιο Διὸς τέκος, ἥ τέ μοι αἰεὶ ἐν πάντεσσι πόνοισι παρίστασαι, οὐδέ σε λήθω. δυσχεραίνει δὲ ἡ Ἀθηνᾶ τῷ Αἴαντι, ὅτι ἀπώσατο τὴν συμμαχίαν αὐτῆς. εἰς τὸ αὐτό. ἀεὶ ὁρῶ σε ὦ Ὀδυσσεῦ, τὴν παρὰ τῶν ἐχθρῶν σοι γινομένην βλάβην ζητοῦντα προφθάσαι. οἷον, ἐπιβουλεύει σοί τις, σπουδάζεις τὴν ἐπιβουλὴν τὴν κατὰ σοῦ γινομένην αὐτῷ τῷ ἐπιβουλεύσαντι βλαβερὰν γενέσθαι. ἐκ μεταφορᾶς τῶν κυνηγῶν, οἳ τὰ μικρὰ θηρία φονεύουσι, προφυλαττόμενοι τὴν ἐξ αὐτῶν ἐσομένην βλάβην. πεῖρα δὲ ἀττικῶς δόλος καὶ τέχνη. ὅθεν καὶ πειραταὶ οἱ κατὰ θάλασσαν κακοῦργοι. ℭ Λαρτίου. κτητικὸν ἀντὶ κυρίου. ¶ Θηρώμενον. ἀντὶ τοῦ ἀνιχνεύοντα. ἐπήνεγκε καὶ τὰ ἄλλα μεταφορικῶς καὶ τό. ℭ Μετρούμενον. ἀριθμοῦντα, ζητοῦντα,

ἴχνη τἀκείνου νεοχάρακθ᾽, ὅπως ἴδῃς
εἴτ᾽ ἔνδον, εἴτ᾽ οὐκ ἔνδον. εὖ δέ σ᾽ ἐκφέρει
κυνὸς Λακαίνης ὥς τις εὔρινος, βάσις.
ἔνδον γὰρ ἁνὴρ ἄρτι τυγχάνει, κάρα
στάζων ἱδρῶτι, καὶ χέρας ξιφοκτόνους.
Καί σ᾽ οὐδὲν εἴσω τῆσδε παπταίνειν πύλης
ἔτ᾽ ἔργον ἐστίν, ἐννέπειν δ᾽ ὅτου χάριν
σπουδὴν ἔθου τήνδ᾽, ὡς παρ᾽ εἰδυίας μάθῃς.
Ὦ φθέγμ᾽ Ἀθάνας φιλτάτης ἐμοὶ θεῶν,
ὡς εὐμαθές σου κἂν ἄποπτος ᾖς, ὅμως
φώνημ᾽ ἀκούω, καὶ ξυναρπάζω φρενί,
χαλκοστόμου κώδωνος ὡς Τυρσηνικῆς,
καὶ νῦν ἐπέγνως εὖ μ᾽ ἐπ᾽ ἀνδρὶ δυσμενεῖ
βάσιν κυκλοῦντ᾽ Αἴαντι τῷ σακεσφόρῳ.
Κεῖνον γάρ, οὐδέν᾽ ἄλλον ἰχνεύω πάλαι.
Νυκτὸς γὰρ ἡμᾶς τῆσδε, πρᾶγος ἄσκοπον
ἔχει περάνας, εἴπερ εἴργασται τάδε.

ἀκολουθοῦντα τὰ ἴχνη τὰ ἐκείνου. Νεοχάρακτα. εὐφυῶς. ὁπόταν γὰρ νεωστὶ αἱ ἀποχαράξεις τῶν ζώων γένωνται, μᾶλλον ἐπακολουθοῦσιν οἱ κυνηγέται πρὶν ὑπὸ ἀνέμου ἀφανισθῇ ἡ ὀδμή. Νεοχάρακτα, νεωστὶ κεχαραγμένα. προσοχὴν δὲ ἐργάζεται τῷ ἀκροατῇ περὶ τῶν δηλωθησομένων. Εἴτ᾽ ἔνδον εἴτ᾽ οὐκ ἔνδον. οὐκ ἀναγκαῖον τὸ πολυπραγμονεῖν ἔτι εἰ ἔνδον ὁ Αἴας. ἔνδον γάρ. ἀλλὰ λέγε δι᾽ ὅτι τὴν σπουδὴν ταύτην ἔθου, ἵνα παρ᾽ ἐμοῦ μάθῃς τὰ ἀγνοούμενά σοι. Εὖ δέ σ᾽ ἐκφέρει. ἔξω τῆς σκηνῆς τοῦ Αἴαντος ἐπάγεταί σε ἡ βάδισις τοῦ Αἴαντος δίκην κυνὸς διοσφραινομένου ἀπὸ τῶν ἰχνῶν, ζητοῦντα εἰ ἔνδον γέγονεν ὁ Αἴας. προέλκονται γὰρ τοὺς κυνηγέτας αἱ κύνες ἐπὶ τὰ ἐπαγόμενα, παρ᾽ ὃ καὶ ἐπακτῆρας θέλουσιν ἔνιοι αὐτοὺς καλεῖσθαι, ὡς ἐπαγομένους ὑπὸ τῶν κυνῶν. Ὅμηρος, Πρὸ δ᾽ ἄρ᾽ αὐτῶν ἴχνι᾽ ἐρευνῶντες κύνες ἤϊσαν. Οὐδὲν ἔτ᾽ ἔργον ἐστίν. ἀντὶ τοῦ οὐκ ἀναγκαῖόν ἐστιν. Ὦ φθέγμ᾽ Ἀθάνας. καὶ τοῦτο ἄριστα περιέθηκε· φθέγμα γὰρ εἶπεν ὡς μὴ θεασάμενος αὐτήν. δῆλον γὰρ ὡς οὐκ εἶδεν αὐτήν, ἐκ τοῦ κἂν ἄποπτος ᾖς ὅμως, τουτέστιν ἀόρατος. Καὶ ξυναρπάζω φρενί. ἤγουν ὀξέως συνίημι καὶ ἀντιλαμβάνομαι. διὰ δὲ φωνῆς μόνης αἰσθάνεται ὡς ἔθος αὐτῷ οὔσης. ἔστι μὲν γὰρ ... τῆς σκηνῆς ἡ Ἀθηνᾶ. δεῖ γὰρ τοῦτο χαρίζεσθαι τῷ θεατῇ. προθεραπεύει δὲ τὴν θεὸν ὁ Ὀδυσσεύς, καὶ οὕτω λέγει τὰ κατ᾽ Αἴαντος. Κώδωνος. ἡ κώδων θηλυκῶς ἀττικῶς. κώδων δὲ καλεῖται τὸ πλατὺ τῆς σάλπιγγος. ἀπὸ μέρους δὲ τὴν σάλπιγγά φησι. πολλὰ δὲ εἴδη σαλπίγγων. εἰσὶ γὰρ Λιβυστικαὶ σάλπιγγες, εἰσὶν Αἰγύπτιοι, εἰσὶ Τυρσηνικαί. πρῶτος δὲ Ἀρχώνδας συμμαχῶν τοῖς Ἡρακλείδαις, ἤγαγεν εἰς Ἕλληνας τὴν Τυρσηνικὴν σάλπιγγα. ὁ δὲ νοῦς. καὶ σοῦ τὸ φώνημα ἀκούω ἐξαιρέτως ὡς Τυρσηνικῆς σάλπιγγος ὀξυφωνοτάτης οὔσης. σακεσφόρος δὲ ὁ Αἴας οὐχ ἁπλῶς, ἀλλὰ κατ᾽ ἐξοχήν. Ὅμηρος, Αἴας δ᾽ ἐγγύθεν ἦλθε φέρων σάκος ἠΰτε πύργον. οἰκεῖον δὲ τοῦτο τοῦ Αἴαντος. Τρανές. σαφές. ἀληθές. καλῶς δὲ τοῦτο ἐπέκρινεν, ἵνα ἐκκρεμὴς ᾖ ἔτι ἡ ὑπόθεσις καὶ τὸ ἄπιστον εἰς ἀμφίγνοιαν ἄγῃ. διὸ ἐθελοντὴς τοῦτον ὑπέστη τὸν κίνδυνον, ἵνα γνῶσι τἀληθές, πάντων τὴν αἰτίαν

αἰτίαν τῶν περὶ νόσους εἰς αὐτὸν ἀναγόντων. ℭ Ἀλώμεθα. τῷ νῷ πλανώμεθα. ℭ Λείας ἁπάσας. τὰ ποίμνια τὰ βοσκήματα λείας φησίν. ἔνθεν καὶ ληϊστὴς κατὰ τὸ κύριον. Ὅμηρος, ληΐδα τ' ἐκ πεδίου συνελάσσαμεν. ¶ Κατηναρισμένας. ἀκύρως. τὸ γὰρ σκυλεύειν ἐναρίζειν, ὅτι τὰ ἔναρα σκῦλα παρὰ τὸ ἀφαιρέναι κλεινοὺς αὐτῶν ἡμᾶς.

Ἴσμεν γὰρ οὐδὲν τρανές, ἀλλ' ἀλώμεθα,
Κἀγὼ 'θελοντὴς τῷδ' ὑπεζύγην πόνῳ.
Ἐφθαρμένας γὰρ ἀρτίως εὑρίσκομεν
Λείας ἁπάσας, καὶ κατηναρισμένας
Ἐκ χειρὸς, αὐτοῖς ποιμνίων ἐπιστάταις.
Τήνδ' οὖν ἐκείνῳ πᾶς τις αἰτίαν νέμει.
Καί μοί τις ὀπτὴρ αὐτὸν εἰσιδὼν μόνον
Πηδῶντα πεδία σὺν νεοῤῥάντῳ ξίφει,
Φράζει τε, κἀδήλωσεν. εὐθέως δ' ἐγὼ
Κατ' ἴχνος ᾄσσω. καὶ τὰ μὲν, σημαίνομαι,
Τὰ δ' ἐκπέπληγμαι. κοὐκ ἔχω μαθεῖν ὅτου.
Καιρὸν δ' ἐφήκεις. πάντα γὰρ τά τ' οὖν πάρος,
Τά τ' εἰσέπειτα, σῇ κυβερνῶμαι χερί.
ἀθ. Ἔγνων Ὀδυσσεῦ, καὶ πάλαι φύλαξ ἔβην
Τῇ σῇ πρόθυμος εἰς ὁδὸν κυνηγίᾳ.
ὀδ. Ἦ καὶ φίλη δέσποινα πρὸς καιρὸν πονῶ;
ἀθ. Ὡς ἔστιν ἀνδρὸς τοῦδε τἄργα ταῦτά σοι.
ὀδ. Καὶ πρὸς τί δυσλόγιστον ὧδ' ᾖξεν χέρα;
ἀθ. Χόλῳ βαρυνθεὶς τῶν Ἀχιλλείων ὅπλων.
ὀδ. Τί δῆτα ποίμναις τήνδ' ἐπεμπίπτει βάσιν;
ἀθ. Δοκῶν ἐν ὑμῖν χεῖρα χραίνεσθαι φόνῳ.

καὶ τὸ παρ' Ὁμήρῳ τοιοῦτόν ἐστιν, Ἦ ῥα βέλτερόν ἐστι κατ' οὔρεα θῆρας ἐναίρειν. τὸ γὰρ οἷόν τέ ἐστι σκυλεύειν τοὺς λέοντας, εἰ μὴ εἴη καὶ ἐπὶ ἀλόγων ζώων τὸ σκυλεύειν. Καλλίμαχος ἐπὶ τῆς λεοντείας δορᾶς, Τὸ δὲ σκῦλον ἀνδρὶ καλύπτρη γιγνόμενον νιφετοῦ καὶ βελέων ἔρυμα. ¶ Ἐπιστάταις. τοῖς ποιμέσι. καλῶς δὲ εἶπε, ἵνα μὴ παραπέμποιτο ὡς ἀπαγγέλλων τὸ σαφές. πόθεν δὲ αὕτη ἡ ὑπόνοια, ὅτι εἶδέ τις αὐτὸν ἐν τῷ πεδίῳ πηδῶντα μετὰ τοῦ ξίφους νεωστὶ ῥαινομένου ὑπὸ τοῦ αἵματος. ¶ Καὶ τὰ μὲν σημαίνομαι. ἤγουν σηματίζομαι. διὰ σημείων γιγνώσκω. οἷον σημεῖα ἐμαυτῷ τινα συντίθημι ἀπὸ τῶν ἴχνων. τὰ δὲ ἀπορῶ. τοιοῦτον γὰρ συμβαίνει ἐπὶ τοὺς ἰχνεύοντας, ἐπιταραττομένων τῶν ἰχνῶν. διὰ δὲ τὴν μανίαν δυσχιδοῦς καὶ ἐπιτεταραγμένη ἡ βάσις γέγονε τοῦ Αἴαντος. καὶ ὅλως ὁ Ὀδυσσεὺς ἀναμένει τὸ ἀκριβὲς γνῶναι, ἵνα μὴ δοκοίη κατ' ἐχθροῦ προπετὴς εἶναι πράττειν. ¶ Καιρὸν δ' ἐφήκεις. εὐφυῶς ἄρχεται ἐπὶ ὑποθέσεως ὁ ποιητὴς, ὥστε τρανῶσαι τὸ πᾶν διὰ τῆς Ἀθηνᾶς. θεραπεύει δὲ ὁ Ὀδυσσεὺς τὴν Ἀθηνᾶν, ἵνα καὶ ἐν τοῖς ἑξῆς ἔξῃ αὐτὴν σύμμαχον. ¶ Ἔγνων Ὀδυσσεῦ. ταῦτα πρὸς τὰ ἐξ ἀρχῆς, ἵνα μὴ δόξῃ ἀγνοεῖν ἡ θεὰ τὸ πρᾶγμα. ℭ Ἦ καὶ φίλη. ἐν τοῖς ἀμοιβαίοις κατὰ βραχὺ δηλοῦται ἡ ὑπόθεσις. πυνθάνεται δὲ πρῶτον εἰ ἄρα πρὸς καιρὸν πονεῖ. εἰ γὰρ αὐτός ἐστιν ὁ τὸν φόνον δράσας, πρὸς καιρὸν ἂν εἴη πονῶν ὁ Ὀδυσσεύς. τὸ δὲ ἐν τῷ, ὡς ἔστιν ἀνδρὸς, ἀντὶ τοῦ ὄντως καὶ ἀληθῶς κεῖται. ¶ Καὶ πρὸς τί δυσλόγιστον. ἐπύθετο πρῶτον εἰ αὐτὸς ὁ δράσας. εἶτα καὶ τὴν αἰτίαν πυνθάνεται. τὸ δὲ δυσλόγιστον ὅμοιον τῷ, πρᾶγμα ἄσκοπον. ἀγνοεῖ γὰρ ἔτι τὴν μανίαν.

Η Καὶ τὸ βούλημα. ἐρωτᾷ πῶς μόνος ὢν πρὸς πλῆθος ἠδύνατο μάχεσθαι. μὴ λέγε βούλευμά φησι. οὐ γὰρ ἦν βούλημα, ἀλλὰ πρᾶγμα. ℭ Κἂν ἐξέπραξεν, εἰ κατημέλησ' ἐγώ. γράφεται καὶ ἐξέπραξεν. ℭ Ἦ καὶ παρέστη. ἀντὶ τοῦ ἐπλησίασεν ἡμῖν καὶ ἐπὶ τὸ τέρμα, τῆς ὁδοῦ δηλονότι, ἀφίκετο. ¶ Στρατηγίσι πύλαις. ταῖς τῶν σκηνῶν. ℭ Μαιμῶσαν. γράφεται καὶ διψῶσαν. ℭ Ἐγώ σφ' ἀπείργω. ὅτι προσκοπὸς ἦν σχηματικῶς εἴληφε τὸ πᾶν διεξελθεῖν. τὸ ἑξῆς. ἐγώ σφ' ἀπείργω τῆς ἀνηκέστου χαρᾶς. χαρὰν φησὶ τὴν ἐπὶ τῷ δοκεῖν ἀνελεῖν ἄλλως ἀνῃρῆσθαι. ταύτης οὖν αὐτὸν τῆς χαρᾶς ἀπεῖρξα δυσφόρους γνώμας ἐμβαλοῦσα ἐπὶ τοῖς ὄμμασι. καλῶς δὲ εἶπε γνώμας. οὐ γὰρ κλέπτει φησὶ τὴν ὄψιν, ὥστε μὴ ὁρᾶν. ἀλλ' ἐπ' αὐτῇ γνώμην δύσφορον ἐπιβαλεῖν, ὡς οἴεσθαι ἰδεῖν τὰ μὴ ὄντα. οὐκ ἔστι δὲ οὐ τῶν ὀφθαλμῶν ἁμάρτημα, ἀλλὰ πολὺ πρότερον τῆς διανοίας.

Σ ύμμικτά τε. καὶ τὰ ἑξῆς. περιφραστικῶς τὰ βουκόλια.

Α δαστα. ἀδιαίρετα, ἀμέριστα. πιθανὸν δὲ καὶ πρὸς τὸ πλῆθος. ἐλάσσονα γὰρ εἶναι εἰκὸς τὰ μεμερισμένα. Ἔκειρε. ἀντὶ τοῦ κείρων ἐπῄει. ℭ Κύκλῳ ῥαχίζων. κατὰ πάντα τόπον τῆς ἐπαύλεως σφάζων καὶ διακόπτων. διὰ τὸ τὴν πρώτην καὶ μεγάλην διακοπὴν κατὰ ῥάχιν γίνεσθαι. ἐκ μεταφορᾶς καὶ τοὺς μεγάλως κακουργοῦντας ῥαχιστὰς φαμέν. ℭ Αὐτόχειρ κτείνειν ἔχων. γράφεται σπῶν. ℭ Ἐμπίτνων. γράφεται ἐμπεσὼν, ἢ ἐμπιτνῶν. ¶ Ἐγὼ δὲ φοιτῶντα. ἀντὶ τοῦ μαινόμενον. φοῖτος γὰρ ἡ μανία. ἢ περιερχόμενον ἐν τοῖς ποιμνίοις διὰ τὴν μανίαν. λέγει γὰρ μανιάσι νόσοις. ἢ ἀναστρεφόμενον ἐν τῇ μανίᾳ. ℭ Διασοὺς ἀτρείδας. πιθανῶς τούτων τὰ ὀνόματα εἶπεν. κατ' αὐτῶν γὰρ πλείων ἡ ἀγανάκτησις, ὡς τῆς ἀδικίας προκατηρξαμένων. τὸ δὲ τοῦ Ὀδυσσέως ἐταμιεύσατο ὄνομα αὐτῇ, ἵνα καὶ μεῖζον εἴη τὸ πάθος αὐτοῦ φανερῶς παρὰ παίοντος. κἀπειδὴ τὸ λοιπὸν προελθόντα τὸν Αἴαντα λέγειν καὶ προσοχεῖν τοῖς θεαταῖς, εἰ προείρηκε πάντα ἢ ἀθλιᾶ. ℭ Εἰς ἕρκη κακά. γράφεται εἰς ἐριννὺν κακήν. ℭ Ἐλώφησεν. ἐπαύσατο. ἀπὸ τῶν ὑποζυγίων, ὅσοι καὶ τὸν λόφον φέρειν.

ΟΔ. Ἦ καὶ τὸ βούλευμ' ὡς ἐπ' Ἀργείοις τόδ' ἦν;
ΑΘ. Κἂν ἐξέπραξεν, εἰ κατημέλησ' ἐγώ.
ΟΔ. Ποίαισι τόλμαις ταῖσδε, καὶ φρενῶν θράσει;
ΑΘ. Νύκτωρ ἐφ' ὑμᾶς δόλιος ὁρμᾶται μόνος.
ΟΔ. Ἦ καὶ παρέστη, κἀπὶ τέρμ' ἀφίκετο;
ΑΘ. Καὶ δὴ 'πὶ δισσαῖς ἦν στρατηγίσιν πύλαις.
ΟΔ. Καὶ πῶς ἐπέσχε χεῖρα μαιμῶσαν φόνου;
ΑΘ. Ἐγώ σφ' ἀπείργω, δυσφόρους ἐπ' ὄμμασι
γνώμας βαλοῦσα, τῆς ἀνηκέστου χαρᾶς.
Καὶ πρός τε ποίμνας ἐκτρέπω, σύμμικτά τε
λείας, ἄδαστα βουκόλων φρουρήματα.
Ἔνθ' εἰσπεσὼν, ἔκειρε πολύκερων φόνον
κύκλῳ ῥαχίζων. κἀδόκει μὲν ἔσθ' ὅτε
δισσοὺς Ἀτρείδας αὐτόχειρ κτείνειν ἔχων,
ὅτ' ἄλλοτ' ἄλλον ἐμπίτνων, στρατηλατῶν.
Ἐγὼ δὲ φοιτῶντ' ἄνδρα μανιάσι νόσοις,
ὤτρυνον, εἰσέβαλλον εἰς ἕρκη κακά.
Κἄπειτ' ἐπειδὴ τοῦδ' ἐλώφησεν φόνου,

ΤΟΥΣ

ΤΟΥΣ ζῶντας. τοὺς ζῶντας τῶν βοῶν δήσας ὡς αἰχμαλώτους ἄνδρας ἄγει καὶ τὰ λοιπὰ ποίμνια. πιθανὸν δὲ καὶ τοῦτο προσέρρεθη, ἵνα ὅταν εἴπῃ ἡ τέκμησσα περὶ τοῦ κριοῦ, προεπιστώμεθα τοῦτο. ¶ Δείξω δὲ καὶ σοί. πιθανὴ ἡ παρείσοδος τοῦ αἴαντος. οὕτω γὰρ μεῖζον γίνεται τὸ πάθος τῆς τραγῳδίας τῷ θεατῇ, νῦν μὲν παραφρονοῦντα, ὀλίγῳ δ' ὕστερον ἔμφρονα θεωμένων, καὶ ἵνα ἰδὼν ὁ ὀδυσσεὺς διηγεῖται τοῖς ἄλλοις ἕλλησιν. οὕτω δὲ καὶ ἡ εὔνοια τῆς ἀθηνᾶς ἐνδείκνυται εἰς τὸν ὀδυσσέα.

τοὺς ζῶντας αὖ δεσμοῖσι συνδήσας βοῶν,
ποίμνας τε πάσας, εἰς δόμους κομίζεται,
ὡς ἄνδρας, οὐχ ὡς εὔκερων ἄγραν ἔχων.
καὶ νῦν κατ' οἴκους συνδέτους αἰκίζεται.
Δείξω δὲ καὶ σοὶ τήνδε περιφανῆ νόσον,
ὡς πᾶσιν ἀργείοισιν εἰσιδὼν, θροῇς.
θαρσῶν δὲ μίμνε, μηδὲ συμφορὰν δέχου
τὸν ἄνδρ', ἐγὼ γὰρ ὀμμάτων ἀποστρόφους
αὐγὰς ἀπείρξω, σὴν πρόσοψιν εἰσιδεῖν.
Οὗτος, σὲ τὸν τὰς αἰχμαλωτίδας χέρας
δεσμοῖς ἀπευθύνοντα, προσμολεῖν καλῶ.
Αἴαντα φωνῶ. στεῖχε δωμάτων πάρος.
ὀδ Τί δρᾷς Ἀθάνα. μηδαμῶς σφ' ἔξω κάλει.
ἀθ οὐ σῖγ' ἀνέξῃ, μηδὲ δειλίαν ἀρῇς;
ὀδ Μὴ πρὸς θεῶν, ἀλλ' ἔνδον ἀρκείτω μένων.
ἀθ Τί μὴ γένηται; πρόσθεν οὐκ ἀνὴρ ὅδ' ἦν;
ὀδ Ἐχθρός γε τῷδε τἀνδρὶ καὶ τανῦν ἔτι.
ἀθ ~~[illegible]~~ γέλως ἥδιστος εἰς ἐχθροὺς γελᾶν. οὐκοῦν
ὀδ Ἐμοὶ μὲν ἀρκεῖ τοῦτον ἐν δόμοις μένειν.
ἀθ Μεμηνότ' ἄνδρα περιφανῶς, ὀκνεῖς ἰδεῖν;
ὀδ Φρονοῦντα γάρ νιν οὐκ ἂν ἐξέστην ὄκνῳ.
ἀθ ἀλλ' οὐδὲ νῦν σε μὴ παρόντ' ἴδῃ πέλας.
ὀδ Πῶς, εἴπερ ὀφθαλμοῖς γε τοῖς αὐτοῖς ὁρᾷ;

¶ Ἀποστρόφους. εἰς τοὺς ὀπίσω ἐστραμμένους. διάστροφοι ὀφθαλμοὶ οἱ τοῦ μαινομένου καὶ οἱ ἐπ' ἄλλο βλέποντες, εἶτα κατ' ἄλλο δοκοῦντες βλέπειν. ἀπόστροφοι δὲ οἱ ὄπισθεν ἐστραμμένοι. ¶ Ἀπευθύνοντα. ἀντὶ τοῦ τιμωρίαν ἀπαιτοῦντα, ἢ ἐπιβαλόντα μετ' εὐθύνης. ¶ Προσμολεῖν. τουτέστιν ἐξελθεῖν. ¶ Οὐ σῖγ' ἀνέξῃ. ἐπιστρέφει ἡ ἀθηνᾶ ὡς οὐδενὸς ἐσομένου κακοῦ. Σῖγα ῥῆμα ἀντὶ τοῦ σιωπῆς. καὶ σῖγα ἐπίρρημα ἀντὶ τοῦ σιωπηλῶς, ὅπερ ἔχει βραχεῖαν τὴν λήγουσαν. ¶ Μὴ πρὸς θεῶν. παραιτεῖται ὀδυσσεὺς οὐχ ὡς κωμῳδοῦντος τοῦ ποιητοῦ δειλίαν τοῦ ἥρωος. οὕτω γὰρ ἀφαιρεθείη τῆς τραγῳδίας τὸ ἀξίωμα. ἀλλὰ τὸ εὐλαβὲς ἐνδείκνυται. ἔμφρονος γὰρ ἦν τὸ τῷ μεμηνότι παραχωρεῖν. ὅρα γὰρ οἷον ἦν προσελθόντα ἐκεῖνον θεάσασθαι τὸν νεκρόν. ¶ Τί μὴ γένηται; μὴ τί γένηται φοβῇ, οὐχ ὁ αὐτὸς ἦν καὶ πρότερον ἄνθρωπος, καὶ ἀλλ' οὐδὲν ὑμᾶς εἰργάσατο κακὸν ἡμῶν ἐπιμελουμένων. Τῷδε τἀνδρί. δεικτικῶς ἀντὶ τοῦ ἐμοὶ τῷ ὀδυσσεῖ. ¶ Οὔκουν γέλως ἥδ. σκληρὸν μὲν τὸ λέγειν τὸ ἐπεγγελᾶν τοῖς ἐχθροῖς. ἀλλὰ θεός ἐστιν οὐκ εὐλαβουμένη τὸ νεμεσητόν. ἄλλως τε καὶ προξενοῦσα τὸν ὀδυσσέα φησίν. ¶ Ἐμοὶ μὲν ἀρκεῖ. μέχρι δὲ φυλάχθη τὸ τοῦ ὀδυσσέως ἦθος, διὰ τὸ μὴ ἐντρυφᾶν τοῖς κακοῖς. ¶ Ἐς δόμους. ποιητικῶς εἴρηται ἀντὶ τοῦ ἐν δόμοις. ¶ Μεμηνότ' ἄνδρ' ὀκνεῖς. ἀντὶ τοῦ φοβῇ. πυκνῶς γὰρ τίθησι τὸ ὀκνεῖν ἀντὶ τοῦ φοβεῖσθαι. ¶ Φρονοῦντα γάρ νιν. ἐκατὲ

στρατῷ τὸ οἰκεῖον προσάπτῃ, καὶ οὐ χρὴ τὰ τοῦ ὀδυσσέως φρονιμώτερα οἴεσθαι τῶν τῆς ἀθηνᾶς, ἀλλ᾽ ἐκεῖνο σκοπεῖν, ὅτι ἡ μὲν μετὰ παῤῥησίας διαλέγεται ὡς θεός. ὁ δὲ ὑποσταλμένως ὡς θνητὸς τὸν καιρὸν ὁρᾷ ὅτι ὁμόσε χωρῆσαι τῇ μανίᾳ τοῦ ἐχθροῦ οὐχ ἁρμόζει. φονοῦντα γὰρ αὐτὸν οὐκ ἂν ἐξέστην δι᾽ εὐλάβειαν. τὸ δὲ νῦν ἐκστῆναι οὐ δειλίας αἴτιον, ἀλλὰ τῇ μανίᾳ. Ἐγὼ σκοτώσω βλέφαρα καὶ δεδορκότα. εἰ καὶ βλέποντα τὰ βλέφαρα αὐτοῦ, ποιήσω μὴ δεδορκέναι. Ὦ οὗτος. δεύτερον ὁ οὗτος καὶ τὸ αἶας, δηλοῖ ἡ κλῆσις. ἢ ὅτι καὶ πρότερον ἐκάλεσεν αὐτὸν ὅτε ὁ ὀδυσσεύς φησι, τί δρᾷς ἀθηνᾶ. ἢ ὡς καὶ πρότερον ὁπότε ἐδόκει συλλαμβάνειν αὐτῷ πρὸς τὴν ἀναίρεσιν. Τί βαιόν. οὐδέν. ὀλίγον. ἀντὶ τοῦ οὐδὲ ὅλως. σύμμαχον δὲ αὐτὴν νομίζει ὡς καὶ ἐν τοῖς ἑξῆς φησιν, ὡς εὖ παρέστης. Ὦ χαῖρ᾽ ἀθάνα. ἐπέγνω μὲν τὴν ἀθηνᾶν. τὰ δὲ ἑξῆς τοῦ πραπίονος. οὕτω γὰρ ἂν προκόψει ἡ ὑπόθεσις. οὐ παντελῶς δὲ ἀπώλετο αὐτοῦ τὸ ἡγεμονικόν. ἀλλ᾽ ἡ μανία γέγονε περὶ τὸ λογιστικόν. ἐμέμνητο μὲν γὰρ ὡς ἐχθροὺς ἀνελών. περὶ τὸ πρόσωπον δὲ ἐσφάλλετο, ὅτι ποίμνια ἀνεῖλε, καὶ ἐλογίζετο ἄνδρας ἀνῃρηκέναι.

ἀθ. Ἐγὼ σκοτώσω βλέφαρα καὶ δεδορκότα.
ὀδ. Γένοιτο μέντἂν, πᾶν θεοῦ τεχνωμένου.
ἀθ. Σίγα νῦν ἑστὼς, καὶ μέν᾽ ὡς κυρεῖς ἔχων.
ὀδ. Μένοιμ᾽ ἄν. ἤθελον δ᾽ ἂν ἐκτὸς ὢν τυχεῖν.
ἀθ. Ὦ οὗτος Αἶαν, δεύτερόν σε προσκαλῶ.
τί βαιὸν οὕτως ἐντρέπῃ τῆς συμμάχου;
αἰ. Ὦ χαῖρ᾽ ἀθάνα, χαῖρε διογενὲς τέκνον.
ὡς εὖ παρέστης. καί σε παγχρύσοις ἐγὼ
στέψω λαφύροις, τῆσδε τῆς ἄγρας χάριν.
ἀθ. Καλῶς ἔλεξας, ἀλλ᾽ ἐκεῖνό μοι φράσον,
ἔβαψας ἔγχος εὖ πρὸς Ἀργείων στρατῷ;
αἰ. Κόμπος πάρεστι, κοὐκ ἀπαρνοῦμαι τὸ μή.
ἀθ. Ἦ καὶ πρὸς Ἀτρείδαισιν ᾔχμασας χέρα;
αἰ. Ὥστ᾽ οὔποτ᾽ Αἴανθ᾽ οἵδ᾽ ἀτιμάσουσ᾽ ἔτι.
ἀθ. Τεθνᾶσιν ἅνδρες, ὡς τὸ σὸν ξυνῆκ᾽ ἐγώ.
αἰ. Θανόντες ἤδη, τἄμ᾽ ἀφαιρείσθων ὅπλα.
ἀθ. Εἶεν. τί γὰρ δὴ παῖς ὁ τοῦ Λαερτίου,
ποῦ σοι τύχης ἕστηκεν, ἢ πέφευγέ σε;
αἰ. Ἦ τοὐπίτριπτον κίναδος ἐξήρου μ᾽ ὅπου;

Κοὐκ ἀπαρνοῦμαι τὸ μή. τὸ μὴ οὐχὶ βάψαι τὸ ξίφος εἰς τὸν στρατόν. Ἤχμασας: σὺν αἰχμῇ ἐκίνησας. Ὥστ᾽ οὔποτ᾽ αἴανθ᾽ οἵδε. ἐὰν δασυνθῇ τὸ οἱ, ἔστιν ἀντὶ τοῦ Ἀτρειδῶν, ἐὰν δὲ ψιλὸν, τὸ οἶδα ἀντὶ τοῦ ἐπίσταμαι. Ἀτιμάσουσι. καταφρονήσουσι. ἀτιμάζω, τὸ καταφρονῶ. ἀτιμῶ δὲ, τὸ ἄτιμον ποιῶ. Τἄμ᾽ ἀφαιρείσθων. καλῶς τὰ ἐμὰ ἔφη, ἀντὶ τοῦ τὰ ἀνήκοντά μοι, οὐχ ἃ δεῖ με λαβεῖν, ὡς ἰδίων ἀπεστερημένος. Ποῦ σοι τύχης. ἢ πέφευγέ σε; οὐχ ὡς διαστέλλουσα φησιν, ὡς ἂν εἴποι τις ἔθανεν, ἢ πέφευγέ σε, ἀλλὰ παροξύνουσα. φησὶ γὰρ πέφευγε δή σε ὁ ὀδυσσεύς.

Τοὐπίτριπτον κίναδος. τὸ ἐξώλες θηρίον καὶ πανοῦργον. κίναδος γὰρ ἡ ἀλώπηξ. πάνυ δὲ κατατρέχει τοῦ ὀδυσσέως ὡς ἐχθίστου. Ἐξήρου μ᾽ ὅπου. τὸ τύχης ἔξω δηλονότι.

Ἔγωγ᾽, ὀδυσσέα. οἱ ἀττικοὶ ἐν τοῖς λόγοις δεομένοις ἀποκρίσεως, διὰ τοῦ ναί, λέγουσι τὸ ἔγωγε, ἢ μάλιστα, ἢ τοιοῦτόν τι, καὶ ἀρκοῦνται τούτοις. ἐν οἷς δὲ τὸ οὖ ἁρμόζει ἐν

τῇ

ἀθ. Ἔγωγ', Ὀδυσσέα τὸν σὸν ἐνστάτην λέγω.
αἰ. Ἥδιστος ὦ δέσποινα δεσμώτης ἔσω
θακεῖ. θανεῖν γὰρ αὐτὸν οὔτι πω θέλω.
ἀθ. Πρὶν ἂν τί δράσῃς; ἢ τί κερδάνῃς πλέον;
αἰ. Πρὶν ἂν δεθεὶς πρὸς κίον' ἑρκείου στέγης.
ἀθ. Τί δῆτα τὸν δύστηνον ἐργάσῃ κακόν;
αἰ. Μάστιγι πρῶτον νῶτα φοινιχθεὶς θάνῃ.
ἀθ. Μὴ δῆτα τὸν δύστηνον ὧδέ γ' αἰκίσῃ.
αἰ. Χαίρειν Ἀθάνα, τἄλλ' ἐγώ σ' ἐφίεμαι.
κεῖνος δὲ τίσει τήνδε κοὐκ ἄλλην δίκην.
ἀθ. Σὺ δ' οὖν ἐπειδὴ τέρψις ἥδε σοι τὸ δρᾶν,
χρῶ χειρί. φείδου μηδὲν, ὧνπερ ἐννοεῖς.
αἰ. Χωρῶ πρὸς ἔργον. τοῦτό σοι δ' ἐφίεμαι.
τοιάνδ' ἀεί μοι σύμμαχον παρεστάναι.
ἀθ. Ὁρᾷς Ὀδυσσεῦ τὴν θεῶν ἰσχὺν ὅση;
Τούτου τίς ἄν σοι τἀνδρὸς ἢ προνούστερος,
ἢ δρᾶν ἀμείνων εὑρέθη τὰ καίρια;
ὀδ. Ἐγὼ μὲν οὐδέν' οἶδ', ἐποικτείρω δέ νιν
δύστηνον, ἔμπας καίπερ ὄντα δυσμενῆ,
ὁθούνεκ' ἄτῃ συγκατέζευκται κακῇ,
„ Οὐδὲν τὸ τούτου μᾶλλον, ἢ τοὐμὸν σκοπῶν.
„ Ὁρῶ γὰρ ἡμᾶς οὐδὲν ὄντας ἄλλο, πλὴν

τῇ ἀπειλήσει λείπει τὸ μὰ ἀπωμοτικὸν, ἢ ἀρκοῦντι τρόπῳ. ¶ ΤΟΝ σὸν ἐνστάτην. ἀντὶ τοῦ ἐχθρὸν καὶ ἀντίπαλον. ἤγουν κατὰ πάντα ἐνιστάμενόν σοι. ἢ ἰδικῶς τὸν τῆς κρίσεως μόνον, οἷον τὸν ἀντίδικον. κυρίως δὲ ἐνστάτης ὁ ἐν τῇ ὁδῷ ἀντιστήκων τινὶ, ὡς εἰ λέγοι τις τὸν Οἰδίποδα τοῦ Λαΐου ἐνστάτην γεγενημένον. ¶ Ἥδιστος ὦ δέσποινα. καθ' ἡδονήν μοι. ¶ Δεσμώτης. δεσμώτης λέγεται καὶ αὐτὸς ὁ δέσμιος, ὡς ὁ δεσμώτης Προμηθεύς, καὶ ὁ δεσμῶν, ὡς Κρατῖνος ἐν Πυτίνῃ, ἐπὶ τῶν
„ δεσμοφυλάκων· ὅτε γὰρ αὐτὴν εἰκὸς οὐ πολλῷ χρόνῳ παρὰ τοῖσι δεσμώτῃσι κα-
„ ταπεπλεγμένην. ¶ Ἑρκείου στέγης. τοῦ περιφράγματος τῆς αὐλῆς, ἢ τῆς τοῦ δώματος στέγης, ἕρκιον γὰρ τὸ δῶμα. ¶ Μάστιγι πρῶτον. ἐντεῦθεν ἡ ἐπιγραφὴ τοῦ δράματος. οὐ πρότερον φονεύσω αὐτὸν πρὶν ἂν μαστίξω. ¶ Χαίρειν Ἀθάνα, τἄλλα. τὸ ἦθος τῆς ἀπαγγελίας ἀρχαῖον. ἔστι δὲ νῦν τὸ χαίρειν, ἀντὶ τοῦ χαρτῶς ἐμοὶ λέγεις. φησὶ δὲ ὡς κατὰ τὰ ἄλλα εἴκων τῇ θεῷ, τοῦτο δὲ ἀντιβαίνων. ὑπεροπτικὸν δὲ τὸ ἦθος αὐτοῦ. ἐντεῦθεν ἐνδείκνυται ὁ ποιητὴς, ἐπεὶ πάνυ πρόσκειται ὁ ἀκροατὴς τῷ Αἴαντι διὰ τὴν συμφοράν, καὶ μονονουχὶ χαλεπαίνει τῷ ποιητῇ, ἵνα δόξῃ ἀξιοπαθὴς ὁ Αἴας, μὴ ὑποτεταγμένος τῷ δαίμονι. ¶ Ἔγωγέ σ' ἐφίεμαι. ἐφίεμαί σε εἰς τὰ ἄλλα κελεύειν μοι καὶ χαίρειν, ὡς πειθομένου μου· εἰς τοῦτο δὲ μόνον οὐκ ἀκούσομαί σου. ¶ Ὧνπερ ἐννοεῖς. γράφεται ἐννέπεις. ¶ Ὁρᾷς Ὀδυσσεῦ. παιδευτικὸς ὁ λόγος καὶ ἀποτρεπτικὸς ἁμαρτημάτων, καὶ διὰ τοῦτο ἐπιτηδὲς καὶ τῷ Ὀδυσσεῖ καὶ τῷ θεατῇ ὑπέδειξε τὸν Αἴαντα, δηλῶν ὡς ὁ πρότερον φόνιμος καὶ πρακτικὸς, νῦν ἐξέστη διὰ τὸ θεομαχῆσαι. καὶ τοῦτο δὲ Ὁμήρου παίδευμα, ὅτι ἐφ' οἷς αὐχοῦσί τινες, τούτων στεροῦνται παρὰ θεῶν, ὡς καὶ Θάμυρις τῆς μουσικῆς, καὶ Νιόβη τῶν τέκνων. ¶ Ὁρῶ γὰρ ἡμᾶς. πρὸς τὸ
„ Πινδαρικὸν, τί δέ τις, τί δ' οὔ τις; σκιᾶς ὄναρ ἄνθρωποι. ἀντὶ ἀνυπάρκτου τὸ ἀνυπαρκτότερον. ἐνταῦθα μέντοι ὁ λόγος ἐστὶν ἐγγυτέρω τῆς ἀληθείας ἤπερ τὸ Πινδαρικ-

κόν. ὁ μὲν γὰρ Πίνδαρος ἀσυστάτως περιῆκται τὴν ὑπερβολήν. ὁ δὲ ἐν τοῖς φαινομένοις καὶ δοκοῦσιν. οὐχ ὑπάρχουσι δὲ κατὰ ἀλήθειαν. ὁ δὲ Ὅμηρος δι' ἑνὸς αὐτάρκως τοῦτο δεδήλωκεν· ,, Οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο. Προνούστερος. προνοίας μᾶλλον ἐχόμενος. Ἔμπης. Ἴωνες ἔμπης φασίν. Ἀττικοὶ δὲ ἔμπας καὶ ἔμπα. Η Τοὐμὸν σκοπῶν. οἷον ἀφορῶν εἰς τὰ ἀνθρώπινα τὰ πάντων κοινά. Εἴδωλα. ἀπεικασμένα. εἴδωλα, τὰ φαινόμενα ἐν τῷ ἀέρι φαντάσματα, ἅπερ ἅμα τῷ φανῆναι ἀφανίζονται, ἄστατα ὄντα καὶ ἀβέβαια. Ὑπέρκοπον. ἀντὶ τοῦ ὑπέρκομπον.

,, εἴδωλ', ὅσοιπερ ζῶμεν, ἢ κούφην σκιάν.
Αθ τοιαῦτα τοίνυν εἰσορῶν, ὑπέρκοπον
μηδέν ποτ' εἴπῃς αὐτὸς εἰς θεοὺς ἔπος,
μηδ' ὄγκον ἄρῃς μηδέν', εἴ τινος πλέον
ἢ χειρὶ βρίθεις, ἢ μακροῦ πλούτου βάρει.
,, Ὡς ἡμέρα κλίνει τε κἀνάγει πάλιν
,, Ἅπαντα τἀνθρώπεια. τοὺς δὲ σώφρονας
,, Θεοὶ φιλοῦσι, καὶ στυγοῦσι τοὺς κακούς.
Χο Τελαμώνιε παῖ, τῆς ἀμφιρύτου
Σαλαμῖνος ἔχων βάθρον ἀγχιάλου,
σὲ μὲν εὖ πράσσοντ', ἐπιχαίρω.

φασὶ γοῦν Αἴαντα τρίτον ἠσεβηκέναι περὶ τοὺς θεούς. πρῶτον μὲν ἐκβαλεῖν τοῦ δίφρου τὴν Ἀθηνᾶν βουλομένην αὐτῷ συμμαχεῖν. δεύτερον ἀπαλεῖψαι τὴν γλαῦκα τὴν ἐγγεγραμμένην τῷ ὅπλῳ αὐτοῦ δ' ἐξ ἔθους πατρῴου. τρίτον, ὅτι οὐκ ἐπείσθη τῷ πατρὶ συμβουλεύοντι πείθεσθαι τοῖς θεοῖς. Χειρί. δυνάμει. Ὡς ἡμέρα κλίνει. ἡμέρα γὰρ μία ἐλαττοῖ καὶ πάλιν αὔξει. Τοὺς δὲ σώφρονας. τὸ συναγόμενον τοῦ τόπου ἐστίν, ὅτι δεῖ θεοφιλεῖς μόνον εἶναι τοὺς σώφρονας, καὶ μὴ ἐπ' ἄλλῳ ἀλαζονεύεσθαι. Τελαμώνιε παῖ. πιθανῶς αὐτῷ ὁ χορὸς ἐσκεύασται ἀπὸ Σαλαμινίων ἀνδρῶν. τοῦτο μὲν παρρησιαζομένων ὡς ἐλευθέρων. τοῦτο δὲ συμπαθῶς ἐχόντων ὡς πολιτῶν, καὶ αἰδημόνως λαλούντων ὡς ὑπηκόων. οὐ γὰρ πιθανὸν ἦν Ἀχαιῶν εἰσάγειν, καὶ δεῖ τὸ μὴ συνάχθεσθαι, καὶ δεῖ τὸ μὴ προσκρούειν τῷ βασιλεῖ. τὸ δὲ τῶν αἰχμαλώτων κηδεμονικὸν μέν, ὡς Αἰσχύλος ,, ἐν Θρήσσαις. οὐ μὴν εὐπρόσωπον. ὅρα γὰρ οἷον τοὺς αἰχμαλώτους ἐπιτιμᾶν τῷ Με- ,, νελάῳ. πιθανὴ δὲ καὶ ἡ εἴσοδος. ἀκούσας γὰρ ὁ Ὀδυσσεὺς παρὰ τῆς Ἀθηνᾶς, δείξω δὲ καὶ σοὶ τήνδε τὴν περιφανῆ νόσον, ὡς πᾶσιν Ἀργείοισιν εἰσιδὼν θροῇς, καὶ μαθὼν τὸ σαφὲς δεδήλωκε τοῖς Ἀχαιοῖς. ταύτης οὖν τῆς φήμης ἀκούσαντες οἱ Σαλαμίνιοι παραγεγόνασι, μηδέπω ὑπὸ τῆς εὐνοίας πεπεισμένοι, ὡς αὐτὸς εἴη ὁ πράξας, ἀλλ' ἀπιστοῦντες καὶ ὑπὸ ἐχθροῦ πεπλάσθαι οἰόμενοι. ὁ δὲ νοῦς. σοῦ μὲν εὖ πράσσοντος ἐν χαρᾷ ἐσμέν. καὶ τὸ ἀνάπαλιν. τὸ δὲ ὅλον, ἐν σοὶ ἐσμέν. τὰ δὲ πράγματα νῦν τοῦ Αἴαντος φαῦλά εἰσι, καὶ οὐκ ἐνεχώρει αὐτῷ διηγήσασθαι τὰ ἀνδραγαθήματα. Ἀμφιρύτου. ἀφεῖλε τὸ ἕτερον ρ, διὰ τὸ μέτρον. ἀμφίρρυτος γὰρ διὰ δύο ρρ ὀφείλει γράφεσθαι. Βάθρον ἀγχιάλου. τὸ θεμέλιον. τὸ ἔδρασμα. ἀντὶ τοῦ δι' ὃν ἵσταται ἡ Σαλαμίς. οὐ πάντως δὲ αἱ ἀγχίαλοι καὶ ἀμφίαλοί εἰσιν. οἵα ἐστὶ καὶ ἡ Ἀλεξάνδρεια. ἀγχίαλος μέν, οὐκ ἀμφίαλος δέ. αἱ δὲ νῆσοι, καὶ ἀγχίαλοι καὶ ἀμφίαλοί εἰσι. Σὲ μὲν εὖ πράσσοντ' ἐπιχαίρω.

ἐπιχαίρω. ἀντὶ τοῦ συγχαίρω. τουτέστιν, σοῦ μὲν εὖ πράσσοντος. ἢ οὕτως. εἰς σὲ μὲν εὖ πράσσοντα ἐπιχαίρω. ἵνα λείπῃ ἡ εἰς. ¶ Σὲ δ' ὅταν. ὁ δὲ σὲ δὲ τὰ ἑξῆς. ¶ Ζαμενὴς, ἀντὶ τοῦ δυσμενής. Ἐπιβῇ. ἀπὸ κοινοῦ τὸ ἐπιβῇ. εἰς σὲ δὲ ὅταν νόσος ἐπιβῇ. Κακόθρους δὲ, οἷον ἐστὶ τὸ ἑξῆς. ¶ Πτηνῆς ὡς ὄμμα. ἐπεὶ περιδεὲς τὸ ζῶον. ὄμμα δὲ πελείας περιφραστικῶς ἡ πέλεια. ¶ Ὡς καὶ τῆς νῦν. ὡς καὶ τῆς παρελθούσης νυκτὸς ἐν φόβῳ γεγόναμεν ἐπὶ τῇ σῇ δυσκλείᾳ. πιθανῶς δὲ οὐκ ἐλέγχει τὸν βασιλέα ὡς ἡμαρτηκότα, ἀλλὰ τὴν δυσπραγίαν προσέλαβεν, ὡς ἀπὸ τῆς ἐπιμεμηνυμένης. πάνυ

Σὲ δ' ὅταν πληγὴ Διὸς, ἢ ζαμενὴς
λόγος ἐκ Δαναῶν κακόθρους ἐπιβῇ,
μέγαν ὄκνον ἔχω, καὶ πεφόβημαι
πτηνῆς ὡς ὄμμα πελείας.
ὡς καὶ τῆς νῦν φθιμένης νυκτὸς,
μεγάλοι θόρυβοι κατέχουσ' ἡμᾶς
ἐπὶ δυσκλείᾳ. σὲ τὸν ἱππομανῆ
λειμῶν' ἐπιβάντ', ὀλέσαι Δαναῶν
βοτὰ, καὶ λείαν,
ἥπερ δορίληπτος ἔτ' ἦν λοιπὴ,
κτείνοντ' αἴθωνι σιδήρῳ.
Τοιούσδε λόγους ψιθύρους πλάσσων,
εἰς ὦτα φέρει πᾶσιν Ὀδυσσεὺς,
καὶ σφόδρα πείθει. περὶ γὰρ σοῦ νῦν
εὔπιστα λέγει. καὶ πᾶς ὁ κλύων,
τοῦ λέξαντος χαίρει μᾶλλον,
τοῖς σοῖς ἄχεσι καθυβρίζων
›› τῶν γὰρ μεγάλων ψυχῶν ἱεὶς,

δὲ εὖνοι ὄντες ἀπιστοῦσι, τὸ ὑπολαμβάνουσιν αὐτὸν ὑπὸ τῶν ἐχθρῶν συκοφαντεῖσθαι. ἐν δέει δὲ καθέστηκα, ὅταν ἤ, τι πονηρὸν περὶ σέ. ¶ Σὲ τὸν ἱππομανῆ. τινὲς τὸν μεγαλομανῆ ἐξεδέξαντο, ὡς βούπεινα. ἤτοι τὸν μεγάλως μαινόμενον. ἀλλ' οὐκ ἐπίστευσεν ὁ χορὸς ὅτι ἐμαίνετο ὁ αἴας. σὲ τὸν ἵπποις μαινόμενον τὸ ἱππικόν. ἀλλ' οἱ νησιῶται οὐχ ἱππομανοῦσιν, οὐδ' ἱππήλατοί εἰσιν αἱ νῆσοι. τὸ ἱππομανῆ ῥίνων πρὸς τὸν λειμῶνα ἐκληπτέον. Ἄλλως. ἱππομανῆ ἢ αὐτὸν λέγει τὸν αἴαντα ὡς μεγάλως μαινόμενον. ἀπὸ μεταφορᾶς. ἡ γὰρ τῶν ἵππων μανία χαλεπωτέρα ἐστίν. ἢ τὸν ἵπποις μαινόμενον. τὸ γὰρ ἵππος ἐπὶ μεγάλου τάσσεται ὡς ἱπποσέλινον. καὶ ἱππογνώμονα τὸν μεγαλογνώμονα. ἢ ἐπὶ τοῦ λειμῶνος, τὸν εὐανθῆ, ἐφ' ὃν οἱ ἵπποι μαίνονται. ἢ τὸν ἄγαν μεμηνότα τὸ ἀνθοῦντα καὶ ἐνυβρίζοντα τῇ χλόῃ διὰ τὸ πλῆθος. ¶ Λειμῶνα. λειμὼν τόπος ὕδασι κατάρρυτος. ἀπὸ τοῦ λείβω, ἀφ' οὗ τὸ λιβάδιον. λειμωνία δὲ ἐν τῷ χειμῶνι χλόη. ¶ Αἴθωνι σιδήρῳ. λαμπρῷ. ¶ Τοιούσδε λόγους. ὁ νοῦς. οὐδὲν ἐνέχυρον εἰδὼς ὁ ὀδυσσεὺς, πλάττεται ψευδεῖς λόγους, ἀκούσας μόνον ὡς εἶδέ σε σὺν νεορράντῳ ξίφει. καλῶς δὲ καὶ τὸ ψιθύρους λόγους, ἀντὶ τοῦ διαβόλους, ὡς διὰ πανουργίαν ἄντικρυς οὐ λεγομένους, ἀλλὰ πρὸς ἓν ἕκαστον διαπρατ τοῦντα λάθρα. ¶ Περὶ γὰρ σοῦ νῦν εὔπιστα λέγει. ὅτι ἐν ἀτυχίᾳ καθέστηκας δηλονότι τῆς ἥτινος χάριν. ἢ ἐπεὶ μέγας εἶ, εἶχες τὸν φθόνον συμπράττοντα. ¶ Τῶν γὰρ μεγάλων ψυχῶν. γνωμικῶς ὡς ἐπὶ τῶν ῥεόντων κατὰ μεγάλου στόματος οἱ οὐχ ἁμαρτάνουσι. πιστὰ γὰρ τοῖς ἀκούουσι τὰ κατὰ τῶν μεγά-
›› λων διὰ τὸν φθόνον. Πίνδαρος. ὄψον δὲ λόγοι φθονεροῖς ἅπτεται δ' εἰδώς. χερόνεσσι

δ' οὐκ ἐρίζει. ¶ ἱείς, ἀφιείς, τοξεύων. ἀπὸ κοινοῦ δὲ τὸ τίς. κατὰ μὲν τῶν μεγάλων τυχὼν ἱείς τις, οὐκ ἂν ἁμάρτοι, κατ' ἐμοῦ δὲ ἱείς τις, οὐ πείθει τὸν ἀκούοντα. ¶ Κατὰ δ' ἄν τις ἐμοῦ. τοῦ δημοτικοῦ καὶ εὐτελοῦς. ¶ Πρὸς γὰρ τὸν ἔχονθ'. λείπει τὸ εὖ. Καίτοι σμικροί. πάνυ αἰδημόνως ὁ χορὸς ἐξελέγχει τὴν ἀδικίαν τῶν ἑλλήνων. οὐ τοῦτο ἄντικρυς ποιεῖ, ἀλλὰ ψιλῶς γνωμολογῶν. βούλεται γὰρ ἐπιτιμᾶν ὅτι κακῶς πράττουσι καθαιροῦντες τὸν αἴαντα, καὶ ἑαυτοῖς ἀσύμφορα. φησὶ γὰρ ὅτι ἀσθενὴς φυλακὴ τοῖς μικροῖς ἄνευ τῶν μεγάλων. τοῦτο δὲ τείνει καὶ πρὸς τὸν αἴαντα, ὅτι δεηθήσονται αὐτοῦ. ¶ Καὶ μέγας ὀρθοῖθ' ὑπό. οὐκ ἔστιν ἐναντίος ὁ λόγος. ἀλλὰ καὶ αὔξησιν ἔχει. εἰ γὰρ ὁ μέγας ὑπὸ τοῦ ἐλαττονος διασώζεται, πόσῳ μᾶλλον τῶν μειζόνων ἔχεσθαι χρή. κοινωνικὸς δὲ ὁ λόγος καὶ φιλάνθρωπος.
,, τὸ ὁμήρου συμφερτὴ δ' ἀρετὴ πέ
,, λει ἀνδρῶν καὶ μάλα λυγρῶν. ¶ Σφαλερὸν ῥῦμα. ἀντὶ τοῦ ἀσθενὴς φυλακή. ¶ Ἀλλ' οὐ δυνατὸν τοὺς ἀνοήτους. τοὺς ἕλληνας, ἀνοήτους καὶ φθονερούς, καὶ διαθρεῖν τὰ τοιαῦτα ἀνεπιστήμονας. κἀνθάδε δὲ τὸ θορυβῇ, σύμφωνόν ἐστι τῷ τοιούσδε λόγους ψιθύρους πλάσσων. μέχρι γὰρ νῦν ἐν λόγοις ἐστὶν ἡ ἀδικία, καὶ θορύβῳ τῷ ἀπὸ τῆς βλασφημίας. ¶ Τούτων. τῶν λεχθέντων γνώμας. ὀρθὰς δηλαδὴ τὰς κρίσεις. Ἀπαλέξασθαι. ἀντιτάξασθαι. ¶ Ἅτε πτηνῶν ἀγέλαι. θηλυκῶς τὰς ἀγέλας εἰπὼν, καὶ τὴν ἀρσενικὴν μετοχὴν τὴν ὑποδείσαντες πρὸς τὸ νοητόν. ἐν γὰρ ταῖς ἀγέλαις εἰσὶ καὶ ἄρσενες καὶ θήλειαι. ὁ νοῦς. διὰ τοῦτο κομπάζουσί σου ἀφανοῦς ὄντος, ὡς πτηνῶν ἀγέλαι παταγοῦντες, καὶ τοῦτο εἰς τὸν κενὸν ψόφον. ¶ Αἰγυπιόν, εἶδος ἀετοῦ, ὅν φησιν ἐμ μεθορίῳ τῶν ἀετῶν καὶ γυπῶν, ὡς καὶ ὄνομα μαρτυρεῖ. ¶ Ἦ ῥά σε. ὁ χορὸς οὐδέπω πεπιστευκώς, ὅτι αἴας τὰ τεθρυλλημένα διεπράξατο, ἀλλ' οἰόμενος ἔκ τινος ὀργῆς θεῶν ταύτην τὴν φήμην γεγενῆσθαι, ποιεῖται πρὸς τὴν φήμην τὸν λόγον. ¶ Ταυροπόλα. ἢ ὅτι ἐν ταύροις τῆς σκυθίας τιμᾶται, ἢ ἀπὸ μέρους τῶν ποιμνίων ἢ προστάτι. ἢ ὅτι ἡ αὐτὴ τῇ σελήνῃ ἐστὶ, καὶ ἐποχεῖται ταύροις, ἣν καὶ ταυρωπὸν ὀνομάζουσιν. τὸ ἑξῆς. ἦ ῥά σε ταυροπόλα ὥρμησεν ἐπὶ βοῦς ἀγελαίας. τοὺς πολλοὺς γὰρ τῶν μαινομένων ἐκ σελήνης νοσεῖν ὑποτίθενται, διὰ τὸ νυκτερινῶν ἀπολαύειν φασμάτων. ἄλλως. τὴν μὲν ἀναίρεσιν τῶν ποιμνίων ὁ χορὸς πιστεύει ὑπὸ Αἴαντος γενέσθαι, οὐκ ἐξ ἰδίας

,, Οὐκ ἂν ἁμάρτοι. κατὰ δ' ἄν τις ἐμοῦ
,, τοιαῦτα λέγων, οὐκ ἂν πείθοι.
,, Πρὸς γὰρ τὸν ἔχονθ' ὁ φθόνος ἕρπει.
,, Καὶ τοι σμικροὶ μεγάλων χωρὶς,
,, Σφαλερὸν πύργου ῥῦμα πέλονται.
,, Μετὰ γὰρ μεγάλων βαιὸς, ἄριστ' ἂν
,, Καὶ μέγας ὀρθοῖθ' ὑπὸ μικροτέρων.
Ἀλλ' οὐ δυνατὸν τοὺς ἀνοήτους
Τούτων γνώμας προδιδάσκειν
ὑπὸ τοιούτων ἀνδρῶν θορυβῇ.
Χ' ἡμεῖς οὐδὲν σθένομεν πρὸς ταῦ-
τ' ἀπαλέξασθαι, σοῦ χωρὶς ἄναξ.
Ἀλλ' ὅτε γὰρ δὴ τὸ σὸν ὄμμ' ἀπέδραν,
παταγοῦσιν ἅτε πτηνῶν ἀγέλαι,
μέγαν αἰγυπιὸν ὑποδείσαντες.
τάχ' ἂν ἐξαίφνης εἰ σὺ φανείης,
Σιγῇ πτήξειαν ἄφωνοι.
Ἦ ῥά σε ταυροπόλα Διὸς Ἄρτεμις,
Ω μεγάλα φάτις, ὦ
μᾶτερ αἰσχύνας ἐμᾶς,

δὲ προνοίας. τὸ δὲ πᾶν τοιοῦτον. ἡ Ἄρτεμις παρωρμημένη σε ἐπὶ τὰς πανδήμους βοῦς τὰς ἀγελαίας. ἢ διά χάριν τινὸς νίκης ἀκάρπου. ἢ διὰ δώρων ψευσθεῖσα. ἢ ὁ Ἐνυάλιος ἐτίσατο λώβην. οὐ γὰρ οἴκοθεν ἔβης ἐπὶ τὰ ἀριστερά. Ω μεγάλα φάτις. διὰ μέσου ἡ ἀναφώνησις, ὦ θαυμαστὴ φήμη, ἥτις ἐγέννησάς μοι ταύτην τὴν αἰσχύνην. κακὴ γάρ φησιν ὑπῆρξε περὶ τοῦ ἀνδρός. Πανδάμους. ἢ τὰς παντὸς τοῦ δήμου. ἢ τὰς συνηγμένας. Ἤ που τινὸς νίκας. ἢ διά χάριν τινὸς νίκης. ἀκάρπωτον δὲ, ἧς καρπὸν οὐκ ἐδέξατο. οἷον τι ἐκ τούτων αὐτὸν ἐμμανῆ ποιεῖ. ἄρα ἤν φησι χαριζομένη τι τὸ νικᾶν, καρπὸν δὲ ἀπαρχὰς οὐκ ἐδέξατο τῆς νίκης. ἢ ἀπὸ κυνηγεσίων δῶρα οὐ λαβοῦσα. ὡς καὶ Ὅμηρος ἐπιλελησμένους τινάς φησι καὶ δίκην παρέχοντας τῆς λήθης. Η χαλκοθώραξ. ἢ τίν' Ἐνυάλιος. διὰ τί ἐκάλει τὸν ἄρεα ἀπὸ τοῦ ἐνυαλίου, ὡς ἕτερόν τι δαίμονα ὑπουργὸν τοῦ μείζονος θεοῦ. καὶ δῆλον ἐκ τῶν συνδέσμων. δηλοῦται γὰρ ὁ ἄρης ἐκ τοῦ χαλκοθώραξ. ἢ καὶ ὁ ἄρης μεμφόμενός σοι ὡς ἀπαρχὰς δορὸς οὐ λαβὼν, ἐτίσατο τῆς λώβης τῆς εἰς αὐτὸν γενομένης λήθης. ἐτίσατο δὲ ἐννυχίοις μηχαναῖς. ἐπὶ σοῦ ταύτης τῆς νυκτός. πιθανῶς δὲ πλείονας αἰτίας τιθέασιν ἀποροῦντες. οἱ γὰρ στοχαζόμενοι οὐ καθ' ἓν ἵστανται. Οὔ ποτε γὰρ φρενό. οὐ γὰρ ἐστὲ τοσοῦτον ἄφρονες, ὡς ἄνευ αἰτίας θέλειν ἐμπεσεῖν τοῖς ποιμνίοις. Ἀριστερά. ἀριστερὰ οἱ παλαιοὶ τὰ μωρὰ ἐκάλουν, δεξιὰ δὲ τὰ συνετά. Ἥκοι γὰρ ἂν θεία νόσος. ἔοικε γὰρ ἡ νόσος θεία ἡ ἐκ τοῦ θεοῦ κατασκήψασα εἰς αὐτὸν, τὴν δὲ νόσον αὐτοῦ φήμην ἀργείων ὠνόμασεν. τὸ δὲ ἥκοι, ἀντὶ τοῦ ἦλθεν ἄν. Ὑποβαλλόμενοι, πειθόμενοι, ἢ ὑποβάλλοντες λέγοντες, ἢ ἰδιοποιησάμενοι. εἰ δὲ οὐκ ἔστιν ἀληθῆ ταῦτα, ἀλλὰ πεπλασμένα ὑπὸ τῶν βασιλέων ἢ ὀδυσσέως. Τᾶς ἀσώτου. τῆς ἐξώλους καὶ σώζεσθαι μὴ δυναμένης. Σισυφιδᾶν. γράφεται σισυφίδα. λέγεται γὰρ ἡ Ἀντίκλεια ἀπερχομένη ἀπὸ ἀρκαδίας ἐπὶ ἰθάκην πρὸς Λαέρτην ἐπὶ γάμῳ, κατὰ τὴν ὁδὸν σισύφῳ συνελθεῖν, ἐξ οὗ ἦν φύσει ὁ ὀδυσσεύς. ὁ δὲ σίσυφος Κορίνθου βασιλεὺς πανοῦργος ἀνὴρ, περὶ οὗ φησιν Ὅμηρος, „ὃς κέρδιστος γένετ' ἀνδρῶν. ὅστις ὑπὸ τοὺς ὄνυχας καὶ τὰς ὁπλὰς τῶν ζώων ἑαυτοῦ μονογράμματον ἔγραψε τὸ ὄνομ' αὐτοῦ. Αὐτόλυκος δὲ κατ' ἐκεῖνο καιροῦ ἐκέκαστο κλεπτοσύνῃ θ' ὅρκῳ τε, καὶ αὐτὰ τὰ κλεπτόμενα πρὸς αὐτοῦ τὴν μορφὴν ἤλλασσε. κλέψας δὲ καὶ σισύφου θρέμματα, καὶ μεταβαλὼν ὁμοίως, οὐκ ἔλαθε τὸν σίσυφον. ἐπέγνω γὰρ αὐτὰ διὰ τοῦ μονογράμματος. ἐπὶ τούτοις δὲ ἐξευμενιζόμενος τὸν σίσυφον, ἐξέ

ὥρμασε πανδάμους ἐπὶ βοῦς ἀγελαίας;
ἤ που τινὸς νίκας ἀκάρπωτον χάριν,
ἤ ῥα κλυτῶν ἐνάρων
ψευσθεῖσα δώροις, εἴτ' ἐλαφηβολίαις.
ἢ χαλκοθώραξ, ἤ τιν' Ἐνυάλιος
μομφὰν ἔχων ξυνοῦ δορὸς ἐννυχίοις
ἐτίσατο λώβαν. (μαχαναῖς
οὔ ποτε γὰρ φρενόθεν γ' ἐπ' ἀριστερὰ
παῖ Τελαμῶνος ἔβας,
τόσον ἐν ποίμναισι πίτνων.
ἥκοι γὰρ ἂν θεία νόσος, ἀλλ' ἀπερύκοι
καὶ Ζεὺς κακὰν καὶ Φοῖβος Ἀργείων φάτιν,
εἰ δ' ὑποβαλλόμενοι
κλέπτουσι μύθους οἱ μεγάλοι βασιλῆς,
ἢ τᾶς ἀσώτου Σισυφιδᾶν γενεᾶς,

νισεν αὐτὸν καὶ τὴν θυγατέρα αὐτοῦ Ἀντίκλειαν συγκατέκλινεν αὐτῷ, καὶ ἔγκυον δὲ αὐτοῦ γενομένην τὴν παῖδα συνῴκισε Λαέρτῃ. διὸ Σισύφου ὁ Ὀδυσσεύς. Μὴ μὴ μ' ἄναξ. τὸ πλῆρες μὴ μή μοι. ὁ δὲ νοῦς. εἰ δὲ πλάσσονται ταῦτα, καὶ οὐκ ἀληθείᾳ συνέδραμες, μηκέτι κρυπτόμενος ἐν ταῖς ἐφάλοις κλισίαις κακὴν φάτιν ἄρῃ καὶ περιποιήσῃ. ἤτοι ἐπάρῃς αὐξήσῃς ἀπὸ σοῦ. ἀλλὰ προελθὼν δεῖξον ψευδῆ τὰ λογοποιούμενα. τὸν δὲ Ὀδυσσέα Σισύφου συνήθως φησὶ Σοφοκλῆς καὶ ἐν Συνδείπνῳ· Ω πάντα πράσσων, ὡς ὁ Σίσυφος πολὺς ἔνδηλος ἐν σοὶ πανταχοῦ μητρὸς πατήρ. καὶ Αἰσχύλος ἐν Ὅπλων κρίσει· Ἀλλ' Ἀντικλείας ἆσσον ἦλθε Σίσυφος, τῆς σῆς λέγω τοι μητρός, ἥ σ' ἐγείνατο. καὶ Εὐριπίδης ἐν Κύκλωπι· Χαῖρ' ὦ ξέν'. ὅστις δ' εἶ φάσον, πάτραν τε σήν. Ἴθακος Ὀδυσσεύς, γῆς Κεφαλλήνων ἄναξ. οἶδ' ἄνδρα κρόταλον δριμὺ Σισύφου γόνον. Φαίνεται δὲ τὸ κακόηθες αὐτοῦ καὶ διὰ τῆς γενέσεως.

Μὴ μὴ μ' ἄναξ,
ἔθ' ὧδ' ἐφάλοις κλισίαις ὄμμ' ἔχων,
Κακὰν φάτιν ἄρῃ.
Ἀλλ' ἄνα ἐξ ἑδράνων, ὅπου μακραίωνι
στηρίζῃ ποτὲ τᾷδ' ἀγωνίῳ σχολᾷ,
ἄταν οὐρανίαν φλέγων.
Ἐχθρῶν δ' ὕβρις ὧδ' ἀτάρβητα
ὁρμᾶτ' ἐν εὐανέμοις βάσσαις,
πάντων καγχαζόντων γλώσσαις,
βαρυάλγητ', ἐμοὶ δ' ἄχος ἕστακε.
Τε. Ναὸς ἀρωγοὶ τῆς Αἴαντος,

Ἀλλ' ἄνα ἐξ ἑδράνων. ἀνάστα ἐκ τῶν θρόνων, ὅπου πολὺν χρόνον σεαυτὸν ἐνεστήριξας, τὴν ἐκ τοῦ οὐρανοῦ πεμφθεῖσαν ἄτην αὔξων, καὶ οἷον ἐμπυρούμενος ὑπὸ τοῦ πάθους, καὶ ἐν ἀγωνίᾳ πολλῇ ὤν. Ὅπου μακραίωνι στηρίζῃ. ὅπου στηρίζῃ μακραίωνι σχολῇ, ὅ ἐστι πολυχρονίῳ, βραδὺν τὸν ἀγῶνα ἐμποιούσῃ σοι. μακραίων δὲ αὐτοῖς δοκεῖ διὰ τὴν εὔνοιαν. Ἄταν οὐρανίαν. τὴν ἐκ τοῦ οὐρανοῦ πεμφθεῖσαν. ἤγουν μετέωρον καὶ μεγάλην. φλέγων δέ, ζωπυρῶν, ἀνεγείρων. Ἐχθρῶν δ' ὕβρις. ἡ δὲ τῶν ἐχθρῶν ὕβρις τῶν ταῦτα περὶ σοῦ λεγόντων, οὕτω μᾶλλον ἄφοβός ἐστι καὶ ἀδεῶς εἰς τὸ βλασφημεῖν σε διὰ τὸ μὴ φαίνεσθαί σε τοῖς Ἀχαιοῖς. Ἀτάρβητα. ἀντὶ τοῦ ἀταρβήτως. ἀνειμένως. Ἐν εὐανέμοις βάσσαις. ὡς πῦρ ἐν εὐανέμοις βήσσαις. τουτέστιν ἐν ἐκείνοις τοῖς τόποις, ὅπου τὰ ὑπὸ σοῦ ἀνῃρημένα ποίμνια ὁρῶντες ἐπεγγελῶσιν. ἢ ἐν εὐανέμοις βήσσαις, οἱ ἐν εὐδίᾳ καιρὸν ἔχοντες διαβάλλουσι. Καγχαζόντων. γελώντων. Βαρυάλγητα. βαρέα καὶ ἀλγεινά. Ναὸς ἀρωγοί. ἔξεισι Τέκμησσα καὶ διδάσκει τὸν χορὸν ὅτι Αἴας ἐστὶν ὁ σφάξας τὰ ποίμνια. πυνθάνεται δὲ παρὰ τοῦ χοροῦ ὅτι Ἑλληνικὰ ἦν τὰ σφαγέντα. ἑκάτερος οὖν παρ' ἑκατέρου τὸ ἀγνοούμενον μανθάνει. ἡ δὲ Τέκμησσα αἰχμάλωτος γυνὴ τοῦ Αἴαντος. πιθανῶς δὲ ἔξεισιν. οὐ γὰρ τὸ πολὺ διὰ τὸ ὀλοφύρεσθαι τὸν χορόν, ἀλλὰ προκόπτειν τὰ τῆς ὑποθέσεως. ἡ δὲ διάθεσις εὖ ἔχει τῷ ποιητῇ. ἐπεὶ γὰρ ἄπεστι Τεῦκρος καὶ ὁ Εὐρυσάκης ἔτι νήπιος, Τέκμησσα κατολοφύρεται. οὐ γὰρ ἕτερον πρόσωπον γνήσιον τῷ Αἴαντι. αἱ δὲ τοιαῦται γυναῖκες ὑποτίθενται εὔνοιαν πρὸς τοὺς δεσπότας, ὡς Βρισηῒς πρὸς Ἀχιλλέα.

Γενεᾶς χθονίων. διὰ τὸ τὴν Σαλαμῖνα συνῆφθαι τῇ Ἀττικῇ, καὶ περισπούδαστον τοῖς Ἀθηναίοις αὐτὴν κτήσασθαι. πρὸς εὔνοιαν δὲ τῶν ἀκροωμένων τοῦτό φησιν. ἢ ἐπειδὴ ἐξ Αἰγίνης ἐλθὼν ὁ Τελαμὼν ἐβασίλευσε Σαλαμῖνος. ἡ δὲ Αἴγινα τῆς Ἀττικῆς. ¶ Τηλόθεν οἴκου. μακρὰν γὰρ Φρυγία Σαλαμῖνος. ἢ οἱ πρὸ πολλοῦ κηδόμενοι, καὶ οὐχὶ νῦν μόνον. ἢ οἱ τηλόθεν ὄντες, ὅ ἐστι ξένοι κατὰ γένος, καὶ ὅμως τοῦ Τελαμῶνος οἴκου φειδόμενοι εἰ καὶ μὴ προσήκομεν. ℭ Ὠμοκρατὴς Αἴας. ὁ δυνατὸς πάντων καὶ αἰτιώνυμον ἔχων πάθος. ἢ ὁ ὠμὸς καὶ κρατερός. ἢ ὁ ὑπὸ ὠμότητος κεκρατημένος. ἢ ὁ γενναῖος ὁ καὶ τῶν ὤμων κρατεῖν δυνάμενος. ℭ Τί δ' ἐνήλλακται. τί αὐτὸ περὶ τὴν ἡμερινὴν ὄχλησιν γέγονε βάρος, οἷον ἐν τίνι γέγονεν ὁ Αἴας βάρει. ὥστε ἀλλοῖος γενέσθαι πρόσθεν ἢ κατὰ τὴν ἡμέραν. τί αὐτὸ βάρος ἐνήλλακται αὕτη ἡ νύξ. ℭ Τῆς ἀμερίας. γράφεται τῆς ἀημερίας. ἀντὶ τῆς ἀηδοῦς φορᾶς. καὶ ἔστιν ὁ νοῦς. ποῖον βάρος ἔλαβεν αὕτη ἡ νύξ ἀπὸ τῆς προτέρας ἀηδίας. ℭ Ἐπεί σε λέχος. ἐπεί σε ἔχει ὁ Αἴας δοριάλωτον στέρξας τὸ λέχος σου. ἢ ἄλλως. ἐπεί σε ἀνέχει ὁ Αἴας τὸ δοριάλωτόν σου στέρξας λέχος. ℭ Ἀνέχει. ἀντὶ τοῦ ἔχει. περιέλκεται δὲ ἡ ἀνά. ἄμεινον στέρξασαν γράφειν. ἢ ἀνέχει, ἀντὶ τοῦ ἀνυψοῖ, τιμᾷ. ¶ Λόγον ἄρρητον. κακόφημον, μηδὲ λέγεσθαι ὀφείλοντα. ℭ Μανίᾳ γάρ. τὸ κεφάλαιον τοῦ κακοῦ πρῶτον ἐκτίθεται, ὅτι ἐφύβρισται εἴργασται περὶ μανίαν πεσών. Ἀπελωβήθη. ἀντὶ τοῦ ἐφύβρισται εἴργασται. ἢ οὕτως. ἐνυβρίσθη καὶ λωβητὸς γέγονε. Χειροδάϊκτα. ὑπὸ τῶν χειρῶν αὐτοῦ δαϊχθέντα. ℭ Κείνου χρηστήρια. ἃ διεχρήσατο ἐκεῖνος, τὰ τολμήματα καὶ πράξεις. ἢ τὰ διεφθαρμένα ποίμνια. παρὰ τὸ διαχρήσασθαι αὐτά. δηλοῖ δὲ ἡ λέξις καὶ τὸ μαντεῖον καὶ τὸν χρησμὸν, καὶ τὸ ἱερεῖον. ℭ Αἴθωνος. διαπύρου, θερμοῦ ἐν ταῖς μάχαις. ἢ τὸ θερμὸν νῦν διὰ τὸ παρακεκινηκότος εἶναι.

γενεᾶς χθονίων ἀπ' Ἐρεχθειδᾶν,
ἔχομεν στοναχὰς οἱ κηδόμενοι
τοῦ Τελαμῶνος τηλόθεν οἴκου.
Νῦν γὰρ ὁ δεινὸς, ὁ μέγας, ὠμοκρατὴς
Αἴας, θολερῷ
κεῖται χειμῶνι νοσήσας.

Χο. Τί δ' ἐνήλλακται τῆς ἀμερίας
νὺξ ἥδε βάρος
παῖ τοῦ Φρυγίου Τελεύταντος,
λέγ', ἐπεί σε λέχος δοριάλωτον
στέρξας ἀνέχει θούριος Αἴας.
ὥστ' οὐκ ἂν ἄϊδρις ὑπείποις,

Τέ. Πῶς δῆτα λέγω λόγον ἄρρητον,
θανάτῳ γὰρ ἴσον πάθος ἐκπεύσῃ.
Μανίᾳ γὰρ ἁλοὺς ἡμῖν ὁ κλεινὸς
νύκτερος Αἴας ἀπελωβήθη.
τοιαῦτ' ἂν ἴδοις σκηνῆς ἔνδον
χειροδάϊκτα σφάγι' αἱμοβαφῆ,
κείνου χρηστήρια τἀνδρός.

Χο. Οἵαν ἐδήλωσας ἀνδρὸς
αἴθωνος ἀγγελίαν
ἄτλατον, οὐδὲ φευκτὰν,
τῶν μεγάλων Δαναῶν,

ΚΛΗΙΖΟΜΕΝΑΝ. φημιζομένην ὑπὸ τῶν ἑλλήνων οὐ θεόθεν. ¶ Τὰν ὁ μέγας μῦθος. ἣν ἀγγελίαν πᾶς λόγος αὔξει. πρώην μὲν γὰρ μόνοι οἱ Ἕλληνες ἔλεγον ταῦτα περὶ αἴαντος. ἡμεῖς δὲ ἠπιστοῦμεν. νῦν δὲ καὶ ἡμεῖς ἔγνωμεν. ¶ Ὤμοι φοβοῦμαι. τὸ ἐκ τρόπου φησὶν ἀποβησόμενον. εἰκὸς γὰρ τὸν νοῦν ἐξεστηκότα μηδὲ ἑαυτοῦ ἀνασχέσθαι. οὐ γάρ φησι φοβοῦμαι μὴ τιμωρηθῇ ὑπὸ τῶν βασιλέων. ¶ Περίφαντος. φανερός ἐστιν, ὅτι ταῦτα ἑαυτὸν διαθήσει. ¶ Παραπλήκτῳ. τῇ μανικῇ. παραπλὴξ γὰρ ὁ μανικός. ¶ Βοτῆρας ἱππονόμους. τοὺς μεγάλως φυλάττοντας τοὺς ποιμένας. οὓς οὐ γὰρ ἐνόμιζον ἢ ποιμένας αὐτὸν ἀνῃρηκέναι. ¶ Ὤμοι κεῖθεν. ὡς οἰκτροῦ ὄντος, τὰ ἔξω ἡ τέκμησα ἠγνόει. διὰ τὸ τὸν χορὸν τὰ μὲν ἔνδον ἀπ' αὐτῆς γνῶναι. τὴν δὲ ἀπὸ τοῦ χοροῦ τὰ ἔξω. ¶ Τὴν μὲν, τὴν ποίμνην. ¶ Πλευροκοπῶν. κατὰ τῶν πλευρῶν τύπτων. ¶ Δύο δ' ἀργίποδας. ἀντὶ τοῦ λευκόποδας. ἴσως τὸν μὲν ἕνα ἐνόμιζεν ὀδυσσέα. τὸν δὲ ἄλλον Νέστορα ἢ Μενέλαον. ¶ Τοῦ μὲν κεφαλὴν καὶ γλῶσσαν. ἴσως τοῦτον ἐνόμιζε Νέστορα ὡς ψευδομαρτυρήσαντα κατ' αὐτοῦ. ¶ Μέγαν ἱππολέτην ῥυτῆρα λαβὼν παίει. διπλῶς· ἢ τὸν χαλινὸν παίει τὸν κριόν, ὡς λιγυρᾷ καὶ ὀξυφόρῳ μάστιγι. ἱππολέτην δὲ ῥυτῆρα, χαλινὸν μέγαν. μέγαν δὲ πρὸς τὸ πικρότερον καθάψασθαι τοῦ ἐχθροῦ. ¶ Κακὰ δεννάζων. ἀντὶ τοῦ βλασφημῶν. πρὸς τὸ ἐξῆς δὲ καλῶς τὸν λόγον φάσκουσα τὰ ῥήματα μὴ ἀπὸ τοῦ αἴαντος, ἀλλὰ θεῶν τινος ὑποβολῇ. δαίμονα δέ φησι τὴν μανίαν. δεννάζων δὲ ἀπὸ τοῦ δεινὸν δεινάζω καὶ δεννάζω. ὡς φαεινός, φαεινός. ¶ Ὥρα τιν'. ὥρα τινὰ ἡμῶν ἀντὶ τοῦ ἕκαστον ἡμῶν πρέπει ἐλκυσαμένην τὴν ἐσθῆτα τοῖς καλύμμασι τὴν κεφαλὴν κρυψάμενον. ὅσα μὲν δὲ ὁ

ὑποκληϊζομέναν.
τάν, ὁ μέγας μῦθος ἀέξει.
Ὤμοι, φοβοῦμαι τὸ προσέρπον.
περίφαντος ἀνὴρ
θανεῖται παραπλήκτῳ
χερὶ, συγκατακτὰς
κελαινοῖς ξίφεσι βοτὰ, καὶ
βοτῆρας ἱππονόμους.

Τέ. Ὤμοι. κεῖθεν κεῖθεν ἄρ' ἡμῖν
δεσμῶτιν ἄγων ἤλυθε ποίμναν.
ὧν τὴν μὲν, ἔσω σφάζ' ἐπὶ γαίας,
τὰς δὲ, πλευροκοπῶν, δίχ' ἀνερρήγνυ.
δύο δ' ἀργίποδας κριοὺς ἀνελὼν,
τοῦ μὲν, κεφαλὴν καὶ γλῶσσαν ἄκραν
ῥιπτεῖ θερίσας, τὸν δ' ὀρθὸν ἄνω
κίονι δήσας,
μέγαν ἱππολέτην ῥυτῆρα λαβὼν,
παίει λιγυρᾷ μάστιγι διπλῇ,
κακὰ δεννάζων ῥήμαθ' ἃ δαίμων
κοὐδεὶς ἀνδρῶν ἐδίδαξεν.

Χο. ὥρα τίν' ἤδη κρᾶτα
καλύμμασι κρυψάμενον,
ποδοῖν κλοπὰν ἀρέσθαι,
ἢ θοὸν εἰρεσίας
ζυγὸν ἑζόμενον,
ποντοπόρῳ ναῒ μεθεῖναι.

χορὸς

χορός, ὅτι ἐν μεγίστῳ κακῷ ἐστιν Αἴας, τὸ μὲν μετὰ τὴν νόσον, τὸ δὲ κατὰ τὴν ἀπειλὴν τῶν βασιλέων, διαπορεῖται τί πρακτέον αὐτοῖς, πότερον ἐγκαλυψαμένοις φεύγειν ὅποι ποτ' οὖν, ἢ ἀποπλεῖν ἐπιβάντας ἐπὶ τῶν νεῶν. ἢ οὐκ ἔστι μὲν μικρὸν τὸ, ἐάσαντας τὴν προστάτην ἀπαλλαγῆναι. ἀλλὰ σημαίνουσι διὰ τούτων ἐστὶν ὅπε τὰ ἐν ποσὶ δεινά. εἰώθασι γὰρ οἱ ἀποροῦντες ἐξ ἀρχῆς τοιαῦτα προσφέρεσθαι.

τοίας ἐρέσσουσιν ἀπειλὰς
δικρατεῖς Ἀτρεῖδαι
καθ' ἡμῶν. πεφόβημαι
λιθόλευστον Ἄρη,
ξυναλγεῖν μετὰ τοῦδε τυπείς,
ὃν, αἶσ' ἄπλατος ἴσχει.
Τέ οὐκέτι. λαμπρᾶς γὰρ, ἄτερ στεροπᾶς
ᾄξας ὀξὺς νότος ὣς, λήγει.
καὶ νῦν φόνιμον νέον ἄλγος ἔχει.
„ Τὸ γὰρ ἐσλεύσσειν οἰκεῖα πάθη
„ Μηδενὸς ἄλλου παραπράξαντος,
„ Μεγάλας ὀδύνας ὑποτείνει.
Χο ἀλλ' εἰ πέπαυται, κάρτ' ἂν εὐτυχεῖν δοκῶ.
φρούδου γὰρ ἤδη τοῦ κακοῦ, μείων λόγος.
Τέ Πότερα δ' ἂν εἰ νέμοι τίς αἵρεσιν λάβοις,

¶ Μεθεῖναι. μεθιέναι, φεύγειν. ἕκαστον ἡμῶν φησι δεῖ μεθεῖναι τουτέστι ῥίψαι ἑαυτὸν ἐν νηΐ καὶ φυγεῖν. ¶ Τοίας. ἀντὶ τοῦ μεγάλας. ¶ Ερέσσουσιν. εὐτόνως κινοῦσιν. ἀπὸ τῶν ἐρεσσόντων, ἀντὶ τοῦ ἐλαύνουσι, κινοῦσι. ¶ Δικρατεῖς. οἱ δισσοί.

¶ Πεφόβημαι. εὐλαβοῦμαι τὸ λευσθῆναι. ἢ ἄλλως μετ' αὐτοῦ, ὃν δὴ μοῖρά τις κακὴ κατέχει. λέγει δὲ τὴν μανίαν. φησὶν οὖν ἡ Τέκμησσα πέπαυται, ἀντὶ τοῦ συμπαθεῖν αὐτοῦ τῆς μανίας, ἵνα προκόπτῃ τὰ τῆς ὑποθέσεως. ¶ Λιθόλευστον ἄρη. τὸν θάνατον. καὶ
„ Ὅμηρος, γίνεται ἄρης ἀλεγεινὸς ὀϊζυροῖσι βροτοῖσι. ¶ Αἶσ' ἄπλατος. ἀντὶ τοῦ μεγάλη. οὐκ ἔτι κατέχει αὐτὸν ἡ μανία, ἀλλὰ λήγει ὡς ὀξὺς νότος. ταχέως λήγει γενομένων τινῶν σημείων ἐπὶ τοῖς πνεύμασιν, ὥστε παρατείνειν αὐτά. ἢ ταχέως
„ πέπαυται, οἷόν ἐστιν ἐν τῇ κωμῳδίᾳ, ἀλλ' ἔπεσε ταχέως, δεινὸς γὰρ ἦρξατο. ¶ Καὶ νῦν φρόνιμος. ἔμφρων γενόμενος ἤρξατο συμπαρακολουθεῖν τῇ συμφορᾷ καὶ ἀλγεῖν. ¶ Μηδενὸς ἄλλου. τοῦ μηδενὸς πράξαντος ἢ μεταχόντος τῶν ἁμαρτημάτων. ἡ γὰρ κοινωνία τῶν ἁμαρτημάτων, φέρει τινὰ παραμυθίαν. περιττὴ δὲ ἡ παράθεσις. ¶ Φρούδου γάρ. δηλονότι ὄντος. ¶ Μείων λόγος. ἀντὶ τοῦ οὐδεὶς λόγος.

Πότερα δ' ἂν εἰ νέμοι. εἰ δοίη τις αἵρεσιν, πότερον ἂν προκρίνειας, λυπῶν τοὺς φίλους αὐτὸς ἥδεσθαι, ἢ λυπῶν τοὺς φίλους καὶ αὐτὸς λυπεῖσθαι; κεῖνται δὲ ἑκατέρων αἱ ὑποθέσεις. τῶν μὲν οἰομένων ἐν εὐτυχίᾳ γεγενῆσθαι εἰ πέπαυται τὸ κακόν. τῆς δὲ βουλομένης παραστῆσαι ὅτι ἐν χείροσιν ἐστὶ τὰ τοῦ Αἴαντος νῦν ὁπότε καὶ παρακολουθεῖ τοῖς ἁμαρτήμασιν. εἰπόντος δὲ τοῦ χοροῦ ἐν εὐτυχίᾳ εἶναι εἰ πέπαυται ὁ Αἴας τοῦ κακοῦ, ἐπάγει ἡ Τέκμησσα ὅτι κακόν ἐστιν αὐτοῦ οὕτως πράξαντι καὶ τὸ πεπαῦσθαι τῶν δεινῶν. παρακολουθῶν γὰρ τοῖς πεπραγμένοις ἐν ὀδύνῃ πλείονι γίνεται. καὶ Εὐριπίδης, τὸ
„ γὰρ ὀρθοῦσθαι γνώμην ὀδυνᾷ. πρὸς δὲ τὸ ὑπ' ἐκείνων εἰρημένον, ὅτι ἐν εὐτυχίᾳ

ἂν εἴη μὲν εἰ πέπαυται, ἀντιτίθησιν οὕτως. πότερα ἂν ἕλοιο, εἴ σοι δοίη τις αἵρεσιν, λυπῶν τοὺς φίλους αὐτὸς ἐν ἡδονῇ διάγειν, ἢ κοινωνεῖν τοῦ πάθους, καὶ αὐτός τε λυπεῖσθαι καὶ τοὺς φίλους λυπεῖν. οἷον ὁ μὲν αἴας ἐν τῇ μανίᾳ ὤν, ἐτέρπετο οἰόμενος τιμωρεῖσθαι τοὺς ἐχθρούς, ἐγὼ δὲ ἐλυπούμην ὁρῶσα αὐτόν, νῦν δὲ παυσάμενος τῆς μανίας, καὶ αὐτὸς λυπεῖται ἐπὶ τοῖς πεπραγμένοις. λυπεῖ δὲ πάλιν καὶ τοὺς φίλους. νυνὶ οὖν διπλασιάσαι τὸ κακόν. τοῦτο δὲ ἀναπτύσσει ὁ χορὸς διὰ τῶν ἐπιφερομένων, τό τοι διπλάζον ὦ γύναι μεῖζον κακόν, ὅτι τὸ ἀμφοτέρους λυπεῖσθαι.

ΦΙΛΟΥΣ ἀνιῶν αὐτὸς ἡδονὰς ἔχειν. ὥσπερ ὁ αἴας ἐν μανίᾳ ὤν, λυπῶν ἡμᾶς αὐτὸς ἥδετο. ¶ Ἡμᾶς δὲ τοὺς φρονοῦντας. γράφεται βλέποντας. ¶ Πεπαυμένος. ἀντὶ τοῦ σωφρονῶν. ¶ Ὡς ὧδ' ἐχόντων. ὅτι κάκιον νῦν ἐκεῖνος ἔχει. ¶ Ἡμεῖς ἄρ' οὐ νοσοῦντες. ἡμεῖς ἀντὶ τοῦ ὁ αἴας νῦν μὴ νοσῶν, ὀδυνᾶται ἑαυτὸν διὰ τὰ πεπραγμένα. Ἡμεῖς θ' ὁμοίως. ἐμοί φησι κατ' ἄμφω τοὺς καιροὺς συμβέβηκεν ἀνιᾶσθαι. αὐτοῦ μὲν τότε ἐξεστηκότος καὶ παρῃρημένου, νῦν δὲ σωφρονοῦντος καὶ λυπουμένου. Ἆρ' ἔστι ταῦτα δὶς τόσ' ἐξ ἁπλῶν. ἁπλοῦν μὲν τὸ τοὺς φίλους ἀνιᾶν. δὶς τόσα δὲ ὅτι καὶ αὐτὸς συναλγεῖ. ¶ Πῶς γὰρ εἰ πεπαυμένος. πῶς γὰρ οὐ θεόν τις εἴη τὸ κατὰ τὸν αἴαντα,

Φίλους ἀνιῶν αὐτὸς ἡδονὰς ἔχειν,
ἢ κοινὸς ἐν κοινοῖσι λυπεῖσθαι ξυνών;
Χο. Τό τοι διπλάζον ὦ γύναι, μεῖζον κακόν.
Τέ. Ἡμεῖς ἄρ' οὐ νοσοῦντες, ἀτώμεσθα νῦν.
Χο. Πῶς τοῦτ' ἔλεξας; οὐ κάτοιδ' ὅπως λέγεις.
Τέ. ἀνὴρ ἐκεῖνος ἡνίκ' ἦν ἐν τῇ νόσῳ,
αὐτὸς μὲν ἥδεθ' οἷσιν εἴχετ' ἐν κακοῖς.
ἡμᾶς δὲ τοὺς φρονοῦντας ἠνία ξυνών.
Νῦν δ' ὡς ἔληξε, κἀνέπνευσε τῆς νόσου,
'κεῖνός τε λύπῃ πᾶς ἐλήλαται κακῇ,
ἡμεῖς θ' ὁμοίως οὐδὲν ἧσσον, ἢ πάρος.
ἆρ' ἔστι ταῦτα δὶς τόσ' ἐξ ἁπλῶν κακά;
Χο. Ξύμφημι δή σοι, καὶ δέδοικα μὴ 'κ θεοῦ
πληγή τις ἥκοι. πῶς γὰρ εἰ πεπαυμένος,
μηδέν τι μᾶλλον ἢ νοσῶν εὐφραίνεται;
Τέ. Ὡς ὧδ' ἐχόντων τῶνδ', ἐπίστασθαί σε χρή.
Χο. τίς γάρ ποτ' ἀρχὴ τοῦ κακοῦ προσέπτατο,
δήλωσον ἡμῖν τοῖς ξυναλγοῦσιν τύχας.
Τέ. ἅπαν μαθήσῃ τοὔργον, ὡς κοινωνὸς ὤν.
Κεῖνος γὰρ ἄκρας νυκτός, ἡνίχ' ἕσπεροι
λαμπτῆρες οὐκέτ' ᾖθον, ἄμφηκες λαβὼν

εἰ πεπαυμένος τοῦ κακοῦ μᾶλλον ἐν ἀνίᾳ διάγει. ¶ Τίς γάρ ποτ' ἀρχή. ἀντὶ τοῦ, τίς ἡ προσβολὴ τοῦ κακοῦ ἦν ἐς αὐτὸν θεοῦ. ¶ Κεῖνος γὰρ ἄκρας νυκτός, περὶ πρῶτον ὕπνον. πιθανῶς δὲ καὶ τὸ τοῦ χρόνου πρόσκειται. οἱ γὰρ ἐπιβουλεύοντες τότε τὰς ἐξόδους ποιοῦνται, ὥστε λαθεῖν τοὺς παραφύλακας.

Ἡνίχ' ἕσπεροι. οἱ κατὰ τὴν ἑσπέραν. ἢ ὅτε οὐκ ἔφαινον ἔτι οἱ ἕσπεροι ἀστέρες. ἢ ὅτε κατεσβέσθησαν οἱ λύχνοι. συνετῶς δὲ καὶ οὐ κατὰ μαινόμενον, καὶ ἐκ τῆς τοῦ καιροῦ γὰρ ἐννοίας ἐπιβουλεύοντος ἐπιθέσθαι περὶ πρῶτον ὕπνον. ¶ Λαμπτῆρες. οἱ κατὰ τὴν οἰκείαν φαίνοντες λύχνοι. ¶ ᾜθον, ἀντὶ τοῦ ἤθονρ.

Οὔτε

Οὔτε του. ὥσπερ παρὰ αἰολεῦσι τὸ ὅτινα κοινόν ἐστι κατὰ γένος, οὕτω καὶ παρὰ ἀττικοῖς τὸ, οὔτε του, ὅταν οὕτως συντάσσηται κοινῶς λέγεται. ¶ ἘΜΑΙΕΤΟ. ἐζήτει. Ἐξόδους κενάς. τὰς οὐκέτι χρησίμως γινομένας. ἔξοδος ἡ ἐξέλευσις. ἐκφορὰ δὲ τοῦ νεκροῦ. Ἐπιπλήσσω. ἐνίσταμαι. ¶ Πεῖραν. πορείαν, ὁδόν. ¶ Ἀεὶ δ' ὑμνούμενα. ἀεὶ θρυλλούμενα ὑπὸ πάντων ἀνθρώπων καὶ κοινά. ἢ ἀεὶ ὑπ' αὐτοῦ λεγόμενα πρὸς ἐμέ. ὅμοιον δὲ τὸ ἦθος ἐκείνῳ. ἀλλ' εἰς οἶκον ἰοῦσα σαυτῆς ἔργα κόμιζε. ¶ Κἀγὼ μαθοῦσα. φοβηθεῖσα αὐτὸν οὐ διεκώλυσα.

ἐμαίετ' ἔγχος ἐξόδους ἕρπειν κενάς.
κἀγὼ 'πιπλήσσω, καὶ λέγω, τί χρῆμα δρᾷς
Αἴας; τί τήνδ' ἄκλητος, οὔθ' ὑπ' ἀγγέλων
κληθεὶς, ἀφορμᾷς πεῖραν, οὔτε του κλύων
σάλπιγγος, ἀλλὰ νῦν γε πᾶς εὕδει στρατός.
ὁ δ' εἶπε πρός με βαί', ἀεὶ δ' ὑμνούμενα,
,, γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει.
κἀγὼ μαθοῦσ', ἔληξ', ὁ δ' ἐσσύθη μόνος.
καὶ τὰς ἐκεῖ μὲν οὐκ ἔχω λέγειν πάθας.
εἴσω δ' ἐσῆλθε συνδέτους ἄγων ὁμοῦ
ταύρους, κύνας βοτῆρας, εὔκερών τ' ἄγραν.
καὶ τοὺς μὲν, ηὐχένιζε. τοὺς δ' ἄνω τρέπων,
ἔσφαζε, κἀρράχιζε. τοὺς δὲ δεσμίους
ᾐκίζεθ', ὥστε φῶτας ἐν ποίμναις πίτνων.
τέλος δ' ἀπαΐξας διὰ θυρῶν σκιᾷ τινὶ,
λόγους ἀνέσπα, τοὺς μὲν Ἀτρειδῶν κάτα,
τοὺς δ' ἀμφ' Ὀδυσσεῖ, συντιθεὶς γέλων πολὺν,
ὅσην κατ' αὐτῶν ὕβριν ἐκτίσαιτ' ἰών.
κἄπειτ' ἀπαΐξας αὖθις ἐς δόμους πάλιν,
ἔμφρων μόλις πως ξὺν χρόνῳ καθίσταται.
καὶ πλῆρες ἄτης ὡς διοπτεύει στέγος,
παίσας κάρα, θώυξεν. ἐν δ' ἐρειπίοις

¶ Καὶ τὰς ἐκεῖ μέν. ταῦτα μὲν ἀγνοεῖ ἡ Τέκμησσα λέγειν. ταῦτα δὲ προεῖπεν αὐτῷ ὁ ποιητής, καὶ ἐνοχλεῖν οὐ δεῖ τὸν θεατὴν ταυτολογοῦντα. ¶ Συνδέτους. τοὺς πόδας καὶ τὰς χεῖρας δεδεσμημένους. ¶ Κύνας βοτῆρας. τοὺς ποιμενικοὺς κύνας. οὐ γὰρ ἀναιρεῖ κατὰ τὴν σκηνὴν ἄνθρωπον. ἀλλ' ὡς ἔξω τινὰς ἀνεῖλεν. ¶ Ηὐχένιζε. τὸν τράχηλον ἀπέκοπτεν. ἐλαιμοτόμει. ¶ Ἔσφαζε, κἀρράχιζε. ὅπερ Ὅμηρος αὐερύειν φησίν. ὥστε κατὰ τοῦ λαιμοῦ γίνεσθαι τὴν σφαγήν. ¶ Ἠκίζεθ' ὥστε φῶτας. δῆλον ὅτι κύνας βοτῆρας. ¶ Τέλος δ' ὑπαΐξας. ἡ μὲν Τέκμησσα ἀγνοεῖ τίνι διείλεκται ἐκ τοῦ προλόγου. ὅτι Ἀθηνᾶ ἦν ἡ λαλήσασα αὐτῷ. τὸ δέ. ¶ Σκιᾷ τινι. ὅτι οὐ συνέβαλε τὰ περὶ τὴν θεὸν, καὶ ὅτι ἴδιον τοῖς μαινομένοις καὶ τοῖς ματαίοις λαλεῖν. ἀγνοοῦσα δὲ ὅτι ἡ Ἀθηνᾶ αὐτὸν ἐκάλεσε διὰ τοῦ ἐπαΐξας, τὴν ἔξοδον τῇ μανίᾳ ἀνατίθησι. ¶ Συντιθεὶς γέλων πολύν. τουτέστι, ῥήματα καταγέλαστα λέγων κατὰ τῶν κριῶν, ὡς κατὰ ἀνθρώπων ἐποιεῖτο τὴν κόλασιν. ¶ Ἔμφρων καθίσταται. ἀντὶ τοῦ ἐν καταστάσει φρονήσεως ἐγένετο. ¶ Μόλις σὺν χρόνῳ. ἤγουν σὺν βίᾳ. βραδέως. ¶ Καὶ πλῆρες ἄτης. οὐχ ὅτι ταῦτα ἀλγεινὸν τὸ ἀνελεῖν τὰ ποίμνια, ἀλλ' ὅτι διήμαρτε τῆς τιμωρίας τῶν ἐχθρῶν. Θώυξεν. ἐβόησε. ¶ Ἐν δ' ἐρειπίοις. τὸ ἑξῆς. ἐν δὲ τοῖς ἐρειπίοις τῶν νεκρῶν τῶν ἀρνείων φόνου ἐρειφθείς, ὅ ἐστιν, ἐν δὲ τοῖς πτώμασι τῶν νεκρῶν καταπεσὼν ἔκειτο. θαυμαστῶς

νεκρῶν ἐρειφθεὶς, ἕζετ' ἀρνείου φόνου,
κόμην ἀπρὶξ ὄνυξι συλλαβὼν χερί.
καὶ τὸν μὲν ἧστο πλεῖστον ἄφθογγος χρόνον.
ἔπειτ' ἐμοὶ τὰ δείν' ἐπηπείλησ' ἔπη,
εἰ μὴ φανοίην πᾶν τὸ συντυχὸν πάθος.
κἀνήρετ' ἐν τῷ, πράγματος κυρεῖ ποτέ.
κἀγὼ φίλη δείσασα τοὐξειργασμένον, φίλοι
ἔλεξα πᾶν ὅσον περ ἐξηπιστάμην.
ὁ δ' εὐθὺς ἐξῴμωξεν οἰμωγὰς λυγράς,
ἃς οὔποτ' αὐτοῦ πρόσθεν εἰσήκουσ' ἐγώ.
πρὸς γὰρ κακοῦ τε καὶ βαρυψύχου γόους
τοιούσδ' ἀεί ποτ' ἀνδρὸς ἐξηγεῖτ' ἔχειν.
ἀλλ' ἀψόφητος ὀξέων κωκυμάτων,
ὑπεστέναζε ταῦρος ὣς βρυχώμενος.
Νῦν δ' ἐν τοιᾷδε κείμενος κακῇ τύχῃ,
ἄσιτος ἀνὴρ, ἄποτος, ἐν μέσοις βοτοῖς
σιδηροκμῆσιν, ἥσυχος θακεῖ πεσών.
καὶ δῆλός ἐστιν ὥς τι δρασείων κακόν.

λεύω ὅτι ἤπτε τὰ πράγματα μεταξὺ τῶν σωμάτων τὴν φαντασίαν δεικνύς.
,, οἷον καὶ τὸ παρ' Ὁμήρῳ περὶ τοῦ Κύκλωπος, Τανυσσάμενος διὰ μήλων.
ΕΡΕΙΦΘΕΙΣ. ἀντὶ τοῦ καταπεσὼν ἐρριμμένος. πάντα γὰρ τὰ εἰς τὴν ἔραν πίπτοντα, ἐρείπια καλοῦνται, καὶ αἱ ῥιπαὶ ἐντεῦθεν ὡς τὰ ἐρείπια. τινὲς δὲ ἐρεισθεὶς γράφουσιν, οἷον ἐπερεισάμενος. ¶ Ἀπρίξ. ὅλῃ δυνάμει. ἰσχυρῶς. ἀσφαλῶς. προσπεφυκότως. ὁ οὐχ οἷόν τε πεῖσαι διὰ τὴν σύμφυσιν, ¶ Ἔπειτ' ἐμοί. οὐκ ἔχων τὸ βουλὴν τῆς αἰτίας τῶν πεπραγμένων, ἐμὲ ἠρώτα τὸ συμβάν. πάνυ δὲ περιπαθὲς, τὸ ἐμφανέστατον Αἴαντα παρὰ τῆς γυναικὸς πυνθάνεσθαι ἵνα ἐστὶ ἃ ἔπραξεν αὐτός. ¶ Κυρεῖ ποτέ. τὸ κυρῶ περισπωμένως φησὶν ἡ συνήθεια καὶ ἀττικοί. ἐν δὲ εὐκτικοῖς βαρύνουσιν αὐτὸ ἀττικοὶ μετ' ἐκτάσεως τοῦ υ. κύροι λέγοντες, ἀντὶ τοῦ κυροίη. νῦν δὲ ἀντὶ τοῦ κυρεῖ ὁριστικοῦ κεῖται. ¶ Ἐξῴμωξεν. ἐξάκουστον ᾤμωξεν. ¶ Ἃς οὔποτ' αὐτοῦ. οὐκ εἴωθε φησὶν ὁ Αἴας ἐν τοῖς κακοῖς ἀπολοφύρεσθαι. ἀλλ' ἦν καρτερικός. ἔλεγε γοῦν φησιν ἀεὶ, κακοῦ ἀνδρὸς τὸ ὀλοφύρεσθαι. ὁποῖόν φησι καὶ Ἡρα-
,, κλῆς ἐν Τραχινίαις, Ἀλλ' ἀστέ-
,, νακτος αἰὲν εἰπόμην κακοῖς.
ὁ οὖν Αἴας πρὸ τούτου εἰ συνέβη τι αὐτῷ δεινὸν, ὡς ταῦρος ἀνεβρυχᾶτο ἀνεξάκουστον. οὐδέποτε δὲ εἰς προφανῆ γόον ἐξέπιπτεν. ¶ Κακοῦ. δειλοῦ. βαρυψύχου. μικροψύχου. καταπεπτωκότος τὴν ψυχήν. οἱ λέγοντες δὲ τὸ βαρύψυχον, ἀντὶ τοῦ γενναίου, καὶ διὰ τοῦτο προστιθέντες τὸ οὐ. τἀληθὲς ἠγνοήκασι. βαρύψυχος γὰρ ὁ βαρεῖαν καὶ λιθώδη καὶ ἀκίνητον ἔχων ψυχὴν, ἀλλὰ μὴ πρὸς πόλεμον ὁρμητικὴν καὶ πρόθυμον.
Τοιούσδ' ἀεὶ ἤγουν, τοὺς γὰρ τοιούσδε γόους ἀεί ποτε ἡρμήνευεν εἶναι ἰδίους δηλονότι, ἀνδρὸς κακοῦ καὶ βαρυψύχου. ¶ Ἐξηγεῖτο. ἡρμήνευσεν. ἡ γὰρ ἐξήγησις ἐπὶ θείων. ἑρμηνεία ἐπὶ τῶν τυχόντων. ¶ Ἀψόφητος ὀξέων κωκυμάτων. ἤγουν ἄνευ ὀξέων κωκυμάτων. ὅμοιον τῷ, Ἄσκευος ἀσπίδων τε καὶ στρατοῦ. τὸ ὀξὺ ἐπὶ μὲν φωνῆς ἔχει ἐναντίον τὸ βαρὺ, ἐπὶ δὲ ὀφθαλμοῦ καὶ ξίφους τὸ ἀμβλύ. ἐπὶ δὲ χυμῶν τὸ γλυκύ. ¶ Βρυχώμενος. τὸ βρυχᾶσθαι κυρίως ἐπὶ τῆς φωνῆς λέγεται τῶν λεόντων. ¶ Σιδηροκμῆσιν. τοῖς σιδήρῳ φονευθεῖσιν. ὡς ἀνδροκμῆσιν. ¶ Δῆλός ἐστι προσεκτικὰ πρὸς τὸν ἀκροατὴν, ἵνα προσέ-

χει ἀκριβέστερον προσδοκῶν τὸ συμβησόμενον.

Τοιαῦτα γάρ πως. ἐοικότα κατά τινα τρόπον. ¶ Καὶ λέγει κωλύεται. τοῦ βούλεσθαι δρᾶσαι δηλονότι κακόν τι. ¶ Ἀλλ' ὦ φίλοι. τοῦτο πρὸς τὸ μέγεθος τῆς συμφορᾶς. πιθανὴν δὲ τὴν πρόφασιν τῆς ἐξόδου φησίν, ἵνα μὴ δόξῃ τὸν αἴαντα ἐν τοιαύτῃ συμφορᾷ καταλελοιπέναι. ¶ Ἐστάλην. κυρίως ἐπὶ θαλάσσης. οἷον, ἐστάλατο τὸν πλοῦν. ¶ Φίλων γὰρ οἱ τοιοίδε. οἱ τοιοίδε φίλοι ὁποῖοι ἐστὲ ὑμεῖς, νικῶνται φίλων. ἤγουν ἡττῶνται. ἡττᾶται δὲ ὁ ἐρῶν τινος, καὶ τὴν ἀγάπην εἰς αὐτὸν στρέφων, κρατεῖ δὲ ὁ ἐρώμενος. Ἄλλως. Φίλων γὰρ οἱ τοιοίδε. δηλονότι, καὶ οἱ κακοπραγοῦντες ἀπονέμουσιν αἰδῶ τινα τοῖς φίλοις. ἡ γὰρ Τέκμησσα ἅτε δὴ γυνὴ οὖσα καὶ αἰχμάλωτος, οὐχ οἵα τε αὐτὸν παραμυθεῖσθαι. ἀλλὰ τὸν χορὸν προτρέπεται εἰσιέναι. ἐπειδὴ δὲ ἄρτι τὸν χορὸν ἀπολιπεῖν τὴν σκηνήν, ἀναβοᾷ ἔνδοθεν ὁ αἴας, ἵνα μείνῃ τῆς χώρας ὁ χορός. τοῦτο γὰρ ἐπόθει θεατής. ¶ Διαπεφοιβάσθαι. ἐκμεμηνέναι. παρὰ τὸν φοῖβον. ἢ ἀπὸ τῶν φοιβωμένων καὶ ἐνθουσιώντων. καὶ γὰρ ἐκεῖνοι μανίᾳ τινὶ ὅμοιον πάσχουσί τι. ¶ Τάχ' ὡς ἔοικε. τάχα ὡς φαίνεται μᾶλλον στενάξει. ὡς νῦν αὐτοῦ μᾶλλον παροξυμένου ἢ πρότερον. εἶτα πρὸς τὸν χορὸν τὰ ἑξῆς. ἢ οὐκ ἠκούσατε αἴαντος οἵαν τήνδε θωΰσσει βοήν. ἐμφαντικῶς δὲ τὸ θωΰσσει. καὶ γὰρ δεῖ τὸν ὑποκειμένον τῷ τοῦ αἴαντος πρόσωπον, ἀπηνεστέρῳ χρήσασθαι τῷ φθέγματι, καὶ κυνικώτερον βαΰζειν. διὰ τοῦτο εἶπεν θωΰσσει. ¶ Ἀνὴρ ἔοικεν. ἢ ἐπὶ νοσῶν ἀναβοᾷ, ἢ μεταγνοὺς ἐπὶ τοῖς πεπραγμένοις ὑπὸ τοῦ παλαιοῦ νοσήματος.

τοιαῦτα γάρ πως καὶ λέγει κωλύεται.
ἀλλ' ὦ φίλοι, τούτων γὰρ οὕνεκ' ἐστάλην,
ἀρήξατ' εἰσελθόντες, εἰ δύνασθέ τι.
,, φίλων γὰρ οἱ τοιοίδε νικῶνται φίλοι.
Χο. Τέκμησσα δεινὰ παῖ Τελεύταντος λέγεις
ἡμῖν, τὸν ἄνδρα διαπεφοιβάσθαι κακοῖς.
αἰ. Ἰώ μοί μοι.
Τέ. τάχ' ὡς ἔοικε μᾶλλον, ἢ οὐκ ἠκούσατε
Αἴαντος, οἵαν τήνδε θωΰσσει βοήν;
αἰ. Ἰώ μοί μοι.
Χο. ἀνὴρ ἔοικεν ἢ νοσεῖν, ἢ τοῖς πάλαι
νοσήμασι ξυνοῦσι λυπεῖσθαι παρών.
αἰ. Ἰὼ παῖ, παῖ.
Τέ. Ὤμοι τάλαιν', Εὐρύσακες, ἀμφὶ σοὶ βοᾷ.
τί ποτε μενοινᾷ; ποῦ ποτ' εἶ; τάλαιν' ἐγώ.
αἰ. Τεῦκρον καλῶ. ποῦ Τεῦκρος; ἢ τὸν εἰσαεὶ

Ἰὼ παῖ παῖ. παρέλκει τὸ παῖ. ἡ δὲ Τέκμησσα ἐνόμισεν αὐτὸν τὸν παῖδα καλεῖν. Ἀμφὶ σοί. περὶ σοῦ. ¶ Ὤμοι τάλαιν'. ἀκρουσάσης τὸ ἦθος. τὸ μὲν ἀποιμώζει. τὸ δὲ καλεῖ τὸν παῖδα. εἶτα πρὸς ἑαυτὴν ἐπαπορεῖ. ¶ Τί ποτε μενοινᾷ. καὶ πάλιν καλεῖ τὸν παῖδα, καὶ ἑαυτὴν ἀπολοφύρεται. λεληθότως δὲ ἐνεφάνισε καὶ τὸ τοῦ παιδὸς ὄνομα. ἐδεδίει δὲ μὴ ἀνέλῃ αὐτὸν μαινόμενος. Ἄλλως. Τί ποτε μενοινᾷ. ἀντὶ τοῦ προθυμεῖ. πρὸς τὸν αἴαντα λέγει τοῦτο. ¶ Ποῦ ποτ' εἶ. πρὸς τὸν Εὐρυσάκην. ὁ γὰρ παιδαγωγὸς αὐτὸν ἔξω εἶχε. ¶ Τεῦκρον καλῶ. ποῦ Τεῦκρος; μεταβαίνει ὁ αἴας ἐπὶ τὰ πολλά, ἵνα δὴ πλείονες αἱ ἀγωνίαι γίγνωνται. Ἄλλως. ἴδιον τῶν κακῶς ἐχόντων,

τὸ μὴ ἐφ' ἓν τῶν λυπούντων περιεῖσθαι τὴν ἀναφοράν. ὁ δὲ ζητεῖ δὲ τεῦκρον ἵνα παραθῆται αὐτῷ τὸν παῖδα, ὃν ἀφίησι τῶν χερῶν μὴ εὑρὼν τὸν τεῦκρον. τὸ δὲ ἀπεῖναι τεῦκρον, χρήσιμον τῇ οἰκονομίᾳ. παρὼν γὰρ ἐκώλυσεν αὐτὸν πρᾶξαι ἃ ἐβούλετο. νῦν δὲ μόνης τῆς γυναικὸς ἐπέχετο κρείττων. ἄλλως. παῖ παῖ εἰπὼν μεταπίπτει εἰς ζήτησιν τοῦ τεύκρου ὑπὸ ἀμηχανίας ὥσπερ ὁ λειθεμένος ἐκείνου. ¶ Ἡ τὸν εἰσαεί. ἤγουν κατὰ τὸν ἑξῆς χρόνον πάντα, τὸ ἀεὶ λέγεται ὁ ἐνεστῶτος καὶ παρεληλυθότος καὶ μέλλοντος. τὸ δὲ εἰσαεὶ ὁ ἀεὶ μέλλοντος.

λεηλατήσει χρόνον; ἐγὼ δ' ἀπόλλυμαι.
Χο. ἁνήρ φρονεῖν ἔοικεν. ἀλλ' ἀνοίγετε.
τάχ' ἄν τιν' αἰδῶ κἀπ' ἐμοὶ βλέψας λάβοι.
Τέ. ἰδοὺ διοίγω, προσβλέπειν δ' ἔξεστί σοι
τὰ τοῦδε πράγη. καὐτὸς ὡς ἔχων κυρεῖ.
Αἴ. Ἰὼ φίλοι ναυβάται, μόνοι ἐμῶν φίλων,
μόνοι τ' ἐμμένοντες ὀρθῷ νόμῳ.
ἴδεσθέ μ' οἷον ἄρτι κῦμα
φοινίας ὑπὸ ζάλης
ἀμφίδρομον κυκλεῖται.
Χο. Οἴμ', ὡς ἔοικας ὀρθὰ μαρτυρεῖν ἄγαν.

ΛΕΗλατήσει. λείαν ἐλάσει. λαφυραγωγήσει. ληστεύσει. πορθήσει. ἁρπάσει. ¶ Ἀνὴρ φρονεῖν ἔοικεν. ἐκ τοῦ καλεῖν τὸν τεῦκρον στοχάζονται, καὶ ἀνοίγειν κελεύουσιν. ἵνα αἰδεσθείη θεασάμενος οἱ δὲ τάχ' ἂν αἰδεσθείη με. ἢ οἷον τάχ' ἂν ἐφ' ἡμῖν αἰδεσθῇ ἀπολιπὼν ἡμᾶς ἀνάρχους καὶ ὑποχειρίους τοῖς ἐχθροῖς. Διοίγω. ἀνοίγω. ℂ Προσβλέπειν δ' ἔξεστί σοι. ἐνταῦθα ἐγκυκλώματί τι γίνεται, ἵνα φανῇ ἐν μέσοις ὁ αἴας ποιμνίοις. εἰς ἔκπληξιν γὰρ φέρει τὸ ταῦτα τὸν θεατὴν τὰ ἐν τῇ ὄψει περιπαθέστερα. δείκνυται δὲ ξιφήρης ᾑματωμένος μεταξὺ τῶν ποιμνίων καθήμενος. ℂ Τὰ τοῦδε πράγη. τὰς πράξεις, ἃς οὗτος εἰργάσατο. ℂ Ὡς ἔχων κυρεῖ. τουτέστιν ὡς διάκειται. ℂ Ἰὼ φίλοι ναυβάται. τάχιστα τὸ πᾶν ἀπήγγειλε τῷ τροπικῷ. βούλεται δὲ σημᾶναι, ὅτι ὥσπερ ἐκ μεγάλου χειμῶνος ὑπὸ κινήσεως ἀνέμων κῦμα, τι ὑπολειφθὲν ἀπὸ τοῦ γενομένου χειμῶνος κυκλεῖ αὐτόν. μετὰ γὰρ τὸν χειμῶνα εἴωθε τὸ κῦμα ἔτι πλέον μένειν. λείπει δὲ τὸ ὡς, ἵν' ᾖ ὡς ἀμφίδρομον, οἷον τὸ πανταχόθεν περιεχόν. ἐξ οὗ τὴν ὑπερβολὴν τοῦ κακοῦ σημαίνει, ὅτι κατ' οὐδὲν αὐτῷ ἐν εὐδίᾳ ἦν τὰ πράγματα. ℂ Ὀρθῷ νόμῳ. ὀρθὸν νόμον τὸν τῆς φιλίας φησίν. νόμος ἐστὶν ἔγγραφος συνήθεια. συνήθεια δὲ ὁ ἄγγραφος νόμος. ℂ Ἀμφίδρομον. τὸ ἑλικοειδές, ὃ βαπτίζει τὰς ναῦς. ℂ Κυκλεῖται. στρέφεται. κυκλέω, κυκλῶ τὸ στρέφω. κυκλόω δὲ κυκλῶ τὸ περιλαμβάνω. ¶ Οἴμ' ὡς ἔοικας. ὁ χορός ἐστιν ὁ λέγων. οὐ γὰρ εὐπρεπὲς τὴν τέκμησσαν τὸν λόγον ὑφ' ἧς παίζειν λεγόμενον πρὸς τὸν χορόν. ἐν ταῖς γὰρ ἀμφιβολίαις τῶν προσώπων δεῖ τοῖς ἤθεσι στοχάζεσθαι καὶ διαστέλλειν τὸ πρόσωπον. ἔοικας οὖν φησιν, ὅτι ἐν μεγάλῳ χειμῶνι γέγονας. τὸ γὰρ ἀφροντίστως, οἷον διὰ τὸ μὴ δεῖσθαι ἔτι μεληθῆναί σου ἐν χειμῶνι γέγονας. ἢ οὕτω πρὸς τὴν τέκμησσαν ὁ λόγος. νομίζω σε ἀληθῆ μοι μεμαρτυρηκέναι περὶ τῆς μανίας τοῦ αἴαντος. οὕτως γὰρ τὸ πρᾶγμα δείκνυσιν ἡμῖν ὅτι μανικῶς διετέθη. τὸ δὲ ὡς καὶ τὸ ἄγαν ἐκ παραλλήλου.

κατήγορος

δηλοῖ δὲ τοὔργον ὡς ἀφροντίστως ἔχει.
αἰ. Ἰὼ γένος ναΐας ἀρωγὸν τέχνας,
ἅλιον ὃς ἐπέβας ἑλίσσων πλάταν.
Σέ τοι σέ τοι μόνον δέδορκα
ποιμένων ἐπαρκέσον-
τ', ἀλλά με συνδάιξον.
Χο. Εὔφημα φώνει, μὴ κακὸν κακῷ διδοὺς
ἄκος, πλέον τὸ πῆμα τῆς ἄτης τίθει.
αἰ. Ὁρᾷς τὸν θρασύν, τὸν εὐκάρδιον,
τὸν ἐν δαΐοις ἄτρεστον μάχαις,
ἐν ἀφόβοις με θηρσὶ δεινὸν χέρας;
Οἴμοι γέλωτος, οἷον ὑβρίσθην ἄρα.
Τε. Μὴ δέσποτ' Αἴας λίσσομαί σ' αὔδα τάδε.
αἰ. Οὐκ ἐκτός; οὐκ ἄψορρον ἐκνεμῇ πόδα;
αἶ, αἶ, αἶ.

κατήγορός ἐστι μάρτυς κακῶν. μάρτυς δὲ καὶ μαρτυρεῖν ἐπὶ καλοῦ. ἐνταῦθα δὲ τὸ μαρτυρεῖν ἐπὶ τοῦ ἁπλῶς λέγειν λαμβάνεται. ¶ Ἀφροντίστως. μανικῶς. ἀλόγως. χωρὶς λογισμοῦ. ¶ Ναΐας. τῆς ναυτικῆς. ἐπεὶ ναυτικοὶ δοκοῦσιν οἱ νησιῶται. ¶ Ἐπέβας. τῶν νεῶν δηλονότι. ¶ Ἑλίσσων πλάταν. κωπηλατῶν. εἴρηται δὲ παρὰ τὸ ἀμφελίσσειν. κωπηλατῶν δὲ ἀντὶ τοῦ κωπηλάτης, ἵν' ᾖ τὸ πᾶν ὃς κωπηλάτης ἐπέβης τῶν νεῶν. ¶ Ποιμένων. τῶν κηδεμόνων. τῶν βοηθῶν. ὡς καὶ ποιμένην τὸ φροντίζειν. ποιμενόντων καὶ θαλπόντων. τὴν αὐτήν οὖν μοι προαίρεσιν λάβε καὶ εὖξαι με ἀποθανεῖν. ἢ σφάζων με σὺν τοῖς θρέμμασιν. οὐ διὰ τὴν ἧτταν δὲ τῶν ὅπλων πικρὸς ὢν βούλεται ἀναιρεθῆναι. ἀλλὰ τὸ ὄνειδος ὑφορώμενος τῶν ποιμνίων. ἐν τούτῳ δὲ τὸ ἦθος, ἡ μεγαλοφροσύνη δείκνυται τοῦ αἴαντος. ¶ Ἐπαρκέσοντα. ὑπηρετήσοντα. ¶ Συνδάιξον. ὁμοῦ διαφθείρατε καὶ σφάζετε σὺν τοῖς θρέμμασι. ¶ Εὔφημα φώνει. τὸ ἑξῆς. μὴ κακὸν κακῷ διδοὺς ἄκος. μεῖζον ποίει τὸ τῆς ἄτης τὸ πῆμα. ἄτην δὲ τὴν μανίαν. πῆμα δὲ τὸν θάνατον, ὅ ἐστι χεῖρον τῆς μανίας. τοῦτο δέ φησιν, ἐπεὶ ὁ αἴας λέγει τῷ χορῷ, ἀλλὰ σύν με δάιξον. Ἄλλως. μὴ θεραπείαν κακοῦ ἕτερον κακὸν ἐπεισαγάγῃς, ἤγουν μὴ τῷ θανάτῳ διαλύσῃς τὸ ὄνειδος. πῆμα δὲ ἄτης κατὰ περίφρασιν τὴν ἄτην. μὴ τὴν ἄτην πλείονα ποιήσῃς. ἀρκεῖ γὰρ ἡ προτέρα. ¶ Εὐκάρδιον. ἤγουν τὸν ἀνδρεῖον. ¶ Ἐν ἀφόβοις με θηρσί. τοῖς μὴ φόβον ἐμποιοῦσι προβάτοις. ¶ Δεινόν. φοβερόν. ¶ Χέρας. κατὰ τὴν ἰσχύν. ¶ Οἷον ὑβρίσθην ἄρα. ὅτι οὐδὲν αὐτοῦ ἄλλο ἅπτεται ὡς τὸ τῆς ἀσχημοσύνης. ὅτι κατὰ τῶν μηδενὸς ἀξίων ἠνδρίζετο. ¶ Μὴ δέσποτ' αἴας. τοῦτο τεκμήσσης ἐστί, καὶ παρὰ μέρος γίνονται αἱ παραμυθίαι. διὰ τὸ τῶν φίλων εἶναι ἐν ταῖς τοιαύταις συμφοραῖς παραμυθουμένων. ἵνα ἐκεῖνος μὲν ἀπαράλειπτον ἔχῃ τὴν παραμυθίαν. οἱ δὲ ἐν μέρει τυγχάνωσιν ἀναπαύλης. ¶ Οὐκ ἐκτός; οὐκ ἄψορρον. πρὸς τὴν τέκμησσαν φησίν. ἐκείνοις μὲν γὰρ διαλέγεται αἴας δεόμενος αὐτῶν. ἐνταῦθα δὲ τῇ τεκμήσσῃ ἐπιπλήσσει. εἰώθασι μὲν γὰρ τοῖς ἐγγυτέρω παρρησιάζεσθαι. οὐχ ὡς αἰχμαλώτου ἐξουθενῶν. ἄψορρον δέ, ὀπισθόρμητον. Ἐκνεμῇ. ἐξάξεις. νέμω τὸ βόσκω ἢ δίδωμι ἢ διοικῶ ποιητικῶς. νέμομαι δὲ τὸ βόσκομαι, ἢ νέμεται τὴν ὕλην τὸ πῦρ. ἀπὸ τούτου καὶ νέμομαι τὸ πορεύομαι ποιητικῶς.

Ὦ πρὸς θεῶν. ὅτι ὁ χορὸς τῆς Τεκμήσσης σιωπησάσης διὰ τὴν ἐπιτίμησιν, οὐ μὴν πρὸς ταῦτα ἀποκρίνεται ὁ Αἴας, ἀλλ' ἀνοιμώζει πάλιν. ἔστι γὰρ καὶ τοῦτο ἴδιον τῶν καμνόντων, ὥστε μὴ ἀκολούθως φθέγγεσθαι. Ὕπεικε. ὑποτάσσου, μαλάσσου. Ἑλίκεσσι βουσί. ἕλικας τὰς περὶ τοὺς ἀκαρπεῖς ψέλλια ἢ ἐνώτια λέγουσι, καὶ ἑλικὸν ὕδωρ τὸ ἑλικοειδῆ ἔχον τὴν ῥεῦσιν, ἢ διαφυές. ἑλικῶπις καὶ ἑλικώψ, εὐόφθαλμος. Κλυτοῖς. κλυτὰ λέγει τὰ αἰπόλια, διὰ τὰς ἐν αὐτοῖς ταραχὰς καὶ φωνάς. Ἐρεμνόν. ἤγουν μέλαν. Ἐπ' ἐξειργασμένοις. ἐπιτετελεσμένοις, καὶ ἴασιν οὐκ ἔχουσι κατὰ τὸ Σιμωνίδου. τὸ γὰρ γεγενημένον οὐκ ἔτ' ἄρρεκτον ἔσται. Ταῦθ' ὅπως. ὅπως ταῦτα μὴ οὕτως σχοίη. οὐχ οὕτως διακεῖσθαι. Ἁπάντων κακῶν ὄργανον. ἀντὶ τοῦ πανοῦργε καὶ περίεργε. Κακοπινέστατον. τὸν πινόν, ποτὲ μὲν ἐπὶ τῆς ἰλέας, ποτὲ δὲ ἐπὶ τοῦ ἤθους. ἐνταῦθα οὖν τὸν κακοήθη, ἀντὶ τοῦ κολάκευμα, τρῖμμα, κακοῦργον. πινώδης γὰρ ὁ ἀδόκιμον τῇ γνώμῃ, καὶ οὐ καθαρόν, ἄλλοτε ἄλλα νοῶν. πίνα ὁ ῥύπος διὰ ἑνὸς ν, πίννα τὸ ὄστρεον διὰ δύο νν. Πολὺν γέλωτα. ὅτι μάλιστα αὐτοῦ ἅπτεται τὸ τῷ ἐχθρῷ καταγέλαστον εἶναι. Ξὺν τῷ θεῷ. κινδυνεύει εἰς ἐναντίον εἶναι τὸ διανόημα, ἐὰν νομίζωμεν φάσκειν τὸν χορόν, ὅτι θεοῖς ἀρέσκει γελᾶν ἐκεῖνον ἐφ' [illegible] σοι. τοῦτο γὰρ προτροπὴν μᾶλλον φέρει εἰς τὸν θάνατον αὐτῷ. ἀκουστέον οὖν οὕτως. οὐχ ὅτι θεῷ ἀρέσκει γελᾶν ἐκεῖνον, ἀλλ' ὅτι θεῶν βουλομένων καὶ τὰ κακὰ μεθίστανται εἰς τέρψιν. εἰκὸς οὖν καὶ ἡμῖν φησι βοηθοῦντος τοῦ θείου. ἢ οὕτως. θεὸς καὶ τὸ γελᾶν καὶ τὸ κλαίειν δίδωσι. πῶς οὖν σὺ ἔχεις καταγελᾶσαι Ὀδυσσεὺς αἴτιός σοι γενόμενος τῆς ἀτυχίας, ὅπου γε παρὰ θεῶν δίδοται. Ἴδοιμι νιν. τοῦ χοροῦ τὸν περὶ θεοῦ λόγον ἐμβαλλομένου, οὐκ ἐφίεται ὁ Αἴας, ἀλλ' ὑπὸ τῆς ἰδίας δυνάμεως ἐπαίρεται. φησὶν οὖν, ἴδοιμι αὐτόν, καίπερ οὕτως κακούμενος. δῆλον γὰρ ὅτι ἀμύνομαι εἰ καὶ θεοὶ συλλαμβάνουσιν αὐτῷ. Ἀτώμενος. ἄτης πεπληρωμένος. Μηδὲν μέγ' εἴπῃς. ὅμοιον καὶ τὸ ἐν Ἠλέκτρᾳ, Μηδὲν μέγ' ἀΰσῃς. ὅτι δὲ πρὸς τὸ, ἴδοιμι νιν, καίπερ ὧδ' ἀτώμενος.

Χο. ὦ πρὸς θεῶν ὕπεικε, καὶ φρόνησον εὖ.
Αἴ. ὢ δύσμορος, ὃς χερσὶ μὲν
μεθῆκα τοὺς ἀλάστορας,
ἐν δ' ἑλίκεσσι βουσὶ καὶ
κλυτοῖς πεσὼν αἰπολίοις,
ἐρεμνὸν αἷμ' ἔδευσα.
Χο. Τί δῆτ' ἂν ἀλγοίης ἐπ' ἐξειργασμένοις;
οὐ γὰρ γένοιτ' ἂν ταῦθ' ὅπως οὐχ ὧδ' ἔχειν.
Αἴ. Ἰὼ πάνθ' ὁρῶν, ἁπάντων τ' ἀεὶ
κακῶν ὄργανον τέκνον Λαρτίου,
κακοπινέστατόν τ' ἄλημα στρατοῦ.
ἦ που πολὺν γέλωθ' ὑφ' ἡδονῆς ἄγεις.
Χο. Ξὺν τῷ θεῷ πᾶς καὶ γελᾷ, κὠδύρεται.
Αἴ. Ἴδοιμι νιν, καίπερ ὧδ' ἀτώμενος.
Ἰώ μοι μοι.
Χο. Μηδὲν μέγ' εἴπῃς. οὐχ ὁρᾷς ἵν' εἶ κακοῦ;

Ω ΖΕΥ. αἱ τοιαῦται προσφωνήσεις οὐ διαλύουσι τὴν ὑπόθεσιν παραλαμβάνουσαι τὸ μέλλον, ἀλλὰ προσοχὴν ἐργάζονται τῷ θεατῇ προσδοκοῦντι πῶς τὸ δεινὸν ἀπαντήσειεν. ¶ Προγόνων. πρόγονοι, πατὴρ, πάππος, καὶ οἱ ἀνώτερω· ἀπόγονοι, υἱὸς, ἔγγονος, καὶ οἱ κατωτέρω· πρόγονοι καὶ οἱ ἀπὸ προτέρου γάμου γεγεννημένοι, ὧν ὁ πατὴρ ἢ ἡ μήτηρ εἰς δεύτερον ἦλθε γάμον. λέγονται δὲ πρόγονοι πρὸς τοὺς ἀπὸ τοῦ δευτέρου γάμου γεννωμένους. ἐπίγονοι δὲ λέγονται οἱ ἀπὸ τοῦ δευτέρου γάμου. ¶ Προπάτωρ. ἀρχηγὸς τοῦ γένους τοῦ Αἴαντος ὁ Ζεὺς, οὕτως. ὁ Αἰακὸς ἐλέγετο υἱὸς τοῦ Διὸς, ἐξ οὗ Πηλεὺς καὶ Τελαμὼν, ὧν Ἀχιλλεὺς καὶ Αἴας. ¶ Ἄλημα. πλάνη, καὶ παραλογιστικὸν πανούργημα. ἢ περίτριμμα, παρὰ τὸ λέπειν. ¶ Ὅταν κατεύχῃ. ἐπειδὴ τῇ παραμυθίας οὐκ ἠδυνήθη αὐτὸν μεταθεῖναι, δοκεῖ ἐκ τούτων αὐτὸν μεταθεῖναι. κἀμοὶ τὴν εὐχὴν ἀποθανεῖν. εὔχομαι δὲ τῷ θεῷ, καὶ εὔχομαι τῷ ἀνθρώπῳ, ὑπὲρ οὗ τὴν εὐχὴν ποιοῦμαι. κατεύχομαι δὲ τὸ καταρῶ. ¶ Ὡς ἐμοί. τουτέστιν ὡς ἐμοὶ φανότερον τοῦ ἡλίου. ἐμοὶ χρῆσθαι κεῖται. ἢ παρέλκει τὸ ὡς. λέγει δὲ σκότος ἐμὸν φάος, ὡς εἴ τις τὸν θάνατον σωτηρίαν νομίσειεν.

ὦ Ζεῦ προγόνων προπάτωρ,
πῶς ἂν τὸν αἱμυλώτατον,
ἐχθρὸν, ἄλημα, τούς τε δισ-
σάρχας ὀλέσας βασιλεῖς,
τέλος θάνοιμι καὐτός;
Τέ. Ὅταν κατεύχῃ ταῦθ', ὁμοῦ κἀμοὶ θανεῖν
εὔχου. τί γὰρ δεῖ ζῆν με, σοῦ τεθνηκότος;
Αἴ. Ἰὼ σκότος, ἐμὸν φάος, ἔρεβος ὦ φαεν-
νότατον ὡς ἐμοί,
ἕλεσθ' ἕλεσθέ μ' οἰκήτορα,
ἕλεσθέ μ'. οὔτε γὰρ θεῶν
γένος, οὔθ' ἁμερίων
ἔτ' ἄξιος βλέπειν τιν' εἰς
ὄνησιν ἀνθρώπων.
ἀλλά μ' ἁ Διὸς ἀλκίμα θεὸς,
ὀλέθριον αἰκίζει.
ποῖ τις οὖν φύγῃ;
ποῖ μολὼν μενῶ;
εἰ τὰ μὲν φθίνει φίλοι,
τοῖς δ' ὁμοῦ πέλας,

¶ Ἕλεσθε. ἕλοι, ἀντὶ τοῦ προτιμήσασθαι. καὶ εἵλετο νίκην τις, ἀντὶ τοῦ ἔλαβεν. ἐνταῦθα δὲ ἕλεσθε, ἀντὶ τοῦ ἀπολάβετε. ¶ Οὔτε γὰρ θεῶν γένος οὔτε ἀνθρώπων γένος ὁρᾶν ἔτι ἄξιόν μοι εἰς ὠφέλειαν. ἄριστον γοῦν ἐξιέναι τοῦ βίου. ὄνη υτως. εἰς ὄνησιν ἀνθρώπων. ὠφέλεια οὐκ εἰσί μοι οἱ ἄνθρωποι, οὔτε οἱ θεοί. τί οὖν ζῶ; ¶ Ἀλλά μ' ἁ δῖος. καὶ ταῦτα χρησίμως κατὰ τὸν χορὸν, ἵνα ἐπίστανται καὶ ὅθεν ἡ καταρχὴ τῆς μανίας. ἔδει γὰρ οὐ παρὰ ἄλλου μαθεῖν, ἢ παρ' ἐκείνου τοῦ πεπονθότος. συνίησι γὰρ πεπλανημένος ὑπὸ τῆς Ἀθηνᾶς. ἡ γὰρ Τέκμησσα τὸ ὅλον ἀγνοεῖ. ¶ Ὀλέθριον. μέχρι θανάτου, ἀντὶ τοῦ ὀλεθρίως. ¶ Αἰκίζει, ἀντὶ τοῦ αἰκίζεται, ἤγουν μαστίζει. ¶ Φύγη. γράφεται βάση. ¶ Ποῖ μολών. ποῖ ἐλθὼν παραμένω. πανταχοῦ γὰρ ἔπεται ἡ θεὸς αἰκιζομένη. ¶ Εἰ τὰ μὲν φθίνει. ἤγουν ἡ ἐμὴ εὐτυχία φθείρεται διὰ τὴν κρίσιν τῶν ὅπλων.

Μωραῖς δ' ἄγραις. διὰ τὴν ἀναίρεσιν τῶν βοτῶν, ἃ λαβὼν μωρῶς διεχρήσατο. ¶ Δίπαλτος. ἀμφοτέραις ταῖς χερσὶν, οἷον περιδεξίως με φονεύοι, παντὶ σθένει, ὡς Δίδυμος. ἢ ὁ στρατὸς με φονεύοι λαβὼν τὰ δίπαλτα δόρατα, ὡς Πίνδαρος φησὶ, ἀπὸ τοῦ πάλλω, ἀφ' οὗ ἐν ἄλλοις οὗτος παλτὸν λέγει πῦρ τὸν κεραυνὸν, ὡς ἄνωθεν παλλόμενον. ¶ Χειρὶ φονεύοι. τὴν ἀπὸ τῶν ἐχθρῶν ἐπιβουλὴν περιβάλλεται. ¶ Τοιάδ' ἄνδρα. οὐκ ἂν ἔτλη γενναιότατος ὤν. Ἄνδρα χρήσιμον. χρήσιμον τὸ ἐπιτήδειον εἰς χρείαν, ἤγουν τὸ συντελοῦν εἴς τι. θέλει οὖν ἐνταῦθα δεῖξαι, ὅτι ἀσυντελὲς φονεῖν τοιόνδε ἄνδρα ὃ οὐδὲ Ἕκτωρ πρότερον ὑπέμενεν ἂν φονῆσαι. Πόροι. ποταμοί. ¶ Ἁλίρροθοι. εἰς θάλασσαν ῥέοντες μὲν ἤγουν. οὐ τοὺς ἐν Σαλαμῖνι δέ φησιν, ἀλλὰ τοὺς ἐν Τροίᾳ. Πάραλα. ἤγουν παράλια. τουτέστι παραθαλάσσια. ¶ Καὶ νέμος ἐπάκτιον. τὸ ἄλσος τὸ ὄροις ἐπὶ Ἴδης τὸ παράλιον.

Μωραῖς δ' ἄγραις προσκείμεθα.
Πᾶς δὲ στρατὸς δίπαλτος ἄν με
χειρὶ φονεύοι.
Τέ. ὢ δυστάλαινα, τοιόνδ' ἄνδρα χρήσιμον
φωνεῖν, ἃ πρόσθεν οὗτος οὐκ ἔτλη ποτ' ἄν.
Αἴ. Πόροι ἁλίρροθοι, πάραλά τ' ἄντρα, καὶ
νέμος ἐπάκτιον,
πολὺν πολύν με δαρόν τε δὴ
κατείχετ' ἀμφὶ Τροίαν
χρόνον, ἀλλ' οὐκέτι μ' οὐκέτι
ἀμπνοὰς ἔχοντα.
τοῦτό τις φρονῶν ἴστω.
Ἰὼ Σκαμάνδριοι γείτονες ῥοαί,
εὔφρονες Ἀργείοις,
οὐκέτ' ἄνδρα με
τόνδ' ἴδητ', ἔπος

ἀκτὴ δὲ ὁ κρημνώδης τόπος ἐν θαλάσσῃ. αἰγιαλὸς δὲ ὁ ἐπίπεδος καὶ ὁμαλός. Κατείχετε. εἴχετε. κατέχειν γὰρ λέγεται τὸ κρατεῖν, καὶ ἔχει τὸ ἐναντίον τὸ ἀπολύειν. ¶ Ἀλλ' οὐκ ἔτι. ἕξετε δηλονότι. ¶ Ἀμπνοὰς ἔχοντα. ἤγουν ζῶντα. Ἴστω. ὅτι οὐκ ἔχω ἔτι ζῆν. ¶ Ἰὼ Σκαμάνδριοι. οὐκ ἔστιν ἡ διαστολὴ πρὸς τὰς ῥοάς, ὡς τοῦ Σκαμάνδρου μᾶλλον τὰ τῶν Ἑλλήνων αἱρουμένου. ἀλλ' οἷον ἐμοὶ ἐχθραὶ ῥοαί. εὔφρονες δὲ τοῖς Ἀργείοις τοῖς ἐμοῖς ἐχθροῖς. ταῦτα δὲ πάντα ἐστὶ τοῦ ἀνακρουομένου τὸν θάνατον. εὔφρονες Ἀργείοις, διὰ τὸ ποτόν. ἔμφρων μὲν γὰρ ὁ φρόνιμος. εὔφρων δὲ, ὁ ἡδὺς καὶ εὐφραντικός. ¶ Οὐκ ἔτ' ἄνδρα. οὐ νεμεσητὸν τῷ Αἴαντι μεγαλαυχεῖσθαι. ὅταν μὲν γάρ τις ἐν μετρίᾳ διαγωγῇ ᾖ, τότε εὔσχημον περιστέλλειν τὰ ἑαυτοῦ πλεονεκτήματα. ἀποθνήσκοντα δὲ ἄνδρα οὐκ ἄν τις μέμψαιτο, εἰ μεγαλαυχεῖται. ὁποῖα καὶ ὁ Ἡρακλῆς ἐν τῷ τέλει ὢν περὶ τῆς ἀνδρείας αὐτοῦ διέξεισι. καὶ γίνεται ἐπίτασις τοῦ πάθους, ὁπόταν τὸ φρούριον διαφθείρηται. ἔτι δὲ αὔξεται τὸ πάθος οὐχ ὑπὸ ἄλλου λεγόμενον, ἀλλ' ὑπὸ αὐτοῦ.

ἐξερέω

ΕΞΕΡΕΩ μέγα. ἤγουν κόμπασμα. ¶ Οὔ τινα. οὐδένα ἄλλον δηλονότι εἶδεν ἀπὸ στρατοῦ. ¶ Πρόκειμαι. προκείμενός εἰμι εἰς ὄψιν πάντων δηλονότι.

Ο ὔ τοι σ' ἀπείργειν. ὁ χορός ἐστιν ὁ λέγων. ἐνδίδωσι γὰρ τῷ χορῷ κάμνοντι ὅπερ ἐστὶν εἶδος παραμυθίας. ἡ τέκμησα γὰρ οὐκ ἐπῄει. ἀπείργων τινὰ βουλόμενον ἐνεργεῖν τι. ἀνείργων δὲ τὸν ἀρξάμενον καὶ ὁπονοῦν τοῦ ἔργου ἀνύσαντα. ¶ Εχω. ἀντὶ τοῦ δύναμαι. ¶ Αἰαῖ. ἐντεῦθεν μακρὰν ῥῆσιν μηκύνει ὁ αἴας. ἔστι δὲ καὶ γὰρ ἀρχαιότροπον τὸ πρὸς τὰς ὀνομασίας ἐκφέρειν τὰς συμφοράς. καλῶς μὲν οὖν πρὸ τούτων οὐκ ἂν ἐμέμνητο τοῦ διανοήματος, ἐν συμφορᾷ δ' ὤν.

ἐξερῶ μέγ', οἷον οὔ τινα
Τροία στρατοῦ
δέρχθη, χθονὸς μολόντ' ἀπὸ
ἑλλανίδος. τανῦν δ' ἄτιμος
ὧδε πρόκειμαι.

Χο. Οὔ τοι σ' ἀπείργειν, οὐδ' ὅπως ἐῶ λέγειν
ἔχω, κακοῖς τοιοῖσδε συμπεπτωκότα.

Αἴ. αἰαῖ, τίς ἄν ποτ' ᾤεθ' ὧδ' ἐπώνυμον
τοὐμὸν ξυνοίσειν ὄνομα τοῖς ἐμοῖς κακοῖς,
Νῦν γὰρ πάρεστι καὶ δὶς αἰάζειν ἐμοί,
καὶ τρίς. τοιούτοις γὰρ κακοῖς ἐντυγχάνω.
ὅτου πατὴρ μὲν τῆσδ' ἀπ' Ἰδαίας χθονὸς,
τὰ πρῶτα καλλιστεῖ' ἀριστεύσας στρατοῦ,
πρὸς οἶκον ἦλθε πᾶσαν εὔκλειαν φέρων.
Ἐγὼ δ' ὁ κείνου παῖς, τὸν αὐτὸν εἰς τόπον
Τροίας ἐπελθὼν οὐκ ἐλάσσονι σθένει,
οὐδ' ἔργα μείω χειρὸς ἀρκέσας ἐμῆς,
ἄτιμος ἀργείοισιν ὧδ' ἀπόλλυμαι.
Καί τοι τοσοῦτόν γ' ἐξεπίστασθαι δοκῶ,
εἰ ζῶν ἀχιλλεὺς τῶν ὅπλων τῶν, ὧν πέρι

¶ Ἐπώνυμον. συνῳδὸν ἔσεσθαι καὶ ἐπώνυμον τοῖς ἐμοῖς κακοῖς. ἔπλεξε δὲ τὸ ὄνομα παρὰ τὸ αἰαῖ, τὸ θρηνητικόν. ¶ Ξυνοίσειν. ξυνδραμεῖν καὶ συνενεχθῆναι καὶ εἰς ταυτὸν ἐλθεῖν.

¶ Εντυγχάνω. περιπίπτω. περιτυγχάνω. ¶ Οτου πατήρ. περιπαθῶς τὰ τοῦ πατρὸς κατορθώματα παραλαμβάνει. οὐκ ἐλάσσονα γὰρ τοῦ πατρὸς ποιήσας ἄτιμος ἐλαύνομαι. ὅτου δέ, ὅς τινος.

¶ Ιδαίας. Ἰδαία ἡ πάλαι ἡ Τροία ἐκαλεῖτο, ἀπὸ τῆς ἴδης τοῦ ὄρους. ¶ Τὰ πρῶτα καλλιστεῖα. ὅτι εἴληφε τὴν Ἡσιόνην παρὰ τοῦ Ἡρακλέους. πρεσβεῖον μὲν ἡ διὰ γῆρας προτίμησις, καὶ τὸ δὲ αὐτὸ διδόμενον γέρας κατὰ προτίμησιν. ἀριστεῖον δέ, τὸ ἕνεκα ἀριστείας γέρας. καλλιστεῖον τὸ ἐκλεκτὸν τινὶ γέρας. πρωτεῖα τὰ τῆς πρώτης τάξεως γέρα. δευτερεῖα τὰ τῆς δευτέρας. ¶ Οὐδ' ἔργα μείω. πιθανῶς τὸ μὴ εἰπεῖν πλείονα τοῦ πατρὸς κακοπαθῆσαι. ἀλλὰ μὴ ἐλάττονα. ¶ Ἀρκέσας. δείξας. βοηθήσας. ποιήσας. λείπει δὲ ἡ διά, ἵν' ᾖ δι' ἐμῆς χειρός. ¶ Ἄτιμος ἀργείοισιν. ἀντὶ τοῦ, ὑπὸ ἀργείων. ἢ ἀρκέσας, ἀργείοις ἄτιμος ὢν ἀπόλλυμαι.

Καί τοι τοσοῦτόν γε. ἀντὶ τοῦ γάρ. ¶ Εξεπίστασθαι δοκῶ. γινώσκειν νομίζω.

Εἰ ζῶν Ἀχιλλεύς. χάριεν τὸ διανόημα, ἐπεξιὼν δὲ τὰς ἑαυτοῦ συμφορὰς κα-

τα λέγει. πρῶτον τὰ κατὰ τὴν ἀδικίαν τῆς κρίσεως. τοῦτο γὰρ ἐστὶ τὸ πρῶτον αὐτὸν λελυπηκός. εἰπὼν δὲ τὰ ἴδια κατορθώματα, διεξῆλθε καὶ ὡς συγγενικὴ αὐτοῦ ἡ πρὸς τὸ χωρεῖον ἀνδραγαθία. ℭ Τῶν ὤμ. τῶν ἑαυτοῦ. ¶ ΚΡΙΝΕΙΝ ἔμελλε κράτος. ἀντὶ τοῦ μὴ κρίσεως διδόναι τινὶ κράτος ἀριστείας. ἤγουν ἔμελλε κρίνειν τίς ὁ κρατῶν ἐστὶ διὰ τὰς αὐτοῦ ἀνδραγαθίας. οὐδεὶς ἄλλος κατεῖχεν ἂν ταῦτα πρὸ ἐμοῦ ἐν ταῖς ἀριστείαις. ¶ Ἔπραξαν. ἤγουν ἐνδρήσαντες ἔδωκαν. ¶ Κράτη. νίκην. ℭ Φρένες διάστροφοι. ἤγουν παράφοροι. ℭ Ἀπῇξαν. ἀντὶ τοῦ ἀπήγαγον. ἀπῇξαν δέ, ἀντὶ τοῦ ἐκώλυσαν. Ἐψήφισαν. ἐψηφίσαντο. ψηφίζω τὸ λογαριάζω. ψηφίζομαι δέ, τὸ ψήφους τίθημι. Ἔσφηλεν. σφαλῆναι ἐποίησεν. ¶ Παντουργῷ. πάντα πράττοντι, καὶ μηδὲν ὑπεσταλμένῳ, πανούργῳ ὄντι ἀναιδεῖ. ¶ Ἀνδρὸς τοῦδε. δεικτικῶς ἀντὶ τοῦ ἐμοῦ. ¶ Γνώμης ἀπῇξαν τῆς ἐμῆς. οἷον εἰ μὴ διὰ ἔκστασιν τοῦ λέοντος διέπεσον αἱ διάνοιαί μου, οὐκ ἄν ποτε ἄλλου οὕτως ἀδίκως κατεψηφίσαντο, ὡς ὄντι παρ' Ὁμήρῳ, ,, Ἡ γὰρ ἂν Ἀτρείδη νῦν ὕστατα λωβήσαιο. ¶ Γοργῶπις. ὀξυωποῦσα. ℭ Ἀδάμαστος θεά. παρθένος, ἄζυγος. ℭ Λυσσώδη. ἀντὶ τοῦ μανικὴν νόσον. λύσσα γὰρ εἶδος μανίας. ¶ Ἐμοῦ μὲν οὐχ ἑκόντος. γράφεται οὐκ ἔχοντος. τὸ ἔγκλημα τῆς φυγῆς αὐτῶν. πάνυ δὲ γενναίως ἐμμένει τῷ λήματι. τὸ γὰρ ἐφ' ἑαυτῷ ἀνῃρηκέναι φησὶ τοὺς Ἕλληνας, ὃν ἡττῆσθαι οὐχ ὑπ' ἐκείνων, ἀλλὰ διὰ τὴν ἐπήρειαν τῆς θεοῦ. ℭ Φύγοι γ' ἄν. φεύγει τις διωκόμενος ὑπό τινος. φεύγει φυγαδευόμενος καὶ ἐξοριζόμενος, καὶ φεύγει κατηγορούμενος. ἐξέφυγε δέ, ἀντὶ τοῦ ἐξελύσατο ἑαυτόν. διαφεύγει δέ τι, ὅταν παραδράμῃ διωκόμενον. ἢ ὅταν παροραθῇ λαθόν. ἢ ὅταν κρατηθὲν διολισθήσῃ. ℭ Θεοῖς ἐχθαίρομαι. διὰ τὸ πεπλανῆσθαι ὑπὸ τῆς θεοῦ. ἀπὸ τοῦ ἔχθω τὸ μισῶ, ἔχθος τὸ μῖσος. καὶ ἐχθαίρω, τὸ μισῶ. καὶ ἐχθαίρομαι, τὸ μισοῦμαι.

κρίνειν ἔμελλε κράτος ἀριστείας τινί,  
οὐκ ἄν τις αὔτ' ἔμαρψεν ἄλλος ἀντ' ἐμοῦ.  
Νῦν δ' αὖτ' Ἀτρεῖδαι φωτὶ παντουργῷ φρένας  
ἔπραξαν, ἀνδρὸς τοῦδ' ἀπώσαντες κράτη.  
Κεἰ μὴ τόδ' ὄμμα καὶ φρένες διάστροφοι  
ἢ γνώμης ἀπῇξαν τῆς ἐμῆς, οὐκ ἄν ποτε  
δίκην κατ' ἄλλου φωτὸς ὧδ' ἐψήφισαν.  
Νῦν δ' ἡ Διὸς γοργῶπις ἀδάμαστος θεά,  
ἤδη μ' ἐπ' αὐτοῖς χεῖρ' ἐπευθύνοντ' ἐμὴν  
ἔσφηλεν, ἐμβαλοῦσα λυσσώδη νόσον,  
ὥστ' ἐν τοιοῖσδε χεῖρας αἱμάξαι βοτοῖς.  
κεῖνοι δ' ἐπεγγελῶσιν ἐκπεφευγότες,  
,, ἐμοῦ μὲν οὐχ ἑκόντος. εἰ δέ τις θεῶν  
,, βλάπτοι, φύγοι γ' ἂν χὡ κακὸς τὸν κρείσσονα.  
Καὶ νῦν τί χρὴ δρᾶν, ὅστις ἐμφανῶς θεοῖς (ναι.  
ἐχθαίρομαι; μισεῖ δέ μ' Ἑλλήνων στρατός.

ΝΑΥΛΟΧΟΥΣ ἕδρας. τὸν ναύσταθμον, ἔνθα αἱ νῆες ἵστανται κατὰ λόχον. τουτέστι κατὰ τάξιν. καὶ ἀπὸ τούτου ναύλοχοι ἕδραι, ἤγουν ναυτικαί. ¶ Περῶ. ἀντὶ τοῦ περάσω. ¶ Καὶ ποῖον ὄμμα. αἰσχύνεται ἄνευ ἀριστείων φανῆναι τῷ πατρὶ, καὶ φυγὰς ἀκούειν. δαιμονίως δὲ ἀνθυπαλγεῖ αὐτῷ καὶ τὰ τῆς ἀπαλλαγῆς. καὶ τοῦτο ἀναλύει, ἵνα μὴ λυθῇ ἡ ὑπόθεσις. ¶ Γυμνὸν φανέντα. ἀντὶ τοῦ ἔρημον. μεγαλοφυῶς δὲ οἴεται ἑαυτὸν τὸ πᾶν εἶναι. τὸ δὲ γυμνὸν καὶ τὸ ἄτερ ἐκ παραλλήλου, ἀντὶ τοῦ μεμονωμένον καὶ κεχωρισμένον διὰ ἀριστείας ἤγουν τῶν ἕνεκα τῆς ἀριστείας γερῶν. ¶ Πρὸς ἔρυμα. πρὸς τὸ τεῖχος. ἢ πολίχνιον. ἔρυμα γὰρ, καὶ φρούριον, καὶ πολίχνιον, ταὐτόν. ¶ Ξυμπεσών. συμπεσεῖν τὸ συνελθεῖν εἰς μάχην. προσπεσεῖν τὸ ἐξαίφνης μὴ εἰδότα τινὰ ἀποκτεῖναι. ¶ Ἀλλ' ὧδέ γ' Ἀτρείδας. ἀλλ' εὐφρανθήσονται οἱ Ἀτρεῖδαι ἐὰν τι γενναῖον δράσας πρὸς τοὺς Τρῶας ἀποθάνω, ἀγνοοῦντες ὅτι ἑκουσίως γέγονέ μοι ὁ θάνατος. καλῶς δ' οὐκ ἐπήνεγκε τὴν ἀληθῆ δόξαν, ἕως ἂν δράσῃ ἅπερ αὐτὸς ὑπονοεῖ. ¶ Οὐκ ἔστι ταῦτα. οὐδέν εἰσι ταῦτα, ἤγουν οὐδὲ τὸ μὴ τὰς ἕδρας τὰς ναυλόχους λιπεῖν ἀπιέναι πρὸς τὸν πατέρα, οὔτε μὴ εἰς μάχην συνελθεῖν, εἶτα τελευταῖον ἀποθανεῖν. ¶ Μή τοι φύσιν γ' ἄσπλαγχνος. τουτέστιν ὁ ἀσθενὴς καὶ ἀλλοῖος παρὰ τὴν τοῦ πατρός. ἄσπλαγχνος ἐστὶν, ἄτολμος, ταπεινὸς, δειλὸς, ψυχρός. σπλαγχνὶς γὰρ ἡ καρδία. ἀφ' οὗ καὶ εὔσπλαγχνος ὁ εὐκάρδιος καὶ ἀνδρεῖος. ἄσπλαγχνος ἐστὶν ὁ ἀκάρδιος καὶ δειλός. ¶ Τοῦ μακροῦ χρῄζει βίου. διὰ ὅτι πολὺ ἐκτεινομένης ζωῆς. αἰσχροῦ δὲ εἴδη δ΄. ἄδικον. δειλόν. ἄκοσμον. ἄμορφον. ¶ Ἐξαλλάσσεται. ὅστις διαλλαγὴν οὐ δέχεται, ἀεὶ ἐν κακοῖς ἐξετάζεται. ¶ Τί γὰρ παρ' ἦμαρ. τί γὰρ ἡμέρα μία ἔχει προσθεῖσα τὸ ζῆν καὶ ἀναβαλλομένη τοῦ θανεῖν τέρπειν τὸν ἄνθρωπον; Ἄλλως. τί γὰρ ἔχει τέρπειν ἡμέρα προσθεῖσα ἑαυτὴν δηλονότι παρ' ἦμαρ, ἤγουν προστεθεῖσα ἐπ' ἤματι, καὶ ἀνεθεῖσα τοῦ κατθανεῖν, ἤγουν ἀπολυθεῖσα καὶ ἐλευθερωθεῖσα τοῦ θανάτου.

Ἐχθεῖ δὲ Τροία πᾶσα, καὶ πεδία τάδε.
πότερα πρὸς οἴκους, ναυλόχους λιπὼν ἕδρας,
μόνους τ' Ἀτρείδας, πέλαγος Αἰγαῖον περῶ;
καὶ ποῖον ὄμμα πατρὶ δηλώσω φανεὶς
Τελαμῶνι; πῶς με τλήσεταί ποτ' εἰσιδεῖν
γυμνὸν φανέντα τῶν ἀριστείων ἄτερ,
ὧν αὐτὸς ἔσχε στέφανον εὐκλείας μέγαν;
Οὐκ ἔστι τοὔργον τλητόν, ἀλλὰ δῆθ' ἰὼν
πρὸς ἔρυμα Τρώων, ξυμπεσὼν μόνος μόνοις,
καὶ δρῶν τι χρηστὸν, εἶτα λοίσθιον θάνω;
ἀλλ' ὧδέ γ' Ἀτρείδας ἂν εὐφράναιμί που.
οὐκ ἔστι ταῦτα. πεῖρά τις ζητητέα
τοιάδ', ἀφ' ἧς γέροντι δηλώσω πατρὶ,
μή τοι φύσιν γ' ἄσπλαγχνος ἐκ κείνου γεγώς.
ͻͻ Αἰσχρὸν γὰρ ἄνδρα τοῦ μακροῦ χρῄζειν βίου,
ͻͻ Κακοῖσιν ὅστις μηδὲν ἐξαλλάσσεται.
ͻͻ Τί γὰρ παρ' ἦμαρ ἡμέρα τέρπειν ἔχει

Θερμαίνεται. χλιαίνεται. θάλπεται. τὸ δὲ τοιοῦτον διαπατᾷ ἑαυτὸν ἐν ψευδολογίᾳ διάγοντα. Ἄλλως. θερμαίνεται, ἤγουν θαρρεῖ, καθὸ λέγεται θάλπων τῷ Ὁμήρῳ τὸ θάρσος κατ' ἐναντιότητα τοῦ δέους, ὃ ψυχρὸν αὐτὸς λέγει, ψυχρὸν δέος εἷλε. Τὸν εὐγενῆ. τὸν μεγαλοπρεπῆ καὶ γενναῖον. εὐγενεῖς δὲ, ὧν ἡ πατρὶς περιφανὴς καὶ τὸ γένος. καὶ ἀπὸ τούτου κατὰ μεταφορὰν καὶ εὐγενὴς ὁ μεγαλοπρεπὴς καὶ γενναῖος. καὶ εὐγενὲς ἦθος τὸ ἀστεῖον καὶ πεπαιδευμένον καὶ ὄγκον ἔχων. καὶ εὐγενὴς ψυχή. καὶ εὐγενὴς λόγος.

,, Προσθεῖσα, κἀναθεῖσα, τοῦ κατθανεῖν;
,, Οὐκ ἂν πριαίμην οὐδενὸς λόγου βροτὸν,
,, Ὅστις κεναῖσιν ἐλπίσιν θερμαίνεται.
,, Ἀλλ' ἢ καλῶς ζῆν, ἢ καλῶς τεθνηκέναι
,, Τὸν εὐγενῆ χρή. πάντ' ἀκήκοας λόγον.
Χο. Οὐδεὶς ἐρεῖ ποθ' ὡς ὑπόβλητον λόγον
Αἴας ἔλεξας, ἀλλὰ τῆς σαυτοῦ φρενός.
παῦσαί γε μέντοι, καὶ δὸς ἀνδράσιν φίλοις
γνώμης κρατῆσαι, τάσδε φροντίδας μεθείς.
Τε. Ὦ δέσποτ' Αἴας, τῆς ἀναγκαίας τύχης
,, Οὐκ ἔστιν οὐδὲν μεῖζον ἀνθρώποις κακόν.
Ἐγὼ δ' ἐλευθέρου μὲν ἐξέφυν πατρὸς,
εἴπερ τινὸς σθένοντος ἐν πλούτῳ Φρυγῶν.
Νῦν δ' εἰμὶ δούλη. θεοῖς γὰρ ὧδ' ἔδοξέ που,
καὶ σῇ μάλιστα χειρί. τοιγαροῦν ἐπεὶ
τὸ σὸν λέχος ξυνῆλθον, εὖ φρονῶ τὰ σά,

Ἀλλ' ἢ καλῶς ζῆν. φιλόσοφος τὸ καλὸν ἐν ἀμφοτέροις. ¶ Ὡς ὑπόβλητον λόγον. ὑποβολιμαῖον, νόθον. γνήσια δὲ τῆς διανοίας τὰ εἰρημένα καὶ οὐχ ὑπόβλητα. οἰκεῖα τῶν σαυτοῦ εἶπας. ὅμως μέντοι παῦσαι, τὸ πᾶν ἀναθεὶς ἡμῖν.

Ὦ δέσποτ' Αἴας. Τεκμήσσης ὁ λόγος. οὐ γὰρ δεῖ τὸν χορὸν μηκύνειν τὸν λόγον. μικρὸς δὲ ὁ λόγος. τὸ μὲν γὰρ αὐτοῦ γενναῖον καὶ ἐλευθέριον διὰ τὴν παρρησίαν τῆς φύσεως. δούλη γὰρ ἐξ ἀνάγκης γέγονε. τὸ δὲ συναρμόζον τοῖς καιροῖς. δηλοῖ τὴν φιλοστοργίαν ἐμφαῖνον. καὶ ὅταν τὰ ἑαυτῆς καταβάλῃ τεχνικῶς ἐπιχειρεῖ μαλθακώτερόν πως καθιστῶσα τὸν Αἴαντα. δεῖ τῶν αὐτῆς ἐπιστῆσαι τοὺς λόγους, ὅτι διὰ τὴν ἐλευθερίαν παρρησιάζεται. ℂ Τῆς ἀναγκαίας τύχης. τῆς δυστυχίας. τεχνικὸς ὁ λόγος ἐκ προοιμίου, καὶ εἰς ἔλεον ἱκανὸς ἐπισπᾶσθαι. ἁπλῶς δέ φησι τὸ ἀναγκαῖον. ποτὲ μὲν ἐπὶ τῶν κατὰ φύσιν ἀκολουθίαν τινὰ ἐχόντων. ὡς ἂν εἴποιμεν ἀναγκαίως τὸ πῦρ θερμόν, καὶ τὸ γάλα λευκόν. ποτὲ δὲ ὡς ἐπὶ τοῦ ἐξ ἀνάγκης γινομένου, ὡς καὶ νῦν ἀναγκαίας τύχης τοῦ βίου φησί. ¶ Σθένοντος ἐν πλούτῳ, εἴπερ τινὸς τῶν Φρυγῶν, ἀντὶ τοῦ, ὡς οὐκ ἄλλου τινός. ℂ Θεοῖς γὰρ ὧδ' ἔδοξέ που. συνίζησις. τὸ δὲ που περισσόν. ℂ Καὶ σῇ μάλιστα χειρί. τῇ αἰχμαλωτισάσῃ με. ¶ Εὖ φρονῶ τὰ σά. εὔνους σοὶ καθίσταμαι. εὖ νοῶ τοῖς σοῖς. τὸ φρονῶ αἰτιατικῇ συντάσσεται καὶ τὸ εὖ φρονῶ, ἐπὶ διαλελυμένον ἐστί, τὸ δὲ εὐφρονῶ δοτικῇ ἐνίοτε καὶ αἰτιατικῇ.

ΚΑΙ Σ' ἀντιάζω. ἀντὶ τοῦ παρακαλῶ. κάλλιστα δὲ ἀμφοτέροις τοῖς ὅρκοις ἐχρήσατο. μέγιστον γὰρ δικαίωμα τὸ τῆς αὐτῆς ἑστίας ἐπιτυχεῖν. ὁπότε καὶ τῶν πολεμίων φείδονται. διὰ ταῦτα καὶ τὸ σεμνὸν τῆς κοίτης χρήσιμον. ὅπερ ἐστὶ καὶ τὸ σεμνότατον τῶν προσώπων περὶ δικαιωμάτων τῶν πρὸς ἄνδρα καὶ γυναῖκα διαλεγόμενον, αὐτὸ τὸ ὁμηρικόν, Σή θ' ἱερὴ κεφαλὴ καὶ νωΐτερον λέχος. ὅρα δὲ ὅτι ἑκατέρωθεν θηλείας ὁ τοιοῦτος λόγος πρόσκειται. ἐπὶ δὲ τοῦ Ὀδυσσέως καὶ ἄλλο τι οἰκειότερον ὄνομα ἐξεῦρεν, Ἀσπάσιοι λέκτροιο παλαιοῦ θεσμὸν ἵκοντο. τὴν εὔνοιαν δηλῶν τῶν οὕτως συνιόντων ἐπὶ μονῇ παιδοποιΐας. Ἐφεστίου Διός. ἀντὶ τοῦ συνοίκου. οἱ μὲν γὰρ συνοικοῦντες τὸν ἐφέστιον Δία προτείνουσιν. οἱ δὲ φίλοι τὸν φίλιον. οἱ δὲ ἐν τῇ μιᾷ τάξει καταλεγόμενοι, καὶ μιᾷ συμμορίᾳ ἑταιρεῖον. οἱ δὲ ξένοι ξένιον. οἱ δὲ ἐνόρκοις συμφωνίας ποιοῦντες ὅρκιον. οἱ δὲ δεόμενοι ἱκέσιον. οἱ δὲ ἀδελφοὶ ὁμόγνιον. Συνηλλάχθης. συναλλαγὰς ἔχεις. γάμῳ συνεζεύχθης. συνηρμόσθης. ὅθεν καὶ συνάλλαγμα. Τῶν σῶν ὑπ' ἐχθρῶν χειρίαν. ἡ ὑπὸ πρὸς τὸ χειρίαν. ὑποχειρίαν δοὺς τινὶ τῶν ἐχθρῶν σου. εἰδυῖα δὲ ἀγριαίνοντα τὸν Αἴαντα πρὸς τὰς ἐπιτιμήσεις, διαρρήδην μὲν οὔ φησι μὴ διάφθειρε σαυτόν. στοχαζομένη δὲ τοῦ καιροῦ, ἔξωθεν περιέρχεται τὰ ἐπακολουθοῦντα λέγουσα, ὅτι ὑποχειρίαν με τοῖς ἐχθροῖς σὺν τῷ παιδὶ καταλείψεις. Τελευτήσας. τὸν βίον δηλονότι. τελευτῶ τὸ ἔργον, καὶ τελευτῶ ἀντὶ τοῦ ἀποθνήσκω, ἐφ' ᾧ συνυπακούεται τὸν βίον. ἵν' ᾖ τελευτῶ τὸν βίον, ἤγουν τελευτῶ ἤτοι καταστρέφω τὸν βίον. ἔστι δὲ καὶ τὸ τελευτῶ ἤτοι τὸ καταστρέφω, ἢ ἔτι τὸ μεταλλάττω τὰ αὐτά. δηλοῖ γὰρ τὸ ἀποθνήσκειν. Ταύτῃ νόμιζε. ἀντὶ τοῦ οὕτως. κατὰ τοῦτον τὸν τρόπον. Δούλιον ἕξειν τροφήν. οὐ ψιλὸν τὸ τῆς δουλείας εἶπεν, ἀλλὰ καὶ ὅσα ἔνεστιν εἰπεῖν τινα ἰδόντα αὐτὸν ἐν δουλείᾳ. ἡ τοιαύτη δὲ διδασκαλία Ὁμήρου, Μὴ παῖδ' ὀρφανικὸν θήῃς, χήρην τε γυναῖκα. ἀποτρέψαι δὲ βούλεται αὐτὸν διὰ τῶν τοιούτων λόγων. Λόγοις ἰάπτων. γράφεται ἀτίζων, ὑβρίζων, παρὰ τὸ ὁμηρικόν, Ἕκτορος ἥδε γυνή. Οἵας λατρείας. ἤγουν μεγάλας δουλείας ἀντὶ τοῦ πολλοῦ μακαρισμοῦ, τουτέστιν εὐδαιμονίας. Τρέφει. αὔξει. ἔχει. Δαίμων ἐλᾷ. δαίμων νῦν ἡ δουλεία, ἢ ἡ δυστυχία. ἐλᾷ δὲ ἀντὶ τοῦ ἐλάσει. εἰς ταῦτα δηλονότι.

Καὶ σ' ἀντιάζω πρός τ' ἐφεστίου Διός,
εὐνῆς τε τῆς σῆς, ᾗ συνηλλάχθης ἐμοί,
μή μ' ἀξιώσῃς βάξιν ἀλγεινὴν λαβεῖν,
τῶν σῶν ὑπ' ἐχθρῶν χειρίαν ἀφείς τινί.
Ἢν γὰρ θάνῃς σὺ, καὶ τελευτήσας ἀφῇς,
ταύτῃ νόμιζε κἀμὲ τῇ τόθ' ἡμέρᾳ,
βίᾳ ξυναρπασθεῖσαν Ἀργείων ὕπο,
ξὺν παιδὶ τῷ σῷ δούλιον ἕξειν τροφήν.
Καί τις πικρὸν πρόσφθεγμα δεσποτῶν ἐρεῖ
λόγοις ἰάπτων, ἴδετε τὴν ὁμευνέτιν
Αἴαντος, ὃς μέγιστον ἴσχυσε στρατοῦ,
οἵας λατρείας ἀνθ' ὅσου ζήλου τρέφει.
τοιαῦτ' ἐρεῖ τις. κἀμὲ μὲν δαίμων ἐλᾷ.

ΣΟΙ δ' αἰσχρὰ τἄπη. καὶ διὰ τὴν εὐγένειαν, καὶ διὰ τὴν ἀνδρείαν. διὰ μὲν τὸ σοί, τὴν ἀνδρείαν. διὰ δὲ τὸ τῷ σῷ γένει, τὴν εὐγένειαν. τοὺς προγόνους. θαυμαστῶς δὲ ἡ προσθήκη τοῦ γένους. αἶσχος γὰρ προστρίψῃ καὶ τῷ ὑψηλῷ ἐπικουρίας αὐτὸν καταλείπων. ¶ Ἀλλ' αἴδεσαι μέν. καλῶς ἐπὶ τοῦ πατρὸς ἐν γήρᾳ μακρῷ. ἐπὶ δὲ τῆς μητρός, πολλῶν ἐτῶν κληροῦχον. ὁ γὰρ ἐπὶ ἀμφοτέρων ἑνὶ χρησάμενος ὀνόματι, ἐπιτεμνόμενός ἐστι τὸν λόγον. τὸ δὲ ἐγχρονίζειν ταῖς διηγήσεσιν, ἀνυστικώτερον. θαυμαστὸν δὲ τοῦτο μὲν ἑαυτοῦ οὐδαμοῦ τοῖς τοιούτοις ὀνόμασι χρῆται. οὔτε αἰδέσθητι οὔτε οἴκτειρε. ἐπὶ δὲ τῶν γονέων καὶ τοῦ παιδός. ¶ Κληροῦχον. μέτοχον κεκληρωμένην. κλῆρον ἔχουσαν. κληρούχους δὲ τοὺς γεωργοὺς φησὶν Ἡρόδοτος, κληροῦχοι δὲ οὓς Ἀθηναῖοι ἔπεμπον ἐπὶ τὰς πόλεις ἃς ἐλάμβανον κλήρους ἑκάστῳ διανεμοῦντες. ℂ Ἥ σε πολλάκις. τὸ οἰκείως ἐκ τῆς φύσεως στοχαζομένην παρέλαβεν. ℂ Εἰ νέας. εἰ τῆς νέας τροφῆς σοῦ χωρὶς διάξει καὶ βιώσεται. τροφῆς δὲ ἀντὶ τῆς ἀνατροφῆς. λέγει δὲ ἀνατροφήν, ἣν ἀνατρέφουσιν αὐτὸν ἄλλοι. ℂ Ὑπ' ὀρφανιστῶν. ὀρφανισταί εἰσιν, οἱ τοὺς ὀρφανοὺς τρέφοντες. ἐλλιπῶς δὲ φησίν, οὐ φίλοις ὀρφανισταῖς, καθὸ δυσμενέσιν. ἢ ὀρφανισταί, ἀρχὴ Ἀθήνησιν τὰ τῶν ὀρφανῶν κρίνουσα. ἢ ὀρφανιστῶν τῶν τῆς ὀρφανίας ἐπιτρόπων. ὀρφανὸς δέ, ὁ ὅρον ἔχων τὸ οὐ φαίνεσθαι, ὁ ἄσημος καὶ μηκέτι ἐμφανής. ἀμέλει καὶ ὑπὸ τῶν ἀμφιθαλῶν ὡς ἐμφανῶν ἐλαύνονται. χηρωσταὶ δέ, οἱ τῶν χηρῶν ἐπίτροποι. ¶ Ἐμοὶ γὰρ οὐκ ἔστι. καὶ τοῦτο
,, Ὁμηρικόν, οὐδέ μοι ἔστι πατὴρ καὶ πότνια μήτηρ. εἶτα ἑξῆς. Ἀτὰρ σύ μοι
,, ἐσσὶ πατὴρ καὶ πότνια μήτηρ. ¶ Ἤιστωσας. ἠφάνισας. ἀϊστῶ τὸ ἁπλωκὸς ἐχρῶ. ἀϊστόω δὲ ἀϊστῶ, τὸ ἀφανίζω, ἀπὸ τοῦ στερητικοῦ α, καὶ τοῦ ἴσημι ποιητικῶς τὸ γινώσκω. ἄϊστος, ἀφανὴς γεγονώς, καὶ ἐκπεπτωκὼς τῆς μνήμης. καὶ ἀπὸ τούτου ἀϊστόω ἀϊστῶ ῥῆμα. ℂ Ἀλλ' ἡ μοῖρα. ἤγουν ἡ εἱμαρμένη. ὡς τούτου ἰδίῳ θανάτῳ τετελευτηκότος. τὸ δέ, ἀλλά, ἀντὶ τοῦ δέ. ¶ Θανασίμους. ἤγουν νεκρούς. οὐ ποιητικοὺς θανάτου. ℂ Καθεῖλεν δέ, ἤγουν κατήγαγεν εἰς τοὺς θανασίμους.

Σοὶ δ' αἰσχρὰ τἄπη ταῦτα, καὶ τῷ σῷ γένει.
ἀλλ' αἴδεσαι μὲν πατέρα τὸν σόν, ἐν λυγρῷ
γήρᾳ προλείπων. αἴδεσαι δὲ μητέρα
πολλῶν ἐτῶν κληροῦχον, ἥ σε πολλάκις
θεοῖς ἀρᾶται ζῶντα πρὸς δόμους μολεῖν.
οἴκτειρε δ', ὦναξ, παῖδα τὸν σόν, εἰ νέας
τροφῆς στερηθείς, σοῦ διοίσεται μόνος
ὑπ' ὀρφανιστῶν μὴ φίλων. ὅσον κακὸν
κείνῳ τε κἀμοὶ τοῦθ' ὅταν θάνῃς νεμεῖς.
Ἐμοὶ γὰρ οὐκέτ' ἔστιν εἰς ὅ τι βλέπω,
πλὴν σοῦ. σὺ γάρ μοι πατρίδ' ᾔστωσας δορί,
καὶ μητέρ', ἀλλ' ἡ μοῖρα τὸν φύσαντά με
καθεῖλεν Ἅιδου θανασίμους οἰκήτορας.
τίς δῆτ' ἐμοὶ γένοιτ' ἂν ἀντὶ σοῦ πατρίς;

BIBLIOTECA FACULTAD DE LETRAS GRANADA

ΕΓΩΓΕ σώζομαι. ὥσπερ ἐὰν ἐσωζόμην ἐν πᾶσι σώζομαι ἐν σοί. σώζεται δέ τις ἔν τινι, ὅταν ἐν αὐτῷ ἡ σωτηρία αὐτοῦ ᾖ, ὡς σωζομένου, αὐτὸν σώζεσθαι, ἀπολωλότος δὲ συναπόλλυσθαι. ¶ Ἀλλ' ἴσχε κἀμοῦ. καλῶς τὸ κἀμοῦ. οἷον μετὰ τὸν πατέρα καὶ τὸν υἱὸν κἀμὲ ἔν τινι μοίρᾳ κατάθου. αἰσθέσθαι γὰρ ἐπὶ τύχης, ἐν ᾗ νῦν ἐστιν. αἰδημόνως δὲ αὐτὸν ὑπομιμνήσκει τὰ τῆς εὐνῆς. διὰ τοῦτο γὰρ μάλιστα δοκεῖ αὐτὸν πείσειν. ὁ δὲ Εὐριπίδης, μαστροπικώτατα εἰσάγει τὴν ἑκάβην λέγουσαν, ,, Ποῦ τὰς φίλας δῆτ' εὐφρόνας δείξεις ἄναξ. ἢ τῶν ἐν εὐνῇ φιλ- ,, τάτων ἀσπασμάτων. ¶ Τερπνόν. τὸ τέρψιν ποιοῦν. χαροπὸν δὲ τὸ χαρὰν ἔχον, οἷον χαροπὸν ὄμμα.

τίς πλοῦτος; ἐν σοὶ πᾶσ' ἔγωγε σώζομαι,
,, ἀλλ' ἴσχε κἀμοῦ μνῆστιν. ἀνδρί τοι χρεὼν
,, Μνήμην προσεῖναι, τερπνὸν εἴ τί που πάθοι.
,, Χάρις χάριν γάρ ἐστιν ἡ τίκτουσ' ἀεί.
,, Ὅτου δ' ἀπορρεῖ μνῆστις εὖ πεπονθότος,
,, Οὐκ ἂν γένοιτ' ὅ ποθ' οὗτος εὐγενὴς ἀνήρ.
Χο. Αἴας, ἔχειν σ' ἂν οἶκτον ὡς κἀγὼ φρενὶ,
θέλοιμ' ἄν. αἰνοίης γὰρ ἂν τὰ τῆσδ' ἔπη.
Αἰ. καὶ κάρτ' ἐπαίνου τεύξεται πρὸς γοῦν ἐμοῦ,
ἐὰν μόνον τὸ ταχθὲν εὖ τολμᾷ τελεῖν.
Τέ. ἀλλ' ὦ φίλ' Αἴας, πάντ' ἔγωγε πείσομαι.
Αἰ. κόμιζέ νύν μοι παῖδα τὸν ἐμόν, ὡς ἴδω.
Τέ. καὶ μὴν φόβοισί γ' αὐτὸν ἐξελυσάμην.
Αἰ. Ἐν τοῖσδε τοῖς κακοῖσιν, ἢ τί μοι λέγεις;
Τέ. Μή σοί γέ που δύστηνος ἀντήσας θάνοι.
Αἰ. Πρέπον γέ τἂν ἦν δαίμονος τοὐμοῦ τόδε.
Τέ. ἀλλ' οὖν ἐγὼ φύλαξα, τοῦτό γ' ἀρκέσαι.

¶ Χάρις χάριν γάρ ἐστιν. ἡ φύσις γὰρ τὴν χάριν χάρις, ἐστὶ προϋπάρξασα. ¶ Ὅτου δ' ἀπορρεῖ μνῆστις. ἡ μνήμη τοῦ εὖ πεπονθέναι, οὗτοι οὐκ ἂν εἶεν εὐγενεῖς. σχεδὸν δὲ διὰ τούτων τῶν ἰάμβων ἥρηται τὸ περὶ εὐχαριστίας ἢ ἀχαριστίας. ¶ Ἀπορρεῖ. τουτέστιν ἀπόλλυται, ἀφ' οὗ ῥεῖ μνήμη. ¶ Ἔχειν σ' ἂν οἶκτον. ἔλεον ὁμοῦ αὐτὶ τοῦ ἐλεεῖν. δυσωπητικὰ γὰρ τὰ τοιαῦτα. εἰ γὰρ ὁ ξένος ᾤκτειρε, πόσῳ μᾶλλον ὁ Αἴας. ¶ Καὶ κάρτ' ἐπαίνου. οὐχὶ κατεῖπεν. ἀλλ' ἐὰν πείθηται κατὰ πάντα ἐμοί. ὁ γὰρ Αἴας ἐγνωκὼς ἑαυτὸν ἀποσφάττειν, ἐβούλετο πρὸ τοῦ θανάτου τὸν παῖδα ἰδεῖν. εἰκότως δὲ τοῦτο πάλιν λέγει, ὅτι ἄριστόν ἐστι τὴν γυναῖκα πειθαρχεῖν εἰς ἅπαντα τῷ ἀνδρί. ἔοικε γὰρ ὑφορᾶσθαι ὅτι ὀκνηρῶς ἐκδώσει τὸ παιδίον. ¶ Καὶ μὴν φόβοισί γ' αὐτόν. τοῦ φόβου χάριν, ῥύσασθαι θέλουσα ἐξήγαγον. οὐκ ἄντικρυς μὲν ἀντιλέγει. ἀναβολὰς δὲ πλάττεται ὡς ὑποκεκινηκότι μὴ πιστεύουσα. λέγει δέ, καὶ μὴν ἐξελυσάμην αὐτὸν εἰς τοῦτο, δηλονότι, ἵνα σὺ ὁρᾷς αὐτόν. ¶ Ἐν τοῖσδε. ἤγουν ἐν τοῖς τοῖσδε τῶν ἐμῶν δηλονότι κακῶν λέγεις, ἢ τί ἄλλο λέγεις. ¶ Πρέπον γέ τἂν ἦν. ἦν γὰρ τοῦτο τοῦ ἐμοῦ δαίμονος, τὸ ὑπ' ἐμοῦ τὸν παῖδα ἀναιρεθῆναι, ἀντὶ τοῦ ἔπρεπε τῇ προσούσῃ μου τύχῃ, καὶ τὸ αὐτόχειρά με τοῦ παιδὸς κατασκευάσαι. ¶ Τοῦτό γ' ἀρκέσαι. εἰς τοῦτο ἀρκέσαι. τῷ παιδὶ ὑπηρετῆσαι, καὶ ἀποσβῆσαι τὸ θανεῖν.

ΑΙ. Ἐπῄνεσ' ἔργον, καὶ πρόνοιαν ἣν ἔθου.
ΤΕ. τί δῆτ' ἂν ὡς ἐκ τῶνδ' ἂν ὠφελοῖμί σε;
ΑΙ. Δός μοι προσειπεῖν αὐτὸν, ἐμφανῆ τ' ἰδεῖν.
ΤΕ. καὶ μὴν πέλας γε προσπόλοις φυλάσσεται.
ΑΙ. τί δῆτα μέλλει μὴ οὐ παρουσίαν ἔχειν;
ΤΕ. Ὦ παῖ, πατὴρ καλεῖ σε, δεῦρο προσπόλων
ἄγ' αὐτὸν, ὅσπερ χερσὶν εὐθύνων κυρεῖς.
ΑΙ. Ἕρποντι φωνεῖς, ἢ λελειμμένῳ λόγου;
ΤΕ. καὶ δὴ κομίζει προσπόλων ὅδ' ἐγγύθεν.
ΑΙ. αἶρ' αὐτὸν αἶρε δεῦρο. ταρβήσει γὰρ οὔ
νεοσφαγῆ τοῦτόν γε προσλεύσσων φόνον,
εἴπερ δικαίως ἔστ' ἐμὸς τὰ πατρόθεν.
ἀλλ' αὐτίκ' ὠμοῖς αὐτὸν ἐν νόμοις πατρὸς
δεῖ πωλοδαμνεῖν, κἀξομοιοῦσθαι φύσιν.
Ὦ παῖ, γένοιο πατρὸς εὐτυχέστερος.
τὰ δ' ἄλλ' ὅμοιος, καὶ γένοι' ἂν οὐ κακός.
Καίτοι σε καὶ νῦν τοῦτό γε ζηλοῦν ἔχω,
ὁθ' οὕνεκ' οὐδὲν τῶνδ' ἐπαισθάνῃ κακῶν.
,, Ἐν τῷ φονεῖν γὰρ μηδὲν, ἥδιστος βίος.

ΕΠΗΝΕΣΑ. ἀντὶ τοῦ ἐπαινῶ. ¶ Τί δῆτ' ἄν. τί σοι φησὶν ἐκ τῶν παρόντων ὠφελήσω. καὶ τί βούλει σοι γενέσθαι, ὠφελοίην ἔδει εἰπεῖν. ἀττικῇ δὲ ἀδείᾳ ὄντος οὕτω χρῆται τοῖς εὐκτικοῖς. ¶ Ἐκ τῶνδε. κατὰ τὰ μετὰ ταῦτα.

Προσειπεῖν. προσφθέγξασθαι, ἀσπάσασθαι λόγοις. ¶ Μὴ οὐ παρουσίαν ἔχειν. ἤγουν παρεῖναι. ¶ Εὐθύνων κυρεῖς. ἤγουν διδάσκεις, παιδεύεις, κυβερνᾷς. δεῦρο ἄγε αὐτὸν ὅστις ἀπὸ τῶν προσπόλων κυβερνᾷς αὐτὸν ταῖς χερσίν. Ἕρποντι φωνεῖς. ἐγγὺς ὄντι. ἢ ἀπολιμπανομένῳ τῆς κλήσεως. ἤγουν οὐκ ἀκούοντι. ¶ Αἶρε δεῦρο. ἀντὶ τοῦ πρόσφερε. ὡς τό,
,, Μή μοι οἶνον ἄειρε. ¶ Φόνον. τὰ πτώματα τῶν πεφονευμένων. ¶ Εἴπερ δικαίως ἔστ' ἐμός. εἴπερ ἐστὶν ἐμοῦ οὐκ εὐλαβηθήσεται τὸν φόνον τῶν ποιμνίων.

Τὰ πατρόθεν. κατὰ τὰ πατρὸς ἰδιώματα, λέγω δὴ ἀνδρείαν, καὶ φόνησιν καὶ τὸ γενναῖον ἐν συμφοραῖς. ἤγουν εἴπερ οὐ μόνον κατὰ τὴν σπορὰν ἐμός ἐστιν υἱός, ἀλλὰ καὶ κατὰ τὰ φυσικὰ πλεονεκτήματα ἐμὸς ἔοικεν ἀληθῶς. ¶ Ἀλλ' αὐτίκ' ὠμοῖς αὐτόν. νῦν τοῖς ὠμοῖς ὡς κατὰ τῶν καρπῶν. ὅτε εἰσὶν ὠμοί, σκληρότεροί εἰσι καὶ ἰταμοί. μεταλοφονῶν δὲ νόμοις τὴν φύσιν ὠνόμασε, καὶ τὸ ἔθος τοῦ γεγεννηκότος.

Πωλοδαμνεῖν. ὡς πῶλον γυμνάζειν. πωλοδαμνεῖν ἐπὶ τῶν ἀλόγων λέγεται κυρίως. ἐπὶ δὲ ἀνθρώπων τὸ παιδαγωγεῖν καὶ παιδοτριβεῖν. ἀφ' ὧν παιδαγωγὸς καὶ παιδοτρίβης ὁ λεγόμενος βαΐουλος. Ὦ παῖ γένοιο. μέτριος ὁ λόγος. ἡ δὲ ὁμοία εὐχὴ καὶ παρ' Ὁμήρῳ,
,, Ζεῦ ἄλλοι τε θεοὶ δότε δὴ καὶ τόνδε γενέσθαι
,, Παῖδ' ἐμὸν ὡς καὶ ἐγώ. ¶ Καίτοι σε καὶ νῦν. ἐπειδὴ κατεύχεται αὐτῷ εὐτυχίαν φησὶν ὅτι καὶ νῦν σε μακαρίζω, ὅτι μικρὸς ὢν οὐκ αἰσθάνῃ τῶν ἐμῶν κακῶν. Ζηλοῦν. μακαρίζειν. Ἐν τῷ φονεῖν γὰρ μηδέν. ἐν τῷ μηδενὸς αἰσθάνεσθαι μήτε λυπηροῦ μήτε ἡδέος. ἤγουν ἐν τῷ μὴ ἀντιλαμβάνεσθαι τῶν κακῶν, ἐπεὶ ἔσται γελοιότατον δόγμα, ὡς τιμῶντος τὴν ἀφροσύνην.

ΤΟ ΜΗ φρονεῖν γάρ. δεῖ λαβεῖν αὐτὸ ὡς ἐπὶ παιδός. οὐ τὸ καθόλου τὴν ἀφροσύνην προκρίνει. οὐδὲ νοῦς. ἐν γὰρ νηπίῳ κακὸν μὲν τὸ μὴ φρονεῖν. κακὸν δὲ ὅμως ἀνώδυνον, ἤγουν ἄλυπον. ἢ Εὐριπίδης, Νέα γὰρ φροντὶς οὐκ ἀλγεῖν φιλεῖ. τάχα δὲ διὰ τὸ ἑξῆς ἐσήμανε τὸ συνεκτικόν, καὶ ὥσπερ εἰ σύμβολον τοῦ φρονῆσαι. τὸ δὲ διακριτικὸν τῶν χαρτῶν καὶ τῶν λυπηρῶν, συνετόν ἐστι. Δεῖ σ' ὅπως. ἀντὶ τοῦ δεῖ σε ἐκδεῖξαι τὸν πατέρα. τὸ ὅπως ἐπὶ παραγγελίας κείμενον οὐδέποτε κατὰ τοὺς ἀττικοὺς ὑποτάσσεται. αὐτὶ τοῦ πῶς κεῖται. Οἷος ἐξ οἵου τράφης. οὐ πρὸς τὸ ἐξ οἵου λέγεται τὸ ἐτράφης, ἀλλὰ πρὸς τὸ οἷος ἐτράφης. τὸ δὲ ἐξ οἵου, ἀντὶ τοῦ, ἐξ οἵου πατρὸς δηλονότι γεγονώς. τὸ πᾶν, οἷος ἀνετράφης ἐξ οἵου πατρὸς ὤν. Κούφοις πνεύμασι. κούφῃ ἢ ἁπαλῇ ζωῇ. τῇ μεταφορᾷ δὲ τῶν μικρῶν φυτῶν ἐχρήσατο, ἅ τινα οὐδὲ ἓν σφοδρὸν δύναται ὑποφέρειν, οὐ καύσωνα, οὐκ ἄνεμον. Ψυχὴν ἀτάλλων. ζωὴν βρεφικὴν διαβιβάζων καὶ τρέφων. ἀτάλλειν δὲ τὸ νηπιάζειν καὶ σκιρτᾶν. Οὔ τοι σ' Ἀχαιῶν. ἤγουν οἶδα ὅτι οὐ μὴ ὑβρίσῃ σέ τις τῶν Ἀχαιῶν. Οὐδὲ χωρὶς ὄντ' ἐμοῦ. διά τί φησιν ἐνταῦθα τρανῶς ἐκφέρει τὴν ἑαυτοῦ γνώμην ὁ Αἴας, ὅτι δεῖ ἑαυτὸν διαλγεῖν τοῦ βίου. ῥητέον γὰρ ὅτι ἐν ἤθει. οἷον εἴ τι γένοιτο ἴσως περὶ ἐμὲ συμφορά, μὴ δείδιθι. ἕξεις γὰρ τὸν προνοοῦντα ἀντὶ ἐμοῦ. ἢ ὅτι ἐκφέρει ταῦτα ὑπὸ τοῦ πάθους προαγόμενος. Πυλωρόν. ἀπὸ μεταφορᾶς τῶν φυλασσόντων τὰς πύλας, λέγει νῦν τὸν ἀπροσβοῦντα, ἢ μὴ ἐῶντα προσβάλλειν κακόν τι. Τροφῆς ἄοκνον ἔμπα. ἀνατροφῆς πρόθυμον φροντιστήν.

Τὸ μὴ φρονεῖν γὰρ, κάρτ' ἀνώδυνον κακόν,
ἕως τὸ χαίρειν ἢ τὸ λυπεῖσθαι μάθῃς.
ὅταν δ' ἵκῃ πρὸς τοῦτο, δεῖ σ' ὅπως πατρὸς
δείξῃς ἐν ἐχθροῖς, οἷος ἐξ οἵου τράφης.
τέως δὲ κούφοις πνεύμασιν βόσκου, νέαν
ψυχὴν ἀτάλλων, μητρὶ τῇδε χαρμονήν.
οὔ τοι σ' Ἀχαιῶν οἶδα μή τις ὑβρίσῃ
στυγναῖσι λώβαις, οὐδὲ χωρὶς ὄντ' ἐμοῦ.
τοῖον πυλωρὸν φύλακα Τεῦκρον ἀμφὶ σοὶ
λείψω, τροφῆς ἄοκνον ἔμπα κεἰ τανῦν
τηλωπὸς οἰχνεῖ, δυσμενῶν θήραν ἔχων.
Ἀλλ' ἄνδρες ἀσπιστῆρες, ἐνάλιος λεώς,
ὑμῖν τε κοινὴν τήνδ' ἐπισκήπτω χάριν,
κείνῳ τ' ἐμὴν ἀγγείλατ' ἐντολήν, ὅπως
τὸν παῖδα τόνδε πρὸς δόμους ἐμοὺς ἄγων,

Εἰ τανῦν. ἢ εἰ ἔκδημος νῦν ἐστι. Τηλωπός. ἔκδημος, ἀντὶ τοῦ μακράν, ὡς τὸ τηλουρόν, τὸ ὄνομα ἀντὶ ἐπιρρήματος. γράφεται ἢ τηλουργός. Δυσμενῶν θήραν ἔχων. φυλακὴν ἔχων τῶν ἐχθρῶν. λέγει δ' ἂν τῶν θρᾳκῶν. περὶ γὰρ τὰ τελευταῖα τοῦ τρωϊκοῦ πολέμου, ἐσυμμάχουν τοῖς τρωσὶν οἱ θρᾷκες. γνόντες δὲ τοῦτο οἱ ἕλληνες, φρουροὺς ἔταξαν προμηνύοντας αὐτοῖς τὴν ἐκείνων ἔφοδον, ἵνα οὕτως ἐπελθόντων, κατὰ τὴν ὁδὸν συμβάλλωσιν αὐτοῖς, πρὶν ἐλθεῖν εἰς Ἴλιον. καὶ πρέσβεις δὲ ἀποστείλαντες οὐκ ἔπεισαν. τὸ δὲ θήραν γράφεται καὶ φρουράν. Ἀσπιστῆρες. ἤγουν ὁπλῖται, πολεμικοί. Ἐνάλιος λεώς. ἐν τῇ θαλάσσῃ διατρίβων, ἤγουν ναῦται. Ὑμῖν τε κοινήν. προθυμοτέρους αὐτοὺς κα-

θῆσαι. κοινὴν γὰρ εἶναι ἴσως φησὶ χάριν ὁμολογεῖν ἐκείνῳ τε διὰ τῆς σωτηρίας, καὶ τούτοις διὰ τῆς ἐπαγγελίας. περιπαθῶς δὲ εἰς ἔσχατον περιεστώσης τῆς ἐλπίδος, ἐμφόνως τὰ σπουδαιότατα τοῖς ἑταίροις ἐπισκήπτει οὐ τῇ γυναικί. ἐπισκήπτω δὲ τήνδε τὴν ἐντολὴν ὤφειλεν εἰπεῖν. ὁ δὲ λέγει τήνδε τὴν χάριν, ἐπειδὴ ὅπερ ἐντέλλεται, ὡς χάριν τοῦτο αἰτεῖ παρ' αὐτῶν.

ΩΣ ΣΦΙΝ γένηται. πάνυ περιπαθῶς, τὸ ἐπὶ γονεῦσι καὶ παιδὶ διαθήκας ποιεῖσθαι. θαυμαστῶς δὲ πρὸς ἅπαντας τοὺς λόγους τῆς Τεκμήσσης ἀντιθέσεις ἐποιήσατο. οὐκ ἄντικρυς τοῦτο ὑπισχνουμένου τοῦ ποιητοῦ. τὸ μὲν, μὴ ὑβρισθῆναι τὸν παῖδα ὑπὸ τῶν ἑλλήνων, τὴν ἀπὸ τοῦ Τεύκρου φυλακὴν προβαλλόμενος. τὸ δὲ μὴ γλαθήσεσθαι ὑπ' ἐκείνων, τὴν τοῦ παιδὸς ἀρετήν. ὃν φησὶν ἐκδικήσειν αὐτοὺς ἐν ἡλικίᾳ γενόμενον. πρὸς δὲ τὰ περὶ τῶν γονέων, ὅτι ἀντ' αὐτοῦ καταλείπεται ὁ Εὐρυσάκης. τὸ δὲ γηροβοσκῷ γράφεται καὶ μικρὸν ἀπὸ τοῦ γῆρος. ἔστι γὰρ ἡ εὐθεῖα τὸ γῆρας, τὸ μέγα ἀπὸ τῆς γενικῆς τοῦ γήρως. ¶ Μέχρις οὗ μυχοὺς κίχωσι. περιφραστικῶς, ἤγουν, ἕως τελευτήσωσι.

Τελαμῶνι δείξῃ, μητρί τ' Ἐριβοίᾳ λέγω,
ὥς σφιν γένηται γηροβοσκὸς εἰσαεί,
μέχρις οὗ μυχοὺς κίχωσι τοῦ κάτω θεοῦ.
καὶ τἀμὰ τεύχη, μήτ' ἀγωνάρχαι τινὲς
θήσουσ' Ἀχαιοῖς, μήθ' ὁ λυμεὼν ἐμός,
ἀλλ' αὐτό μοι σὺ παῖ λαβὼν ἐπώνυμον
Εὐρύσακες, ἴσχε διὰ πολυῤῥάφου στρέφων
πόρπακος ἑπτάβοιον ἄῤῥηκτον σάκος.
τὰ δ' ἄλλα τεύχη, κοίν' ἐμοὶ τεθάψεται.
ἀλλ' ὡς τάχος τὸν παῖδα τόνδ' ἤδη δέχου.

¶ Καὶ τἀμὰ τεύχη. πιθανῶς τὸν Αἴαντα ἐπεὶ τὸν περὶ τῶν ὅπλων λόγον εἰσάγει συνεχῶς. ἅπτεται γὰρ αὐτοῦ μάλιστα. ἀνθρώπινον δὲ τὸ μάλα φυσικὸν, τὸ συνεχέστερον μεμνῆσθαι, περὶ ὧν ἐν νῷ ἔχομεν. τεῦχος μὲν τὸ ἀγγεῖον. τεύχη δὲ πληθυντικῶς τὰ ὅπλα. ¶ Ἀγωνάρχαι. ἀγωνοθέται. ¶ Λυμεὼν ἐμός. ὁ ἐμὸς φθορεύς, τουτέστιν ὁ Ὀδυσσεύς. ¶ Ἀλλ' αὐτό μοι σὺ παῖ. συνυπακούεται τὸ μὲν, ἐπάγεται γὰρ, τὰ δ' ἄλλα τεύχη. ¶ Ἀλλ' αὐτό μοι σὺ παῖ. πέπεισται ὡς οὐδὲν ἀπολειπομένου τοῦ παιδὸς τῆς αὐτοῦ ἀρετῆς. τὸ δὲ σάκος, διὰ τὸ ἐξαίρετον εἶναι τῷ παιδὶ φυλάσσειν κελεύει. τὰ δὲ ἄλλα τεύχη συνθάπτεσθαι φησίν. ἐπίσταται γὰρ εἶναι αὐτὰ περιμάχητα ἐσόμενα. οἷον Ὁμήρου ὅπλα συγκαιόμενα. Ἀλλ' ἄρα μιν κατέκηε σὺν ἔντεσι δαιδαλέοισι. τὸ δὲ πᾶν, ἀλλὰ Εὐρύσακες παῖ ἐμοὶ λαβὼν αὐτὸ τὸ σάκος τὸ ἑπτάβοιον, τὸ ἄρρηκτον, τὸ ἐπώνυμον σοὶ δηλονότι, ἔχε στρέφων διὰ τοῦ πολυῤῥάφου πόρπακος. ἔστι δὲ πόρπαξ ὁ λῶρος, δι' οὗ κατέχουσι τὴν ἀσπίδα, ὃς λέγεται καὶ ὄχανον. σάκος δὲ οὐδετέρως ὅπλον ἀσπίς. σάκος δὲ ἀρσενικῶς, καὶ αὐτὸ δι' ἑνὸς κ. ὁ θύλακος. καρυκὸν δὲ, πλέγμα δεκτικὸν ἄρτων.

¶ Καὶ

ΚΑΙ δῶμ' ἀπάκτου. κατὰ τῶν σκηνῶν ἄπαγε. τὸ δὲ ἀπάκτου, ἄγω, ἄξω, ἦχα, ἦγμαι, ἦχθαι, ἀκτὸν ὄνομα. καὶ ἀπὸ τούτου ἀπακτόω ἀπακτῶ ῥῆμα.
Ἐπισκήνοις λόγους. ἐπισκήνοις λέγει, ἐπεὶ καὶ ἐπιτάφιοί εἰσι καὶ ἐξόδιοι. ἐπίσκηνοι δὲ θρῆνοι οἱ ἐπὶ τῆς σκηνῆς. ¶ Πύκαζε. ἀσφαλίζου. ¶ Θᾶσσον. ταχύτερον. λαμβάνεται δὲ ἐνταῦθα ἀντὶ ταχέως. ¶ Οὐ πρὸς ἰατροῦ σοφοῦ, οὐκ ἔστιν ἰατροῦ σοφοῦ.

καὶ δῶμ' ἀπάκτου. μηδ' ἐπισκήνους γόους
,, δάκρυε. κάρτα τοι φιλοίκτιστον γυνή.
,, πύκαζε θᾶσσον. οὐ πρὸς ἰατροῦ σοφοῦ
,, θρηνεῖν ἐπῳδὰς πρὸς τομῶντι πήματι.
Χο. δέδοικ' ἀκούων τήνδε τὴν προθυμίαν.
οὐ γάρ μ' ἀρέσκει γλῶσσά σου τεθηγμένη.
Τέ. ὦ δέσποτ' αἶαν, τί ποτε δρασείεις φρενί.
Αἶ. μὴ κρίνε, μὴ 'ξέταζε. σωφρονεῖν καλόν.
Τέ. οἴμ' ὡς ἀθυμῶ, καί σε πρὸς τοῦ σοῦ τέκνου,
καὶ θεῶν ἱκνοῦμαι, μὴ προδοὺς ἡμᾶς γένῃ.
Αἶ. ἄγαν γε λυπεῖς. οὐ κάτοισθ' ἐγὼ θεοῖς
ὡς οὐδὲν ἀρκεῖν εἴμ' ὀφειλέτης ἔτι;
Τέ. εὔφημα φώνει.
Αἶ. τοῖς ἀκούουσιν λέγε.
Τέ. σὺ δ' οὐχὶ πείσῃ;
Αἶ. πόλλ' ἄγαν ἤδη θροεῖς.
Τέ. ταρβῶ γὰρ ὦ 'ναξ.
Αἶ. οὐ ξυνέρξεθ' ὡς τάχος;
Τέ. πρὸς θεῶν μαλάσσου.
Αἶ. μῶρά μοι δοκεῖς φρονεῖν.
εἰ τοὐμὸν ἦθος ἄρτι παιδεύειν νοεῖς.
Χο. Ὦ κλεινὰ Σαλαμίς, σὺ μέν που

¶ Θροεῖν ἐπῳδάς. ἀντὶ τοῦ ἐπιφωνεῖν. ἐπᾴδειν. ἐπῳδαῖς χρῆσθαι. ¶ Πρὸς τομῶντι. τομῆς δεομένῳ. τομῶντι ὡς τὸ θανατῶντι βασιλειῶντι. τὰ γὰρ τοιαῦτα δευτέρας ὡς ἐπίπαν συζυγίας τῶν περισπωμένων ἐστίν. ἔστι δὲ γλυκύτατος λέγειν τὸ τραῦμα τομῆς ἐπιθυμεῖν ὥσπερ εἰς αἴσθησιν ἔχον. ¶ Πήματι. γράφεται τραύματι. ¶ Οὐ γάρ μ' ἀρέσκει. οὐκ ἀρέσκουσιν ἐμοὶ οἱ λόγοι σου θρασεῖς ὄντες. τὸ ὄργανον γὰρ λέγει τῶν λόγων, ἀντὶ τοῦ λόγου. ¶ Δρασείεις. ἤγουν ἐπιθυμεῖς δρασείειν.
¶ Μὴ κρίνε. ἤγουν ἀνάκρινε. ¶ Σωφρονεῖν. νῦν τὸ μὴ περιεργεῖν. ἐν τούτῳ γὰρ μάλιστα ἡ σωφροσύνη ταῖς γυναιξὶ διασώζεται, εἰ μὴ περιεργάζοιντο, ὅ,τι πράττει ὁ ἀνήρ. ¶ Καὶ θεῶν ἱκνοῦμαι. συνίζησις. τὸ δὲ ἱκνοῦμαι, τὸ παρακαλῶ. ἀφικνοῦμαι δὲ τὸ παραγίνομαι. ¶ Προδούς. προδίδωμι ἐπὶ προδοσίας, ἀφ' οὗ προδότης. προδίδωμι δὲ καταλιμπάνω, ὡς ἐνταῦθα. ¶ Οὐ κάτοισθ' ἐγὼ θεοῖς. οὐκ ἔτι φησὶν ἐν τούτῳ εἰμί, ὥστε ὀφείλειν τοὺς θεοὺς ἐπαρκεῖν μοι, διὰ τὸ μὴ περιέχεσθαι τοῦ ζῆν. ὡς οὐκ ἔτι τοῖς θεοῖς ὀφείλω λέγειν ἐγὼ ἐπαρκεῖν. ἀντὶ τοῦ οὐδὲν ἐπὶ τιμῇ πράττειν τῶν θεῶν. πρὸς ὃ καὶ ἡ Τέκμησσα ἐπάγει, εὔφημα φώνει. ¶ Τοῖς ἀκούουσι. τοῖς πειθομένοις. ¶ Μαλάσσου. μεταβάλλου. ¶ Οὐ ξυνέρξεθ'. οὐ συγκλείσετε. κελεύει δὲ τοῖς θεράπουσιν αὐτὴν ἀποκλείειν. ¶ Μῶρά μοι. εὐήθης εἶ νῦν βουλομένη με μαλάσσειν διακμάζοντος τοῦ καιροῦ. ¶ Ὦ κλεινὰ Σαλαμίς, συγκέκλεισται ὁ Αἴας διαχρησόμενος ἑαυτόν, ἐπειδὴ οἱ ἀπὸ

τοῦ χοροῦ λόγον περιπαθῆ δεξιᾶσι. πρὸς μὲν γὰρ αὐτὸν λέγειν οὐκ ἦν εἰπεῖν ἐλθόν- τα ἤδη γέγονε δὲ αὐτοῖς ἀπολόφυρσις περὶ τὰ οἰκεῖα. καὶ ἔχει ἀκολουθίαν τὰ χορικά. ἀπεστραμμένοι γὰρ τῶν ἀρχόντων, καὶ ἄλλην ἀποστροφὴν οὐκ ἔχοντες περὶ τοῦ πα- ρ' εἶδος τὸν λόγον ποιοῦνται, ἐκτιθέμενοι ἐν οἷς εἰσι χαλεποῖς, καὶ ἐν οἷς ἔσονται οἱ γονεῖς αὐτῶν πυθόμενοι ταῦτα. ¶ Ναίεις ἁλίπλαγκτος. ἐνδεικτικὸν ἀντὶ παθητικοῦ ναίῃ. τὸ δὲ ἁλίπλαγκτος, ἁλίκλυστος, ἀντὶ τοῦ ἁλιπλάγκτως, ἥν ἐν θαλάσσῃ οὖσα ἀποκρύσῃ περὶ σέ. ℭ Περίφαντος. τὸ ἦθος ἐμιμήσατο τῶν ἀπεσώτων τῆς οἰ- κίας. ὁπόταν γὰρ δυσχερές τι ἀ- παντᾷ, μακαρίζειν εἰώθασι τὰς πατρίδας. ¶ Παλαιὸς ἀφ' οὗ χρόνος. ἐκ παλαιοῦ χρόνου. Ἰδαίᾳ. τῇ ζωϊκῇ. οἷον ἐν τῷ τοῦ Ἴδης χω- ρίῳ, τοῖς χλωροῖς καὶ λειμῶνας ἔχουσι δάσεσιν. ¶ Λειμωνίᾳ πό- ᾳ. ὅμοιον τῷ, Τελαμώνιε παῖ. λειμωνία γὰρ ἡ ἐν λειμῶνι χλόη.

M μήλων. γενικὸν ὄνομα ἀπὸ τοῦ ὁ- μήρου. εἰπὼν γὰρ οὖρος μῆλα ἐπά-

,, γ' οἶές τε καὶ αἶγες. ℭ Ἀνήριθ-

,, μος. ἐν οὐδενὶ ἀριθμῷ τεταγμέ- νος, ἀλλὰ ἀπερριμμένος. ¶ Εὔ- νομα. ἤτοι τῷ εὐνομουμένῳ καὶ δικαίῳ, ἢ εὐκινήτῳ. ἢ εὐνόμᾳ λειμῶνι, τῷ καλὰς νομὰς ἔχοντι. ἡ δὲ λέξις, παλαιὸς ἀφ' οὗ χρόνος αἰὲν εὐνόμᾳ χρόνῳ τρυχόμενος Ἰδαίᾳ μίμνω λειμω- νίᾳ πόᾳ μήλων. ἀνήριθμος κακὴν ἐλπίδα ἔχων, πῶς με δεῖ τὸν ἀΐδαν ἀνύ- σειν, ἀντὶ τοῦ οὐδὲν ἀγαθὸν προσδοκῶν, ἀλλὰ κακῶς τελευτήσειν ἐν τῷ πολέ- μῳ ἐλπίζων. ℭ Χρόνῳ τρυχόμενος. ἤγουν ὑπὸ τοῦ εὐκινήτου χρόνου δα- μαζόμενος καὶ κακοπαθῶν. ℭ Κακὰν ἐλπίδα. ἤγουν φόβον ἔχων ἀνύ- σειν ἐμὲ ἔτι ποτὲ τὸν ἄδην, τουτέστι λήγεσθαι ἀπελθόντα εἰς ᾅδου. ἀνύω τὴν ὁ- δόν, ἀντὶ τοῦ τελειῶ, διανύω τὸ βραβεῖον, ἤγουν σπουδαίως λαμβάνω, καθ' ὃ λέγεται ἐνταῦθα. ℭ Τὸν ἀπότροπον. τὸν ἀποτρόπαιον, ἤγουν τὸν ἀποστρο- φῆς καὶ ἀποτροπιασμοῦ ἄξιον. ἀΐδηλον δὲ ἀΐδαν λέγει τὸν σκοτεινόν, ἢ ὥσ- περ ἄν τις εἴποι ἀλυκὸν ἅλα. ἀπὸ γὰρ τοῦ ἀΐδης γίνεται τὸ ἀΐδηλον κατὰ παρα- γωγήν, καθ' ὃν τρόπον ἀλυκὸν ἀπὸ τοῦ ἅλς. ℭ Ἀνύσειν. ἀντὶ τοῦ ἐκπρᾶξαι. λεί- πει δὲ τὸ δεῖ. ¶ Καί μοι δυσθεράπευτος Αἴας. οἷον πρὸς τοῖς πρώτοις κακοῖς, ὥσ- περ δεύτερον ἐστι μοι κακὸν τὸ τοῦ Αἴαντος ξυνεστηκός. ἀπὸ γὰρ δηλοῖ τὸ, ἔφεδρος. Ἔφεδρος δέ ἐστιν ἐν τοῖς ἀγῶσιν ὁ μὴ παλαιόμενος εἰς τὸ ἀγωνίζεσθαι τοῖς νικῶ- σιν, ἀλλ' ὅταν δύο τινὲς παλαίωσι, παλαίσειν τῷ νικήσαντι παρεσκευασμέ- νος.

ναίεις ἁλίπλακτος εὐδαίμων,
πᾶσι περίφαντος αἰεί.
Ἐγὼ δ' ὁ τλάμων
παλαιὸς ἀφ' οὗ χρόνος
Ἰδαίᾳ μίμνω
λειμωνίᾳ πόᾳ μήλων
ἀνήριθμος, αἰὲν εὐνόμᾳ,
χρόνῳ τρυχόμενος, κακὰν
ἐλπίδ' ἔχων ἔτι μέ ποτ' ἀνύσειν
τὸν ἀπότροπον
ἀΐδηλον ἀΐδαν.
Καί μοι δυσθεράπευτος Αἴας
ξύνεστιν ἔφεδρος. ἰώ μοι μοι,

νος. ἐνταῦθα οὖν φησι, ὅτι ἐσχάτως καὶ ὡς ἔφεδρος ἐλείφθη μοι ὁ αἴας εἰς κακόν. ΞΥΝΑΥΛΟΣ. κοινωνὸς, σύνοικος. ¶ Ἐξεπέμψω. ἀντὶ τοῦ ἔπεμψας ὧδε. Αρει. ἤγουν ἐν πολέμῳ. ¶ Νῦν δ' αὖ φρενὸς οἰοβότας. αὐθαίρετος, ὡς ἂν εἴποι τὶς, αὐτὸς ἑαυτοῦ διάνοιαν βόσκων, καὶ μηδενὶ πειθόμενος. ἢ μονωθεὶς ἐκ τοῦ φρενός. ἢ μονόζωστος, μεμονωμένος τῶν λογισμῶν. ἢ ποιμαίνων τὴν ἑαυτοῦ διάνοιαν, ἢ μόνος ἔρημος ὢν τῶν λογισμῶν. ἢ οἷον διεσθίων αὐτοῦ τὴν φρένα, παρὰ τὴν βόσιν. ἢ ὁ βαίνων ἐν ἐρημίᾳ, διὰ τὸ συγκεκλεῖσθαι ἑαυτόν. καὶ ὅμοιόν ἐστι τῷ, ὃν θυμὸν κατέδων πάτον ἀνθρώπων ἀλεείνων. ἢ φρενὸς οἰοβότας, οὐ τὴν φρεσὶν, ἀλλ' ἐκ τοῦ φρενῶν διαλλαγῶν. ἢ ἀποπλανηθεὶς, ἀπὸ μεταφορᾶς τῶν πλανηθέντων προβάτων, καὶ μόνων βοσκομένων. ¶ Εὕρηται. γράφεται γένηται. Τὰ πρὶν δ' ἔργα χερσίν. λείπει γινόμενα. τὰ δὴ πρότερα μέγιστα τῆς ἀρετῆς τῶν χειρῶν αὐτοῦ ἔργα, ἐν ὀλιγωρίᾳ ἐστὶ παρὰ τοῖς ἀτρείδαις. ἢ οὕτως. τὰ δὲ πρότερα αὐτοῦ ἀνδραγαθήματα, φροῦδα παρὰ τοῖς ἀτρείδαις. ¶ Ἄφιλα. ἀχάριστα παρὰ τοῖς πρώην αὐτοῦ φίλοις. νῦν δὲ πάντων ἀπηλλαγμένοις. ἢ ἄφιλα παρ' ἀφίλοις, ἐχθρὰ παρ' ἐχθροῖς. ¶ Ἔντροφος ἡμέρᾳ. παλαιὸν τὸ πάλαι ἀρξάμενον, ᾧ ἀντίκειται τὸ νέον. νέον γὰρ τὸ νεωστὶ ἀρξάμενον. ἐνταῦθα οὖν ἔντροφος παλαιᾷ ἡμέρᾳ ἡ ἐντεθραμμένη παλαιῷ χρόνῳ, οἷον τῇ ἡλικίᾳ. ἀντὶ τοῦ πρεσβῦτις. ὁ δὲ νοῦς, οὕτως· ποῦ ἡ τῇ παλαιᾷ ἡμέρᾳ, τουτέστι τῷ παλαιῷ χρόνῳ ἔντροφος. τὸ δὲ λευκῷ γήρᾳ, κατὰ κοινοῦ τὸ ἔντροφος ἡ μήτηρ αὐτοῦ. ¶ Λευκῷ γήρᾳ. ἐπειδὴ τὸ γῆρας λευκαίνει τὰς τρίχας. ¶ Ἥσει δύσμορος. ἥσει γόον οὐ μέτριον κατὰ τὴν ἀηδόνα, ἀλλ' ὀξύν. ἡ ἀηδὼ δὲ, κατὰ μιτυληναίους. ἀηδόνος δὲ λέγει τῆς ἀφροσύνης ἐστερημένης διὰ τὸ ἀεὶ θρηνεῖν τὸν υἱὸν ἴτυν. παραβάλλει δὲ τὸν ἀηδόνος θρῆνον καὶ τὸν Ἐριβοίας, καὶ εἰκάζει μείζω ἐκεῖνον ἔσεσθαι τῆς ἀηδόνος. ¶ Φρενομόρως. ἀντὶ τοῦ εἰς τὴν μοῖραν τῶν φρενῶν νοσοῦντα. ὅ ἐστι, φρενοβλαβῶς, μανικῶς. ¶ Αἴλινον. εἶδος θρήνου. ¶ Ὀξυτόνους. ὀξυφώνους. τόνος ὁ κοινῶς ἦχος, καθ' ὃ λέγεται λύδιος τόνος καὶ φρύγιος. ¶ Ἀηδοῦς. ἡ ἀηδὼν, τῆς ἀηδόνος. καὶ ἡ ἀηδὼ, τῆς ἀηδοῦς καὶ ἀηδοῦς ποιητικῶς. ¶ Οὐδ' οἰκτρᾶς γόον. οἷον οὐ μέτριον. ἀναστρεπτέον δέ. ἄρχει γὰρ τοῦ λόγου τὸ ου, ἵν' ᾖ, οὐκ αἴλινον, οὐδ' οἰκ-

θείᾳ μανίᾳ ξύναυλος,
ὃν ἐξεπέμψω
πρὶν δή ποτε θουρίῳ
κρατοῦντ' ἐν Ἄρει.
Νῦν δ' αὖ φρενὸς οἰοβότας,
φίλοις μέγα πένθος εὕρηται.
τὰ πρὶν δ' ἔργα χεροῖν μεγί-
στας ἀρετᾶς, ἄφιλα παρ' ἀφίλοις
ἔπεσ' ἔπεσεν
μελέοις Ἀτρείδαις.
ἦ που παλαιᾷ μὲν ἔντροφος ἁμέρᾳ,
λευκῷ δὲ γήρᾳ
μάτηρ νιν ὅταν νοσοῦντα
φρενομόρως ἀκούσῃ,
αἴλινον αἴλινον,
οὐδ' οἰκτρᾶς γόον ὄρνιθος ἀηδοῦς

τρᾶς γόον ἀηδοῦς ἥσει. ἀλλ' ὀξυτόνους μὲν ᾠδάς, καὶ τὰ ἑξῆς. ¶ Καὶ πολιᾶς. ἤγουν λευκῆς σπαράγματα κόμης. περιπαθὴς ἡ πρόσθεσις τοῦ πολιᾶς. ¶ Κρείσσων γὰρ ἅιδα κεύθων. κρείσσων γάρ ἐστιν ὁ τεθνηκώς, ἢ ὁ ζῶν καὶ νοσῶν μάτην, ὅ ἐστι μεμηνώς. μάτην δὲ νοσεῖν, τὸ ἀθεραπεύτως μαίνεσθαι. οὐ λέγει δὲ ὅτι ὅταν αὐτὸν πύθηται τετελευτηκότα. ὁ γὰρ μεμηνὼς καὶ τὰς φρένας διεφθαρμένος, κρείσσων ἅιδα κεύθων. οἷον ἄμεινον τοῦ μεμηνότι διζῆναι τὸν βίον. οἷον ἡ μήτηρ κρείσσονα τὸν θάνατον τῆς τοῦ αἴαντος μανίας. μάτην δέ, ἀντὶ τοῦ ψευδῶς, καὶ ἀντὶ τοῦ ματαίως ὡς ἐνταῦθα. ¶ Κεύθων. ἀντὶ τοῦ κευθόμενος. τὸ ἐνεργητικὸν ἀντὶ τοῦ παθητικοῦ. ¶ Ος ἐκ πατρῴας. ὃς ἄνωθεν κατὰ πατρῴας γενεᾶς ἄριστος ἥκων. λείπει γὰρ τὸ, ἄριστος, ὥστε περιέχειν ἁπάντων τῶν ἑλλήνων κατὰ γένος, νῦν οὐκέτι τοῖς προτέροις ἤθεσιν ἐμμένει. ¶ Ὀργαῖς. ὁρμαῖς. τρόποις. ¶ Ἀλλ' ἐκτός. τῶν προσηκόντων δηλονότι. ¶ Ω τλᾶμον πάτερ. ἀποστρέφει τὸν λόγον πρὸς τὸν Τελαμῶνα. οἵαν σε μένει πυθέσθαι. τοιαύτην ἄτην οἵαν οὐδεὶς ἔθρεψε τῶν αἰακιδῶν. παραμυθία γάρ ἐστι τὸ μετέχειν τινὰ τῶν αὐτῶν κακῶν. Ε θρεψεν. ἔσχεν. ¶ Ἄτερθε τοῦδε. χωρὶς τούτου τοῦ αἴαντος. ἤτοι τοῦ χρόνου. Ἅπανθ' ὁ μακρός. διέρχεται ὁ Αἴας ὡς δὴ καταπεισθεὶς ὑπὸ τεκμήσσης μὴ σφάττειν ἑαυτόν. καὶ προφάσει τοῦ δεῖν εἰς ἐρημίαν ἐλθεῖν καὶ κρύψαι τὸ ξίφος. ἐπὶ τούτων ἀναχωρεῖ καὶ διαχειρῖται ἑαυτόν. πιθανῶς δὲ ὁ λόγος, ὅτι καὶ οἱ ἔμφρονες καὶ παρακολουθοῦντες τῇ φύσει τῶν πραγμάτων, ὅμως ὑπὸ τῶν τοιούτων παθῶν ἐπὶ τὸ χεῖρον ἀπολισθαίνουσιν. ὡς ἐν τραχινίαις ἡ Δηϊάνειρα πολὺ τοῖς ἔργοις διαλεγομένη καὶ τοῦ ἀνδρός. ὅτι αὐτῷ οὐκ ἀντιστήσεται, οὐδὲ λυσιτελεῖ αὐτῇ ἀντιπράττειν τῇ ἐπιθυμίᾳ τοῦ ἀνδρός, πράττει μὲν ταῦτα ἀπὸ αὐτὴν ἀνέπεισεν ἡ ζηλοτυπία. τὸ δὲ σχῆμα δέ ἐστι τοιοῦτον. ἅπαντα ὁ χρόνος φύει φησίν, εἶτα διαλλαγῇ. καὶ ταῦτα φανέντα κρύπτεται. ἢ τὸ κρύπτεται ἐπὶ τοῦ χρόνου, ἀντὶ τοῦ κρύπτει. ὥσπερ δέ φησιν ὡς μεταβεβλημένος ὑπὸ τῶν προτέρων νοημάτων. ¶ Ἁλίσκεται. διελέγχεται, φωρᾶται, ἀπὸ μεταφορᾶς τῶν ἁλισκομένων θηρίων ὑπὸ θηρατῶν.

ἤσει δύσμορος, ἀλλ' ὀξυτόνους μὲν ᾠδὰς
θρηνήσει, χερόπλακτοι
δ' ἐν στέρνοις πεσοῦνται
δοῦποι, καὶ πολιᾶς ἀμύγματα χαίτας.
,, Κρεῖσσον γὰρ ἅιδα κεύθων, ἢ νοσῶν μάταν,
ὃς ἐκ πατρῴας ἥκων γενεᾶς
πολυπόνων ἀχαιῶν,
οὐκέτι συντρόφοις
ὀργαῖς ἔμπεδος, ἀλλ' ἐκτὸς ὁμιλεῖ.
Ω τλᾶμον πάτερ, οἵαν
σε μένει πυθέσθαι
παιδὸς δύσφορον ἄταν,
ἂν οὔπω τις ἔθρεψεν
αἰὼν Αἰακιδᾶν, ἄτερθε τοῦδε.
αἰ. Ἅπανθ' ὁ μακρὸς κἀναρίθμητος χρόνος,
,, φύει τ' ἄδηλα, καὶ φανέντα κρύπτεται.
,, Κοὐκ ἔστ' ἄελπτον οὐδὲν, ἀλλ' ἁλίσκεται

χ' ὡ δει

χ' ὮΔΕΙΝΟΣ ὅρκος. ὅτι οἱ ὀμόσαντες τινὲς ἐν μεταβολῇ γίνονται τοῦ χρόνου.
Π περισκελεῖς. αἱ ἄγαν σκληραὶ ψυχαί. ¶ Ὃς τὰ δείν' ἐκαρτέρουν τότε. γράφεται, ἐπιπειλῆς ἔπη. ἢ λείπει τὸ ἔπη, ἵν' ᾖ, ὅστις τὰ δεινὰ ἔπη ἐκαρτέρουν λέγων τότε ὡσανεὶ πρὸ τοῦ. ¶ Βαφῇ σίδηρος ὣς ἐθηλύνθην. ἐν τῇ βαφῇ οὐκ ἀνίεται ὁ σίδηρος. ἀλλὰ μᾶλλον σκιρραίνεται. οὕτως οὖν διασταλτέον. κἀγὼ γὰρ
,, φησὶν ὃς ἠπείλουν τὸ ἐξερῶ καὶ ἐβόων, ὡς ἐν βαφῇ σίδηρος. ὡς Ὅμηρος, Εἰν ὕδατι
,, ψυχρῷ βάπτεται μεγάλα ἰάχοντα, νῦν ἐθηλύνθην ὑπὸ τῶν λόγων τῆς γυναικός. ἢ ὅτι διαφόρως βάπτεται ὁ σίδηρος. εἰ μὲν γὰρ μαλθακὸν βούλονται αὐτὸν ποιεῖν, ἐλαίῳ βάπτουσιν. εἰ δὲ σκιρρὸν, ὕδατι. ¶ Ἀλλ' εἶμι πρός τε λουτρά. πιθανὴ αὐτοῦ ἡ ἔξοδος ὡς ἐπὶ καθαρμόν. μονάσαι γὰρ βούλεται χάριν τῆς ἀναιρέσεως. ¶ Λύματα. μολυσμόν. ἔθος γὰρ ἦν τοῖς παλαιοῖς, ὅταν ἢ φόνον ἀνθρώπου, ἢ ἄλλας σφαγὰς ἐποίουν, ὕδατι ἀπονίπτειν τὰς χεῖρας εἰς κάθαρσιν τοῦ μιάσματος. ¶ Ἐξαλεύσωμαι. φυλάξωμαι. ἐκκλίνω. ἐκφύγω. ¶ Μολών τε χῶρον. εὑρήσω φησὶ τόπον, οὗ οὐδεὶς ἐμβέβηκεν, ὅπερ ἐστὶ πιθανὸν, ἵνα μή τις αὐτῷ ἀκολουθήσῃ. πιθανὸν δὲ καὶ τὸ λαβεῖν τὸ ξίφος, ἵνα εὐπορήσῃ ἑαυτὸν διαχειρίσασθαι. ¶ Ἀστιβῆ. ἀδιόδευτον, ἀπάτητον, ἐν ᾧ οὐδεὶς βαδίζει ἄνθρωπος.
Τ Τὸ δ' ἔγχος. ἀντὶ τοῦ τὸ ξίφος, ἤγουν σπάθην. ¶ Τοὐμὸν ἔχθιστον. τὸ ἔχθιστον τῶν βελῶν ἐμοῦ. βέλη δὲ ἀντὶ τῶν ἀμυντηρίων. βέλη γὰρ τὰ πεμπόμενα.
Γ Γαίας ὀρύξας. μὴ λάβῃς εἰς τὸ γαίας ἔξωθεν τὸ ἐπὶ, ἀλλὰ οὕτω λέγε, κρύψω τὸ ἐμὸν ἔγχος ὀρύξας ἔνθα τῆς γαίας μή τις ὄψεται. ¶ Ἀλλ' αὐτὸ νύξ. λέγει τὸ νὺξ καὶ τὸ ᾅδης, κατὰ μὲν τὸ φαινόμενον, ἀντὶ τοῦ ἀφάνεια καὶ φθορά, τὸ δὲ ἀληθὲς, διὰ τὴν μέλλουσαν αὐτὸν καταλήψεσθαι νύκτα καὶ θάνατον, ὧν αἴτιον τὸ ξίφος. ¶ Σῳζόντων. σῳζέτωσαν, φυλασσέτωσαν. ¶ Δυσμενεστάτου. δυσμενὴς ὁ κακὰ νοῶν τινι, ὧν ἐναντίον ὁ εὐμενής. ¶ Ἐχθρῶν ἄδωρα δῶρα. ὁ νοῦς, ὅτι μὴ δὲ τὰ μέγιστα τῶν ἐχθρῶν ἐφίεσο, τῶν δὲ φίλων καὶ τὰ ἐλάχιστα. ἄδωρα δὲ, κακόδωρα.

χ' ὃ δεινὸς ὅρκος, χ' οἱ περισκελεῖς φρένες.
κἀγὼ γὰρ ὃς τὰ δείν' ἐκαρτέρουν τότε,
βαφῇ σίδηρος ὣς ἐθηλύνθην στόμα
πρὸς τῆσδε τῆς γυναικός. οἰκτείρω δέ νιν
χήραν παρ' ἐχθροῖς, παῖδά τ' ὀρφανὸν λιπεῖν.
Ἀλλ' εἶμι πρός τε λουτρὰ, καὶ παρακτίους
λειμῶνας, ὡς ἂν λύμαθ' ἁγνίσας ἐμὰ,
μῆνιν βαρεῖαν ἐξαλεύσωμαι θεᾶς.
μολών τε χῶρον ἔνθ' ἂν ἀστιβῆ κίχω,
κρύψω τόδ' ἔγχος τοὐμὸν, ἔχθιστον βελῶν,
γαίας ὀρύξας, ἔνθα μή τις ὄψεται,
ἀλλ' αὐτὸ νὺξ ᾅδης τε, σῳζόντων κάτω.
Ἐγὼ γὰρ ἐξ οὗ χειρὶ τοῦτ' ἐδεξάμην
παρ' Ἕκτορος δώρημα δυσμενεστάτου,
οὔπω τι κεδνὸν ἔσχον Ἀργείων πάρα.
ἀλλ' ἔστ' ἀληθὴς ἡ βροτῶν παροιμία,
,, Ἐχθρῶν ἄδωρα δῶρα, κοὐκ ὀνήσιμα.

ΤΟΙ γὰρ λοιπόν. ἀφθόνως ἔφασεν ἐν εἰρωνείᾳ ἀντιστρέψας τὴν τάξιν. ἔδει γὰρ εἰπεῖν θεοὺς μὲν σέβειν, εἴκειν δὲ Ἀτρείδαις. ὡς τῶν Ἀτρειδῶν τῶν ἤδη καὶ θεομαχούντων. Ἀτρείδας σέβειν. μιμεῖται μὲν τὸν σώφρονα. κεκίνηται δὲ ὑπὸ τοῦ πάθους. ¶ Τί μήν; ἀντὶ τοῦ τί οὐχὶ ἄξιον εἴκειν. ¶ Καὶ γὰρ τὰ δεινά. εἰ γὰρ τὰ θεῖα ὑπείκει τιμῇ, πόσῳ μᾶλλον προσήκει τοῖς ἀνθρώποις ταῦτα πράττειν. τὸ δὲ τιμαῖς ὑπείκει, ταῖς ἀλλήλων διανομήσεσιν. ἐκ γὰρ ἐναντιότητος τὸ πᾶν συνέστηκε. πρεσβύτης τις, ἐπὶ καὶ νέος ἐπείγο, καθέζεται, ὅτι καὶ ἕστηκε. ¶ Τὰ δεινὰ καὶ τὰ καρτερώτατα. ἤγουν τὰ θεῖα καὶ δέος μὴ τιμοῦντα.

τοι γὰρ τὸ λοιπὸν εἰσόμεσθα μὲν θεοῖς
εἴκειν, μαθησόμεσθα δ' Ἀτρείδας σέβειν.
ἄρχοντές εἰσιν, ὥσθ' ὑπεικτέον, τί μήν;
καὶ γὰρ τὰ δεινὰ καὶ τὰ καρτερώτατα,
τιμαῖς ὑπείκει. τοῦτο μὲν νιφοστιβεῖς
χειμῶνες, ἐκχωροῦσιν εὐκάρπῳ θέρει.
ἐξίσταται δὲ νυκτὸς αἰανὴς κύκλος,
τῇ λευκοπώλῳ φέγγος ἡμέρᾳ φλέγειν.
δεινῶν τ' ἄημα πνευμάτων ἐκοίμισε
στένοντα πόντον. ἐν δ' ὁ παγκρατὴς ὕπνος,
λύει πεδήσας, οὐδ' ἀεὶ λαβὼν ἔχει.
ἡμεῖς δὲ πῶς οὐ γνωσόμεσθα σωφρονεῖν;
ἐγὼ δ', ἐπίσταμαι γὰρ ἀρτίως, ὅτι
ὅ τ' ἐχθρὸς ἡμῖν, ἐς τοσόνδ' ἐχθαρτέος,
ὡς καὶ φιλήσων αὖθις. ἔς τε τὸν φίλον
τοσαῦθ' ὑπουργῶν, ὠφελεῖν βουλήσομαι,
„ ὡς αἰὲν οὐ μενοῦντα. τοῖς πολλοῖσι γὰρ
„ βροτῶν, ἄπιστός ἐσθ' ἑταιρείας λιμήν.
ἀλλ' ἀμφὶ μὲν τούτοισιν, εὖ σχήσει. σὺ δέ,
ἔσω θεοῖς ἐλθοῦσα, διὰ τέλους γύναι
εὔχου τελεῖσθαι τοὐμὸν ὧν ἐρᾷ κέαρ.

Νιφοστιβεῖς. οἱ χιονοστιβεῖς. τουτέστιν οἱ χιόνας συντιθέντες. στιβάζειν γὰρ καὶ τὸ συντιθέναι. Εὐκάρπῳ θέρει. ἀντὶ τοῦ καρποφόρῳ, ὅμοιον τῷ, εὔκερων ἄγραν. ¶ Ἐξίσταται. λέγεται τὸ καὶ μετὰ τοῦ ὑπό, καὶ τάσσεται ἀεὶ ἐπὶ ὁδοῦ. τὸ δὲ ὑπανίστασθαι ἐπὶ καθέδρας, οἷον ὑπεξίσταμαί σοι τῆς ὁδοῦ, ὑπανίσταμαι δέ σοι τῆς καθέδρας. λευκοπώλῳ δὲ λέγει τὴν ἡμέραν, ἐπεὶ τὸν ἥλιον ὃς ποιεῖ τὴν ἡμέραν, ὑπὸ ἅρματος φασὶν ὀχεῖσθαι δύο ἵππους ἔχοντα λευκούς, ὧν τὸν μὲν λάμποντα, τὸν δὲ φαέθοντα ὀνομάζουσιν. ¶ Αἰανὴς κύκλος. τουτέστιν ὁ σκοτεινὸς ἢ ἀδιάλειπτος. ¶ Δεινῶν τ' ἄημα. λείπει ὑπό, ἵν' ᾖ, ὑπὸ δεινῶν πνευμάτων στένοντα πόντον. ἄημα πρᾶον ἐκοίμισεν αὐτόν. ἀὴρ μὲν οὗτος ὃν ἀναπνέομεν. πνεῦμα δὲ ἄνεμος. ἀήτης ποιητικῶς καὶ αὖραι ἀὴρ κινηθείς. διαφέρουσι δὲ ἀλλήλων, τῷ μὲν τὴν αὔραν ἀπὸ τοῦ ἐξ ὑγροῦ ἐκπνοῶν τάττεσθαι. τὸν δὲ ἄνεμον ὑπὸ τῶν ἐν ἀέρι πνευμάτων. τὰ πνεύματα δὲ καὶ τὰς ἀήτας ὑπὸ παντὸς ἀέρος κινηθέντος. ¶ Ἐγὼ δ' ἐπίσταμαι. ἐπειδὴ τὸ πᾶν πρὸς τοὐναντίον γίνεται, εἰκὸς καὶ τοὺς Ἀτρείδας φίλους ἀντ' ἐχθρῶν γενέσθαι. δεῖ οὖν φησι προσέχειν τοῖς ἐχθροῖς ὡς αὖθις φίλοις ἐσομένοις· καὶ τοῖς φίλοις ὡς ἐχθροῖς. συμμέτρως οὖν φησι χρῆσθαι τοῖς πράγμασι. ¶ Λιμήν. ἡ φιλία. ἵν' ᾖ, ἤγουν ἑταιρείας φιλία, ἤγουν καταφυγὴ καὶ ὑποδοχή. ¶ Ἀλλ' ἀμφὶ μὲν τούτοισιν. ὅρα πῶς ἀποκρα-

τεῖται

πεῖται ὑπὸ τοῦ πάθους ὁ λογισμός. ὁ δὲ σοφώτατά πως εἰπὼν ἑαυτὸν ἀναιρεῖ. τὸ δὲ ἀμφὶ τούτοισιν, ἀντὶ τοῦ, περὶ μὲν τούτων, ἡ δοτικὴ ἀντὶ γενικῆς ἀττικῶς. Εὖ σχήσει. ἀντὶ τοῦ καλῶς ἕξει τὰ πράγματα. ¶ Τιμᾶτε. ἀντὶ τοῦ πείθεσθε. ποιεῖτε. τιμᾷ ἀρετήν τις, ἀντὶ τοῦ ἐργάζεται καὶ ἐπαινεῖ σπουδὴν ἀντὶ τοῦ σπουδάζει. Ἡμῶν ἅμα. γράφεται ὑπέρμεγα. Ἐγὼ γὰρ εἶμ' ἐκεῖσε. αἰνιγματωδῶς ὁ λόγος ἐξενήνεκται. ¶ Καὶ τάχ' ἄν μ' ἴσως. ὁ μὲν χορὸς ἀπαλλάττεσθαι νομίζει λέγειν τῆς νόσου. ὁ δὲ αἰνίττεται τῶν κακῶν τοῦ βίου. Ἔφριξ' ἔρωτι. ἀντὶ τοῦ ὠρθώθην τῇ ἡδονῇ. τὰ μὲν τῆς ἀναιρέσεως δῆλα τῷ θεατῇ. ἀγνοεῖ δὲ ὁ χορός. πεπίστευκε γὰρ τοῖς ὑπ' αὐτοῦ λελεγμένοις. χρείας ἕνεκα δὲ τὸ χορικὸν νῦν παρείληπται. ἐξελθόντος γὰρ τοῦ αἴαντος, ἔδει βραχὺ διάλειμμα γενέσθαι, ἵνα μὴ καταληφθῇ ὑπὸ τοῦ ἀγγέλου. διὸ καὶ τὴν ὄρχησιν ποιοῦνται. ἔνθεν καὶ βραχύ ἐστι τὸ χορικὸν, ὡς πρὸς χρείαν εἰλημμένον. Ἄλλως. τέρπεται ὁ χορὸς ὡς τοῦ παύεσθαι τῆς νόσου τὸν αἴαντα. καὶ φησίν, ὑφ' ἡδονῆς ἔφριξα καὶ βούλομαι χορεῦσαι. εὐεπίφορος δὲ ὁ ποιητὴς ἐπὶ τὰς τοιαύτας μελοποιΐας, ὥστε ἐντιθέναι τι καὶ τοῦ ἡδέος.

ὑμεῖς θ' ἑταῖροι ταὐτὰ τῇδέ μοι τάδε
τιμᾶτε. Τεύκρῳ τ' ἢν μόλῃ, σημήνατε,
μέλειν μὲν ἡμῶν, εὐνοεῖν δ' ὑμῖν ἅμα.
ἐγὼ γὰρ εἶμ' ἐκεῖσ', ὅποι πορευτέον.
ὑμεῖς δ' ἃ φράζω δρᾶτε, καὶ τάχ' ἄν μ' ἴσως
πύθοισθε, κεἰ νῦν δυστυχῶ, σεσωσμένον.
Χ Ἔφριξ' ἔρωτι. περιχαρὴς δ' ἀνεπτάμαν.
ἰὼ, ἰὼ, πὰν, πάν.
ὦ πὰν, πὰν, ἁλίπλαγκτε κυλλανίας χιονοκτύπου
πετραίας ἀπὸ δειράδος φάνηθ', ὦ
θεῶν χοροποιὲ ἄναξ, ὅπως μοι
Νύσια κνώσι' ὀρχήματ' αὐτοδαῆ
ξυνὼν ἰάψῃς.

¶ Ἀνεπτάμαν. ἀνεπτερώθην. ἔστι δὲ ἀντὶ τοῦ ἀνέπτην. οἱ εἰς ην τῆς ἀόριστοι τῆς δευτέρας συζυγίας τῶν εἰς μι, οὐ χρείαν ἔχουσι τῶν παθητικῶν καὶ τῶν μέσων χρόνων. ἐπεὶ οὕτω τὰ αὐτὰ ἐκείνοις δύνανται. οἷον ἵστημι, στήσω, ἔστησα τῆς ἐνεργείας. ἔστην δὲ τοῦ πάθους. ἵπταμαι, πτήσομαι, ἔπτην. ἀφ' οὗ τὸ στάνην καὶ πτάμην. ¶ Ἰὼ πὰν πάν. ἐπικαλοῦνται τὸν πᾶνα ὡς χορῶν πρόξενον. καὶ αὐτοὶ γὰρ τοῦτο ποιεῖν βούλονται, ὡς ἐγνωκότες τὸν αἴαντα μηκέτι πελαυτᾶν. ¶ Ἁλίπλαγκτε. ἐπικαλοῦνται τὸν πᾶνα ἢ ὅτι ἐβοήθησε τοῖς ἀθηναίοις ἐν τῇ ναυμαχίᾳ. ἢ ὅτι τὸν τυφῶνα δικτύοις ἤγρευσεν. ἢ ὅτι ἐν τοῖς ἀκρωτηρίοις τιμᾶται, ἔνθα πλάζεται ἡ θάλασσα. ἢ ὅτι οἱ ἁλιεῖς τιμῶσι τὸν πᾶνα ὡς νόμιμον θεόν. ἢ ἁλίπλαγκτε, ἀντὶ τοῦ μεγαλόφωνε ἐν τῇ χορείᾳ, ὡς ἁλιβρόμε, ὅτι τῆς ἠχοῦς ἐρᾷ. πολύηχος δὲ ἡ θάλασσα. ἁλίπλαγκτε δὲ τοῦ κυλληνίας ὄρους ἀρκαδίας. ¶ Χιονοκτύπου. ὑπὸ χιόνος τυπτομένης. ¶ Δειράδος. ἀκρωτηρίου. ἀπὸ τῆς δειρᾶς τοῦ τραχήλου. ¶ Ὅπως μοι νύσια. ὅπως μοι συνάψῃς ὄρχησιν ηὑρημένῳ παντοίαν, τὴν οὐκ ἐκ διδαχῆς γινομένην, ἀλλ' ἐκ φύσεως. οὐδεὶς γὰρ ἐδίδαξε τὸν πᾶνα. ¶ Κνώσια. ἐν νυσίᾳ καὶ ἐν κνωσσῷ ἐπιμελὴς ἡ ὄρχησις. ἢ νύσια τὰ ἐν τῇ νύσῃ γινόμενα. ἔστι δὲ αὕτη διονύσου ἱερὰ καὶ συνάδει τῷ κνώσια. καὶ ἡ κνωσσὸς τοῦ διονύσου. Ἄλλως. τῶν ὀρχήσεων αἱ μέν εἰσι διονυ-

σιακαὶ, αἱ δὲ κορυβαντικαὶ, καὶ ἐνόπλιοι. νύσιαι μὲν αἱ διονυσιακαὶ, παρὰ τὴν νύσην. κνώσιαι δὲ αἱ κορυβαντικαί. ἡ κνωσσὸς γὰρ πόλις κρήτης. ἐν τῇ Κρήτῃ δὲ ὑπὸ τῶν κορυβάντων ἐτράφη ὁ Ζεύς. ¶ Αὐτοδαῆ. αὐτομαθῆ, ἃ ἐκ φύσεως ἔχεις οὐ διδακτά. τῆς δὲ ὀρχήσεως ἡ μὲν βερεκυντιακὴ λέγεται, ἡ δὲ κρητική, ἡ δὲ πυρρίχη. νύσιαι μὲν αἱ βερεκυντιακαὶ, τὸ γὰρ νυσίας ἡ βερέκυντος. κνωσία δὲ, κρητική. ¶ ΝΥΝ γὰρ ἐμοὶ μέλει χορεῦσαι. ἀναγκαίως καὶ ταύτην ἡ αἰτία τῆς ὀρχήσεως, ἵνα μὴ δοκῇ ἀλόγως ποιεῖν ταύτην ἀπαντῆσαι. μέλει μοι τόδε πρᾶγμα, ἡ τόδε τοῦ πράγματος, καὶ τάδε τὰ πράγματα, καὶ μέλουσί μοι τάδε τὰ πράγματα. ℂ Ἰκαρίων δ' ὑπὲρ πελαγέων. ὅτι ἐν τῷ ἰκαρίῳ πελάγει κεῖται ἡ Δῆλος. ¶ Μολὼν ἄναξ Ἀπόλλων. παραγένοιτο δὲ ὁ Ἀπόλλων διὰ τοῦ ἰκαρίου πελάγους, τουτέστι τῆς δήλου. καὶ συνείη μοι εὔφρων. εὔγνωστος, φανερὸς ὢν ὁ Δῆλος, ὅτι φιλεῖ με. ὁ Δήλιος δὲ, ὁ ἐν τῇ Δήλῳ τιμώμενος. ¶ Ἀπ' ὀμμάτων ἄρης. ὁ Αἴας ὁ ἀρήϊος. ἢ ὁ ἄρης ὁ πόλεμος ὁ περὶ τὸν Αἴαντα ἔλυσεν ἡμῶν τὸ σκότος καὶ τὴν κατήφειαν. ἢ ἀπὸ τῶν ὀμμάτων τοῦ αἴαντος. ὁ ἄρης δὲ, ἡ λύσσα, ἡ μανία. ¶ Νῦν ὦ Ζεῦ πάρα. νῦν πάρεστιν ἡμέρα λαμπρὰ ἡμῖν, ὥστε ἐγγίσαι τῶν νεῶν. πρότερον γὰρ διεξεπόμεθα ἐπιμίγνυσθαι τοῖς ἕλλησι διὰ τὴν αἰδῶ. ¶ Πελάσαι. ὥστε πελάσαι ἐπὶ τῶν νεῶν. Πάνθυτα. πάνσεπτα. ℂ Ἐξήνυσεν, διεπλήρωσεν. ℂ Ὅτ' αἴας λαθίπονος. ὅτε δὴ ὁ αἴας πάρεστιν ἐκ μετανοίας ποιεῖν τὸ σέβειν τοὺς θεούς, ἡ κατατίθεσθαι τὴν ἔχθραν τὴν πρὸς τοὺς ἀτρείδας. καὶ λαθίπονος, ἤγουν ἐπιλήσμων τῆς λύπης ἐγένετο. ℂ Πάνθ' ὁ μέγας χρόνος. ταῦτα ὑπὲρ τοῦ αἴαντος διὰ πολλῶν εἰρημένα διὰ βραχέων διῆλθεν. ¶ Ἀναύδητον. ἀπόρρητον, ἀνέλπιστον, ἄλεκτον. ¶ Εὖτέ γε δὴ ἀέλπτων. ὁπότε δὴ ἀνελπίστων τῶν μεγάλων νεικέων ὁ αἴας μετεπείσθη καὶ μετεβλήθη τὴν ψυχήν, τοῖς ἀτρείδαις ἀπὸ τῆς ἔχθρας. ἀπορήσειεν ἄν τις ἐνταῦθα, πῶς πρότερον εἰς τὸ μετανεγνώσθη αἰτιατικὴν ἐπήνεγκε τὸν θυμόν, ἔπειτα γενικὴν τῶν μεγάλων νεικέων, καὶ φαμὲν ὅτι τὴν μὲν αἰτιατικὴν οὐ καθ' ὡς τὸ μετανεγνώσθη ἀπῄτει, ἀλλὰ καθ' ὅλον ἢ μέρος συνέταξε, τὸ μετανεγνώσθη λέγων κατὰ τὸν θυμόν, εἰς δὲ τῶν μεγάλων νεικέων κατὰ φύσιν.

Νῦν γὰρ ἐμοὶ μέλει χορεῦσαι.  
Ἰκαρίων δ' ὑπὲρ πελαγέων  
μολὼν ἄναξ Ἀπόλλων  
ὁ Δάλιος, εὔγνωστος,  
ἐμοὶ ξυνείης διὰ παντὸς εὔφρων.  
ἔλυσε γὰρ αἰνὸν ἄχος ἀπ' ὀμμάτων ἄρης.  
Ἰὼ, ἰώ. νῦν αὖ,  
νῦν ὦ Ζεῦ, πάρα λευκὸν εὐ-  
άμερον πελάσαι φάος  
θοῶν ὠκυάλων νεῶν, ὅτ' Αἴας  
λαθίπονος πάλιν, θεῶν δ' αὖ  
πάνθυτα θέσμι' ἐξήνυσεν, εὐνομίᾳ  
σέβων μεγίστᾳ.  
,, Πάνθ' ὁ μέγας χρόνος μακραίνει τε καὶ  
κοὐδὲν ἀναύδητον φατίξαιμ' (φλέγει  
μ' ἄν, εὖτέ γε δὴ ἀέλπτων  
Αἴας μετενεγνώσθη  
θυμὸν Ἀτρείδαις μεγάλων τε νεικέων.

ΑΝΔΡΕΣ φίλοι. ἄγγελος ἥκει ἀπὸ τοῦ στρατοῦ ἀγγέλλων τὴν παρουσίαν τοῦ Τεύκρου. θαυμαστὴ δὲ ἡ εἴσοδος τούτου τοῦ ἀγγέλου. τοῦ Αἴαντος ἔξω διακεχειρισμένου, οὐκ εἶχον οἱ ἀπὸ τοῦ χοροῦ οὔτε ἢ τεκμήρασθαι γνῶναι τὸ πραχθέν. πιθανῶς δὲ ὁ ἄγγελος ἀπαγγείλας παρασκευάζει αὐτοὺς ἐξιέναι κατὰ ζήτησιν, καὶ ἐπιτεύξεσθαι τῷ πτώματι. δεξιῶς δὲ καὶ τὸ, τὸν Κάλχαντα μαθεῖν. οἰκεῖον γὰρ τῷ μάντει. καλῶς δὲ καὶ τὰ τῆς σκηνῆς ἐσκεύασται. Αἴαντος γὰρ καταλιπόντος, προῆλθεν ὁ ἄγγελος. εἶτα τοῦ χοροῦ τὴν σκηνὴν ἐάσαντος διὰ τὴν ζήτησιν, ἔξεισιν ὁ Αἴας ἐπὶ τὴν πρᾶξιν. τῷ δὲ θεατῇ οὐδὲν ἀργὸν παραλείπεται, πεποικιλμένης διαφόρως τῆς ἐν τῇ σκηνῇ προσωποποιΐας.

Αγ. Ἄνδρες φίλοι, τὸ πρῶτον ἀγγεῖλαι θέλω,
Τεῦκρος πάρεστιν ἄρτι Μυσίων ἀπὸ
κρημνῶν. μέσον δὲ προσμολὼν στρατήγιον,
κυδάζεται τοῖς πᾶσιν Ἀργείοις ὁμοῦ.
στείχοντα γὰρ πρόσωθεν αὐτὸν ἐν κύκλῳ
μαθόντες, ἀμφέστησαν. εἶτ' ὀνείδεσιν
ἤρασσον ἔνθεν κἄνθεν. οὔτις ἔσθ' ὃς οὔ,
τὸν τοῦ μανέντος κἀπιβουλευτοῦ στρατοῦ
ξύναιμον ἀποκαλοῦντες, ὡς οὐκ ἀρκέσοι
τὸ μὴ οὐ πέτροισι πᾶς καταξανθεὶς θανεῖν.
ὥστ' εἰς τοσοῦτον ἦλθον, ὥστε μὴ χεροῖν ,,
κολεῶν ἐρυστὰ διεπεραιώθη ξίφη. ,,
λήγει δ' ἔρις δραμοῦσα τοῦ προσωτάτω, ,,
ἀνδρῶν γερόντων ἐν ξυναλλαγῇ λόγου. ,,
ἀλλ' ἡμὶν Αἴας ποῦ 'στιν, ὡς φάσω τάδε.
,, Τοῖς κυρίοις γὰρ πάντα χρὴ δηλοῦν λόγον.
Χο. Οὐκ ἔνδον, ἀλλὰ φροῦδος ἀρτίως, νέας
βουλὰς νέοισιν ἐγκαταζεύξας τρόποις.

¶ Κρημνῶν. τῶν χωρίων. ¶ Στρατήγιον. στρατήγιον δὲ τὸ στρατόπεδον Ἀττικῶς, κυρίως δὲ στρατήγιον ὁ τόπος ὃς τοῖς στρατηγοῖς ἀφιέρωται μετὰ τῶν ἄλλων τῶν προὐχόντων βουλεύεσθαι. ¶ Κυδάζεται. λοιδορεῖται, ὑβρίζεται ὑπὸ πάντων. καὶ Ἐπίχαρμος ἐν Ἀμύκῳ, ἄμυκε μὴ κύδαζέ μου τὸν πρεσβύτερον ἀδελφόν. καὶ Αἰσχύλος ἐν Ἰφιγενείᾳ, οὔτοι γυναιξὶ κυδάζεσθαι, τί γάρ. ἀρσενικῶς δὲ ὁ κύδος ἐπὶ τῆς ὕβρεως. ¶ Ἐν κύκλῳ ἀμφέστησαν. αὐτὶ τοῦ περιεκύκλωσαν. ¶ Ἤρασσον. ἐπέληττον, ἐβλασφήμουν πάντες ὁμοφωνοῦντες. ¶ Ἀποκαλοῦντες. Ἀττικὸν ἔθος τὸ συμφέρειν ἑνικοῖς πληθυντικά. καὶ αὖ πάλιν, ὡς καὶ νῦν οὔτις ἔσθ' ὃς οὐχὶ ἔλεγε ξύναιμον αὐτὸν ἀποκαλοῦντες. ¶ Ὡς οὐκ ἀρκέσοι. ἐπὶ τοῦ Τεύκρου, ὡς οὐκ ἀρκέσοι ἑαυτῷ τὸ μὴ λιθόλευστος γενέσθαι, ὡς οὐ κωλύσει αὐτὸν καταλιθωθῆναι. ¶ Πέτροισιν. ἡ πέτρα κοινὸν, ὁ πέτρος Ἀττικῶς. ¶ Καταξανθείς. ἤγουν διαλυθεὶς ὑπὸ τῶν πέτρων. ¶ Διεπεραιώθη. διειλκύσθη, διῆλθεν, ἐγυμνώθη. εἰ μὴ γὰρ εἰς πέρας ἑλκυσθῇ, οὐ διέρχεται. ¶ Λήγει δ' ἔρις. ἡ ἔρις εἰς πολὺ δραμοῦσα καὶ προκόψασα, ἔστη τῇ συναντήσει τοῦ λόγου Νέστορος. ἐκ τοῦ Ἀχιλλέως δὲ πρὸς Ἀγαμέμνονα ἀρχῆς παραγέγραπται. καὶ ὥσπερ ὁ Νέστωρ ἐκεῖ διαλλάσσει, οὕτως καὶ νῦν οἱ γέροντες. ἡ ἔρις δὲ προκόψασα προσωτάτω, λήγει ἐκ συναλλαγῆς λόγου τῶν γερόντων, οἷον ἐκ τῆς ὁμιλίας. ¶ Ἐν ξυναλλαγῇ λόγου. τῇ ἀμοιβῇ τοῦ λόγου συμβιβάσει. ¶ Οὐκ ἔνδον. ἐν συντόμῳ, οὐκ ἀναγκαῖον γὰρ διελθεῖν περὶ ὧν ἤκουσεν ὁ ἀκροατής. ¶ Νέοισι. καινοῖς. ¶ Ἐγκαταζεύξας. συνθεὶς, ἐφαρμόσας.

ΙΟΥ, ἰού. εἰδὼς ἀπὸ τοῦ μάντεως, ὅτι κακὸν αὐτῷ γίνεται, οὕτω προαναφωνεῖ. ¶ Ἠφάνην ἐγὼ βραδύς. ἤγουν. φησὶ δὲ ὅτι οὐκ ἐβράδυνα παραγενόμενος, ἀλλὰ βραδέως ἐπέμφθην. ¶ Τί δ' ἐστὶ χρείας. οἱ δὲ, τί σοι λείπει ὅπερ σπάνιόν ἐστι πρὸς τὴν χρείαν τὴν νῦν. ἐσπάνιζε δὲ τοῦ ἄμεινον εἶναι τὸ πρὸ ὀλίγου αὐτὸν παραγενέσθαι. καὶ παρὰ σιμωνίδῃ
,, ἕνεκα τοῦ πρὸς αὐτὰ ἀγγέλου πεμφθέντος. διότι καί σε μάλιστα ὠνάσατο πρότερος ἐλθών.
Υ πεσπανισμένον. δεόμενον τῆς τοῦ αἴαντος παρουσίας. ℂ Τὸν ἄνδρ' ἀπηύδα. ἀναγκαίως δηλοῦται ὁπότε ἔγνωκεν ἀπόντα τὸν αἴαντα. ἔδει γὰρ δηλωθῆναι τῷ θεάτρῳ. λέγει δὲ ὅτι ἀπηγόρευσεν ὁ Τεῦκρος μὴ παριέναι τὸν ἄνδρα ἐκ τῆς σκηνῆς ἔξω. τοῦ δὲ μὴ καὶ παρόντος καὶ ἀπόντος σώζεται ἡ ἔννοια. Παρήκειν. παριέναι, ἥκειν. παριοσή ἢ παρά. ℂ Πρὸς τὸ κέρδιστον. ἤγουν πρὸς τὴν τοῦ κέρδους καὶ ἐπωφελῆ γνώμην. ¶ Ὡς καταλλαχθῇ χόλου. πιθανῶς ὡς πελῖται χόλον καὶ οὐ μανίαν λέγουσιν. οἴχεται τὸ τραπεὶς πρὸς τὸ κέρδιστον τῆς γνώμης, ὅπως τὴν ἔχθραν καταθῆται, καὶ διαλλαχθῇ τοῖς θεοῖς ἀπὸ τοῦ χόλου.
Τ αὐτ' ἐστὶ τἄπη. ἐπίσταται γὰρ ἀκηκοέναι τὰ παρὰ τοῦ Κάλχαντος.
Π λέα. ἤγουν πεπληρωμένα. πλέα τὸ παρισότερον μικρὸν, καὶ κλίνεται πλέονος. πλέων δὲ τὸ ἀνάπλεων μέγα. ℂ Εἴπερ τι Κάλχας. ἐκ παροιμίας ὁ στίχος παρῆκται, ἣν καὶ ἀριστοφάνης ἀναγράφει. ἐπίσταται γὰρ ἃ ἀκήκοε παρὰ τοῦ Κάλχαντος.

Αγ. Ἰού, ἰού, ἰού.
βραδεῖαν ἡμᾶς ἆρ' ὁ τήνδε τὴν ὁδὸν
πέμπων ἔπεμψεν, ἢ 'φάνην ἐγὼ βραδύς;
Χο. τί δ' ἐστὶ χρείας τῆσδ' ὑπεσπανισμένον;
ἀγ. τὸν ἄνδρ' ἀπηύδα Τεῦκρος ἔνδοθεν στέγης
μὴ 'ξω παρήκειν, πρὶν παρὼν αὐτὸς τύχῃ.
Χο. ἀλλ' οἴχεταί τοι πρὸς τὸ κέρδιστον τραπεὶς
γνώμης, θεοῖσιν ὡς καταλλαχθῇ χόλου.
ἀγ. ταῦτ' ἐστὶ τἄπη μωρίας πολλῆς πλέα,
εἴπερ τι Κάλχας εὖ φρονῶν μαντεύεται.
Χο. ποῖον, τί δ' εἰδὼς τοῦδε πράγματος πέρι;
ἀγ. τοσοῦτον οἶδα, καὶ παρὼν ἐτύγχανον.
Ἐκ γὰρ συνέδρου καὶ τυραννικοῦ κύκλου
Κάλχας μεταστὰς οἶος Ἀτρειδῶν δίχα,
εἰς χεῖρα Τεύκρου δεξιὰν φιλοφρόνως
θεὶς, εἶπε, κἀπέσκηψε παντοίᾳ τέχνῃ
εἶρξαι κατ' ἦμαρ τοὐμφανὲς τὸ νῦν τόδε,
Αἴανθ' ὑπὸ σκηναῖσι, μηδ' ἀφέντ' ἐᾶν,
εἰ ζῶντ' ἐκεῖνον εἰσιδεῖν θέλοι ποτέ.
ἐλᾷ γὰρ αὐτὸν τῇδε θ' ἡμέρᾳ μόνῃ,
δίας Ἀθάνας μῆνις, ὡς ἔφη λέγων.
,, τὰ γὰρ περισσὰ κἀνόνητα σώματα,

τυραννικοῦ. ἤγουν βασιλικοῦ. κύκλου. χοροῦ. ¶ Ἀτρειδῶν δίχα. πάνυ ἀξιοπίστως.
Τ ὅτι οὐκ ἄντικρυς τῶν βασιλέων ὁ μάντις διελέγετο, ἀλλ' ἐν ἀπορρήτῳ κατ' εὔνοιαν τοῦ αἴαντος. Μεταστάς. μεταχωρήσας. μεθίστασθαι τὸ ἀμείβειν στάσιν ἐκ στάσεως. καὶ μεταβαίνειν τὸ ἀμείβειν τόπον ἐκ τόπου. ℂ Εἶρξαι παντοίᾳ τέχνῃ. ἤγουν κωλῦσαι διὰ παντοίας τέχνης καὶ μηχανῆς τὸν αἴαντα ὑπὸ ταῖς σκηναῖς κατὰ τὴν παροῦσαν ταύτην ἡμέραν. ¶ Ἀφέντ' ἐᾶν. ἤγουν ἀπολύσαντα, ὅμοιον δὲ τῷ ἔφη λέγων. Τὸ ἐμφανές, τῆς ἡμέρας ἐπίθετόν ἐστιν, ὡς λέγομεν, νύκτα μέλαιναν. ¶ Ἐλᾷ γὰρ αὐτόν. πιθανῶς ὡς μάντις τὴν αἰτίαν λέγει τῆς μανίας. κατ' ἀρχὰς γὰρ ἡ ἀθηνᾶ οὐ δηλοῖ τοῦτον παρεῖπε. ℂ Τὰ γὰρ περισσὰ καὶ ἀνόνητα. τὰ παρέλκοντα καὶ ἀχρήσιμα καὶ πέρα τοῦ

μέτρου, τὰ χωρὶς δίκης. ¶ Βαρείαις. ἀπὸ μεταφορᾶς τῶν βαρέων σωμάτων καὶ δυσβαστάκτων. ¶ Ὅστις ἀνθρώπου φύσιν. πρόσκειται ὁ νοῦς εἰς τό, γνῶθι σαυτόν, πρὸς τὸ σημαινόμενον δὲ εἶπεν, ὅστις τό, ἀνθρώπου ἀποδούς, ἅ τινα δέον εἰπεῖν, εἰ τὸ μὴ πληθυντικῶς εἶπεν. ἁπλούστερον ἢ ὅτινες εἰπεῖν ἔδει. τὸ δὲ ὅλον. ὅστις ἄνθρωπος πεφυκώς, ἔπειτα μὴ κατ᾽ ἄνθρωπον φρονεῖ. ¶ Φύσιν. οὐσία φύσεως διαφέρει. οὐσία μὲν ἐστὶν ἡ ὕπαρξις. φύσις δὲ ἡ ἐνοῦσά τινι δύναμις, οἷον φύσις τῆς γῆς τὸ ἀναβλαστεῖν βοτάνας. καὶ φύσις τοῦ πυρὸς τὸ θερμαίνειν, ἀφ᾽ οὗ εὐφυὴς ὁ εὖ ἔχων τῆς φύσεως. καὶ εὐφυΐα τὸ τοιοῦτον. εἰκότως οὖν εὐφυΐα ἐπὶ ἀνθρώπων λέγεται ἐπὶ φυτῶν ἐπὶ γῆς καὶ τῶν τοιούτων. λέγεται φύσις καὶ ἡ ποιότης, οἷον ὄρη δὲ περιμήκη περιβέβληται φύσεως οὐ μιᾶς. ἤγουν ποιότητος, φύσις καὶ ἡ εὐφυΐα, ἤγουν τὸ κάλλος. ὡς, λόγος, τὸ εὔλογον. φύσις καὶ τὸ γένος, ἀπὸ τοῦ φύειν, οὐ μαθὼν ὃς εἶ φύσιν. Ἀπ᾽ οἴκων. ἀπὸ τῶν οἴκων τῶν πατρικῶν. ¶ Ὁ δ᾽ ὑψικόμπως. παρατήρει κἀνταῦθα τὴν προσθήκην τοῦ ποιητοῦ, ὅτι προσῆψε τῷ Αἴαντι ἀλαζονείαν, μονονουχὶ θεραπεύων τὸν θεατὴν μὴ ἄχθεσθαι τῇ συμφορᾷ τοῦ Αἴαντος. προσῳκειωμένοι γὰρ ἤδη τῇ ἀρετῇ αὐτοῦ, σχεδὸν καὶ τῷ ποιητῇ ὀργίζονται. ¶ Ὁμοῦ. τὸ ὁμοῦ ἀντὶ τοῦ σύν. τὸ δὲ ἑξῆς. θεοῖς ὁμοῦ. ¶ Κείνων. τῶν θεῶν. Ἐπισπάσειν. ἀντὶ τοῦ ἐπισπάσασθαι ἤγουν λήψεσθαι, σπῶ τὸ μεταλαμβάνω, καὶ συντάσσεται γενικῇ, οἷον ἔσπασε τοῦ ὕδατος. ἐπισπῶμαι δὲ τὸ λαμβάνω, καὶ συντάσσεται αἰτιατικῇ. ¶ Εἶτα δεύτερον. πρὸς τὸ ἄνους καλῶς λέγοντος ἀποδίδοται. ἤγουν τοῦ πατρὸς καλῶς λέγοντος, ἄνους ἐφωράθη. εἶτα δεύτερον, τῆς δίας Ἀθάνας λεγούσης δηλονότι ἄνους εὑρέθη. ¶ Ἵστω. ἱστάσθω. ¶ Καθ᾽ ἡμᾶς δ᾽. ἡ καθ᾽ ἡμᾶς μάχη. ἢ ἔνθα ἡμεῖς ἐσμέν. ¶ Ἀστεργῆ. ἀμάλακτον, ἀδιάλλακτον. Ἀλλ᾽ εἴπερ ἐστί. εἰ παρέλθοι ταύτην τὴν ἡμέραν. σωθεῖμεν ἄν. μέχρι γὰρ τοῦ σήμερον παρατείνειν τὴν ὀργὴν τῆς θεοῦ ἔλεγεν. ¶ Ὁ δ᾽ εὐθὺς ἐξ ἕδρας. ἅμα μὲν διὰ τὸ ἀξιόπιστον τοῦ προσώπου, ἅμα δὲ ὡς μὴ δοκοίη δι᾽ ἀπέχθειαν ταῦτα λέγειν. διὰ πάντων δὲ διδά

„ Πίπτειν βαρείαις πρὸς θεῶν δυσπραξίαις
„ Ἔφασχ᾽ ὁ μάντις. ὅστις ἀνθρώπου φύσιν
βλαστών, ἔπειτα μὴ κατ᾽ ἄνθρωπον φρονεῖ,
κεῖνος δ᾽ ἀπ᾽ οἴκων εὐθὺς ἐξορμώμενος,
ἄνους καλῶς λέγοντος εὑρέθη πατρός.
„ Ὁ μὲν γὰρ αὐτὸν ἐννέπει, Τέκνον, δορὶ
„ Βούλου κρατεῖν μέν, σὺν θεῷ δ᾽ ἀεὶ κρατεῖν.
ὁ δ᾽ ὑψικόμπως κἀφρόνως ἠμείψατο,
Πάτερ, θεοῖς μὲν κἂν ὁ μηδὲν ὢν ὁμοῦ,
κράτος κατακτήσαιτ᾽. ἐγὼ δὲ καὶ δίχα
κείνων, πέποιθα τοῦτ᾽ ἐπισπάσειν κλέος.
Τοσόνδ᾽ ἐκόμπει μῦθον. εἶτα δεύτερον
δίας Ἀθάνας, ἡνίκ᾽ ὀτρύνουσά νιν
ηὐδᾶτ᾽ ἐπ᾽ ἐχθροῖς χεῖρα φοινίαν τρέπειν,
τότ᾽ ἀντιφωνεῖ δεινὸν ἄρρητόν τ᾽ ἔπος,
ἄνασσα, τοῖς ἄλλοισιν Ἀργείων πέλας
ἵστω. καθ᾽ ἡμᾶς δ᾽ οὔποτ᾽ ἐκρήξει μάχη.
Τοιοῖσδε τοῖς λόγοισιν ἀστεργῆ θεᾶς
ἐκτήσατ᾽ ὀργήν, οὐ κατ᾽ ἄνθρωπον φρονῶν.
ἀλλ᾽ εἴπερ ἐστὶ τῇδε θ᾽ ἡμέρᾳ, τάχ᾽ ἂν
γενοίμεθ᾽ αὐτοῦ σὺν θεῷ σωτήριοι.
τοσαῦθ᾽ ὁ μάντις εἶφ᾽. ὁ δ᾽ εὐθὺς ἐξ ἕδρας
πέμπει με σοὶ φέροντα τάσδ᾽ ἐπιστολὰς
Τεῦκρος, φυλάσσειν. εἰ δ᾽ ἀπεστερήμεθα,

σκε, ὅτι κρατεῖ τῶν ἀνθρωπίνων ἡ εἱμαρμένη. καὶ γνῶναι μὲν τὰ ἐσόμενα διὰ μαντικῆς ἐστιν, οὐ μὴν καὶ φυλάξασθαι δυνατόν. ℂ Ω δαΐα Τέκμησσα. δάϊον κοινῶς τὸ πολέμιον, ἀττικῶς δὲ τὸ δύστηνον. τίνος δὲ ἕνεκεν οὐκ ἐποίησεν ἐξιοῦσαν τὴν Τέκμησσαν; ἵνα μὴ παρὰ τοῦ χοροῦ ἀκούσῃ τὰ περὶ τοῦ αἴαντος, ὡς ἐν τοῖς ἄλλοις δράμασιν, ἔν τε Ἠλέκτρᾳ καὶ Οἰδίποδι ἅμα τῷ χορῷ τὰς τῶν γυναικῶν προόδους ποιεῖ, ἵνα μὴ δυσσολογῶσιν οἱ ἄγγελοι. ῥητέον δὲ ὅτι ὁ αἴας ἐκέλευσεν αὐτὴν κατ' οἶκον εὔξασθαι τοῖς θεοῖς, εἰπὼν ἔσω δόμων ἀπελθοῦσα. οὐδὲ μὴν αἰχμαλώτου σχῆμα ἔχουσαν ἔδει συνεχῶς ἐξιέναι, μάλιστα ἐν τοιούτῳ καιρῷ ἠγρυπνηκυῖαν καὶ παρακολουθηκυῖαν τῇ τοῦ αἴαντος μανίᾳ. ἔδει δὲ μέγα τι φανῆναι τὸ ἐξάγον αὐτήν. διὸ πρὸς τὸν χορὸν

οὐκ ἔστιν ἁνὴρ κεῖνος, εἰ Κάλχας σοφός.
Χο. ὦ δαΐα Τέκμησσα, δύσμορον γένος,
ὅρα μολοῦσα τόνδ' ὁποῖ' ἔπη θροεῖ.
ξυρεῖ γὰρ ἐν χρῷ τοῦτο μὴ χαίρειν τινά.
Τέ. τί μ' αὖ τάλαιναν ἀρτίως πεπαυμένην
κακῶν ἀτρύτων, ἐξ ἕδρας ἀνίστατε;
Χο. τοῦδ' εἰσάκουε τἀνδρός, ὡς ἥκει φέρων
αἴαντος ἡμῖν πρᾶξιν, ἣν ἤλγησ' ἐγώ.
Τέ. οἴμοι. τί φῄς ὤνθρωπε, μῶν ὀλώλαμεν;
ἀγ. οὐκ οἶδα τὴν σὴν πρᾶξιν. αἴαντος δ' ὅτι
θυραῖος εἴπερ ἐστίν, οὐ θαρσῶ πέρι.

ἔδει σε πρότερον εἰπεῖν, οἱ ὡς ἐπὶ μεγάλῃ προφάσει ἐκκαλοῦσιν αὐτήν. ἄλλως τε. οἱ ἀπὸ τοῦ χοροῦ οἰκειότεροί εἰσιν ὡς πολῖται τοῦ αἴαντος. ὥστε καὶ ὁ ἄγγελος καλῶς οὐκ ἐζήτησε μεῖζον πρόσωπον, ἀλλὰ τὸν αἴαντα οὐ καταλαβὼν ἔνδον πρὸς τὸν χορόν φησιν. εἰς ἀνάγκην δὲ ἐγνωκὼς ὁ ποιητὴς τοῦ διαλογίζεσθαι, οὐ δημοῦ προσκορὴς ἐγένετο. ἀλλὰ τὰ δεύτερα διὰ βραχέων ἐξήνεγκεν. ἄλλως. ὦ δαΐα. δηΐα. πεπονθυῖα. ἡ κατακεκομμένη. καταπεπολεμημένη. κεκακωμένη. ὦ δύστηνε. ὦ πεπολεμημένη καὶ ἀθλία. ἀπρεπὲς γὰρ πολεμίαν αὐτὴν ἀποκαλεῖν. καὶ αἰσχύλος ἀντὶ τοῦ ἀθλία κέχρηται τῇ λέξει ¶ Ορα μολοῦσα. ἤγουν σκόπει ἐλθοῦσα. ℂ Ξυρεῖ γὰρ ἐν χρῷ. ἅπτεται τῶν ἀναγκαίων τοῦ
,, χρωτός. ἔστι παροιμία ἐπὶ τῶν ἐπικινδύνων πραγμάτων, ὅμοιον τῷ, ὥρα τίν'
,, ἤδη κρᾶτα καλύμμασι κρυψάμενον. ξυρεῖ ἐν χρῷ. ἐνίοτε γὰρ καὶ τοῦ σώματος ἐφάπτεται ὁ σίδηρος. ἄλλως. μέχρι βάθους ἐφικνεῖται, ὥστε μὴ χαίρειν. τὸ δὲ τινὰ περιέλκεται.
T Ί μ' αὖ τάλαιναν. πρὸς τὸ Εὐριπίδειον ἐν Δίκτυϊ, τί μ' ἄρτι πημάτων λελησμένην ὀρθοῖς. ℂ Ατρύτων. πολυτρύτων. πάνυ κακούντων. ¶ Εξ ἕδρας ἀνίστατε. οὐκοῦν δεῖ τὸ κεκμηκέναι καὶ ἀναπαύσεως δέεσθαι ἔνδον διέτριβε. καὶ τὴν πρόφασιν τοῦ μὴ προϊέναι [illegible]. ℂ Ηλγησα. ἀλγεινῶς ἤκουσα. ℂ Τί φῄς ὤνθρωπε. γυναικοπαθῶς ἀναβοᾷ πυθομένη ὅτι ἀγγέλλει τις νεώτερόν τι περὶ τοῦ αἴαντος. ἴδιον δὲ τῶν φίλων τὸ τὰ χείρω ἀεὶ ὑπονοεῖν. ¶ Μῶν ὀλώλαμεν. τοιαῦτα γὰρ ἔλεγεν ὅτι συναπολοῦμαί σοι ἐὰν σὺ ἀποθάνῃς. ℂ Οὐκ οἶδα τὴν σὴν πρᾶξιν. ἀντὶ τοῦ τὴν τύχην. ἤγουν εὐπραγίαν ἢ δυσπραγίαν. πρὸς δὲ τὸ μῶν ὀλώλαμεν, ἐπήνεγκεν ὁ ἄγγελος περὶ τοῦ αἴαντος μόνου. οὐ γὰρ τοιοῦτός ἐστιν ὁ καιρὸς ὥστε σοφίζεσθαι καὶ τὰς φωνὰς ἐξετάζειν. καλῶς δὲ τὸ θαρσῶ. οὐδὲ γὰρ αὐτὸς οἶδεν, ἀλλ' ἀπὸ τῶν λόγων τοῦ Κάλχαντος ἀγωνιᾷ φησιν. ¶ Οὐ θαρσῶ πέρι. τὸ δὲ τοῦ αἴαντος δὲ οἶδα δῆλον ὅτι, ὅτι εἴπερ ἐστὶ θυραῖος

ἤγουν ἐκτὸς, καὶ δηλοῖ στάσιν. θύραζε δὲ ἀντὶ τοῦ εἰς τὸ ἔξω. θύραθεν ἀντὶ τοῦ ἔξωθεν, καὶ δηλοῖ κίνησιν ἀπὸ τοῦ ἐκτὸς εἰς τὰ ἔσω. ¶ Ὠδίνειν. ἀντὶ τοῦ ὀδυνᾶσθαι, ἀλγεῖν. ὥστε μ' ὠδίνειν. ἐμφατικῶς τὸ ὠδίνειν. οἰκεῖον γὰρ γυναικί. χαλεπώτερον δὲ τῶν γυναικείων πόνων ἡ ὠδίς. ¶ Ἐξεφίετο. ἀντὶ τοῦ ἐφίετο, ἤγουν ἐνετέλλετο. ¶ Κἀπὶ τῷ· ἤγουν ἐπὶ τίνι πράγματι, διὰ τί λέγει ταῦτα; ¶ Ὀλεθρίως. ἀντὶ τοῦ ὀλεθρίαν. τὸ δὲ φέρειν, τουτέστι λέγεσθαι. ℭ Ὕπαυλον. ἔνδομυχον, ὑπὸ τὴν αὐλὴν τῆς σκηνῆς. ℭ Καθ' ἡμέραν τὴν νῦν. ἀμφιβόλως ἤτοι μαθὼν τὴν νῦν ἡμέραν. ἢ ὅτι κατὰ τὴν νῦν ἡμέραν τεθνήξεται.

Τέ. καὶ μὴν θυραῖος. ὥστε μ' ὠδίνειν. τί φής;
ἄγ. Ἐκεῖνον εἴργειν Τεῦκρος ἐξεφίετο
σκηνῆς ὕπαυλον, μηδ' ἀφιέναι μόνον.
Τέ. ποῦ δ' ἐστὶ Τεῦκρος, κἀπὶ τῷ λέγει τάδε;
ἄγ. πάρεστ' ἐκεῖνος ἄρτι· τήνδε δ' ἔξοδον
ὀλεθρίαν Αἴαντος ἐλπίζει φέρειν.
Τέ. Οἴμοι τάλαινα, τοῦ, ποτ' ἀνθρώπων μαθών;
ἄγ. τοῦ Θεστορείου μάντεως καθ' ἡμέραν
τὴν νῦν, ὅ τ' αὐτῷ θάνατον ἢ βίον φέρει.
Τέ. Οἲ ἐγὼ φίλοι, πρόστητ' ἀναγκαίας τύχης.
καὶ σπεύσαθ' οἱ μὲν, Τεῦκρον ἐν τάχει μολεῖν.
οἱ δ' ἑσπέρους ἀγκῶνας, οἱ δ' ἀνθηλίους
ζητεῖτ' ἰόντες τἀνδρὸς ἔξοδον κακήν.
ἔγνωκα γὰρ δὴ φωτὸς ἠπατημένη,
καὶ τῆς παλαιᾶς χάριτος ἐκβεβλημένη.
Οἴμοι τί δράσω τέκνον, οὐχ ἱδρυτέον.
ἀλλ' εἶμι κἀγὼ κεῖσ', ὅποι περ ἂν σθένω.
χωρῶμεν, ἐγκονῶμεν, οὐχ ἕδρας ἀκμὴ,
σώζειν θέλοντες ἄνδρα γ' ὃς σπεύδει θανεῖν.
Χο. χωρεῖν ἕτοιμος, κοὐ λόγῳ δείξω μόνον.

¶ Ὅτ' αὐτῷ θάνατον ἢ βίον. εἰ μὲν ἔνδον μένει σωθήσεται. εἰ δὲ μὴ, ἀπόλλυται. διὰ τούτου δὲ τὸ ἄδηλον τοῦ μοιριδίου δηλοῖ. ὡς καὶ ὅμηρος, Διχθαδίας κῆρας φερέμεν θανάτοιο τέλος δε. ℭ Πρόστητ' ἀναγκαίας τύχης. ἐπίκουροι γίνεσθε τῆς κατεπειγούσης δυστυχίας. ἤγουν προστάται γίνεσθε ἕνεκα τῆς ἀνάγκην καὶ βίαν ἐχούσης τύχης. ¶ Ἐν τάχει. ἀντὶ τοῦ ταχέως, καὶ τὸ ἐν τάχει, καὶ κατὰ τάχος, καὶ ὅσον τάχος, καὶ διὰ τάχεος, καὶ διὰ τάχους, καὶ διὰ ταχέων ἐπὶ τοῦ αὐτοῦ. ¶ Οἱ μὲν Τεῦκρον. πιθανῶς καὶ Τεῦκρον μεταπέμπεται, ἵνα μὴ δόξῃ ἄγγελον πέμπειν, ὅτ' ἐντύχωσι τῷ σώματι. ℭ Ἑσπέρους. δυτικούς. Ἀγκῶνας. τὰς ἄκρας τῶν ὀρῶν τὰς πρὸς δύσιν. ℭ Ἀνθηλίους. ἑῴους, τοὺς ἀντικρὺ τῆς ἀνατολῆς τοῦ ἡλίου.

¶ Ἔγνωκα γὰρ δὴ φωτός. οἷον δι' ὧν εὐνοϊκῶς ἔπραξα εἰς αὐτὸν, καταφρονήσας ἠπάτησέ με. ¶ Οἴμοι τί δράσω; σφόδρα παθῶς ἐφάψασθαι τῆς ζητήσεως καὶ τῷ τέκνῳ κελεύει. καὶ ὥσπερ ἀπολογουμένη, ὅτι καταλιμπάνει αὐτόν. φησὶν οὖν ἐν ἀπόρῳ γενομένη, τί δράσω; οἷον πῶς μόνον σε καταλίπω; ¶ Οὐχ ἱδρυτέον. οὐκ ἄξιον καθέζεσθαι. ℭ Ὅποι περ ἂν σθένω. οἷον τῆς προθυμίας οὐδὲν ἐλλείψω, καὶ εἰ τῷ σώματι ἀδυνατῶ. ℭ Ἐγκονῶμεν. ἤγουν σπεύσωμεν. τὸ ἐγκονεῖν λέγουσιν ἀντὶ τοῦ σπεύδειν, ἐπεὶ οἱ μετὰ σπουδῆς πορευόμενοι κόνιν ἐπαίρουσιν. ℭ Οὐχ ἕδρας ἀκμή. ἤγουν καθέδρας, ἀναπαύσεως καιρός ἐστιν. ℭ Χωρεῖν ἕτοιμος. μετακινεῖται ἡ σκηνὴ τοῦ χοροῦ ἐξελθόντος. ἀναγκαία δὲ ἡ ἔξοδος, ἵνα εὕρῃ καιρὸν ὁ Αἴας διαχειρίσασθαι ἑαυτόν.

τάχος γὰρ ἔργου καὶ ποδῶν ἅμ' ἕψεται.
ΑΙ. ὁ μὲν σφαγεὺς ἕστηκεν, ᾗ τομώτατος
γένοιτ' ἄν, εἴ τῳ καὶ λογίζεσθαι σχολή.
δῶρον μὲν ἀνδρὸς Ἕκτορος, ξένων ἐμοὶ
μάλιστα μισηθέντος, ἐχθίστου θ' ὁρᾶν.
πέπηγε δ' ἐν γῇ πολεμίᾳ τῇ Τρῳάδι,
σιδηροβρῶτι θηγάνῃ νεηκονής.
ἔπηξα δ' αὐτὸν εὖ περιστείλας ἐγώ,
εὐνούστατον τῷδ' ἀνδρὶ διὰ τάχους θανεῖν.
οὕτω μὲν εὐσκευοῦμεν. ἐκ δὲ τῶνδέ μοι
σὺ πρῶτος, ὦ Ζεῦ, καὶ γὰρ εἰκός, ἄρκεσον.
αἰτήσομαι δέ σ' οὐ μακρὸν γέρας λαχεῖν.
πέμψον τιν' ἡμῖν ἄγγελον, κακὴν φάτιν
Τεύκρῳ φέροντα, πρῶτος ὥς με βαστάσῃ
πεπτῶτα τῷδε περὶ νεορράντῳ ξίφει,

Τάχος γὰρ ἔργου. ἤγουν ἅμα γὰρ ἕψεται, ἀντὶ τοῦ συνδραμεῖται τάχος ἔργου καὶ ποδῶν, ἤγουν χρείας, τουτέστι καὶ ταχέως ἅψομαι τοῦ ἔργου, καὶ ταχέως ἐργάσομαι αὐτό.

Ὁ μὲν σφαγεὺς ἕστηκε. μετάκειται ἡ σκηνὴ ἐπὶ ἐρήμου τινὸς χωρίου, ἔνθα ὁ Αἴας εὖ πήξας τὸ ξίφος, ῥῆσιν τινὰ πρὸ τοῦ θανάτου προφέρεται, ἐπὶ πλεῖον ἦν κωφὸν εἰσελθόντα περιπεσεῖν τῷ ξίφει. ἔστι δὲ τὰ τοιαῦτα παρὰ τοῖς παλαιοῖς σπάνια. εἰώθασι γὰρ τὰ πεπραγμένα δι' ἀγγέλων ἀπαγγέλλειν. τί οὖν τὸ αἴτιον; φθάνει Αἰσχύλος ἐν Θρῄσσαις τὴν ἀναίρεσιν Αἴαντος δι' ἀγγέλου ἀπαγγείλας. ἴσως οὖν καινοτομεῖν βουλόμενος, καὶ μὴ κατακολουθεῖν τοῖς ἑτέροις, ὑπ' ὄψιν ἔθηκε τὸ δρώμενον. ἢ μᾶλλον ἐκπλῆξαι βουλόμενος. εἰκῆ γὰρ καὶ τὴν μορφὴν ἀνδρὸς παλαιοῦ οὐχ ὅσιον. πήξας δὲ τὸ ξίφος ταῦτά φησι. σφαγέα δὲ λέγει, ἢ τὸν καιρὸν τοῦ ἀποθανεῖν, ἢ τὸ εἰς σφαγὴν ξίφος. ¶ Ἡ τομώτατος. ἀντὶ τοῦ ὅπου. πρέπον γὰρ ἂν εἴη τῷ ἀποθνῄσκοντι, ἀλογίστως ἰέναι ἐπὶ τὸ προκείμενον. ἕπεται δὲ τῷ λόγῳ, ὅτι τοῖς καρτερικοῖς ἅπαξ κρίνασι περί τινος, οὐ γίνεται ἀναβολή, οὐδὲ μετάνοια. ὥσπερ δὲ ἀποδίδοται τὸ ὡς, πρὸς τὸ οὕτως, οὕτω καὶ τὸ ἣ τὸ ἐπίρρημα πρὸς τὸ ταύτῃ ἐπίρρημα. ¶ Μάλιστα μισηθέντος. μεγαλόφρων ὁ Αἴας, καὶ μέχρις ἐσχάτης ὥρας μισῶν τοὺς βαρβάρους. ὅτι δὲ δῶρον εἶπεν, ξένιον ἐπήνεγκε. ξένιον γὰρ λέγομεν τὸ δῶρον τὸ παρὰ ξένων διδόμενον. εἶτα προσέθηκεν, ἐμοὶ μάλιστα μισηθέντος. ¶ Ἐχθίστου θ' ὁρᾶν. ἐμοὶ δηλονότι εἰς τὸ ὁρᾶν. ὅμοιον τῷ, ἡδὺς ὁ Πράμνιος πιεῖν, ἤγουν εἰς τὸ πιεῖν τινα ἐξ αὐτοῦ. ¶ Εἴ τῳ καὶ λογίζεσθαι. ὅμοιον τῷ, ἵνα τι καὶ παραθεωρήσω, καὶ εἰ δεῖ τοῦτο εἰπεῖν, καὶ τοῖς τοιούτοις, ἃ λέγεται ὅταν τε ἀνακύψῃ τι καὶ περισπάσει τὸν νοῦν. εὐθὺς γὰρ ἐπάγεται ταῦτα, ἵνα δηλώσῃ ὅτι καὶ ἕτερόν τι ἀνέκυψεν, ὅπερ οὐκ ἦν ἐν τῇ γνώμῃ τοῦ προκειμένου σκοποῦ· ἐμφαίνει δὲ ταῦτα εὐπορίαν τοῦ λέγοντος, ὡς μεταξὺ δύνασθαι σχολάζειν περὶ ἑτέρους καὶ ἑτέρας βουλάς. ¶ Πέπηγε δ' ἐν γῇ. πρόδηλον μὲν, ὅμως δὲ τὸ περιπαθές, ὅτι ἐν πολεμίᾳ γῇ ὑπὸ δυσμενοῦς ἀπόλλυμαι. ¶ Θηγάνῃ. ἀκόνῃ. ὅθεν καὶ θήγειν τὸ ἀκονᾶν. ¶ Περιστείλας. εὖ ζεπίσας. διαχειρισάμενος. περισφίγξας ἐν τῇ γῇ. ¶ Τῷδ' ἀνδρί. ἀντὶ τοῦ ἐμοί. ¶ Διὰ τάχους θανεῖν. λείπει τὸ, ὥστε διὰ τάχους θανεῖν. Εὐσκευοῦμεν. καλῶς παρεσκευάσμεθα καὶ ἔχομεν πάντα ὧν δεῖ πρὸς θάνατον. ¶ Ἐκ δὲ τῶνδέ μοι. ἀντὶ τοῦ μετὰ ταῦτα. ¶ Καὶ γὰρ εἰκός, ἄρκεσον. ἀντὶ τοῦ ἐπάρκεσον, ἤγουν βοήθησον. καὶ γὰρ εἰκός,

ἐπαρ-

ἐπαρκέσαι δηλονότι πρῶτον. τοῦτο δὲ λέγει ἐπεὶ πρόπαππος αὐτοῦ ἦν. καὶ ἦν δίκαιος ὑπὸ πρώτου αὐτοῦ τυγχάνειν βοηθείας. ¶ Οὐ μακρὸν γέρας λαχεῖν. οὐ μεγάλου δώρου τυχεῖν. λαχεῖν κυρίως τὸ ἀπὸ κλήρου τυχεῖν. ἐνταῦθα δὲ ἁπλῶς ἀντὶ τοῦ τυχεῖν. συντάσσεται δὲ τὸ μὲν λαχεῖν αἰτιατικῇ, τὸ δὲ τυχεῖν γενικῇ.

ἔροντα. ἀντὶ τοῦ οἴσοντα. φάτιν δὲ τὴν ἀγγελίαν. ¶ Πεπτῶτα. πεπτωκότα κατὰ συγκοπήν, ἀπὸ τοῦ πεπτωκότα. ΚΑΙ ΜΗ πρὸς ἐχθρῶν του. καταπέλαστος φασὶν ὁ αἴας μὴ τῶν κυνῶν ἢ τῶν οἰωνῶν τὴν αἰκίαν ἀποστελλόμενος, ἀλλὰ τὴν θέαν τῶν ἑλλήνων. ῥητέον οὖν, ὅτι ἰδίωμα τῶν ἀνθρώπων τὸ μὴ βούλεσθαι τοὺς ἐχθροὺς ἐναβρύνεσθαι αὐτοῖς. καὶ τούτου μόνου ἀντιποιοῦνται. ¶ Νεοῤῥάντῳ. προσφάτῳ, ἢ τῷ δι' ὀλίγου ῥαντισθησομένῳ ὑπὸ τοῦ αἵματος. ¶ Ῥιφθῶ. ἀντὶ τοῦ ῥιφῶ, ὡς ἐπὶ τὸ πλεῖστον ὅτε εἰσὶν οἱ εἰς ην παθητικοὶ δεύτεροι ἀόριστοι ἐν χρήσει, οἱ παθητικοὶ πρῶτοι ἀόριστοι ἄχρηστοι εἰσίν, εἰ μὴ παρὰ ποιηταῖς. οἷον ῥίπτω, ῥίψω, ἔῤῥιψα, ἐῤῥίφην, ἐῤῥίφθην. φαίνω, ἐφάνην, ἐφάνθην. ¶ Οἰωνοῖς. ὄρνισι. κυρίως δὲ οἱ γῦπες. ¶ Τοσαῦτα σ' ὦ Ζεῦ. γράφεται καὶ τοιαῦτα. προστρέπω δέ, κατ' εὐκτικὸν λέγω. προστρόπαιοι γὰρ οἱ ἱκέται. ¶ Πομπαῖον. τὸν ψυχοπομπόν. ¶ Εὖ με κοιμίσαι. θαυμαστῶς καὶ γενναίως, κοιμίσαι εἶπεν ὡς τοῦ ὕπνου τὸν θάνατον. καὶ Ὅμηρος, κοιμήσατο χάλκεον ὕπνον.

Καὶ μὴ πρὸς ἐχθρῶν του κατοπτευθεὶς πάρος,
ῥιφθῶ κυσὶ πρόβλητος, οἰωνοῖς θ' ἕλωρ.
τοσαῦτά σ' ὦ Ζεῦ προστρέπω. καλῶ δ' ἅμα
πομπαῖον Ἑρμῆν χθόνιον εὖ με κοιμίσαι,
ξὺν ἀσφαδάστῳ καὶ ταχεῖ πηδήματι,
πλευρὰν διαῤῥήξαντα τῷδε φασγάνῳ.
καλῶ δ' ἀρωγοὺς τὰς ἀεί τε παρθένους,
ἀεὶ δ' ὁρώσας πάντα τἀν βροτοῖς πάθη.

¶ Ξὺν ἀσφαδάστῳ. ἀσκαρίστῳ καὶ σπασμὸν μὴ ἔχοντι. ἀντὶ τοῦ συντόμῳ, ὅπως καιρίας τῆς πληγῆς γινομένης μὴ προσγενέσθαι σπασμόν, μηδὲ πολλὴν ἐν τῷ θανάτῳ διατριβήν. καὶ παρ' Εὐριπίδῃ, ὁ δ' ἐσφάδαζεν οὐκ ἔχων ἀπαλλαγάς. σφαδάζειν ἔλεγον τὸ σπᾶσθαι, καὶ σφακελίζειν. παραδεδομένον δὲ κατὰ ἱστορίαν, ὅτι κατὰ τὸ ἄλλο σῶμα ἄτρωτος ἦν ὁ αἴας, κατὰ δὲ τὴν μασχάλην μόνην τρωτός. διὰ τὸ τὸν ἡρακλέα τῇ λεοντῇ αὐτὸν σκεπάσαντα, κατὰ τοῦτο τὸ μέρος ἀσκέπαστον ἐᾶσαι διὰ τὸν γωρυτόν, ὃν περιέκειτο. φησὶ δὲ περὶ αὐτοῦ αἰσχύλος, ὅτι καὶ τὸ ξίφος ἐκάμπτετο, οὐδαμῇ ἐνδιδόντος τοῦ χρωτὸς τῇ σφαγῇ, τόξον ὥς τις ἐντείνων. πρὶν δή τις φησὶ παροῦσα δαίμων ἔδειξεν αὐτῷ κατὰ ποῖον μέρος δεῖ χρήσασθαι τῇ σφαγῇ. ὁ δὲ Σοφοκλῆς, ἐξιθύσαι μέν πως πρεσβυτέρῳ μὴ βουληθείς, οὐ μὴν παραλιπεῖν αὐτὸ δοκιμάζων, ψιλῶς φησι πλευρὰν ἀναῤῥήξαντα τῷδε φασγάνῳ, κατὰ τί τὴν πλευρὰν μὴ εἰπών. ¶ Τὰς ἀεί τε παρθένους. μυθικόν ἐστι τὸ λέγειν τὰς ἐριννύας ἀεὶ παρθένους. νῦν δὲ τὰς ἀδωροδοκήτους, καὶ οὐχὶ χραινθῆναι δώροις δυναμένας ὑπὸ τῶν ἀδικούντων. ¶ Ἀεὶ δ' ὁρώσας. ἀντὶ τοῦ ἐφορώσας, ἐκδικούσας τὰ ἀνθρώπινα πάθη.

ΤΑΝΥΠΟΔΑΣ. τὰς ἀκοπιάστως ἐπιούσας. συναπτέον δὲ τῷ μαθεῖν, τὸ τανύποδας. οἷον ταχέως μαθεῖν τὸ κατ' ἐμὲ, καὶ μὴ ἀμελῆσαι ἐπεξελθεῖν τὸν ἐμὸν φόνον. τὸ γὰρ τεῖναι τοὺς πόδας, ἐστὶ τὸ βαδίζειν. ἢ καθ' ἑαυτὸ τὸ τανύποδας ληπτέον τὰς πανταχοῦ τεινούσας τοὺς πόδας. Πανωλέθρους. ἀντὶ τοῦ πανωλεθρίους, τουτέστι παντελεῖ καὶ καθολικῷ ὀλέθρῳ. Ξυναρπάσειαν. ἀντὶ τοῦ ἀναρπάσειαν. ὁμοῦ ποιήσειαν. ἀνάρπαστος δὲ ὁ ἀφνιδίως ἀποθανών.

Αὐτοσφαγῆ. αὐτοχειρίᾳ σφαγῇ. ἔστι δὲ ἀντὶ τοῦ ἐπιρρήματος. Τὼς αὐτοσφαγεῖς. ὥσπερ ἀπέβη τῷ Ἀγαμέμνονι. ὑπὸ γὰρ τῶν φιλτάτων ἀπώλετο. ταῦτα δὲ νοθεύεσθαί φησιν ὑποβληθέντα πρὸς σαφήνειαν τῶν λεγομένων. Πρὸς τῶν φιλίστων. παρὰ τῶν φιλτάτων, ἢ πρὸ τῶν φιλίστων, ἤγουν ἔμπροσθεν. Ὀλοίατο. ὄλοιντο. ἀφανισθεῖεν. Ποίνιμοι. τιμωροί, αἱ ἐκδικοῦσαι τοὺς ἀδικουμένους. Γεύεσθε. τὸ ἑξῆς. γεύεσθε πανδήμου στρατοῦ. μὴ φείδεσθε. Σὺ δ' ὦ τὸν αἰπὺν οὐρανόν. ὑπερβολικῶς. εἰώθασι γὰρ περὶ τῶν δεινῶν λέγειν, ὅτι ἐπικαλυψάμενος ὁ ἥλιος τὰ τοιαῦτα παρέρχεται. ὁ δὲ πρὸς τὸν ἥλιόν φησι. καὶ ἀπάγγειλον ἐπιστεύσας τοῖς γονεῦσι τὰ πεπραγμένα. Ἐπισχών. κωλύσας τῆς πορείας. τὴν ἡνίαν δὲ, ἀντὶ τοῦ ἅρμα. Τῇ τε δυστήνῳ τροφῷ.

σεμνὰς Ἐρινῦς τανύποδας, μαθεῖν ἐμὲ
πρὸς τῶν Ἀτρειδῶν ὡς διόλλυμαι τάλας.
καί σφας κακοὺς κάκιστα καὶ πανωλέθρους
ξυναρπάσειαν, ὥσπερ εἰσορῶσ' ἐμὲ
αὐτοσφαγῆ πίπτοντα. τὼς αὐτοσφαγεῖς
πρὸς τῶν φιλίστων ἐκγόνων ὀλοίατο.
ἴτ' ὦ ταχεῖαι, ποίνιμοί τ' Ἐρινύες,
γεύεσθε, μὴ φείδεσθε πανδήμου στρατοῦ.
σὺ δ' ὦ τὸν αἰπὺν οὐρανὸν διφρηλατῶν
ἥλιε, πατρῴαν τὴν ἐμὴν ὅταν χθόνα
ἴδῃς, ἐπισχὼν χρυσόνωτον ἡνίαν,
ἄγγειλον ἄτας τὰς ἐμὰς, μόρον τ' ἐμὸν
γέροντι πατρὶ, τῇ τε δυστήνῳ τροφῷ.
ἦ που τάλαινα τήνδ' ὅταν κλύῃ φάτιν,
ἥσει μέγαν κωκυτὸν ἐν πάσῃ πόλει.
ἀλλ' οὐδὲν ἔργον ταῦτα θρηνεῖσθαι μάτην,
ἀλλ' ἀρκτέον τὸ πρᾶγμα σὺν τάχει τινί.
ὦ θάνατε θάνατε, νῦν μ' ἐπίσκεψαι μολών·
καίτοι σὲ μὲν κἀκεῖ προσαυδήσω ξυνών.
σὲ δ' ὦ φαεννῆς ἡμέρας τὸ νῦν σέλας,
καὶ τὸν διφρευτὴν ἥλιον προσεννέπω,
πανύστατον δὴ, κοὔποτ' αὖθις ὕστερον.
ὦ φέγγος, ὦ γῆς ἱερὸν οἰκείας πέδον

καὶ ταῦτα φιλοπαθῆ καὶ ἀνθρώπινα. ὅρα γὰρ ὅτι καὶ Ἡρακλῆς ἐπὶ τῷ θανάτῳ τὴν μητέρα μεταπέμπεται. ὅπου καὶ πάνυ οἰκτρῶς αὐτὴν ἀνακαλεῖ. καλεῖ δὲ τὴν τάλαιναν. ὡς ἀντιλαμβανόμενος δὲ ἑαυτοῦ ἐπάγει, ἀλλ' οὐδὲν ἔργον ταῦτα θρηνεῖσθαι μάτην. Ἄλλως. οἱ μὲν τῇ θρεψαμένῃ, οἱ δὲ ἐπὶ τὸ σαφέστερον. Ἦ που. ὄντως. Ἥσει. ἀφήσει. ὁ δὲ κωκυτὸς καὶ ὁ γόος ποιαὶ φωναί. Ἀρκτέον. ἤγουν ἄξιον ἀρχὴν λαβεῖν τὸ πρᾶγμα. ἔστι δὲ ὄνομα ἐπίθετον ἀλλ' οὐκ ἐπίρρημα. τὰ μὲν γὰρ οὕτω προφερόμενα ἐπιρρήματα, ἐνεργητικὴν ἔχουσι τὴν σημασίαν, τὰ δὲ ὀνόματα, παθητικήν. Πανύστατον. ἀν-

τὶ τοῦ

τὶ τοῦ ὕστατον. τῶν ποιητῶν ἔθος ἐστὶ τὸ προστιθέναι τοῖς ὑπερθετικοῖς ἑτέρας ἐπιτάσεις, οἷον ὕστατον πανύστατον, ἄιστον πανάιστον. ¶ ΕΣΤΙΑΣ βάθρον. δύναται καὶ τὸ κράτος νοεῖσθαι, ἢ ὁ τόπος, καὶ ἡ βάσις τῆς ἑστίας. ¶ Κλειναί τ' Ἀθῆναι. τῶν Ἀθηναίων μέμνηται διὰ τὴν συγγένειαν, καὶ ὅτι ἐν Ἀθήναις ὁ ποιητὴς ἠγωνίζετο ταῦτά φησιν, ὑποσαινόμενος αὐτοὺς εἰς εὔνοιαν. ¶ Κρῆναί τε ποταμοί θ' οἵδε. ἢ ἐμ ἀρχῇ ἔφη,

Σαλαμῖνος, ὦ πατρῷον ἑστίας βάθρον,
κλειναί τ' Ἀθῆναι, καὶ τὸ σύντροφον γένος,
κρῆναί τε ποταμοί θ' οἵδε, καὶ τὰ Τρωϊκὰ
πεδία, προσαυδῶ. χαίρετ' ὦ τροφῆς ἐμοί.
τοῦθ' ὑμῖν Αἴας τοὔπος ὕστατον θροεῖ.
τὰ δ' ἄλλ', ἐν ᾅδου τοῖς κάτω μυθήσομαι.
ἡμι. Πόνος πόνῳ πόνον φέρει.
πᾶ, πᾶ,
πᾶ γὰρ οὐκ ἔβαν ἐγώ;
κοὐδεὶς ἐπίσταταί με συμμαθεῖν τόπος.
ἰδού, ἰδού. δοῦπον αὖ κλύω τινά.
ἡμι. ἡμῶν γε ναὸς
κοινόπλουν ὁμιλίαν.
ἡμι. τί οὖν δή;
ἡμι. πᾶν ἐστίβηται πλευρὸν ἕσπερον νεῶν.

ἐν γῇ πολεμίᾳ τῇ Τρῳάδι. ἐνταῦθα δὲ ἐπὶ τέλει, καὶ τὰς κρήνας, ἢ τοὺς ποταμοὺς καλεῖ, παρ' οἷς μέλλει τελευτᾶν. καὶ ἔστιν εὐσεβοῦς ἀνδρὸς διαμνημονεύειν πρὸ τοῦ θανάτου θεούς, τόπους, χώραν, πατρίδα, ἀδελφούς, ὥστε μετ' εὐφημίας ἀποθανεῖν. ἴσως δὲ καὶ ἀπομαρτυρόμενος λέγει. ¶ Σύντροφον πένος. οἱ ὁμήλικες. ¶ Θροεῖ. λέγει. ¶ Τοῦθ' ὑμῖν Αἴας. περιπαθῶς καὶ τὸ ὄνομα ἀνακαλεῖται. δεῖ δὲ ὑπονοεῖσθαι ὅτι περιπίπτει τῷ ξίφει, ἢ δεῖ καρτερόν τινα εἶναι τὸν ὑποκριτήν, ὡς ἄξαι τοὺς θεατὰς εἰς τὴν τοῦ Αἴαντος φαντασίαν. ὁποῖα περὶ τοῦ ζακυνθίου Τιμοθέου φασίν, ὅτι ἦγε τοὺς θεατάς, ἢ ἐψυχαγώγει τῇ ὑποκρίσει ὡς σφαγέα αὐτὸν κληθῆναι. ¶ Πόνος πόνῳ πόνον φέρει. λείπει ἡ πρός. ἵν' ᾖ, ὁ πόνος πρὸς τῷ πόνῳ πόνον φέρει. ἢ ἔστι τὸ μὲν πόνος πόνῳ ἀρχαϊκόν, ὡς ἔργον ἐπ' ἔργῳ. τὸ δὲ δεύτερον πόνον κοινῶς, οἷον κάματον. ἄλλως. οἱ ἀπὸ τοῦ χοροῦ ποιοῦσιν ὥσπερ ἐκ διαφόρων τόπων κατ' ἄλλην καὶ ἄλλην εἴσοδον, ζητοῦντες τὸν Αἴαντα. καὶ ἡ Τέκμησσα δὲ ἐξ ἄλλων, ἥτις ἢ πρώτη ἐπιτυγχάνει τῷ πτώματι. ὁ δὲ νοῦς, ὁ πόνος ἐπὶ πόνῳ πόνον φέρει. ὡς Ὅμηρος, Πάντῃ δὲ κακὸν κακῷ ἐστήρικται. καὶ ἐν Τραχινίαις, Νὺξ γὰρ εἰσάγει ἢ νὺξ ἀπωθεῖ διαδεδεγμένη πόνον. ¶ Φέρει. ἀντὶ τοῦ ἐπιφέρεται. ¶ Κοὐδεὶς ἐπίσταταί με. οὐδείς οἶδέ με τόπος συμμαθεῖν. οἷον μεμαθηκότα τὸν χρόνον οὐδείς με οἶδε τόπος, ἀλλὰ μάτην περιῆλθεν. ¶ Συμμαθεῖν. ἀντὶ τοῦ διδάξαι, εἰς μάθησιν ἀγαγεῖν τοῦ ζητουμένου. ¶ Ἰδοὺ ἰδού. πιθανὰ ταῦτα, ἢ σχεδὸν τῆς ἀληθείας ἐγγύς. τὸ δέ, δοῦπον. ἐλπίζοντες τῷ σώματι περιπεσεῖν. ¶ Κοινόπλουν ὁμιλίαν. ἢ συναῦται ἐπὶ τῆς αὐτῆς νηὸς πλεύσαντες. ἢ στρατικῶς τὸν αὐτὸν ἡμῖν πλοῦν ἐσταλμένοι πρὸς τὴν ζήτησιν ὁμιλίαν κλύω. δηλονότι ἡμῶν τῆς κοινόπλου νηὸς ἤγουν τοῦ ναυτικοῦ λαοῦ τοῦ ὁμοῦ ἡμῖν πλεύσαντος. ¶ Πᾶν ἐστίβηται. ἤγουν ὅλον τὸ ἑσπέριον μέρος τῶν νεῶν διώδευται.

ἜΧΕΙΣ οὖν. ἀπὸ μεταφορᾶς τῶν ἐχόντων τι ἐν ταῖς χερσί, καθὸ λέγεται οὐ κενοῖς χερσὶν ἐπανήκειν, ἢ τῶν πραγμάτων μὴ χειρῶν δεομένων. ¶ Ἀλλ' οὐδ' ἐμοὶ δή. κατὰ τὴν ὁδὸν τὴν ἀπὸ τοῦ ἡλίου βολῶν. ἔστι δὲ καὶ οὕτως, ἀλλὰ οὐδὲ μὲν δὴ μολών, ἤγουν ἐλθὼν ὁ ἀνὴρ τὴν ὁδὸν τὴν ἀπὸ τοῦ ἡλίου ἄπουσαν δηλοῦται φανεὶς οὐδαμοῦ. τουτέστιν ἐν οὐδενὶ τόπῳ φαίνεται. ¶ Δηλοῖ. ἀντὶ παθητικοῦ δηλοῦται. ¶ Τίς ἂν δή μοι. ὅλος ὁ χορὸς εἰς ἓν συνελθών, ταῦτά φησι. ¶ Τίς ἂν φιλοπόνων ἁλιαδᾶν. τίς τῶν ἁλιέων ἀγρυπνεῖν εἰθισμένων διὰ τὴν ἄγραν. ἢ τίς θεὰ ὀλυμπιάς. ἢ ποταμῶν ἴδρις. τουτέστι ναΐς, ἀπατήλα εἴ που λεύσσει τὸν ὠμόθυμον. ἁλιάς, τὸ ἁλιευτικὸν πλοῖον. ἁλιάδαι δέ, οἱ παῖδες τῶν ἁλιέων, ἤγουν οἱ ἁλιεῖς, ὡς ἀσκληπιάδαι οἱ ἰατροί. ¶ Ῥυτῶν. τῶν ῥεόντων παρὰ τὴν ῥύσιν. ἤγουν ἢ τίς θεὰ ἴδρις τῶν ῥυτῶν ποταμῶν τῶν βοσπορείων. ¶ Βοσπορείων. ἴσως τῶν ἑλλησποντίων, τῶν εἰς τὸν βόσπορον ῥεόντων ποντικῶν ποταμῶν. δύο δέ εἰσι βόσποροι. ὁ μέν, κατὰ τὴν προποντίδα. ὁ δὲ θρακικός, ὥς φησι Φιλέας.
Α ἀπύοι. εἴποι. ¶ Σχέτλια γὰρ ἐμέ γε. δεινὰ γὰρ πράγματα ἐμὲ τὸν ἀλήτην πόνοις πλανηθέντα, μὴ εὐθυδρομῆσαι εἰς τὸ τῆς ζητήσεως μέρος, καθὸ ὁ Αἴας ἐποιήσατο τὴν ἔφοδον. τότε γὰρ ἂν εἴη ὄνειδον. ¶ Ἀλλ' ἀμενηνόν. ἐφ' ἑαυτοῦ οὐκ ἀλήτου τοῦ Αἴαντος. σχέτλια ἂν εἴη μὴ ἀλήτην τετυχηκέναι αὐτοῦ, ἀλλ' ἠσθενηκέναι με τῇ ζητήσει. ¶ Πάραυλος. παρατεταμένη, ἐγγὺς παρὰ τὴν αὐλήν. ἢ θρηνητικὴ παρὰ τοὺς αὐλούς. ¶ Ἰὼ τλήμων. τότε ἐν τῷ ἐμφανεῖ γενομένη, ὅπερ δηλοῖ ὁ χορός. ἄλλως. Τέκμησσα βοᾷ ἀλήτῳ τυχοῦσα τῷ σώματι. φαίνεται δὲ οὐδέπω ἔνοπτος οὖσα τῷ χορῷ. ¶ Τὴν δυσείλητον. ἤγουν τὴν Τέκμησσαν ὁρῶ τὴν δύσμορον τὴν δορίληπτον, τουτέστι τὴν ἐν αἰχμαλωσίᾳ νυμφευθεῖσαν. ¶ Κρυφαίῳ. τῷ λαθραίως τῶν φίλων γενομένῳ, ἢ ἀποκεκρυμμένῳ.

ἡμι. ἔχεις οὖν;
ἡμι. πόνου γε πλῆθος, κοὐδὲν εἰς ὄψιν πλέον.
ἡμι. ἀλλ' οὐδ' ἐμοὶ δὴ τὴν ἀφ' ἡλίου βολῶν
κέλευθον, ἀνὴρ οὐδαμοῦ δηλοῖ φανείς.
Χο. Τίς ἂν δή μοι, τίς ἂν
φιλοπόνων ἁλιαδᾶν
ἔχων ἀΰπνους ἄγρας,
ἢ τίς ὀλυμπιάδων θεᾶν, ἢ ῥυτῶν
βοσπορείων ποταμῶν ἴδρις,
τὸν ὠμόθυμον εἴ ποθι πλαζόμενον
λεύσσων, ἀπύοι;
σχέτλια γὰρ ἐμέ γε τὸν μακρῶν ἀλάταν
πόνων, οὐρίῳ μὴ πελάσαι δρόμῳ,
ἀλλ' ἀμενηνὸν ἄνδρα μὴ λεύσσειν ὅπου.
Τέ. Ἰώ, ἰώ μοι μοι.
Χο. τίνος βοὴ πάραυλος ἐξέβη νάπους;
Τέ. ἰὼ τλήμων.
Χο. τὴν δυσείλητον δύσμορον νύμφην ὁρῶ
Τέκμησσαν, οἴκτῳ τῷδε συγκεκραμένην.
Τέ. οἴχωκ', ὄλωλα, διαπεπόρθημαι, φίλοι.
Χο. τί δ' ἔστιν;
Τέ. Αἴας ὅδ' ἡμῖν ἀρτίως νεοσφαγὴς
κεῖται, κρυφαίῳ φασγάνῳ περιπτυχής.

μετάφ. εἰς δὲ δυσκολίαν εἰς τὸ σῶμα. τὸ δὲ περιπτυχὲς, κυριώτατα μὲν ὠνόμασται, ἡμῖν δὲ δυσμετάβλητον. τινὲς δὲ περικεκυλισμένος. ¶ Ιω μοι ἐμῶν νόστων. ἐν προώροις περὶ ἑαυτοῦ ὀλοφύρονται. ¶ Τόνδε συνναύταν. αὐτὶ τοῦ ἐμὲ τὸν χορὸν συνήθως. ¶ Τίνος ποτ' ἄρ' ἔπραξε. ἤγουν διὰ χειρὸς τίνος ἄρα ἔπραξε τὸν φόνον. οἱ ἀττικοὶ τὸ ἄρα ὅταν μὲν ἐρωτηματικὸν ᾖ, τροχαϊκῶς γράφουσιν. ὅταν δὲ ὡς σύνδεσμος συναπτικὸς λέγηται, ἀδιαφόρως ποτὲ μὲν τροχαϊκῶς, ποτὲ δὲ πυρριχιακῶς.

Χο Ἰώ μοι ἐμῶν νόστων.
ἰώ μοι, κατέπεφνες ἄναξ
τόνδε συνναύταν,
ἰὼ τάλας, ἰὼ ταλαίφρων γύναι.
Τέ ὡς ὧδε τοῦδ' ἔχοντος, αἰάζειν πάρα.
Χο τίνος ποτ' ἄρ' ἔπραξε χειρὶ δύσμορος;
Τέ αὐτὸς πρὸς αὐτοῦ δῆλον. ἐν γάρ οἱ χθονὶ
πηκτὸν τόδ' ἔγχος περιπετὲς κατηγορεῖ.
Χο ἰώ μοι ἐμᾶς ἄτας. οἶος ἄρ' αἱμάχθης,
ἄφακτος φίλων.
ἐγὼ δ' ὁ πάντα κωφὸς,
ὁ πάντ' ἄϊδρις, κατημέλησα.
πᾶ πᾶ
κεῖται ὁ δυστράπελος,
ὁ δυσώνυμος Αἴας;
Τέ Οὔτοι θεατός. ἀλλά νιν περιπτυχεῖ
φάρει καλύψω τῷδε παμπήδην, ἐπεὶ
οὐδεὶς ἂν ὅστις καὶ φίλος τλαίη βλέπειν
φυσῶντ' ἄνω πρὸς ῥῖνας. ἔκ τε φοινίας

¶ Εν γάρ οἱ χθονί. αὐτὸ τὸ σχῆμά φησι δηλοῖ, ὅτι ὑφ' ἑαυτοῦ ἀνῃρέθη. πᾶν δὲ ἀμυντήριον, καὶ δόρυ ἔγχος καλοῦσιν οἱ νεώτεροι. ¶ Πηκτόν. περιπεπηγὸς αὐτῷ. ¶ Κατηγορεῖ. σημαίνει. λέγεται δὲ ὅλον οὕτως. πηκτὸν γὰρ ὂν δηλονότι ἐν τῇ χθονὶ τόδε τὸ περιπετὲς ἔγχος αὐτοῦ, κατηγορεῖ ἤγουν περιστατοῦ ὅτι ὑφ' ἑαυτοῦ δηλονότι ἐφονεύθη. κατηγορῶ σε ἀγαθὰ ἢ φαῦλα ἀπὸ γενικῆς εἰς αἰτιατικήν. κατηγορεῖν δὲ τὸ περιστατικῶς καὶ δεικνύειν μετ' αἰτιατικῆς μόνης λέγεται. ¶ Οἷος ἄρ' αἱμάχθης. μόνος ᾑματώθης. ¶ Περιπετές. ᾧ περιέπεσε. τοῦ δὲ θεατοῦ εἰδότος τὸν τρόπον τῆς ἀναιρέσεως, ἔλεγε τὸν χορὸν καὶ τὴν Τέκμησσαν πολυπραγμονῆσαι. ¶ Αφακτος φίλων. ἀφύλακτος. οὐ πεφραγμένος καὶ τετειχισμένος τοῖς φίλοις. διὰ τὸ ἀπατηθέντας καταλιπεῖν σε. ¶ Ο πάντα κωφός. τὰ πάντα εἰς τὴν ἀπάτην. ἐγὼ δέ φησιν ὁ ἀναίσθητος κατημέλησα. ¶ Πᾶ πᾶ. ἀπὸ ἄλλης ἀρχῆς. βουλόμενοι τὸ σῶμα θεάσασθαι ταῦτα λέγουσιν. ὃ διακωλύει ἡ Τέκμησσα. ¶ Ο δυστράπελος. δύσκολος. δυσκίνητος. ἀμετάτρεπτος. ὃς οὐχ εὗρεν ἐκφυγὴν τῷ πάθει. οὕτω λέγουσι καὶ δυστράπελον τὸ ὄρυγμα, τὸ οὐκ εὐδιάλλακτον. ἄλλως. δυστράπελόν φασιν ἀττικῶς τὸν ἀμετακίνητον ἐν ὀργῇ ἢ διαθέσει ἢ φιλονεικίᾳ. τὸν αὐτὸν δὲ καὶ ἀτράπελον. ¶ Ο δυσώνυμος αἴας. ὡς καὶ αὐτὸς λέγει ὁ αἴας. λέγεται δυσώνυμος καὶ οὗ τὸ ὄνομα ἀπεχθῶς οἱ ἄνθρωποι ἔχονται διὰ τὸ μῖσος, ὅπερ ἔχουσι πρὸς αὐτόν, καθ' ὃ λέγεται δυσώνυμος ὁ ἰούδας. ¶ Φάρει καλύψω. ἦθος γυναικὸς τὸ μὴ ἀσχημόνως δεικνύναι τὸ σῶμα. ¶ Παμπήδην. παντελῶς ὅλον τὸ σῶμα. ¶ Οὐδεὶς ἂν ὅστις καὶ φίλος. ὑπὸ

βολικῶς. ἐπεὶ οὐκ εἰκὸς ἐν τοῖς δεινοῖς τοὺς φίλους μαλακίζεσθαι. ¶ Τλαίη βλέπειν. ὑπομείνῃ. τλῶ, τὸ ὑπομένω καὶ τολμῶ, οὗ μέλλων τλήσω, δεύτερος ἀόριστος ἔτλην. τὸ δὲ ἐνεστηκὸν τλάω. ¶ Μελανθὲν αἷμα. χυθὲν ὤφειλεν εἰπεῖν. ἢ πεπηγὸς ἀπὸ τῆς οἰκείας σφαγῆς. ὃ δή ἐστι τὸ μέλαν γενόμενον αἷμα μελανθὲν αἷμα λέγει.

Τίς σε βαστάσει φίλων. πάντα τὰ ἀπορηματικὰ, καὶ μάλιστα ἐπὶ τῶν πρώτων προσώπων τῶν ἑνικῶν ὑποτακτικῷ γράφεται. ¶ Ὡς ἀκμαῖος. καίριος. κατὰ καιρόν. παρὰ τὴν ἀκμὴν τοῦ καιροῦ. καλῶς δὲ ζητεῖ τὸν Τεῦκρον, ἵν' ἡ κηδεία γένηται ἀπὸ τοῦ συγγενοῦς. Συγκαθαρμόσαι. περιστεῖλαι. ¶ Ὡς καὶ παρ' ἐχθροῖς. αὔξησις τοῦ πάθους. ὡς καὶ τοὺς δυσμενεῖς ἐλεεῖν. ¶ Ἔμελλες τάλας. Αἴας. ἔοικας ἄρα καὶ δῆλος ἦς. ¶ Στερεόφων. οἷον ἐφ' οἷς ἐνόησας καὶ ἤλπιζες περιυβρισμένος ὑπὸ τῶν Ἀτρειδῶν, ἔμελλες πληρώσειν κατὰ τὰς φρένας τὴν μοῖραν. ¶ Πάννυχα καὶ φαέθοντα. κατὰ νύκτα καὶ ἡμέραν. φαέθων ὁ ἥλιος καὶ ὁ υἱὸς τοῦ ἡλίου. ¶ Ὠμόφων. ἀττικῶς μέγα. οὕτω γὰρ τὰς αὐτὰς ἔχουσιν ὀρθὰς καὶ κλητικάς, οὕτω καὶ ὦ δύσμορ' Αἴας, ἀντὶ τοῦ Αἴαν. ¶ Ἄρχων χρόνος. ἀρχηγός. γενναία δὲ ἡ ἰσχυρά. ¶ Ἀριστόχειρ. ὁ γενναῖος τὰ ἀριστεῖα. τὸ δὲ ὅλον. μέγας ἄρα ἄρχων ἤγουν ἐπιστάτης ἦν πημάτων, ὁ χρόνος ἐκεῖνος, ἦμος περὶ τῶν ὅπλων ἔκειτο ἀγών. ἀριστόχειρ. ἤγουν ὑπὲρ τοῦ φανῆναι τὸν ἄριστον ταῖς χερσίν.

πληγῆς, μελανθὲν αἷμ' ἀπ' οἰκείας σφαγῆς.
οἴμοι. τί δράσω; τίς σε βαστάσει φίλων;
ποῦ Τεῦκρος; ὡς ἀκμαῖος εἰ βαίη, μόλοι,
πεπτῶτ' ἀδελφὸν τόνδε συγκαθαρμόσαι.
ὦ δύσμορ' Αἴας, οἷος ὢν, οἵως ἔχεις,
ὡς καὶ παρ' ἐχθροῖς ἄξιος θρήνων τυχεῖν.

Χο ἔμελλες τάλας,
ἔμελλες χρόνῳ στερεόφων
ἄρ' ἐξανύσειν κακὰν
μοῖραν ἀπειρεσίων
πόνων. τοῖά μοι
πάννυχα καὶ φαέθοντ'
ἀνεστέναζες ὠμόφων
ἐχθοδόπ' Ἀτρείδαις
οὐλίῳ σὺν πάθει.
μέγας ἄρ' ἦν ἐκεῖνος ἄρχων χρόνος
πημάτων, ἦμος ἀριστόχειρ
ὅπλων ἔκειτ' ἀγὼν πέρι.

Τέ ἰώ μοί μοι.

Χο χωρεῖ πρὸς ἧπαρ, οἶδα, γενναία δύη.

Τέ ἰώ μοί μοι.

Χο οὐδέν σ' ἀπιστῶ καὶ δὶς οἰμῶξαι, γύναι,
τοιοῦδ' ἀποβλαφθεῖσαν ἀρτίως φίλου.

Τέ σοὶ μὲν δοκεῖν ταῦτ' ἔστ', ἐμοὶ δ' ἄγαν φρονεῖν.

Χο ξυναυδῶ.

Τέ οἴμοι τέκνον, πρὸς οἷα δουλείας ζυγὰ
χωροῦμεν, οἷοι νῷν ἐφεστᾶσι σκοποί.

Οὐδέν σ' ἀπιστῶ. εἰώθασιν ἐν τοῖς πάθεσιν καὶ συγχωρεῖν τοῖς ἀλγοῦσι. φέρει γὰρ τοῦτο καὶ κόρον τῶν θρήνων καὶ παραμυθίαν. ¶ Σοὶ μὲν δοκεῖν. σοὶ μὲν ταῦτα ἐν δόξῃ καταλαμβάνεται. ἐγὼ δὲ σαφῶς ἐπίσταμαι. ἔστι μὲν γὰρ τῷ χορῷ οἰκειότης πρὸς Αἴαντα, ἀλλ' οὐχ ὅσον πρὸς τὴν Τέκμησσαν. ¶ Δοκεῖν. δοξάζειν. ¶ Ἄγαν φρονεῖν. τὸ αἰσθάνεσθαι τῆς λύπης. ¶ Δουλείας ζυγά. ἀπὸ μεταφορᾶς τῶν ζῴων τῶν ζευγνύντων τοὺς βοῦς. ¶ Σκοποί. οἱ Ἀτρεῖδαι.

Ὤμοι ἀναλγήτων. ἀσυμπαθῶν εἰ τοῦτο πράξειαν. ἢ τῶν μηδ' ὅλως ἀλγούντων ταῖς συμφοραῖς τῶν Ἑλλήνων. ἢ τῶν ἀναλγήτων τῶν εἰς τὰ ἄλλα ἄχη ἡμᾶς ἐμβεβληκότων. Ἄλλως. γράφεται ἰώ μοι. ἀσυμπαθῶς δὲ ὁ χορὸς ἀναβοᾷ ἐπὶ τῷ Τεκμήσσης λόγῳ. ¶ Ἄναυδον ἔργον. ἔργον ἄρρητον, ὅπερ δηλονότι ἔχουσιν ἐν τῇ γνώμῃ πράττειν, εἴρηκας ἐν τῇδε τῇ λύπῃ τῶν ἀσυμπαθῶν Ἀτρειδῶν. ἄρρητον δὲ τὸ μὴ δυνάμενον ῥηθῆναι, καὶ τὸ μὴ ἄξιον ῥηθῆναι. ἢ ὡς ἀπρόσπαιον οὐκ ἔστιν ἄξιον λέγεσθαι. ἢ ὡς αἰσχρόν. ἢ ὡς μυστηριῶδες ἄρρητον ὑπερβολικῶς καὶ τὸ μέγα καὶ τὸ πολύ. Τῷδ' ἄχει. τῇ παρούσῃ συμφορᾷ. Οὐκ ἂν τάδ' ἔστη. οὐκ ἂν ταῦτα ἐπράχθη οὕτω μὴ θεῶν βουλομένων, ὥστε καὶ ταῦτά ἐστι πρὸς δόκησιν περὶ τῶν Ἀτρειδῶν. Ἄλλως. πρὸς τὸ εἰρημένον ὑπὸ τοῦ θεοῦ. ἀλλ' ἀπείργοι θεός φησιν οὐκ εἰκὸς συλλήψεσθαι ἡμῖν τοὺς θεούς, ἐπεὶ οὐδὲ ἂν ἐπράχθη ταῦτα. ¶ Ἄγαν γ' ὑπερβριθές. μέγα καὶ βαρὺ ἤνυσαν οἱ πράξαντες τὰ περὶ τὸν Αἴαντα. ὅ ἐστιν οἱ αἴτιοι τούτων. ¶ Φυτεύει. ἀντὶ τοῦ ἐφύτευσεν. ἤγουν τῆς αὐτῆς βλάβης ἀφορμὴν ἔδωκε Παλλὰς ἡ μεγάλη θεός, ἡ θυγάτηρ τοῦ Διός, εἰς χάριν τοῦ Ὀδυσσέως. τὸ φυτεύειν ἐπὶ τοῦ φυτοῦ λέγεται κυρίως. ἤγουν τὸ τὴν ῥίζαν αὐτοῦ καταβάλλειν. ἀπὸ τούτου δὲ παρὰ τοῖς ποιηταῖς καὶ ἐπὶ ἀνθρώπων. ὡς παρ' Εὐριπίδῃ, ὅνπερ φυτεύει Πέλοπα. καὶ ἁπλῶς ἐπὶ τοῦ καταβάλλειν ἀρχὴν ἔν τινι πράγματι, ὡς ἐνταῦθα. ¶ Κελαινώπαν. οἷον οὐκ ἐν τῷ φανερῷ, ἀλλ' ἐν σκότῳ ἤδη βλεπόμενον καὶ μέλανα· καὶ οἷον κεκρυμμένον καὶ δόλιον. καὶ οὐχ ἁπλοῦν θυμὸν ἐφυβρίζει. ἔξωθεν δὲ ἡ κατά, τὸ δὲ ἡμᾶς λείπει. ἵν' ᾖ, κατὰ τὸν θυμὸν ἐφυβρίζει ἡμᾶς. κελαινώπαν δὲ θυμὸν ἤγουν βαθυγνώμονα ψυχήν. Τοῖς μαινομένοις. τοῖς διὰ μανίαν συμβεβηκόσι. Γελώντων. ἀντὶ τοῦ γελάτωσαν. Κἀπιχαιρόντων. ἤγουν καὶ ἐπιχαιρέτωσαν. ¶ Ἴσως τοι κεἰ βλέποντα. καὶ νῦν βλέποντα εἶπεν ἀντὶ τοῦ ζῶντα. διὸ τὸ χ πρόσκειται. τὸ δὲ οἰμώζω ἀμετάβατον, καὶ οἰμώζω τὸν τεθνηκότα. Ἐμοὶ πικρός. μᾶλλον ἐμοὶ πικρὸς τέθνηκεν, ἤπερ ἐκείνοις γλυκύς, ἐπεὶ ὧν ἐπεθύμει ἔτυχεν

Χο. ὤμοι ἀναλγήτων
δισσῶν ἐθρόησας
ἄναυδον ἔργον Ἀτρειδᾶν τῷδ' ἄχει.
ἀλλ' ἀπείργοι θεός.

Τε. Οὐκ ἂν τάδ' ἔστη τῇδε, μὴ θεῶν μέτα.

Χο. Ἄγαν γ' ὑπερβριθὲς ἄχθος ἤνυσαν.

Τε. Τοιόνδε μέντοι Ζηνὸς ἡ δεινὴ θεὸς
Παλλὰς φυτεύει πῆμ' Ὀδυσσέως χάριν.

Χο. Ἦ ῥα κελαινώπαν
θυμὸν ἐφυβρίζει
ὁ πολύτλας ἀνήρ,
γελᾷ δὲ τοῖς μαινομένοις ἄχεσιν
πολὺν γέλωτα. φεῦ, φεῦ.
ξύν τε διπλοῖ βασιλῆες
κλύοντες Ἀτρεῖδαι.

Τε. Οἱ δ' οὖν γελώντων, κἀπιχαιρόντων κακοῖς
τοῖς τοῦδ', ἴσως τοι κεἰ βλέποντα μὴ 'πόθουν,
θανόντ' ἂν οἰμώξειαν ἐν χρείᾳ δορός.
» Οἱ γὰρ κακοὶ γνώμαισι, τἀγαθὸν χεροῖν
» ἔχοντες, οὐκ ἴσασι, πρίν τις ἐκβάλῃ.
ἐμοὶ πικρὸς τέθνηκεν, ἢ κείνοις γλυκύς,
αὑτῷ δὲ τερπνός. ὧν γὰρ ἠράσθη τυχεῖν,

οὐκ ἂν οὖν ἐπεγγελῷεν αὐτῷ οἱ ἐχθροί, ὡς αὐτοὶ τῆς ἀπωλείας αἴτιοι γενόμενοι. ΘΕΟΙΣ τέθνηκε. θεῶν βουλομένων. οὐ γὰρ οἱ ἐχθροὶ ἄλλως εἶεν τὴν τοιαύτην αἰτίαν αὐτῷ παρέχον. ❡ Ἰώ μοι μοι. δεῖ γενέσθαι βοήν. ἣν ἀκούσας ὁ χορὸς ἐφίστησι, γνωρίζων τὸ φθέγμα τοῦ Τεύκρου βοῶντος. ❡ Ἐπίσκοπον μέλος. σημαντικόν. ἔφορον. οὐχ ἡμαρτηκὸς τῆς συμφορᾶς. ἀλλ' ἐστοχασμένον. ❡ Ὦ φίλτατ' αἴας. ἔρχεται μεταπεμφθεὶς ὑπὸ Τεκμήσσης. ❡ Ἆρ' ἠμπόληκας. ἐνεπόλησας. ἐκέρδανας. καὶ ἐπὶ φαύλου λέγεται. τροπικῶς δὲ ἀντὶ τοῦ περιεποίησας. ❡ Ὡς ὧδ' ἐχόντων. τὸ ἑξῆς ὡς ὧδ' ἐχόντων πάρα στενάζειν. ❡ Περιαπερχές. ἀντὶ τοῦ βαρύ, ἤτοι ἀμηχανίαν ἐμποιοῦν. περισπασμῶς κατεπεῖγον. ἀπὸ τοῦ περιαπέρχεσθαι τὸ περισπέρχεσθαι. οἱ ἐν δεινῷ τινὶ καταστάντες ἢ χρείᾳ, ἣν μὴ εὑρίσκοντες λύσιν αὐτῶν, ἄνω καὶ κάτω φέρονται πλανώμενοι ὑπ' ἀπορίας. ἐφ' ὧν λέγεται καὶ τὸ ἀλύειν, ὃ γίνεται ἀπὸ τῆς ἄλης ἡ πλάνη. ¶ Τί γὰρ τέκνον τὸ τοῦδε. καὶ πρὶν ἀκοῦσαι τῶν ἀγγέλων ὁ Τεῦκρος ἔδειξε τὴν περὶ τὸν παῖδα κηδεμονίαν ἀφ' ἑαυτοῦ φρονίμως. ❡ Ὡς κενῆς σκύμνον λεαίνης. κεκενωμένης καὶ ἐστερημένης τοῦ συζύγου. καλῶς δὲ τῷ παραδείγματι χρῆται. οἱ γὰρ κυνηγοὶ τηροῦσι τὸν καιρὸν ὁπότε ἔρημοι τῶν μητέρων γίνονται οἱ σκύμνοι. ¶ Ὁδός θ' ὁδῶν. οὐ λέγει τὴν ἐπὶ τὴν Μυσίαν. ἐπιφέρει γάρ, ἣν δὴ νῦν ἔβην. ἀλλὰ ταύτην ἣν ἦλθεν ἐπὶ τὸ ἰδεῖν τὸν νεκρόν.

ἐκτήσαθ' αὑτῷ θάνατον, ὅνπερ ἤθελεν.
πῶς δῆτα τοῦδ' ἐπεγγελῷεν ἂν κάτα;
θεοῖς τέθνηκεν οὗτος, οὐ κείνοισιν, οὔ.
πρὸς ταῦτ' Ὀδυσσεὺς ἐν κενοῖς ὑβριζέτω.
Αἴας γὰρ αὐτοῖς οὐκέτ' ἐστίν, ἀλλ' ἐμοὶ
λιπὼν ἀνίας, καὶ γόους, διοίχεται.

Τευ. Ἰώ μοι μοι.
Χο. σίγησον. αὐδὴν γὰρ δοκῶ Τεύκρου κλύειν
βοῶντος ἄτης τῆσδ' ἐπίσκοπον μέλος.
Τευ. ὦ φίλτατ' αἴας, ὦ ξύναιμον ὄμμ' ἐμοί,
ἆρ' ἠμπόληκας ὥσπερ ἡ φάτις κρατεῖ;
Χο. ὄλωλεν ἀνὴρ Τεῦκρε, τοῦτ' ἐπίστασο.
Τευ. ὤμοι βαρείας ἆρα τῆς ἐμῆς τύχης.
Χο. ὡς ὧδ' ἐχόντων
Τευ. ὦ τάλας ἐγὼ τάλας.
Χο. πάρα στενάζειν.
Τευ. ὦ περιαπερχὲς πάθος.
Χο. ἄγαν γε Τεῦκρε,
Τευ. φεῦ τάλας. τί γὰρ τέκνον
τὸ τοῦδε, ποῦ μοι γῆς κυρεῖ τῆς Τρῳάδος;
Χο. μόνος παρὰ σκηναῖσιν.
Τευ. Οὐχ ὅσον τάχος
δῆτ' αὐτὸν ἄξεις δεῦρο, μή τις ὡς κενῆς
σκύμνον λεαίνης δυσμενῶν ἀναρπάσῃ;
» ἴθ', ἐγκόνει, σύγκαμνε. τοῖς θανοῦσί τοι.
» φιλοῦσι πάντες κειμένοις ἐπεγγελᾶν.
Χο. καὶ μὴν ἔτι ζῶν Τεῦκρε, τοῦδέ σοι μέλειν
ἐφίετ' ἀνὴρ κεῖνος, ὥσπερ οὖν μέλει.
Τευ. ὦ τῶν ἁπάντων δὴ θεαμάτων ἐμοὶ
ἄλγιστον, ὧν προσεῖδον ὀφθαλμοῖς ἐγώ.
ὁδός θ' ὁδῶν ἁπασῶν ἀνιάσασα δὴ
μάλιστα τοὐμὸν σπλάγχνον, ἣν δὴ νῦν ἔβην
ὦ φίλτατ' αἴας, τὸν σὸν ὡς ἐπῃσθόμην

¶ Διώκων.

ΔΙΩΚΩΝ. ἤγουν φθάσαι ζητῶν. ¶ Κἀξιχνοσκοπούμενος. κατ' ἴχνος ἀκολουθῶν. ¶ Ὀξεῖα γάρ σου βάξις. οὐ κοινῶς τὸ ὀξὺ ἐπὶ τῆς φήμης. ἀλλ' ὁρμὴν ἔχει ἐπὶ τοῖς ἀξιώματι προβεβηκόσι. ¶ Ὡς θεοῦ. ἤγουν ὡς ἀπὸ θεοῦ. ἢ ὥσπερ θεοῦ. τοῦτο δὲ πρὸς τὴν φήμην μόνον. ἐπεὶ γίνεται βλάσφημον διὰ τὸ ἑξῆς. ¶ Ὑπεστέναζον. ἴσως ἡσύχως ἐστέναζε δεδοικὼς τοὺς ἐχθρούς. ¶ Ἴθ' ἐκκαλύψον. πρὸς τὸν χορόν φησιν, ἤ τινα τῶν θεραπόντων. ἡ δὲ Τέκμησσα ἐπὶ τὸν παῖδα ἀπήει. ¶ Ὦ δυσθέατον. ὡς ἀνακαλύψασα τοῦτό φησι. ¶ Καταπείρας. δαιμονίως καὶ τὸ ἀπείρας,

μόρον διώκων, κἀξιχνοσκοπούμενος.
ὀξεῖα γάρ σου βάξις ὡς θεοῦ τινὸς
διῆλθ' Ἀχαιοὺς πάντας, ὡς οἴχῃ θανών.
ἁγὼ κλύων δύστηνος, ἐκ ποδῶν μὲν ὤν,
ὑπεστέναζον, νῦν δ' ὁρῶν, ἀπόλλυμαι.
Οἴμοι.
ἴθ' ἐκκαλύψον, ὡς ἴδω τὸ πᾶν κακόν.
ὦ δυσθέατον ὄμμα, καὶ τόλμης πικρᾶς,
ὅσας ἀνίας μοι καταπείρας φθίνεις.
ποῖ γὰρ μολεῖν μοι δυνατὸν, εἰς ποίους βροτοὺς,
τοῖς σοῖς ἀρήξαντ' ἐν πόνοισι μηδαμοῦ.
ἦ που Τελαμὼν σὸς πατὴρ ἐμός θ' ἅμα
δέξαιτ' ἂν εὐπρόσωπος, ἵλεώς τ' ἴσως
χωροῦντ' ἄνευ σοῦ; πῶς γὰρ οὐχ. ὅτῳ πάρα
μηδ' εὐτυχοῦντι μηδὲν, ἥδιον γελᾶν.
οὗτος, τί κρύψει; ποῖον οὐκ ἐρεῖ κακόν;
τὸν ἐκ δορὸς γεγῶτα πολεμίου νόθον,
τὸν δειλίᾳ προδόντα, καὶ κακανδρίᾳ
σὲ φίλτατ' Αἶας, ἢ δόλοισιν, ὡς τὰ σὰ
κράτη θανόντος, καὶ δόμους νέμοιμι σούς.
τοιαῦτ' ἀνὴρ δύσοργος ἐν γήρᾳ βαρὺς
ἐρεῖ πρὸς οὐδὲν, εἰς ἔριν θυμούμενος.

οἷον ἀρχὴν κακῶν παραχών. ἢ τὸ ἀπείρας τῷ πλήθει κακῶν τακτέον. ¶ Ἦ που Τελαμών. ἅμα μὲν πρὸς τὸ τῆς ἱστορίας, ὅτι ἐξεβέβλητο. ἅμα δὲ καὶ πρὸς τὸ πιθανὸν τῆς ὑπονοίας. ¶ Εὐπρόσωπος. ἀντὶ τοῦ εὐπροσώπως. τουτέστιν ἱλαρῷ προσώπῳ. εὐπρόσωπος δὲ ὁ εὐειδής. καὶ ἀπὸ τούτου εὐπρόσωπος αἰτία, ἡ πιθανὴ καὶ εὐπρεπής. συνάγεται δὲ τὸ ἐναντίον ὁ λόγος, ἤγουν οὐκ εὐμενῶς με δέξεται, πρὸς ὃ ἐπάγεται, πῶς γὰρ οὐχ. ὅτῳ πάρα ἤγουν ὅτῳ μηδὲν, τουτέστι μηδαμῶς πάρεστιν οὐδ' εὐτυχοῦντι γελᾶν ἡδέως. ¶ Πῶς γὰρ οὐχ ὅτῳ πάρα. πῶς γὰρ οὗτός με ἡδέως δέξεται, ᾧ καὶ εὐτυχοῦντι τὸ προσηνὲς ἄπεστι καὶ ἱλαρόν. οὐχ ὅτῳ πάρα. οὐχ ὅτῳ τινὶ οὐδ' εὐτυχοῦντι πάρεστι τὸ γελᾶν. εὐτυχοῦντι δὲ εἶπε, οὐκ ἐπὶ τῷ υἱῷ ἐσφαγμένῳ, ἀλλ' ἐπὶ ταῖς ἀνδραγαθίαις τοῦ υἱοῦ καὶ τῇ ἁλώσει τῆς Τροίας. ¶ Ποῖον οὐκ ἐρεῖ κακόν. οἷον, τίνος ἀπόσχοιτο λόγου. ¶ Τί κρύψει. κακὸν σιγήσει. ἀπὸ κοινοῦ. ¶ Τὸν ἐκ δορός. ἤγουν τὸν γεγονότα νόθον ἐκ δορὸς πολεμίου. τουτέστιν ἐκ γυναικὸς μάχῃ πολεμίᾳ κρατηθείσης. ¶ Ὡς τὰ σά. ὅπως τὰ σά. ¶ Τοιαῦτ' ἀνὴρ δύσοργος. τὸ μὲν δύσοργος ἐκ φύσεως. λέγει γὰρ αὐτὸν ἀεὶ σκυθρωπόν. τὸ δὲ ἐν γήρᾳ εἰς ἐπίτασιν. ¶ Πρὸς οὐδέν. πρὸς οὐδὲν ἀληθές. ἢ αἴτιόν μοι. ¶ Εἰς ἔριν. εἰς μάχην. ἔρις ὁ ζῆλος καὶ ἡ μίμησις, καὶ ἔρις ἡ μάχη.

ΤΕΛΟΣ. κατὰ τὸ τέλος ἐρριμματικῶς. ¶ Ἀπορριφθήσομαι. ἐκπεσοῦμαι τῆς γῆς τῆς πατρῴας. ¶ Δοῦλος λόγοισιν. ταῖς τοῦ πατρὸς λοιδορίαις. ¶ Πολλοὶ μὲν ἐχθροί. πολλοὶ ἐχθροὶ Ἕλληνές τε καὶ Τρῶες, ὀλίγοι δὲ ὠφελήσιμοι Ἕλληνες. ¶ Πῶς ἀποσπάσω. πῶς φησι τὸ σῶμα ἀπὸ τοῦ ξίφους ἑλκύσω; συμπληροῦται δὲ βούλεται καὶ θάπτειν αὐτόν. καλῶς δὲ τῇ μὲν Τεκμήσσῃ προσῆψε τὸ σκεπάσαι αὐτὸν ὡς γυναικί. δοκεῖ δὲ Τεύκρῳ ὡς ἀνδρὶ καὶ ἀδελφῷ, τὰ δέοντα περὶ τὸ σῶμα. ¶ Τοῦ δ' αἰόλου κνώδοντος. τῆς ἀκμῆς τοῦ ξίφους, τὸ ὀξείας εἰς τὸ καίνειν ὡς ὀδούς. ὀδοῦσι γὰρ περιβάλλεται ὀξέσιν. ἀπὸ δὲ τοῦ ἄκρου τὸ ξίφος δηλοῖ. ¶ Αἰόλου. τὸν συνεχῆ κίνησιν πάσχοντος διὰ τὴν λεπτότητα. ¶ Πεισθείς. ἤγουν δεθείς. ¶ Ἀντύγων. ἤτοι ἁρμάτων. ¶ Πεσήματι. ἀντὶ τοῦ πτώματι. Κἀκεῖνον. δηλονότι τὸν ζωστῆρα. ¶ Ἐγὼ μὲν οὖν. καλῶς τὸ φάναι πάντα κατὰ γνώμην θεῶν γίνεσθαι. εἰσὶ γάρ τινες ἑτεροδοξοῦντες. ¶ Ὅτῳ δὲ μὴ τόδ' ἐστί. τὸ ἐκ θεῶν μηχανᾶσθαι ταῦτα. ¶ Κεῖνα στεργέτω. τὰ ἑαυτοῦ δόγματα. πέπονθε δὲ τοῦτο καὶ προοιμιακόν. ¶ Μὴ τεῖνε. ἀντὶ τοῦ ἀπότεινε λόγον δηλονότι. τὸ ἀποτείνειν γὰρ ἐπὶ λόγου λέγεται, οἷον ἀπέτεινε λόγον μακρόν. ¶ Ἀλλὰ φράζου. σκόπει ὅπως κρύψεις τὸν ἄνδρα ἐν τάφῳ. ὅπως ἀντὶ τοῦ πῶς. καὶ ἀντὶ τοῦ ἵνα. καὶ ἀντὶ τοῦ καθά. ἐνταῦθα ἀντὶ τοῦ πῶς.

Χὥ,τι μυθήσῃ τάχα. καὶ ὅτι μυθήσῃ πρὸς τὴν ἔφοδον Μενελάου. τουτέστι τὴν ἄφιξιν. ἤτοι πρὸς αὐτὸν Μενέλαον. ¶ ΕΞίκοιτ' ἀνήρ. πιθανῶς. παρέστιν ὅτι οὐ συμπαθήσων πάρεστιν. οὐκ ἀργῶς δὲ τοῦτο. ἀλλ' ὥσπερ προπαρασκευάζων τὸν Τεῦκρον. λέγει δ' ἐξίκοιτο ἂν ἤγουν διεξέλθοι ἃ ἀνὴρ κακοῦργος ἐξίκοιτο ἂν δηλονότι. ¶ Τίς δ' ἐστιν. ἤγουν τίς δὲ ἀνήρ ἐστιν ἀπὸ τοῦ στρατοῦ, ὃν προσλεύσσεις ἤγουν βλέπεις.

τέλος δ' ἀπωστὸς γῆς ἀπορριφθήσομαι,
δοῦλος λόγοισιν ἀντ' ἐλευθέρου φανείς.
τοιαῦτα μὲν κατ' οἶκον. ἐν Τροίᾳ δέ μοι
πολλοὶ μὲν ἐχθροί, παῦροι δ' ὠφελήσιμοι
καὶ ταῦτα πάντα, σοῦ θανόντος εὑρόμην.
οἴμοι, τί δράσω; πῶς σ' ἀποσπάσω πικροῦ
τοῦδ' αἰόλου κνώδοντος; ὦ τάλας, ὑφ' οὗ
φονέως ἄρ' ἐξέπνευσας. εἶδες ὡς χρόνῳ
ἔμελλέ σ' Ἕκτωρ καὶ θανὼν ἀποφθίσειν.
σκέψασθε πρὸς θεῶν τὴν τύχην δυοῖν βροτοῖν.
Ἕκτωρ μέν, ᾧ δὴ τοῦδ' ἐδωρήθη πάρα,
ζωστῆρι πρισθεὶς ἱππικῶν ἐξ ἀντύγων
ἐκνάπτετ' αἰέν, ἔστ' ἀπέψυξεν βίον.
οὗτος δ' ἐκείνου τήνδε δωρεὰν ἔχων,
πρὸς τοῦδ' ὄλωλε θανασίμῳ πεσήματι.
ἆρ' οὐκ ἐριννὺς τοῦτ' ἐχάλκευσε ξίφος,
κἀκεῖνον ᾅδης δημιουργὸς ἄγριος;
ἐγὼ μὲν οὖν καὶ ταῦτα, καὶ τὰ πάντ' ἀεὶ
φάσκοιμ' ἂν ἀνθρώποισι μηχανᾶν θεούς.
ὅτῳ δὲ μὴ τάδ' ἐστὶν ἐν γνώμῃ φίλα, »
κεῖνός τ' ἐκεῖνα στεργέτω, κἀγὼ τάδε. »
Χο. Μὴ τεῖνε μακράν, ἀλλ' ὅπως κρύψεις τάφῳ
φράζου τὸν ἄνδρα, χὥ,τι μυθήσῃ τάχα.
βλέπω γὰρ ἐχθρὸν φῶτα. καὶ τάχ' ἂν κακοῖς
γελῶν, ἃ δὴ κακοῦργος ἐξίκοιτ' ἀνήρ.
Τευ. Τίς δ' ἐστὶν ὅν τιν' ἄνδρα προσλεύσσεις στρατοῦ;

Ὧ δὴ τόνδε πλοῦν. ἀντὶ τοῦ δι' ὅν τινα τὸν περὶ Τροίαν ἐστειλάμεθα πλοῦν. Ἐστείλαμεν. ἀντὶ τοῦ ἐστειλάμεθα. στέλλω τὸ κοσμῶ. στέλλομαι δὲ ἐπὶ τῆς ἐν θαλάσσῃ πορείας. οἷον ἐστείλατό τις τόνδε τὸν πλοῦν. ¶ Μαθεῖν γὰρ ἐγγύς. ἤγουν ἐγγὺς γὰρ ὢν οὐ δυσπετής ἐστιν εἰς τὸ θεαθῆναι. δυσπετὴς ὁ δυσκόλως ὑπείκων, ἤγουν ὁ δυσχερής, ᾧ ἐναντίον ὁ εὐπετὴς ὁ εὐκόλως ὑπείκων. προπετὴς ὁ ἔμπροσθεν κείμενος. προπέτης δὲ προξυτόνως ὁ προσπαίζων τὸ πρᾶγμα, καὶ παρὰ τὸν καιρὸν παρρησιαζόμενος, ἀπὸ τῶν στρουθίων τῶν πρὸ τοῦ καιροῦ ζητούντων πέτεσθαι. ¶ Οὗτος σὲ φωνῶ. ὑβριστικὸν τὸ ἦθος Μενελάου. ἴσως ἐκ τῆς συνωμοσίας Ὀδυσσέως. ¶ Ἀλλ' ἐᾶν ὅπως ἔχει. ἀντὶ τοῦ ἄθαπτον.

ΧΟ Μενέλαος, ᾧ δὴ τόνδε πλοῦν ἐστείλαμεν.
ΤΕΥ ὁρῶ. μαθεῖν γὰρ ἐγγὺς ὢν, οὐ δυσπετής.
ΜΕ Οὗτος, σὲ φωνῶ. τόνδε τὸν νεκρὸν χεροῖν
μὴ συγκομίζειν, ἀλλ' ἐᾶν ὅπως ἔχει.
ΤΕΥ τίνος χάριν τοσόνδ' ἀνήλωσας λόγον;
ΜΕ δοκοῦντ' ἐμοί, δοκοῦντα δ' ὃς κραίνει στρατοῦ.
ΤΕΥ Οὔκουν ἂν εἴποις ἥντιν' αἰτίαν προθείς;
ΜΕ Ὁθούνεκ' αὐτὸν ἐλπίσαντες οἴκοθεν
ἄγειν Ἀχαιοῖς ξύμμαχόν τε καὶ φίλον,
ἐξεύρομεν ζητοῦντες ἐχθίω Φρυγῶν,
ὅστις στρατῷ ξύμπαντι βουλεύσας φόνον,
νύκτωρ ἐπεστράτευσεν, ὡς ἕλοι δορί.
κεἰ μὴ θεῶν τις τήνδε πεῖραν ἔσβεσεν,
ἡμεῖς μὲν ἂν τήνδ' ἣν ὅδ' εἴληχεν τύχην
θανόντες ἂν, προὐκείμεθ' αἰσχίστῳ μόρῳ.
οὗτος δ' ἂν ἔζη. νῦν δ' ἐνήλλαξεν θεὸς
τὴν τοῦδ' ὕβριν πρὸς μῆλα καὶ ποίμνας πεσεῖν.
ὧν οὕνεκ' αὐτὸν οὔ τις ἔστ' ἀνὴρ σθένων
τοσοῦτον, ὥστε σῶμα τυμβεῦσαι τάφῳ.

¶ Μὴ συγκομίζειν. μὴ θέλε συγκομίζειν, ἤγουν θάπτειν. ἀπὸ τῶν συναγομένων καρπῶν εἰς τὰς ἀποθήκας. ἐπ' ἐκείνων γὰρ λέγεται κυρίως τὸ συγκομίζειν καὶ συγκομιδή. ¶ Ὁθούνεκα. ἀντὶ τοῦ ὅτι, ἐκ παραλλήλου. ¶ Οἴκοθεν. ἀπὸ τοῦ οἴκου, καὶ ἀπὸ τούτου οἴκοθεν, ἀντὶ τοῦ ἀφ' ἑαυτοῦ. ¶ Ἐξεύρομεν. ἀντὶ τοῦ εὕρομεν. εὑρίσκει δέ τις τὸ ὄν, ἐξευρίσκει δὲ καὶ ἐφευρίσκει τὸ μὴ ὄν. ¶ Ζητοῦντες. ἐξετάζοντες. ζητῶ τὸ ἐρευνῶ, καὶ ζητῶ τὸ ἐξετάζω. ¶ Δοκοῦντ' ἐμοί. διὰ τὴν ἐξουσίαν, οὐ διὰ δικαιολογίαν. ¶ Ὁθούνεκ' αὐτόν. πρῶτον κεφάλαιον, ὅτι ἐπίβουλος ἦν τῶν Ἑλλήνων. δεύτερον, ὅτι ἀπειθής. ἐντεῦθεν δὲ τὴν πρόφασιν τῆς ἀντιλογίας λήψεται ὁ Τεῦκρος, ὅτι οὐκ εἰσὶν αὐτῶν βασιλεῖς οἱ Ἀτρεῖδαι. ¶ Ὡς ἕλοι δορί. γράφεται ὡς ἐλοιδόρει, ὡς λοιδορούμενος ἐπηγγείλατο. ταῦτα γὰρ εἶπεν ὁ Αἴας. ¶ Ὧν οὕνεκ' αὐτόν. οὐδείς ἐστιν ἀνὴρ σθένων τοσοῦτον, ὥστε τυμβεῦσαι τάφῳ, ἤγουν ἐνταφιάσαι αὐτόν. εἶτα ἐπάγει τὸ σῶ-
» μα, καὶ ἔστιν ὅμοιον τῷ, Ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων. ἐφ' οἷς ὅλον τι δείκνυται καὶ μέρος. προσπαίζει δὲ τὸ ὅλον τὴν δύναμιν τοῦ ῥήματος, εἶτα ὥσπερ ἐκ μεταμελείας δίδωσιν αὐτὴν τῷ μέρει. συνυπακούεται δὲ ἐν τούτοις ἡ περὶ τοῦ μέρους ἢ κατὰ πρόθεσις, ἵν' ᾖ οὕτως. ποῖόν ἔπος ἔφυγέ σε, λέγω κατὰ τὸ ἕρκος τῶν ὀδόντων. καὶ οὐδείς ἐστιν ἀνὴρ σθένων τοσοῦτον, ὥστε τυμβεῦσαι τῷ τάφῳ αὐτόν, λέγω κατὰ τὸ σῶμα.

ΑΜΦΙ χλωρὰν ψάμαθον. διὰ τὰ ἐκεῖσε φυτά. ¶ Μηδὲν δεινόν. σχηματίζεται δὲ ὅτι ὁ Τεῦκρος οὐ δίχα ὀργῆς λέξεται τοὺς λόγους. ἤγουν μὴ ἀντάρῃς δεινὸν μένος. τουτέστι χαλεπὴν ἔνστασιν. τὸ ἀνταίρειν κυρίως ἐπὶ τῶν ἀντιτασσομένων λέγεται χερσὶν αἰρομέναις ἢ ῥάβδοις ἢ τοιούτοις τισί. καὶ ἀπὸ τούτου καὶ ἐπὶ γνώμης καὶ τῶν τοιούτων τινῶν, οἷον ἀνταίρει γνώμην, καὶ ἀνταίρει μένος. ¶ Παρευθύνοντες. ἐκτρέποντες. ἀπὸ τοῦ μὴ ἐώντων τινὰς βαδίζειν τὴν ἑαυτοῦ ὁδὸν, ἀλλὰ παρεκκλινόντων αὐτούς. ¶ Οὐ γὰρ ἐσθ᾽ ὅπου. οὐκ ἔστιν ὅπου. ἀντὶ τοῦ οὐδαμοῦ. τουτέστιν οὐκ ἔστι τόπος ὅπου. οὐκ ἔστιν ὅτε, ἀντὶ τοῦ οὐδέποτε, ἤγουν οὐκ ἔστι χρόνος ὅτε. οὐκ ἔστιν ὅπως, ἀντὶ τοῦ οὐκ ἔστι τρόπος ὅπως. ¶ Δικαιοῦν. δίκαιον κρίνειν. κλύειν δὲ, ἀντὶ τοῦ ὑπακούειν. Φέροιντ᾽ ἄν. ἤγουν διοικοῖντο. ¶ Ενθα μὴ καθεστήκει δέος. ¶ Επίχαρμος, » Ενθα δέος ἐνταῦθα καὶ » αἰδώς. ¶ Δέος γὰρ ὅτῳ. ¶ Ομηρος, » Αἰδομένων δ᾽ ἀνδρῶν » πλέονες σόοι ἠὲ πέφανται. Καίρι). πάνυ ἀσφαλὲς τὸ καίριον. Καὶ μὴ δοκῶμεν. ἐὰν τοίνυν τέ τι παρὰ φύσιν ἡδώμεθα, μὴ ὑπολαμβάνωμεν ὅτι οὐκ ἀντιτισόμεθα. προλαβὼν δὲ τὸ δρῶντες λαμβάνει τὴν αἰτιατικὴν οἰκείως, εἶτα ἐπάγει τὸ ἡδώμεθα, ἀποδιδόμενον πρὸς τὴν προκειμένην πτῶσιν, καὶ τῶν τοῦ ἐφεξῆς στίχου τὸ αὐτὸ συμβαίνει καὶ ἐφ᾽ ἑτέρων πλείστων. Αν λυπώμεθα. ἀντὶ τοῦ [illegible] λυπώμεθα. τοῦτο δὲ δηλοῖ ὅτι ὃ οἱ πολλοὶ τιμῶσιν ἡδὺ, τοῦτο οὐκ ἔστι παραμένον. ἀλλὰ γίνεται μεταβολὴ τῆς ἡδονῆς εἰς λύπην. Παραλλάξ. ἤγουν κατὰ διαδοχήν. ἀλλάττομαι τὸ διατόδε, ἤγουν διὰ τὸ διατόδε. ἐναλλάττειν τὸ μετατιθέναι τὴν τάξιν ἀντιστρόφως. ἐξαλλάττειν τὸ ἀμείβειν καὶ ἀλλοιοῦν, ὅθεν ἐξαλλάττειν τὸ χρῶμα. συναλλάττειν ἐπὶ συμφωνίας τάσσομεν, ἀφ᾽ οὗ συνάλλαγμα. καταλλάττειν καὶ διαλλάττειν τὸ εἰς φιλίαν συνάγειν τινάς. καταλλάττεσθαι δὲ καὶ διαλλάττεσθαι τὸ εἰς φιλίαν συνάπτεσθαι. μεταλλάττειν τὸ

ἀλλ᾽ ἀμφὶ χλωρὰν ψάμαθον ἐκβεβλημένος,
ὄρνισι φορβὴ παραλίοις γενήσεται.
πρὸς ταῦτα, μηδὲν δεινὸν ἐξάρῃς μένος.
Εἰ γὰρ βλέποντος μὴ δυνήθημεν κρατεῖν,
πάντως θανόντος γ᾽ ἄρξομεν, κἂν μὴ θέλῃς
χερσὶν παρευθύνοντες. οὐ γὰρ ἔσθ᾽ ὅπου
λόγων ἀκοῦσαι ζῶν ποτ᾽ ἠθέλησ᾽ ἐμῶν.
» Καίτοι κακοῦ πρὸς ἀνδρὸς, ἄνδρα δημότην
» Μηδὲν δικαιοῦν τῶν ἐφεστώτων κλύειν.
» Οὐ γάρ ποτ᾽ οὔτ᾽ ἂν ἐν πόλει νόμοι καλῶς
» Φέροιντ᾽ ἂν, ἔνθα μὴ καθεστήκει δέος,
» Οὔτ᾽ ἂν στρατός γε σωφρόνως ἄρχοιτ᾽ ἔτι,
» Μηδὲν φόβου πρόβλημα, μηδ᾽ αἰδοῦς ἔχων.
» Ἀλλ᾽ ἄνδρα χρὴ κἂν σῶμα γεννήσῃ μέγα,
» Δοκεῖν πεσεῖν ἂν, κἂν ἀπὸ σμικροῦ κακοῦ.
» Δέος γὰρ ᾧ πρόσεστιν, αἰσχύνη θ᾽ ὁμοῦ,
» Σωτηρίαν ἔχοντα τόνδ᾽ ἐπίστασο.
» Ὅπου δ᾽ ὑβρίζειν, δρᾶν θ᾽ ἃ βούλεται παρῇ,
» Ταύτην νόμιζε τὴν πόλιν χρόνῳ ποτὲ
» Ἐξ οὐρίων δραμοῦσαν, εἰς βυθὸν πεσεῖν.
ἀλλ᾽ ἑστάτω μοι καὶ δέος τι καίριον,
καὶ μὴ δοκῶμεν δρῶντες ἂν ἡδώμεθα,
οὐκ ἀντιτίσειν αὖθις ἂν λυπώμεθα.
ἕρπει παραλλὰξ ταῦτα. πρόσθεν οὗτος ἦν

βαίνειν

βαίνειν ἀπό τινος εἴς τι, καθ' ὃ λέγεται τό, μετήλλαξε τὸν βίον. παραλλάττειν τὸ τῇ διαθέσει ἀλλοῖον δείκνυσθαι, ἀφ' οὗ παράλλαξ ἐπίρρημα, ὅταν ἐφεξῆς ἕτερον ἑτέρῳ ἀλλοῖον κέηται, καὶ ἁπλῶς τὸ ἐφεξῆς ἑτέρῳ ἕτερον κεῖσθαι. ἀπαλλάττειν τὸ ἐλευθεροῦν ἢ τὸ διάγειν. ὑπαλλάττειν τὸ μὴ κύριον ἀντὶ τοῦ κυρίου λέγειν.

ΑΙΘΩΝ ὑβριστής. οὐχ ἴσα τῷ ἤθει τὸ αὐτοῦ. ἦν τότε ὑβριστὴς οὗτος, ἀλλὰ νῦν ἐν μεταβολῇ γέγονε. καὶ ἡμεῖς οἱ πρότερον κρατούμενοι ὑπ' αὐτοῦ, νῦν κρατοῦμεν καὶ μέγα φρονοῦμεν.

αἴθων ὑβριστής, νῦν δ' ἐγὼ μέγ' αὖ φρονῶ.
καί σοι προφωνῶ τόνδε μὴ θάπτειν, ὅπως
μὴ τόνδε θάπτων, αὐτὸς εἰς ταφὰς πέσῃς.
Χο Μενέλαε, μὴ γνώμας ὑποστήσας σοφὰς.
εἶτ' αὐτὸς ἐν θανοῦσιν ὑβριστὴς γένῃ.
Τεῦ Οὐκ ἄν ποτ' ἄνδρες ἄνδρα θαυμάσαιμ' ἔτι,
ὃς μηδὲν ὢν γοναῖσιν, εἶθ' ἁμαρτάνει.
ὅθ' οἱ δοκοῦντες εὐγενεῖς πεφυκέναι,
τοιαῦθ' ἁμαρτάνουσιν ἐν λόγοις ἔπη.
Ἄγ' εἴπ' ἀπ' ἀρχῆς αὖθις. ἦ σὺ φῂς ἄγειν
τόνδ' ἄνδρ' Ἀχαιοῖς δεῦρο σύμμαχον λαβών,
οὐκ αὐτὸς ἐξέπλευσεν ὡς αὑτοῦ κρατῶν;
ποῦ σὺ στρατηγεῖς τοῦδε; ποῦ δέ σοι λεῶν
ἔξεστ' ἀνάσσειν, ὧν ὅδ' ἤγετ' οἴκοθεν;
Σπάρτης ἀνάσσων ἦλθες, οὐχ ἡμῶν κρατῶν.
οὐδ' ἔσθ' ὅπου σοι τόνδε κοσμῆσαι πλέον
ἀρχῆς ἔκειτο θεσμὸς, ἢ καὶ τῷδε σέ.
ὕπαρχος ἄλλων δεῦρ' ἔπλευσας, οὐχ ὅλων
στρατηγὸς, ὥστ' Αἴαντος ἡγεῖσθαί ποτε.
ἀλλ' ὧνπερ ἄρχεις, ἄρχε, καὶ τὰ σέμν' ἔπη
κόλαζ' ἐκείνους, τόνδε δ' εἴτε μὴ σὺ φῂς,
εἴθ' ἅτερος στρατηγὸς, εἰς ταφὰς ἐγὼ
θήσω δικαίως, οὐ τὸ σὸν δείσας στόμα.

¶ Μὴ γνώμας ὑποστήσας σοφάς. ἐπειδὴ τὰ περὶ τῆς εὐπειθείας ἄριστα εὐγνωμολόγησε, διαλέγεται μὲν ὁ χορὸς πρὸς τὸν Τεῦκρον. ὑποσταλμένως δὲ διαλέγεται διὰ τὸ τοῦ βασιλέως ἀξίωμα. ¶ Οὐκ ἄν ποτ' ἄνδρες. πρὸ τῆς αἰτιολογίας βούλεται μαλάξαι τὸν Μενέλαον, ὅτι εὐγενὴς ὤν, οὐκ ἄξια τῷ γένει ἐξαμαρτάνει. ὁ δὲ λόγος παιδεύει τοὺς εὐγενεῖς μὴ ἁμαρτάνειν. ℂ Μηδὲν ὢν γοναῖσιν. οὐδαμινὸς ὢν τῷ γένει. ἤτοι δυσγενὴς ὤν. ℂ Ὅθ' οἱ δοκοῦντες. ὅτε οἱ νομίζοντες. τὸ δὲ ὅπου ἁρμόζει μετὰ τοῦ καί. ¶ Ἢ σὺ φῂς ἄγειν. κατ' ἐρώτησιν. ℂ Ποῦ σὺ στρατηγεῖς τοῦδε. πῶς τῷ Αἴαντι προστάσσεις ὁ μὴ τῶν ὑπὲρ Αἴαντι ἔχων ἐξουσίαν. ℂ Σπάρτης ἀνάσσων ἦλθες. ὁ λόγος ἅπας, ὅτι σύμμαχος ἦλθεν οὐχ ὑπήκοος. ℂ Οὐδ' ἔσθ' ὅπου σοι. οὐδ' ἔστιν ὅπου σοι πλέον προὔκειτο τοῦτον κοσμεῖν. ἀλλ' οὐχὶ σὲ ὑπὸ τούτου κοσμεῖσθαι. ¶ Ἢ καὶ τῷδε σέ. γράφεται, ἢ καὶ τοῦδε σοι. ¶ Ὕπαρχος ἄλλων. ἀντὶ τοῦ καὶ αὐτὸς ἑτέροις ὑποτέταξο. Τὰ σέμν' ἔπη. διὰ τῶν σεμνῶν ἐπῶν κόλαζε τοὺς ὑπὸ σέ. ¶ Κόλαζε. ἤγουν δίδασκε. κολάζειν τὸ παιδεύειν, ἀφ' οὗ κεκολασμένα ἤθη, τὰ πεπαιδευμένα. καὶ ἀκόλαστα, τὰ ἀπαίδευτα. ¶ Εἴθ' ἅτερος στρατηγός. τὸν περὶ τῆς ἐπιβουλῆς λόγον ἀποφεύγει ὡς δυσχεραίρετον. ἐν διατριβῇ δὲ τοῦτο, ὅτι οὐ πάντων εἰσὶν ἄρχοντες.

Οὐ γάρ τι τῆς σῆς. ἀντιτίθει γάρ τις, ὅτι δὴ τὴν ἑλένην ἡ στρατεία ἐπήνεγκε. ὅπερ δὲ ἔθλιβεν αὐτὸν ἀνεσκεύασεν. ¶ Οἱ πόνου πολλοῦ πλέῳ. οἱ φιλοκίνδυνοι, οἱ πλήρεις τῶν πόνων. λέγει δὲ τοὺς μισθοφόρους. οὐχ ὥσπερ μισθοφόρος τις ὢν μισθῷ ἐστρατεύσατο. ¶ Ἀλλ' οὕνεχ' ὅρκων. τῶν ἀριστέων συνελθόντων περὶ τὴν τῆς ἑλένης μνηστείαν, ὁ τυνδάρεως πάντας ὅρκους ἀπῄτησεν συναγωνίσασθαι τῷ γαμοῦντι αὐτήν, καὶ στρατεύειν εἴ τις ἁρπαγὴ γένοιτο περὶ τὴν ἑλένην τῷ γήμαντι. ¶ Σοῦ δ' οὐδέν. ὅλως γάρ σε οὐκ εἶχεν ἐν ἀριθμῷ. πεποιθὼς δὲ ἀγαμέμνονι, ὕβριζε μενέλαον. συνάδει δὲ τῷ, » Τεῦκρε φίλη κεφαλή. ¶ Οὐδ' αὖ τοιαύτην γλῶσσαν. ὑποτίθησι τῷ τεύκρῳ παύσασθαι τῆς κατηγορίας. καὶ μάλιστα ἐν τοιούτῳ καιρῷ, ἐν ᾧ οὐκέτι βουλευτός ἐστιν. ἢ τὸ ἐν κακοῖς, ἀντὶ τοῦ δηλοῖ. οὐκ ἐπιτρέψει ἡ συμφορὰ ἄλλο τι νῦν πράσσειν, ἢ περὶ τὸ ἐνεστὸς κακὸν γίνεσθαι. ¶ Κἂν ψιλός. τὰ τοιαῦτα σοφίσματα οὐκ οἰκεῖα τραγῳδίας. μετὰ γὰρ τὴν ἀναίρεσιν ἐπεκτείνουσι τὸ δρᾶμα θέλοντες, ἐψυχρεύσαντο. καὶ ἔκλυσι τὸ τραγικὸν πάθος. ¶ Κτείναντά με; δεινόν. ὁ μὲν εἶπεν ὅσον ἐφ' ἑαυτῷ. ὁ δὲ ἐπὶ τῆς φωνῆς ἀντιλαμβάνεται. τὸ δὲ τοιοῦτο κωμῳδίας μᾶλλον, οὐ τραγῳδίας. ¶ Τῷδε δ' οἴχομαι. ἤγουν ὅσον τὸ ἐπὶ τούτῳ. ¶ Ἀτίμα. ἤγουν ἀτίμους ποίει. ἀτιμάζω τὸ καταφρονῶ. ἀτιμῶ τὸ ἄτιμον ποιῶ. καὶ ἠτιμωμένος ἐπὶ τοῦ αὐτοῦ κατὰ τὸ παθητικὸν παρακείμενον ἐν τῇ τρίτῃ συζυγίᾳ. ¶ Τούς γ' αὐτός. ἤγουν τοὺς πολεμίους αὐτὸς αὑτοῦ. ἀντὶ τοῦ ἐμαυτοῦ, οὐκ ἐῶ δηλονότι θάπτειν. ¶ Πολέμιος προὔστη ποτέ. ἤγουν προστάτης πολέμου ἐπιγέγονε κατά σου. πολέμιος ὁ ἀπὸ ἀλλοτρίας χώρας ἐχθρός. ἐχθρὸς δὲ ὁ ἀπὸ τῆς αὐτῆς. ¶ Κλέπτης. ἤγουν δόλιος κριτὴς αὐτοῦ ἐφωράθης. ¶ Ψηφοποιός. μιᾷ ψήφῳ φασὶ κατακριθῆναι

οὐ γάρ τι τῆς σῆς οὕνεκ' ἐστρατεύσατο
γυναικὸς, ὥσπερ οἱ πόνου πολλοῦ πλέῳ,
ἀλλ' οὕνεχ' ὅρκων, οἷσιν ἦν ἐνώμοτος,
σοῦ δ' οὐδέν. οὐ γὰρ ἠξίου τοὺς μηδένας.
πρὸς ταῦτα πλείους δεῦρο κήρυκας λαβὼν
καὶ τὸν στρατηγὸν, ἧκε. τοῦ δὲ σοῦ ψόφου,
οὐκ ἂν στραφείην, ὡς ἂν ᾖς οἷός περ εἶ.
Με οὐδ' αὖ τοιαύτην γλῶσσαν ἐν κακοῖς φιλῶ.
Τευ τὰ σκληρὰ γάρ τοι κἂν ὑπέρδικ' ᾖ δάκνει.
Με ὁ τοξότης ἔοικεν οὐ σμικρὰ φρονεῖν.
Τευ οὐ γὰρ βάναυσον τὴν τέχνην ἐκτησάμην.
Με μέγ' ἄν τι κομπάσειας ἀσπίδ' εἰ λάβοις.
Τευ κἂν ψιλὸς, ἀρκέσαιμι σοί γ' ὡπλισμένῳ.
Με ἡ γλῶσσά σου τὸν θυμὸν ὡς δεινὸν τρέφει.
Τευ ξὺν τῷ δικαίῳ γὰρ μέγ' ἔξεστι φρονεῖν.
Με δίκαια γὰρ τόνδ' εὐτυχεῖν κτείναντά με;
Τευ κτείναντα; δεινόν γ' εἶπας, εἰ καὶ ζῇς θανών.
Με θεὸς γὰρ ἐκσώζει με, τῷδε δ' οἴχομαι.
Τευ μὴ νῦν ἀτίμα θεοὺς, θεοῖς σεσωσμένος.
Με ἐγὼ γὰρ ἂν ψέξαιμι δαιμόνων νόμους;
Τευ εἰ τοὺς θανόντας οὐκ ἐᾷς θάπτειν παρών.
Με τούς γ' αὐτὸς αὑτοῦ πολεμίους, οὐ γὰρ καλόν.
Τευ ἦ σοὶ γὰρ Αἴας πολέμιος προὔστη ποτέ;
Με μισοῦντ' ἐμίσει, καὶ σὺ τοῦτ' ἠπίστασο.
Τευ κλέπτης γὰρ αὐτοῦ ψηφοποιὸς εὑρέθης.

ἐναντία ὑπὸ Μενελάου. ¶ Πόλλ' ἂν κακῶς. ἤγουν πολλὰ ἂν κακὰ κακῶς κλέψειας σύ, ἤγουν μετὰ κλοπῆς ἐργάσαιο λάθρα. ℭ Οὐ μᾶλλον ὡς ἔοικε. συνεκδοχικῶς. λείπει δὲ, λυπηθησόμεθα, ἵν' ᾖ, οὐ μᾶλλον λυπηθησόμεθα, ἢ λυπήσομεν.

Με Ἐν τοῖς δικασταῖς, κοὐκ ἐμοί, τόδ' ἐσφάλη.
Τευ πόλλ' ἂν κακῶς λάθρα σὺ κλέψειας κακά.
Με τοῦτ' εἰς ἀνίαν τοὔπος ἔρχεταί τινι.
Τευ οὐ μᾶλλον ὡς ἔοικεν, ἢ λυπήσομεν.
Με ἕν σοι φράσω, τόνδ' ἐστὶν οὐχὶ θαπτέον.
Τευ σὺ δ' ἀντακούσῃ τοῦτ', ὡς τεθάψεται.
Με ἤδη ποτ' εἶδον ἄνδρ' ἐγὼ γλώσσῃ θρασὺν
ναύτας ἐφορμήσαντα χειμῶνος τὸ πλεῖν,
ᾧ φθέγμ' ἂν οὐκ ἂν εὗρες, ἡνίκ' ἐν κακῷ
χειμῶνος εἴχετ', ἀλλ' ὑφ' εἵματος κρυφεὶς
πατεῖν παρεῖχε τῷ θέλοντι ναυτίλων.
οὕτω δὲ καὶ σὲ καὶ τὸ σὸν λάβρον στόμα,
σμικροῦ νέφους τάχ' ἄν τις ἐκπνεύσας μέγας
χειμών, κατασβέσειε τὴν πολλὴν βοήν.
Τευ Ἐγὼ δέ γ' ἄνδρ' ὄπωπα μωρίας πλέων,
ὃς ἐν κακοῖς ὕβριζε τοῖσι τῶν πέλας.
κᾆτ' αὐτὸν εἰσιδών τις ἐμφερὴς ἐμοί,
ὀργήν θ' ὅμοιος, εἶπε τοιοῦτον λόγον,
ὤνθρωπε, μὴ δρᾷ τοὺς τεθνηκότας κακῶς.
εἰ γὰρ ποιήσεις, ἴσθι πημανούμενος.
τοιαῦτ' ἄνολβον ἄνδρ' ἐνουθέτει παρών.
ὁρῶ δέ τοί νιν, κἄστιν ὡς ἐμοὶ δοκεῖ,
οὐδείς ποτ' ἄλλος, ἢ σύ. μῶν ᾐνιξάμην;
Με Ἄπειμι. καὶ γὰρ αἰσχρὸν εἰ πύθοιτό τις
λόγοις κολάζειν, ᾧ βιάζεσθαι πάρα.
Τευ ἄφερπέ νυν. κἀμοὶ γὰρ αἴσχιστον κλύειν
ἀνδρὸς ματαίου φλαῦρ' ἔπη μυθουμένου.
Χο ἔσται μεγάλης ἔριδός τις ἀγών.

τουτέστι, πλέον λυπήσομέν σε ἀποβαίνοντα ἡμῖν, ἢ λυπηθησόμεθα ὑπὸ σοῦ. ἢ οὕτως. οὐ μᾶλλον ἥξει σοι εἰς ἀνίαν τοῦτο τὸ ἔπος, ἢ λυπήσομεν. ἤγουν πλέον λυπήσομεν ἔτι, ἢ ἐλυπήσαμεν. ℭ Τόνδ' ἐστὶν οὐχὶ θαπτέον. ἤγουν οὐκ ἄξιόν ἐστι θάπτειν τόνδε. θαπτέον κοινῶς. θαπτέον ἐστὶν ἀττικῶς. οἱ γὰρ ἀττικοὶ ἀπὸ τοῦ συνήθους ἀεὶ καὶ χθαμαλοῦ τὸν λόγον ἐπαίροντες, ἐπεὶ εὗρον ἐν τῇ συνηθείᾳ τὸ θαπτέον τὸ ποιητέον καὶ τὰ λοιπὰ ἀκολουθίας ταύτης χωρὶς προσθήκης τινὸς λεγόμενα, προστιθέασιν αὐτοῖς τὸ ἐστὶν ὁ συνυπακούεται ἔξωθεν παρὰ τοῖς κοινοῖς, ἵνα καινότερον τὸν λόγον ἐργάσωνται. ℭ Ναύτας ἐφορμήσαντα. ὁρμήσαντα ὥστε τὸ πλεῖν. τὸ δὲ ὁρμήσαντα, ἀντὶ τοῦ παρορμήσαντα. ¶ Πατεῖν παρεῖχε. παρεῖχεν ἑαυτὸν δηλονότι τῷ θέλοντι ναυτίλων ὥστε καταπατεῖν. ¶ Οὕτω δὲ καὶ σέ. οὕτω δὲ τάχα ἂν κατασβέσειε καὶ σὲ καὶ τὸ σὸν θρασὺ στόμα κατὰ τὴν πολλὴν βοὴν μεγάλη ζάλη ἀνέμων ἐκ νέφους σμικροῦ πνεύσασα. ¶ Ἐγὼ δέ γ' ἄνδρα. καὶ οὗτος αἰνίττεται ὡς ἐφ' ἑτέρου τὸν λόγον ποιούμενος. ℭ Ἐν κακοῖς. ἡ ἐν, ἀντὶ τοῦ ἐπί. ¶ Μὴ δρᾷ. μὴ ποίει. δρῶ σε κακῶς μετὰ αἰτιατικῆς. καὶ δρῶ σε κακὸν ὁμοίως. ¶ Ἄνολβον. ἀνόητον. ὄλβος γὰρ κυρίως ἡ φρόνησις. ¶ Ἠνιξάμην. εὐστόχως παρείκασας. ¶ Κἀμοὶ γὰρ αἴσχιστον κλύειν. οὐδαμῇ ὑπείκει ὁ Τεῦκρος. κἀμοὶ δέ φησιν αἴσχιστόν ἐστιν ἀνέχεσθαι σοῦ φλυαροῦντος.

Ἀλλ' ὡς δύνασαι Τεῦκρε ταχύνας. ὁ χορὸς ταχύνει τὸ ταφῆναι τὸ σῶμα, πρὶν παραγενέσθαι τοὺς Ἀτρείδας. ταχύνας δὲ ἀντὶ τοῦ ταχύνας σπεῦσον, κατ' ἐπίτασιν λέγεται τῆς σπουδῆς. ¶ Ἀείμνηστον. τὸν ἐσόμενον τοῖς ἀνθρώποις τάφον ἀείμνηστον. ¶ Κάπετον. τάφον. ℭ Εὐρώεντα. σεσημμένον σκωληκῶδες. τὸ δὲ ὅλον ἔνθα καθέξει οὗτος δηλονότι τὸν εὐρώεντα τάφον τὸν ἀείμνηστον ἐσόμενον δηλονότι τοῖς βροτοῖς, ἤγουν ὑπὸ τῶν βροτῶν. ¶ Ἐς αὐτὸν καιρὸν οἵδε πλησίοι. πάρεστιν ἡ Τέκμησσα μετὰ τοῦ παιδός. οὐχ ὅτι δὲ ἱκανὰ τὰ πρόσωπα φυλάξαι τὸ σῶμα, ἀλλ' ὅτι κινῆσαι δυνατά. ¶ Προστρόπαιος. προστετραμμένος αὐτῷ. ἢ ἱκετεύων. ℭ Ἱκτήριον θησαυρόν. τὰς πολλὰς ἱκεσίας. ἢ τὸ πλῆθος τῶν ἱκετευόντων. ἄλλως. τὸ ἱκέσιον κτῆμα. λέγει δὲ τὰς τρίχας. ἱκτήριοι δὲ κλάδοι, δι' ὧν ποιοῦνται τὰς ἱκετηρίας. καὶ ἱκτήριος θησαυρὸς ὁμοίως. ¶ Ἐξημημένος. ἵν' ἢ ἀφῃρημένος. ¶ Αὔτως. ἀντὶ τοῦ ὡσαύτως. ὥσπερ ἀπὸ τοῦ οὗτος γίνεται οὕτως ἐπίρρημα παρὰ τοῖς κοινοῖς, καὶ δηλοῖ δύο. λαμβάνεται γὰρ καὶ ἀντὶ τοῦ κατὰ τοῦτον τὸν τρόπον. καὶ ἔχει ἀνταποδοτικὸν τὸ ὡς οἷον, οὕτως ποιῶ ὡς ἐκέλευσας, καὶ ἀντὶ τοῦ ὡς ἔτυχεν. οὕτως ἀπὸ τοῦ αὐτὸς τὸ αὕτως παρὰ ποιηταῖς, κατὰ τὰ δύο ταῦτα σημαινόμενα. λέγεται γὰρ τὸ αὕτως, καὶ ἀντὶ τοῦ κατὰ τοῦτον τὸν τρόπον, ἐφ' ᾧ σημαινομένῳ τὸ ὡσαύτως λέγεται παρὰ τοῖς κοινοῖς μετὰ τοῦ ὡς, καὶ ἀντὶ τοῦ ὡς ἔτυχεν. ¶ Ὑμεῖς τε. καλῶς ἐγείρει τοὺς στρατιώτας πρὸς βοήθειαν. τὸν δὲ παῖδα πρὸς οἶκτον προβάλλεται κατὰ τὴν ἡλικίαν. ℭ Κἂν μηδεὶς ἐᾷ. ἀπονενοημένου φασὶ τὰ πάντα ἐπὶ αὐτῷ ἀναθεῖναι, ὅτι μόνος κρατήσει τῶν ἐχθρῶν βιαζομένων. ῥητέον δὲ ὅτι ὑπὸ φιλοσοφίας πάντα λέγει ὑπομένειν. ℭ Τίς ἄρα νέατος. ὁ χορὸς πάλιν καθ' ἑαυτὸν γενόμενος ἐν ἀναλογισμῷ γίνεται. καί φησι, τίς ἄρα ἡμῖν ὁ ἔσχατος τῶν ἐτῶν

Ἀλλ' ὡς δύνασαι Τεῦκρε ταχύνας,
σπεῦσον κοίλην κάπετόν τιν' ἰδεῖν
τῷδ', ἔνθα βροτοῖς τὸν ἀείμνηστον
τάφον εὐρώεντα καθέξει.
Τευ. Καὶ μὴν ἐς αὐτὸν καιρὸν οἵδε πλησίον
πάρεισιν ἀνδρὸς τοῦδε παῖς τε καὶ γυνή,
τάφον περιστελοῦντε δυστήνου νεκροῦ.
ὦ παῖ, πρόσελθε δεῦρο, καὶ σταθεὶς πέλας,
ἱκέτης ἔφαψαι πατρὸς, ὅς σ' ἐγείνατο.
θάκει δὲ προστρόπαιος, ἐν χεροῖν ἔχων
κόμας ἐμὰς, καὶ τῆσδε, καὶ σαυτοῦ τρίτου,
ἱκτήριον θησαυρόν. εἰ δέ τις στρατοῦ
βίᾳ σ' ἀποσπάσειε τοῦδε τοῦ νεκροῦ,
κακὸς κακῶς ἄθαπτος ἐκπέσοι χθονὸς,
γένους ἅπαντος ῥίζαν ἐξημημένος
αὔτως, ὅπωσπερ τόνδ' ἐγὼ τέμνω πλόκον.
ἔχ' αὐτὸν ὦ παῖ, καὶ φύλασσε. μηδέ σε
κινησάτω τις, ἀλλὰ προσπεσὼν ἔχου.
ὑμεῖς τε μὴ γυναῖκες ἀντ' ἀνδρῶν πέλας
παρέστατ', ἀλλ' ἀρήγετ', ἐς τ' ἐγὼ μόλω,
τάφου μεληθεὶς τῷδε, κἂν μηδεὶς ἐᾷ.
Χο. Τίς ἄρα νέατος ἐς πότε λήξει

ἀριθμὸς

ἀριθμὸς τῶν πολυπλάγκτων. ἕως πότε λήξει ὁ ἀριθμὸς τῶν ἐτῶν ἐμοὶ πόνους παρασκευάζων. τουτέστι τῶν κατὰ πόλεμον μόχθων. κατὰ τὴν σύνταξιν ἡμᾶς Τροίαν περὶ χρόνῳ, τὴν Τροίαν λέγω τὴν δύστηνον ὄνειδος τῶν Ἑλλήνων, διὰ τὴν ἐν αὐτῇ χρονίαν διατριβήν. νέατος δὲ ὁ ἔσχατος, καὶ νεάτη ἡ ἐσχάτη. ἀφ' οὗ νήτη κατὰ κρᾶσιν ἡ τελευταία χορδὴ τῆς μουσικῆς.

¶ ΠΟΛΥΠΛΑΓΚΤΩΝ. καθὸ πολλὰ πλανώμεθα ἐν ἀλλοδαπῇ. ¶ Δορυσσόντων. ἀντὶ τοῦ πολεμικῶν. μετοχὴ ἀντὶ ὀνόματος. ¶ Εὐρώδη. σκοτεινὴν καὶ ἀερώδη τοῖς Ἕλλησιν. ἢ σεσηπυῖαν, ἔνθα ἐχρονίζομεν. ¶ Ὤφελε πρότερον. ὤφελε πρότερον ἀφανὴς γενέσθαι ἐκεῖνος ὁ ἀνὴρ ὁ πρῶτος εἰσενεγκὼν εἰς Ἕλληνας πολεμιστήρια ὅπλα. ὡς ἅμα τῇ εὑρέσει ἀκόντων τῶν ἀνθρώπων εἶναι τὸ ἀδικεῖν. τὸ δὲ ὤφελεν ἀπὸ τοῦ ὀφείλω ὤφειλον ἐκβολῇ τοῦ ι, ὃ δεῖ ἐξ ἀνάγκης γράφεσθαι διὰ τοῦ ω, μεγάλου. τάσσεται δὲ ἀεὶ μετὰ ἀπαρεμφάτου. λέγεται καὶ μετὰ τοῦ οὐκ, οἷον οὐκ ὤφελον. καὶ μετὰ τοῦ ὡς ἐπὶ τοῦ μή. ἢ τοῦ οὐκ προτασσομένου τοῦ ὡς. οἷον ὡς μὴ ὤφελον. ἢ οὐκ ὤφελον. οἷον ἐπεὶ ἐπέγνω τόδε ὡς οὐκ ὤφελον γενέσθαι δηλονότι, συνυπακούεται γὰρ ἐξ ἀνάγκης τὸ ἀπαρέμφατον, καὶ ἐπεὶ παρεγενόμην ὡς μὴ ὤφελον παραγενέσθαι δηλονότι, ἀφ' οὗ ὤφελες εἶναι δευτέρου, καὶ ὤφελε εἶναι τρίτου, λαμβάνεται δὲ ἀντὶ τοῦ ἔπρεπεν. ὄφελον δὲ ἐπίρρημα, ἀντὶ τοῦ εἴθε διὰ τοῦ ο, μικροῦ. καὶ τάσσεται ἀεὶ μετὰ εὐκτικοῦ, ἢ μετὰ παρεληλυθότος χρόνου. λέγεται μέντοι ἐνίοτε καὶ μετὰ τοῦ ὡς, οἷον ὡς ὄφελόν γε καὶ σὲ τῇ κακοδοξίᾳ νενεκρωμένον. ¶ Πρόγονοι πόνων. ἢ παλαιοί, ἢ ἀρχηγοὶ τῶν πόνων. οἷον, ὁπότε εἰσηγητὴς τῶν ὅπλων ἐγένετο. οὐ δεῖ δὲ ἀπειροκάλως ζητεῖν τίς πρῶτος ἐχρήσατο ὅπλοις. ¶ Ἐκεῖνος οὔτε στεφάνων. ἐκεῖνος ὁ εὑρὼν τὰ ὅπλα ὅσον ἐφ' ἑαυτῷ, οὐ στεφάνων, οὐ κύλικος, οὐκ αὐλῶν τέρψιν μοι ἔνειμεν. ἀλλὰ πᾶν φησὶ τερπνὸν διέκοψεν. ἥδιστος δὲ ὢν ὁ Σοφοκλῆς, πάλιν εἶναι τὸ ἴδιον ἦθος ἔκλινεν ἐν τοῖς μέλεσιν. ὅθεν καὶ μέλιττα ἐκλήθη. ¶ Ὄτοβον. ὅμαδον, ἦχον. πάταγος ὁ ἦχος δι' ἑνὸς τ. ὄτοβος δὲ αὐτοῦ, διὰ δύο.

πολυπλάγκτων ἐτέων ἀριθμός,
τὰν ἄπαυστον αἰὲν ἐμοὶ
δορυσσόντων μόχθων
ἄταν ἐπάγων
ἀνὰ τὰν εὐρώδη Τροίαν,
δύστανον ὄνειδος Ἑλλάνων.
ὤφελε πρότερον αἰθέρα δῦναι
μέγαν, ἢ τὸν πολύκοινον ᾅδαν
κεῖνος ἀνήρ, ὃς στυγερῶν
ἔδειξεν ὅπλων Ἕλλασι κοινὸν Ἄρη.
ἰὼ πόνοι πρόγονοι πόνων.
κεῖνος γὰρ ἔπερσεν ἀνθρώπους.
Ἐκεῖνος οὔτε στεφάνων,
οὔτε βαθειᾶν κυλίκων
νεῖμεν ἐμοὶ τέρψιν ὁμιλεῖν,
οὔτε γλυκὺν αὐλῶν ὄτοβον,

Ἐννυχίαν. τὴν ἐν παννυχίσιν. ἢ τὴν ἐν κοίτῃ. ¶ Ἐρώτων. τῶν ἐρωτικῶν. ἢ ἀκαίρως μὲν περὶ ἐρώτων μεμνῆσθαι ἐν τοῖς παροῦσι. ὅμως δὲ ἀκολουθίαν ἔχει πρὸς τὰ προκείμενα. ἰαύειν δὲ διατελεῖν, ἀνύειν. ¶ Κεῖμαι δ' ἀμέριμνος. ἤγουν ἀλλομέριμνος. οἷον, μὴ σκοπῶν περὶ θυμηδίας μηδὲν, ἀλλ' ἐν δρόσοις τεγγόμενος. ἅπερ ἐστί μοι μνημόσυνα εἰς τὸν ἀεὶ χρόνον, ἢ ἐνταῦθα κακοπάθεια. ἢ ἐν οὐδεμιᾷ μερίμνῃ ὤν, ἢ μόνον περὶ τῶν πολέμων. ¶ Ἐννυχίου. τῆς νυκτερινῆς ἐφόδου τῶν πολεμίων. ❡ τῶν βελῶν ἀλεξητήριον ἦν ὁ Αἴας. ❡ Γενοίμαν ἵν' ὑλᾶεν. ἔνθα ὑλώδης ἐξοχὴ παρὰ θαλάττης. εὔχονται δὲ ἀπαλλαγῆναι ἐπὶ τὰ οἰκεῖα. γενοίμην οὖν φησιν ὑπὸ τὴν ἄκραν πλάκα τοῦ Σουνίου. διὰ γὰρ Σουνίου ὁ πλοῦς τοῖς ἀπὸ Τροίας ἐπὶ Σαλαμῖνα. τὸ δὲ ὅλον. εἴθε γενοίμην ὅπου ἐστὶν ἐπὶ τοῦ πόντου τὸ σύνδενδρον ἀκρωτήριον τὸ κλυζόμενον ὑπὸ τῆς ἁλὸς, λέγω ὑπὸ τὴν ἄκραν πλάκα ἤγουν γῆν τοῦ Σουνίου, ἀντὶ τοῦ ὑπὸ τὸ ἄκρον τῆς γῆς τοῦ Σουνίου. ἔστι δὲ τὸ Σούνιον ὄνομα ἀκρωτηρίου. ¶ Τὰς ἱεράς. φιλοτέχνως ὑφαίνει τοὺς ἀκροωμένους, διὰ τῶν ἐπαίνων τῆς Ἀττικῆς. ❡ Καὶ μὴν ἰδών. ὁ Τεῦκρος ἀκηκοὼς ἥκειν τὸν Ἀγαμέμνονα, ἔρχεται μετὰ σπουδῆς. ❡ Σκαιὸν στόμα. σκαιοὺς λόγους, ἤγουν κακούς. σκαιὸν γὰρ τὸ κακὸν, καὶ τὸ ἀπαίδευτον, καὶ τὸ ἀριστερόν. ¶ Τλῆναι. τολμῆσαι. ❡ Ἀνοιμωκτεί. χωρὶς οἰμωγῆς. ἀτιμωρητί. ¶ Χανεῖν. εἰπεῖν. ¶ Ἐκ τῆς αἰχμαλώτιδος. τῆς Ἡσιόνης. ¶ Κἀπ' ἄκρων. ἐπ' ἄκρων δακτύλων ἔβαινες γαυριῶν. ¶ Ὅτ' οὐδὲν ὤν. οὐδὲν μὲν ὢν διὰ τὴν δυσγένειαν. τοῦ μηδενὸς δὲ, τοῦ Αἴαντος τελευτηκότος.

δύσμορος, ὅς τ' ἐννυχίαν
τέρψιν ἰαύειν
ἐρώτων.
ἐρώτων δ' ἀπέπαυσεν, ὤμοι.
κεῖμαι δ' ἀμέριμνος οὕτως,
ἀεὶ πυκιναῖς δρόσοις
τεγγόμενος κόμας λυγρὰς,
μνήματα Τροίας.
καὶ πρὶν μὲν ἐννυχίου
δείματος ἦν μοι προβολὰ,
καὶ βελέων θούριος Αἴας.
Νῦν δ' οὗτος ἀνεῖται στυγερῷ
δαίμονι. τίς μοι, τίς ἔτ' οὖν
τέρψις ἐπέσται;
γενοίμαν
ἵν' ὑλᾶεν ἔπεστι πόντου
πρόβλημ' ἁλίκλυστον ἄκραν
ὑπὸ πλάκα Σουνίου,
τὰς ἱερὰς ὅπως προσείποιμεν Ἀθάνας.

Τευ. καὶ μὴν ἰδὼν ἔσπευσα τὸν στρατηλάτην
Ἀγαμέμνον' ἡμῖν δεῦρο τόνδ' ὁρμώμενον.
δῆλος δέ μοι 'στὶ σκαιὸν ἐκλύσων στόμα.
Αγ. Σὲ δὴ τὰ δεινὰ ῥήματ' ἀγγέλλουσί μοι
τλῆναι καθ' ἡμῶν ὧδ' ἀνοιμωκτεὶ χανεῖν;
σέ τοι τὸν ἐκ τῆς αἰχμαλώτιδος λέγω.
ἦ που τραφεὶς ἂν μητρὸς εὐγενοῦς ἄπο,
ὑψήλ' ἐφώνεις, κἀπ' ἄκρων ὡδοιπόρεις,
ὅτ' οὐδὲν ὢν, τοῦ μηδὲν ἀντέστης ὕπερ,

ι ὠμόσω. γράφεται καὶ διωμόσω. Πικροὺς ἔοιγμεν. πικροὺς ἀγῶνας ἐοίκαμεν κηρῦξαι τοῖς ἀργείοις τότε ἕνεκα τῶν ἀχιλλείων ὅπλων εἰ πανταχοῦ φανούμεθα κακοὶ ἐκ Τεύκρου. ἐν μὲν γὰρ τῷ ἔοιγμεν τρέπεται τὸ κ, εἰς γ, ἀπὸ τοῦ ἐοίκαμεν. ἐν δὲ τῷ στύξω τὸ γ, εἰς κ, ἀπὸ τοῦ στυγήσω, ὅθεν τὸ στύξαι. ¶ Εἴκειν. οὐκ εἴξετε καὶ ἐμμενεῖτε τοῖς κεκριμμένοις. ¶ Πολλοῖσι. πιθανῶς. ¶ Κακοῖς. δηλονότι λόγοις. Βαλεῖτε. ἀντὶ τοῦ βλασφημήσετε. Οἱ λελειμμένοι. οἱ ἡττηθέντες ἐν τῇ κρίσει. ταῦτα δὲ πρὸς τὴν ἐπιχείρησιν τοῦ αἴαντος. ¶ Κατάστασις γένοιτ' ἄν. γενναῖος ὁ λόγος. εἰ ὁ ἡττώμενος ἰδίῳ δικαίῳ πιστευόμενος πάλιν μάχοιτο καὶ οὐκ εἴξει τοῖς κεκριμμένοις, οὐδέποτε κατάστασις ἔσται. κατάστασις δὲ ἡ εὐταξία. εὐταξία δὲ νόμος, ἣν ὁ νόμος ποιεῖ. Τοὺς ὄπισθεν. τοὺς ἡττωμένους. ἔστι δὲ ἀπὸ μεταφορᾶς τῶν δρομέων. ¶ Ἀλλ' εἰρκτέον. δεῖ φησιν ἐμμένειν τοῖς ἅπαξ κεκριμμένοις. ἐπεὶ δὴ δὲ αὐτὸς τὴν κατὰ σῶμα ἀρετὴν καὶ ἰσχὺν ὑπερβάλλειν οὐ δύναται, εἰς ἀφροσύνην αὐτὸν λοιδορεῖ. ¶ Ἀλλ' οἱ φρονοῦντες εὖ. ἤγουν οἱ φρόνιμοι κρατοῦσιν. πρὸς τὸ τρέπεται, τὸ μέγας δὲ βοῦς ὢν τὴν πλευράν, καὶ τὸ ἑξῆς. ¶ Ὀρθός. ἤγουν κατ' εὐθεῖαν εἰς τὴν ὁδὸν πορεύεται οὐ παρακλίνων. ¶ Προσέρπον. ἀκόλουθον.
Τ οὔτ' ἐγὼ τὸ φάρμακον. τὸ τῆς μάστιγος. ¶ Ἀλλ' ἤδη σκιᾶς. ὑπὲρ ἀνδρὸς οὐκ ἔτι ζῶντος, ἀλλὰ ὄντος σκιᾶς, τουτέστι ἀνυποστάτου. ¶ Τὴν βάρβαρον γὰρ γλῶσσαν.

κοὔτε στρατηγοὺς, οὔτε ναυάρχους μολεῖν
ἡμᾶς Ἀχαιῶν, οὔτε σοῦ διωμόσω.
ἀλλ' αὐτὸς ἄρχων ὡς σὺ φῂς Αἴας ἔπλει.
ταῦτ' οὐκ ἀκούειν μεγάλα πρὸς δούλων κακά;
ποίου κέκραγας ἀνδρὸς ὧδ' ὑπέρφρονα.
ποῖ βάντος, ἢ ποῦ στάντος, οὗπερ οὐκ ἐγώ;
Οὐκ ἆρ' Ἀχαιοῖς ἄνδρες εἰσὶ, πλὴν ὅδε;
πικροὺς ἔοιγμεν τῶν Ἀχιλλείων ὅπλων
ἀγῶνας Ἀργείοισι κηρύξαι τότε,
εἰ πανταχοῦ φανούμεθ' ἐκ Τεύκρου κακοί.
κοὐκ ἀρκέσει ποθ' ὑμὶν οὐδ' ἡσσημένοις
εἴκειν, ἃ τοῖς πολλοῖσιν ἤρεσκε κριταῖς,
ἀλλ' αἰὲν ἡμᾶς ἢ κακοῖς βαλεῖτέ που,
ἢ σὺν δόλῳ κεντήσεθ' οἱ λελειμμένοι;
» Ἐκ τῶνδε μέντοι τῶν τρόπων, οὐκ ἄν ποτε
» Κατάστασις γένοιτ' ἂν οὐδενὸς νόμου,
» Εἰ τοὺς δίκῃ νικῶντας ἐξωθήσομεν,
» Καὶ τοὺς ὄπισθεν εἰς τὸ πρόσθεν ἄξομεν.
» Ἀλλ' εἰρκτέον τάδ' ἐστίν. οὐ γὰρ οἱ πλατεῖς
» Οὐδ' εὐρύνωτοι φῶτες ἀσφαλέστατοι,
» Ἀλλ' οἱ φρονοῦντες εὖ, κρατοῦσι πανταχοῦ.
» Μέγας δὲ πλευρὰς βοῦς, ὑπὸ σμικρᾶς ὅμως
» Μάστιγος, ὀρθὸς εἰς ὁδὸν πορεύεται.
καὶ σοὶ προσέρπον τοῦτ' ἐγὼ τὸ φάρμακον
ὁρῶ τάχ', εἰ μὴ νοῦν κατακτήσῃ τινά,
ὃς ἀνδρὸς οὐκέτ' ὄντος, ἀλλ' ἤδη σκιᾶς,
θαρσῶν ὑβρίζεις, κἀξελευθεροστομεῖς.
Οὐ σωφρονήσεις; οὐ μαθὼν ὃς εἶ φύσιν,
ἄλλον τιν' ἄξεις ἄνδρα δεῦρ' ἐλεύθερον,
ὅστις πρὸς ἡμᾶς ἀντὶ σοῦ λέξει τὰ σά;
σοῦ γὰρ λέγοντος, οὐκέτ' ἂν μάθοιμ' ἐγώ.
» Τὴν βάρβαρον γὰρ γλῶσσαν οὐκ ἐπαΐω.

σκώπτει αὐτὸν εἰς τὴν μητέρα. ¶ Εἴθ' ὑμῖν. ἐπεὶ οὐ συμβουλεύει δὲ τῷ Ἀγαμέμνονος ἀξίωμα ὁ χορός, ἐν τῇ εὐχῇ τὴν γνώμην κατέθηκε. Φεῦ τοῦ θανόντος. περιπαθὴς ὁ λόγος εἰς ἀχαριστίαν ἐννεύων, ὅτι ταχεῖα διαῤῥεῖ ἡ χάρις τοῦ ἀποθανόντος.

Ταχεῖά τις. τὸ μὲν τί ζητεῖ οὐσίαν πράγματος, ὅ ἐστι τόδε ἐστὶν ἄνθρωπος τυχὸν ἢ ἵππος. τὸ δὲ τίς ὑπόστασιν καὶ πρόσωπον, οἷον τίς ὅδε ἐστὶ Σωκράτης τυχὸν ἢ Πλάτων. καὶ τίς πόθεν εἰς ἀνδρῶν. ἐν τούτῳ γὰρ ὁ ἐρωτῶν οἶδε μὲν ὅτι ἀνὴρ πρὸς ὃν τὴν ἐρώτησιν ποιεῖται, ζητεῖ δὲ τοὔνομα αὐτοῦ ἂν οὕτως τῶν ἄλλων ἀνδρῶν χωρίζοιτο. ἐπεὶ δὲ πρὸς τὸ τίς οὐκ ὄνομα μόνον ἀπαντᾶ κύριον, ἀλλὰ καὶ τὸ ἐπίθετον ἐνίοτε κύριον. οἷον τίς ὅδ' ἐστὶν ὁ ἠλὺς Λυκιανός, δῆλον οὐκ ὀνόματι μόνον κυρίῳ ὑπαντᾶσαι τὸ τίς, ἀλλ' ἔστιν ὅτε καὶ ἐπιθέτῳ οἷον Λυκιανός τις ἐποίησε τόδε, καὶ ὁ Λυκιανὸς ἠλύς τις ἐστίν. ἐντεῦθεν οὖν ἡ χάρις ὡς ἐπίθετον ἔχει τὸ ταχεῖα ὄνομα, εἰ καὶ ἄλλως αὐτὸ ὑπαρρηματικὴν ἔχει σημασίαν, διὸ μετὰ τοῦ τίς αὐτὸ ἐπάγεται, ἢ ταχεῖά τις αὕτη λέγεται διαῤῥεῖν; κατὰ ταῦτα λέγεται ἢ τὸ ὅστις ἢ τὸ ὁποῖός τις. ἀλλὰ τὸ μὲν ὅστις νοεῖται ἐπὶ κυρίου ὀνόματος. τὸ δὲ ὁποῖός τις ἐπὶ ἐπιθέτου, ὡς παρὰ Λυκιανῷ. τὸ δὲ ὅλον οἱ δῆμοι οὐκ ἐξετάζοντες ὁποῖός τίς ἐστιν ὁ τοῖς πράγμασιν ἐφεστηκώς, εἴτε καλὸς δηλονότι εἴτε τὸ ἐναντίον, ἀπὸ ἐπιθετικοῦ λέγεται. ¶ Προδοῦσα. ἀντὶ τοῦ προδεδομένη καταλαμβάνεται. ℂ Εἰ σοῦ γ' ὅδ' ἀνήρ. εἰ σοῦ γε ὦ Αἴας ὅδε ὁ ἀνὴρ οὐκ ἐπέχει μνήμην. ℂ Οὗ σὺ πολλάκις. οὐκ ἀξιοῦται τῆς παρὰ σοῦ μνή-
» μης. οὗ πολλάκις ὦ Αἶαν, προεκινδύνευσας ἐν πολέμοις, παρὰ τὸ ὁμηρικόν, αἰεὶ ἐ-
» μὴν ψυχὴν παραβαλλόμενος πολεμίζων. ¶ Οὐ μνημονεύεις. καλῶς πρὸς τό, ποῦ Τεῦκρος, ἢ ποῦ σαῦρος οὔπω οὐκ ἐγώ. ℂ Ἑρκέων. λείπει ἐντός. ℂ Ἐγκεκλεισμένους. ἢ ἐν, ἀντὶ τοῦ ἐντὸς κεκλεισμένους. ℂ Ἐν τροπῇ δορός. ἐν ἥττῃ τοῦ πολέμου. τρόπαιον ἡ νίκη. τροπὴ δὲ ἡ ἧττα. τρόπαιον μὲν τῶν διωκόντων. τροπὴ δὲ τῶν διωκομένων.

Α κροισιν ἤδη. τοῖς μὲν τοῖς ἄκροις ναυτικοῖς ἑδωλίοις τῶν νεῶν, ἤγουν ὑπερῴμασι, σανιδώμασι, τοῦ πυρὸς ἤδη ἀναπτομένου καὶ ἀναφλεγομένου. ¶ Ἄρδην. αἴρω τὸ ἀφανίζω ἢ τὸ ὑψῶ, ἀφ' οὗ ἄρδην, ἀντὶ τοῦ μετεώρως καὶ κούφως, ὡς ἐνταῦθα, καὶ ἀντὶ τοῦ ἀφανιστικῶς καὶ ὁμοῦ.

ΧΟ. Εἴθ' ὑμὶν ἀμφοῖν νοῦς γένοιτο σωφρονεῖν.
τούτου γὰρ οὐδὲν σφῷν ἔχω λῷον φράσαι.
ΤΕΥ. Φεῦ, τοῦ θανόντος ὡς ταχεῖά τις βροτοῖς
» χάρις διαῤῥεῖ, καὶ προδοῦσ' ἁλίσκεται.
εἰ σοῦ γ' ὅδ' ἀνὴρ οὐδ' ἐπὶ σμικρῶν λόγων
Αἴας ἔτ' ἴσχει μνῆστιν, οὗ σὺ πολλάκις
τὴν σὴν προτείνων προὔκαμες ψυχὴν δορί.
ἀλλ' οἴχεται δὴ πάντα ταῦτ' ἐῤῥιμμένα.
ὦ πολλὰ λέξας ἄρτι κἀνόνητ' ἔπη,
οὐ μνημονεύεις οὐκέτ' οὐδέν, ἡνίκα
ἑρκέων ποθ' ὑμᾶς οὗτος ἐγκεκλεισμένους,
ἤδη τὸ μηδὲν ὄντας ἐν τροπῇ δορὸς
ἐῤῥύσατ' ἐλθὼν μοῦνος; ἀμφὶ μὲν νεῶν
ἄκροισιν ἤδη ναυτικοῖς ἑδωλίοις
πυρὸς φλέγοντος, εἰς δὲ ναυτικὰ σκάφη
πηδῶντος ἄρδην Ἕκτορος τάφρων ὕπερ;
τίς ταῦτ' ἀπεῖρξεν; οὐχ ὅδ' ἦν ὁ δρῶν τάδε;

ὃν οὐδαμοῦ φὴς οὐδὲ συμβῆναι ποδί;
ἆρ' ὑμὶν οὗτος ταῦτ' ἔδρασεν ἔνδικα;
χ' ὥς τ' αὖθις αὐτὸς Ἕκτορος μόνος μόνου
λαχών τε, κἀκέλευστος ἦλθεν ἀντίος;
οὐ δραπέτην τὸν κλῆρον εἰς μέσον καθεὶς
ὑγρᾶς ἀρούρας βῶλον, ἀλλ' ὃς εὐλόφου
κυνῆς ἔμελλε πρῶτος ἅλμα κουφιεῖν.
ὅδ' ἦν ὁ πράσσων ταῦτα. σὺν δ' ἐγὼ παρὼν
ὁ δοῦλος, οὐκ τῆς βαρβάρου μητρὸς γεγώς.
δύστηνε, ποῖ βλέπων ποτ' αὐτὰ καὶ θροεῖς;
οὐκ οἶσθα σοῦ πατρὸς μὲν, ὃς προὔφυ πατὴρ,
ἀρχαῖον ὄντα Πέλοπα βάρβαρον Φρύγα;
Ἀτρέα δ', ὃς αὖ σ' ἔσπειρε δυσσεβέστατον,
προθέντ' ἀδελφῷ δεῖπνον οἰκείων τέκνων;
αὐτὸς δὲ μητρὸς ἐξέφυς Κρήσσης, ἐφ' ᾗ
λαβὼν ἐπακτὸν ἄνδρ' ὁ φυτεύσας πατὴρ,
ἐφῆκεν ἐλλοῖς ἰχθύσιν διαφθοράν.
τοιοῦτος ὢν, τοιῷδ' ὀνειδίζεις σποράν;
ὃς ἐκ πατρὸς μέν εἰμι Τελαμῶνος γεγώς.

ΟΥΔΕ συμβῆναι ποδί. πρὸς τὸ, τοῦ βάντος ἢ τοῦ στάντος. συμβῆναι δὲ, ἀντὶ τοῦ συνελθεῖν ἐνταῦθα. βαίνω γὰρ τὸ πορεύομαι, καὶ τὸ ἵσταμαι, ἀφ' οὗ βάσιν ἀνδριάντος.

Λαχών τε. ἤγουν κληρωθεὶς, ἀφ' οὗ λαχμὸς ὁ κλῆρος ποιητικῶς. ¶ Κἀκέλευστος ἦλθ' ἐναντίος. αὐτοκέλευστόν φησιν αὐτὸν ἀναστῆναι εἰς τὸ μονομάχον, ἐπαινῶν αὐτὸν οὐχ ὁμηρικῶς. ¶ Οὐ δραπέτην τὸν κλῆρον. οὐ δεῖ πανουργήσας περὶ τὸν κλῆρον, ἀλλ' εὐξάμενος λαχεῖν αὐτόν. αὕτη δὲ ἱστορεῖται περὶ Κρεσφόντου, καὶ τῶν Ἀριστοδήμου παίδων, ὅτι πανούργως ὁ Κρεσφόντης βῶλον ὑγρὰν εἰς τὴν ὑδρίαν ἐνέβαλε κληρουμένων περὶ Μεσσήνης. οὐκ ἁρμόττει δὲ τὸν Τεῦκρον λοιδορεῖν Ἀγαμέμνονι ὑπὲρ τῶν πάθους προηγούμενον. καὶ γὰρ Ἀχιλλεὺς οὐκ ἀπέχεται λοιδορίας, καὶ οὐκ ὢν ἐν τοιούτῳ πάθει. ¶ Κλῆρον. κλῆρος δὲ, ὧν ἐκληροῦντο, καὶ κλῆρος αὐτὸ τὸ κληροῦσθαι. ¶ Ἀρούρας. ἤγουν ὠργιασμένης γῆς. χέρσος γὰρ ἡ ξηρὰ γῆ. ἄρουρα δὲ ἡ ὠργιασμένη. λήιον δὲ ἔχον ἀστάχυας χωράφιον. ¶ Ἀλλ' ὃς εὐλόφου. ὅστις κλῆρος ἐκ τῆς εὐλόφου κυνῆς ἤμελλε πρῶτος κουφιεῖν τὸ ἅλμα τοῦ ἀναπτος. Ἅλμα. πήδημα. ἅλμα, πάλμα, καὶ πήδημα ταυτόν. ¶ Ποῖ βλέπων. ἤγουν ἀφορῶν, καὶ ἤγουν εἰς ποίαν εὐγένειαν σὴν ἀφορῶν ταῦτα λέγεις. ¶ Οὐκ οἶσθα σοῦ πατρός. εἰκότως καὶ αὐτὸς τὰ ὅμοια ἐξεῦρεν. ἓν δὲ εἰπὼν Ἀγαμέμνων, μυρία ἤκουσεν. ¶ Αὐτὸς δὲ μητρός. οὐχ ὡς βαρβάρων τῶν Κρητῶν, οἱ τῶν ὀνειδίζει αὐτῷ τὰ περὶ τῆς μητρὸς, ἀλλ' οἷον ἐξ ἀλλοφύλων γέγονέ σοι τὸ γένος.

Ε Ἐπακτόν. ἐπείσακτον, ἤγουν μοιχόν. ἐφῆκεν δὲ, ἀντὶ τοῦ ἐπέταξε δυθῆναι. ¶ Φυτεύσας. γεννήσας. φυτεύειν τὸ τῇ γῇ φυτὸν ἐνθεῖναι. ψιλὸν τὸ φυ, καὶ βραχὺ, φιτύειν τὸ σπείρειν ποιητικῶς, ὃ παράγεται ἀπὸ τοῦ φίτυς ὁ πατὴρ, ι. καὶ μακρὸν ὃ καὶ ἐνταῦθα τῷ ποιητῇ τέτακται, τοῖς δὲ ὕστερον ἡμάρτηται. ¶ Ἐφῆκεν ἐλλοῖς. ἤγουν ἀφώνοις. ἡ ἱστορία ἐν ταῖς Κρήσσαις Εὐριπίδου, ὅτι διαφθαρεῖσαν αὐτὴν λάθρα ὑπὸ θεράποντος, ὁ πατὴρ Ναυπλίῳ παρέδωκεν, ἐντειλάμενος ἀποποντῶσαι, ὁ δὲ οὐκ ἐποίησεν, ἀλλ' ἐνεγγύησε Πλεισθένει.

ΟΣΤΙΣ στρατοῦ. ἤγουν τὰς τοῦ πρώτης μοίρας ἀνδραγαθίας. ¶ Ἡ φύσει μὲν ἦν βασίλεια. ἀνασκευάζει τὰ εἰρημένα περὶ δυσγενείας αὐτοῦ. φύσει δὲ εἴωθε γένους λέγεσθαι κυρίως, εἴωθε δὲ τῶν υἱοθετουμένων τῇ θέσει, καὶ ἀπὸ τούτων μετάγεται ταῦτα καὶ ἐφ' ἕτερα. ¶ Τοὺς πρὸς αἵματος. τοὺς συγγενεῖς. ἴσως δεικτικῶς εἰς τὸν Αἴαντα, ἵν' ᾖ περιπαθὴς ἡ λέξις. ¶ Ὠθεῖς ἀθάπτους. πιθανῶς πάλιν εἰσέβαλεν εἰς τὸν λόγον τοῦ δράματος. ¶ Βαλεῖτε χ' ἡμᾶς. ἑαυτὸν λέγει καὶ τὴν Τέκμησσαν καὶ τὸν Εὐρυσάκην. Ἄλλως. Τρεῖς ὁμοῦ συγκειμένους. ἐμὲ καὶ σαυτόν, καὶ Μενέλαον. οὐ γὰρ λέγει περὶ τῆς Τεκμήσσης καὶ τοῦ παιδός. ἐλεεινὸς γὰρ ὁ λόγος, οὐκ ἀπειλητικός.

Ἐπεὶ καλόν μοι. καλόν μοι ἐστὶν προδήλως ὑπὲρ τοῦδε πονουμένῳ μᾶλλον ἀποθανεῖν ἢ ὑπὲρ τῆς σῆς γυναικός, λέγω τοῦ σοῦ ἀδελφοῦ. ¶ Θανεῖν προδήλως. ἀντὶ τοῦ λαμπρῶς. ἀνδρείως. λέγει δὲ ὅτι ταῦτα ἃ βούλεσθε περὶ τὸν Αἴαντα δρᾶσαι, πρότερον οὐ δράσετε πρὶν ἢ κἀμὲ ἀποκτεῖναι. ἀποθνήσκων μέντοι σὺν ὑμῖν ἀπολοῦμαι. ¶ Βουλήσῃ ποτέ. μεταμεληθήσῃ ὡς προπετὴς εἰς ἐμὲ εὑρεθείς. καὶ μὴ ἀποδειλιάσας πρὸς τὸ ἄρχειν. ἀμυνοῦμαι γάρ σε. ἢ βουλήσῃ ποτὲ καὶ δειλὸς εἶναι, καὶ μὴ ὑπ' ἐμοῦ ἀναιρεθῆναι. δειλὸς δὲ καὶ θρασὺς ἐναντία κακά, ὑπερβολὴν ἔχοντα καὶ ἔλλειψιν, μέσον δὲ τούτων ἡ ἀνδρεία. ¶ Ἢ 'ν ἐμοί. ἤγουν ἢ ἐν ἐμοί. ¶ Ἄναξ Ὀδυσσεῦ. ἵνα μὴ εἴη αὐτῶν εἰς μακρὰν ἡ φιλονεικία, διαλλακτὴν εἰσήνεγκε τὸν Ὀδυσσέα. τοιοῦτον γὰρ ὁ καιρὸς ἐζήτει. εἰσῆκται δὲ Ὀδυσσεὺς ὡς σοφὸς καὶ ἀμνησίκακος. καιρὸν δὲ ἀντὶ τοῦ εἰς καιρὸν ἤγουν ἐγκαίρως. ¶ Ξυνάψων. αὐτὸ τοῦτο δηλονότι εἰς τὴν μάχην, ἀλλὰ διαλύσων καὶ χωρίσων πάρει ἀντὶ τοῦ παρεγένου. ¶ Βοὴν Ἀτρειδῶν. οὐκ ἐξ ἐρήμου φησίν, ὅτι ἤκοι ἀναστέλλων Ἀγαμέμνονα. ἀλλ' ὡς μελόμενος τί πράττουσιν οἱ βασιλεῖς. τὴν δὲ ἑαυτοῦ γνώμην ἐδήλωσε διὰ τοῦ, ἀλκίμῳ νεκρῷ, ὅτι γενναίως αὐτὸς ἐδήλωσε τὴν τελευτήν. διδάσκει δὲ ὁ λόγος, ὅτι οὐ δεῖ κατὰ τεθνεώτων λέγειν, κἂν ἐχθροὶ ὦσιν.

ὅστις στρατοῦ τὰ πρῶτ' ἀριστεύσας, ἐμὴν  
ἴσχει ξύνευνον μητέρ', ἣ φύσει μὲν ἦν  
βασίλεια, Λαομέδοντος. ἔκκριτον δέ νιν  
δώρημα κείνῳ δῶκεν Ἀλκμήνης γόνος.  
ἆρ' ὧδ' ἄριστος ἐξ ἀριστέοιν δυοῖν  
βλαστὼν ἂν αἰσχύνοιμι τοὺς πρὸς αἵματος,  
οὓς νῦν σὺ τοιοῖσδ' ἐν πόνοισι κειμένους  
ὠθεῖς ἀθάπτους, οὐδ' ἐπαισχύνῃ λέγων;  
εὖ νῦν τόδ' ἴσθι, τοῦτον εἰ βαλεῖτέ που,  
βαλεῖτε χ' ἡμᾶς τρεῖς ὁμοῦ συγκειμένους.  
ἐπεὶ καλόν μοι τοῦδ' ὑπερπονουμένῳ,  
θανεῖν προδήλως μᾶλλον, ἢ τῆς σῆς ὑπὲρ  
γυναικός, ἢ τοῦ σοῦ θ' ὁμαίμονος λέγω.  
πρὸς ταῦθ' ὅρα μὴ τοὐμόν, ἀλλὰ καὶ τὸ σόν.  
ὡς εἴ με πημανεῖς τι, βουλήσῃ ποτὲ  
καὶ δειλὸς εἶναι μᾶλλον, ἢ 'ν ἐμοὶ θρασύς.  
Χο. ἄναξ Ὀδυσσεῦ, καιρὸν ἴσθ' ἐληλυθώς,  
εἰ μὴ ξυνάψων, ἀλλὰ συλλύσων πάρει.  
Οδ. τί δ' ἔστιν ἄνδρες; τηλόθεν γὰρ ᾐσθόμην  
βοὴν Ἀτρειδῶν τῷδ' ἐπ' ἀλκίμῳ νεκρῷ.

Οὐ γὰρ κλύοντες. ἆρα γὰρ οὐ κλύοντές ἐσμεν αἰσχίστους λόγους ὦ ἄναξ Ὀδυσσεῦ ὑπὸ τοῦδε τοῦ ἀνδρός. συλλήπτορα δὲ θέλων ἔχειν τὸν Ὀδυσσέα, καλεῖ αὐτὸν ἄνακτα. ¶ Ἐγὼ γὰρ ἀνδρί. συνετὸς ὁ Ὀδυσσεύς, οὐκ εὐθὺς προστιθέμενος τῇ ὀργῇ. ἔστι γὰρ συγγνώμη καὶ τῷ κακῶς εἰπόντι, εἰ κακῶς παθὼν ἀμύνηται διὰ λόγων.

ΑΓ. Οὐ γὰρ κλύοντές ἐσμεν αἰσχίστους λόγους
ἄναξ Ὀδυσσεῦ τοῦδ' ὑπ' ἀνδρὸς ἀρτίως.
ΟΔ. Ποίους; ἐγὼ γὰρ ἀνδρὶ συγγνώμην ἔχω
κλύοντι φλαῦρα, συμβαλεῖν ἔπη κακά.
ΤΕΥ. Ἤκουσεν αἰσχρά. δρῶν γὰρ ἦν τοιαῦτά με.
ΟΔ. Τί γάρ σ' ἔδρασεν, ὥστε καὶ βλάβην ἔχειν;
ΑΓ. Οὔ φησ' ἐάσειν τόνδε τὸν νεκρὸν ταφῆς
ἄμοιρον, ἀλλὰ πρὸς βίαν θάψειν ἐμοῦ.
ΟΔ. Ἔξεστιν οὖν εἰπόντι τἀληθῆ φίλῳ
σοὶ μηδὲν ἧσσον ἢ πάρος ξυνηρετμεῖν;
ΑΓ. Εἴπ'. ἦ γὰρ εἴην οὐκ ἂν εὖ φρονῶν, ἐπεὶ
φίλον σ' ἐγὼ μέγιστον Ἀργείων νέμω.
ΟΔ. Ἄκουέ νυν, τὸν ἄνδρα τόνδε πρὸς θεῶν
μὴ τλῇς ἄθαπτον ὧδ' ἀναλγήτως βαλεῖν.
μηδ' ἡ βία σε μηδαμῶς νικησάτω
τοσόνδε μισεῖν, ὥστε τὴν δίκην πατεῖν.
κἀμοὶ γὰρ ἦν ποθ' οὗτος ἔχθιστος στρατοῦ,
ἐξ οὗ κρατήσα τῶν Ἀχιλλείων ὅπλων.
ἀλλ' αὐτὸν ἔμπας ὄντ' ἐγὼ τοιόνδ' ἐμοί,
οὔκουν ἀτιμάσαιμι ἄν, ὥστε μὴ λέγειν,
ἕν' ἄνδρ' ἰδεῖν ἄριστον Ἀργείων, ὅσοι
Τροίαν ἀφικόμεσθα, πλὴν Ἀχιλλέως.
ὥστ' οὐκ ἂν ἐνδίκως γ' ἀτιμάζοιτό σοι.
οὐ γάρ τι τοῦτον, ἀλλὰ τοὺς θεῶν νόμους
φθείροις ἄν. ἄνδρα δ' οὐ δίκαιον εἰ θάνοι,
βλάπτειν τὸν ἐσθλόν, οὐδ' ἐὰν μισῶν κυρῇς.
ΑΓ. Σὺ ταῦτ' Ὀδυσσεῦ τοῦδ' ὑπερμαχεῖς ἐμοί;
ΟΔ. Ἔγωγ'. ἐμίσουν δ' ἡνίκ' ἦν μισεῖν καλόν.

¶ Ἤκουσεν αἰσχρά. οὔτε θεραπεύει Ὀδυσσέα ὁ Τεῦκρος διὰ τὸν ἀδελφόν. οὔτε ἀντιλέγει διὰ τὸν καιρόν. ¶ Τί γάρ σ' ἔδρασεν. τί δέ σ' ἐποίησεν τοιοῦτο δεινόν, ὥστε καὶ ἀπέχειν σοι βλάβην. ¶ Οὔ φησι ἐάσειν. διατείνεται οὐκ ἐάσειν. ¶ Ἄμοιρον. ἀμέτοχον. ¶ Ἀλλὰ πρὸς βίαν. ἀλλὰ διατείνεται θάψειν αὐτὸν πρὸς βίαν ἐμοῦ. βίαν λέγει ἣν βιάσεται αὐτόν. ¶ Ἔξεστιν οὖν. δαιμονίως ἡ παρατήρησις. ἠπίστατο γὰρ ὅτι πάντες ἄνθρωποι πρὸς τὸ ἀληθὲς ἀγανακτοῦσι, καὶ ἀντιλέγουσι. τὸ δὲ ἑξῆς, ἔξεστιν ἐμοὶ τῷ φίλῳ σου εἰπόντ' ἀληθῆ, καὶ τὰ ἑξῆς. ¶ Ξυνηρετμεῖν. συμφωνεῖν, φίλον εἶναι, συνέχειν ὡς πρότερον, ἐκ μεταφορᾶς τῶν κοινῶς ἐρεσσόντων. ¶ Μηδ' ἡ βία σε. μὴ ἡ ἐξουσία βιασάσθω σε ὥστε πρᾶξαί τι παρὰ τὸ δίκαιον. τουτέστι μὴ ὑπέρ του ἐνδείξασθαι τούτῳ τὴν ἐξουσίαν παραβῇς τὸ δίκαιον. ¶ Κἀμοὶ γὰρ ἦν ποτε. ἱκανὸς ὁ λόγος εἰς πειθώ, ὅτι κἀγὼ ποτε ἐχθρὸς ὤν, ἐνδέδωκα νῦν διὰ τὸ δίκαιον. ¶ Ἀλλ' αὐτὸν ἔμπας. ἀλλ' ὅμως ἐγὼ ὄντα αὐτὸν ἐμοὶ τοιόνδε, ἤγουν ἔχθιστον οὐκ ἂν ἀπαξιώσαιμι, ὥστε μὴ λέγειν, καὶ τὰ ἑξῆς. ¶ Βλάπτειν τὸν ἐσθλόν. δύναται καὶ ἐπὶ τοῦ μισοῦντος εἶναι. τὸν ἐσθλὸν οὐ δεῖ μνησικακεῖν. δύναται καὶ ἐπὶ τοῦ μισουμένου καὶ τετελευτηκότος, τὸν ἐσθλὸν οὐ δεῖ βλάπτεσθαι, οὐδ' ἐὰν μισούμενος ᾖ. εὐκαταλλάκτως γὰρ δεῖ πρὸς τοὺς ἀπεχθεῖς ἔχειν.

Οὐ γὰρ θανόντι. οὐ γὰρ χρὴ θανόντι καὶ προσεμβῆναί σε. τουτέστι πρὸς τοῖς μίσεσιν ἐπεμπηδῆσαι, ἐπὶ τῶν λὰξ ἐναλλομένων λέγεται τὸ ἐπεμβῆναι. ¶ Μὴ χαῖρε. ἤγουν μὴ πρόσκεισο. ¶ Τόν τοι τύραννον. ὁ λόγος ὅτι οὐ πάντη τῷ δικαίῳ ἀκολουθητέον, ἀλλά τι πρὸς τὸ συμφέρον ῥέπειν χρὴ τὸν τύραννον. ἀπρεπὲς δὲ ὑπὸ ἀγαμέμνονος ὁμολογεῖσθαι. πᾶς τύραννος ἀδικεῖ ὑπὸ τῆς ἐξουσίας. ποιεῖ γάρ τι αὐτὰ τὸ ἔργον ταύτην προβαλλόμενος. ¶ Ἀλλ' εὖ λέγουσι. κατὰ κοινοῦ τὸ ῥᾴδιον. ἔστιν δὲ ὁ νοῦς τοιοῦτος. ἀλλὰ ῥᾴδιόν ἐστι τοῖς καλῶς συμβουλεύουσι φίλοις τιμὰς νέμειν. ἀντὶ τοῦ ἐμοὶ καλῶς σοι συμβουλεύοντι, τιμὴν ἀπόδος. τουτέστιν, ἄκουσόν μου. ¶ Κλύειν τὸν ἐσθλόν. ἀκρῶσαι αὐτὸ θέσεις. ὁ μὲν Ὀδυσσεὺς ἐπὶ τῷ μὴ τῶν φίλων ὑφεῖναι τὸν βασιλέα τῆς ἐξουσίας παρακαλεῖ. ὁ δὲ αὐτοσχεδιάσας φησίν, ὅτι τὸν ἀγαθὸν ἄνδρα χρὴ πείθεσθαι τοῖς βασιλεῦσι, κλύειν δὲ ἀντὶ τοῦ ὑπακούειν.

Αγ. Οὐ γὰρ θανόντι καὶ προσεμβῆναί σε χρή;
Οδ. Μὴ χαῖρ' Ἀτρείδη κέρδεσιν τοῖς μὴ καλοῖς.
Αγ. Τόν τοι τύραννον εὐσεβεῖν οὐ ῥᾴδιον;
Οδ. Ἀλλ' εὖ λέγουσι τοῖς φίλοις τιμὰς νέμειν.
Αγ. Κλύειν τὸν ἐσθλὸν ἄνδρα χρὴ τῶν ἐν τέλει.
Οδ. Παῦσαι. κρατεῖς τοι τῶν φίλων νικώμενος.
Αγ. Μέμνησ' ὁποίῳ φωτὶ τὴν χάριν δίδως;
Οδ. Ὅδ' ἐχθρὸς ἀνήρ, ἀλλὰ γενναῖός ποτ' ἦν.
Αγ. Τί ποτε ποιήσεις, ἐχθρὸν ὧδ' αἰδῇ νέκυν;
Οδ. Νικᾷ γὰρ ἡ ἀρετή με τῆς ἔχθρας πολύ.
Αγ. Τοιοίδε μέντοι φῶτες ἔμπληκτοι βροτῶν.
Οδ. Ἦ κάρτα πολλοὶ νῦν φίλοι, καὖθις πικροί.
Αγ. Τοιούσδ' ἐπαινεῖς δῆτα σὺ κτᾶσθαι φίλους;
Οδ. Σκληρὰν ἐπαινεῖν οὐ φιλῶ ψυχὴν ἐγώ.
Αγ. Ἡμᾶς σὺ δειλοὺς τῇδε θ' ἡμέρᾳ φανεῖς.

Ἐσθλόν. ἤγουν τὸν ἀγαθόν. ἐσθλὸς ὁ ἐθελοντὴς μαχόμενος, ἤγουν ἀνδρεῖος. ἐκ τούτου ὁ ἀγαθός. ¶ Τῶν ἐν τέλει. τῶν ἐν ἀρχῇ, τῶν βασιλέων. ¶ Μέμνησο. ἀντὶ τοῦ ἀναλογίζου. Τί ποτε ποιήσεις. ἐν ἐρωτήσει ὁ λόγος. ποδαπός τις ἔσῃ πρὸς ἐχθρούς. καὶ τί αὐτοὺς διαθήσεις δεινόν, ὁπότε οὕτως ὑπὸ νεκροῦ ἡττήθης. ¶ Ἡ ἀρετή. ἡ ἀρετὴ ἤγουν ἡ ἀνδρεία. Πολύ. ἀντὶ τοῦ πλέον. ¶ Τοιοίδε φῶτες. οἱ τοιοίδε φῶτες, οἷος ἦν ὁ Αἴας δηλονότι, εἰς μάχην ῥᾳδίως μεταβαλλόμενος, ἔμπληκτοί εἰσιν παρὰ τοῖς βροτοῖς. πρὸς ὃ ἀπαντᾷ ὁ Ὀδυσσεύς, ὄντως πλεῖστοι ἄλλοι δηλονότι νῦν εἰσὶ φίλοι, καὶ κατὰ τὸ ἐπιὸν ἄλλοις πρόξενοι. ἔμπληκτος δὲ ὁ ἀπόπληκτος ὁ παράπληξ ταυτό. λέγεται δὲ ταῦτα ἐπὶ τῶν ἐκτεταραγμένων τὴν ψυχήν. ¶ Ἔμπληκτοι βροτῶν. οἱ μὲν ἐμμένοντες τῇ ἀρχαίᾳ ἀρετῇ καὶ φιλίᾳ, ἄφρονες παρὰ τοῖς ἀνθρώποις. Ἄλλως. ἔμπληκτοι. κοῦφοι. εὐμετάβολοι. ὀνειδίζει δὲ Ὀδυσσέα ὡς εὐμετάβλητον. οἱ τοιοῦτοι δὲ ἔμπληκτοι παρὰ τοῖς βροτοῖς λέγονται. ὡς καὶ Ὅμηρος, ἐμπλήγδην ἕτερον μὲν τίει βροτόν. ¶ Ἦ κάρτα. πρὸς ταῦτα Ὀδυσσεὺς ἀντιλέγει, ὅτι οὐκ ἐν τῇ ταυτότητι μένει τὸ τῶν ἀνθρώπων γένος. ἀλλὰ ποτὲ μὲν φίλοι εἰσί, ποτὲ δὲ ἐχθροί. πολύ φησι τῶν ἀνθρώπων ἐστὶ τὸ κατὰ καιρὸν μεταβάλλεσθαι εἰς φιλίαν, ἢ εἰς ἔχθραν.

Ἐνδίκους.

ΕΝΔΙΚΟΥΣ. ὁ μὲν, τοῦ τῆς ἀνδρείας. ὁ δὲ, τοῦ τῆς δικαιοσύνης προβάλλεται. λέγει δὲ, μᾶλλον μὲν οὖν δείξω πᾶσι τοῖς Ἕλλησιν ἄνδρας ἐνδίκους ὑπὲρ ὑμᾶς, ἤγουν δικαίους. ¶ Ἄνωγας. συμβουλεύεις. ¶ Καὶ γὰρ αὐτός. καὶ γὰρ αὐτὸς ὑπόκειμαι τῇ ὁμοίᾳ τύχῃ τῇ ἀνθρωπίνῃ, ἢ καὶ αὐτὸς ἵξομαι πρὸς τὸ θάψαι αὐτόν. Ἦ πάνθ' ὁμοῖα. ὄντως πάντα τὰ ἀνθρώπινα ὅμοια. πᾶς γὰρ ἄνθρωπος τὴν οἰκείαν πραγματεύεται σωτηρίαν. ἔχει δέ τινα δυσκολίαν. ἢ ἔστιν οὕτως κοινὸν ἔγκλημα τοῦτο τοῖς ἀνθρώποις, τὸ εἶναι ἕκαστον φίλαυτον. τοῦτο οὖν ἐγκαλεῖ τῷ Ὀδυσσεῖ ὁ Ἀγαμέμνων, ὅτι ἐνδεῖξαι σοὶ ἐργάζεται τὸ ὑπείκειν ταφῆναι τὸν Αἴαντα. οὐδαμῶς τὸ κεχαρισμένον ἑτέρῳ διαπράττει. καὶ ὁμολογεῖ ὁ Ὀδυσσεὺς τὸ φίλαυτον, ἵνα μὴ δόξῃ πᾶσιν ἀντιλέγειν. ¶ Ἦ πάνθ' ὁμοῖα. ὄντως πᾶς ἀνὴρ συμφέροντα ἑαυτῷ πάντα πονεῖ. τὸ γὰρ ὁμοῖα ἀντὶ τοῦ ἁρμοδίως συμφέροντα. ¶ Τῷ γάρ με μᾶλλον. τίνι γὰρ ἄλλῳ δηλονότι. ἀντὶ τοῦ τίνος ἄλλου χάριν εἰκός ἐστιν πονεῖν ἐμὲ, ἢ χάριν ἐμαυτοῦ. ¶ Σὸν γάρ. ἀντὶ τοῦ δή. ¶ Ὡς ἂν ποιήσῃς. καθὰ, ἤγουν καθ' ὁποῖον δή τινα τρόπον ἂν ποιήσῃς. Πανταχῇ. ἐν πᾶσι. ¶ Ἀλλ' εὖ γε μέν τοι. τοῦτο μὲν τοίνυν δηλονότι, ἀλλ' εὖ γε τοῦτο ἐπίστασο καὶ τὸ ἑξῆς. συγκατάθεσις δὲ συνυπακούεται, πρὸς ἣν ἐπάγεται, ἀλλ' εὖ γ' ἐπίστασο. ¶ Ἀπὸ τοῦδε. ἀπὸ ταύτης τῆς ἡμέρας ἀγγέλλομαι καὶ σημαίνω αὐτῷ φιλίαν. ¶ Ἀγγέλλομαι. ἀντὶ τοῦ ἐπαγγέλλομαι, ὑπισχνοῦμαι. ¶ Συνθάπτειν θέλω. καλῶς τὸ θέλω. εἰ ἐπιτρέποιτε, σὺν σοὶ θάψω τόνδε. διττῶς δύναται νοεῖσθαι οὗτος ὁ λόγος. ἢ ὅτι καί σε θάψω μετὰ τοῦδε. ἢ ὅτι τοῦτον ἐγὼ καὶ σὺ θάψομεν. ¶ Ἄριστ' Ὀδυσσεῦ. εὐγνωμόνως πρὸς τὸ πρότερον ὁ Τεῦκρος θεραπεύει τὸν Ὀδυσσέα, κατατιθέμενος καὶ τὴν πρὸς αὐτὸν ἔχθραν. ¶ Καί μ' ἔψευσας. ψευσθῆναι ἐποίησας τῆς ἐλπίδος, ἣν κακὴν εἶχον περὶ σέ.

ΟΔ. ἄνδρας μὲν οὖν Ἕλλησι πᾶσιν ἐνδίκους.
ΑΓ. ἄνωγας οὖν με τὸν νεκρὸν θάπτειν ἐᾶν;
ΟΔ. ἔγωγε. καὶ γὰρ αὐτὸς ἐνθάδ' ἵξομαι.
ΑΓ. ἦ πάνθ' ὁμοῖα· πᾶς ἀνὴρ αὑτῷ πονεῖ.
ΟΔ. τῷ γάρ με μᾶλλον εἰκὸς, ἢ 'μαυτῷ πονεῖν;
ΑΓ. σὸν ἆρα τοὔργον, οὐκ ἐμὸν κεκλήσεται.
ΟΔ. ὡς ἂν ποιήσῃς, πανταχῇ χρηστός γ' ἔσῃ.
ΑΓ. ἀλλ' εὖ γε μέν τοι τοῦτ' ἐπίστασ', ὡς ἐγὼ
σοὶ μὲν νέμοιμ' ἂν τῆσδε καὶ μείζω χάριν.
οὗτος δὲ κἀκεῖ, κἀνθάδ' ὢν, ἔμοιγ' ὁμῶς
ἔχθιστος ἔσται. σοὶ δὲ δρᾶν ἔξεσθ' ἃ χρῇς.
ΧΟ. Ὅστις σ' Ὀδυσσεῦ μὴ λέγει γνώμῃ σοφὸν
φῦναι τοιοῦτον ὄντα, μῶρός ἐστ' ἀνήρ.
ΟΔ. καὶ νῦν γε Τεύκρῳ τἀπὸ τοῦδ' ἀγγέλλομαι,
ὅσον τότ' ἐχθρὸς ἦν, τοσόνδ' εἶναι φίλος.
καὶ τὸν θανόντα τόνδε συνθάπτειν θέλω,
καὶ ξυμπονεῖν, καὶ μηδὲν ἐλλείπειν, ὅσον
χρὴ τοῖς ἀρίστοις ἀνδράσιν πονεῖν βροτούς.
ΤΕΥ. Ἄριστ' Ὀδυσσεῦ, πάντ' ἔχω σ' ἐπαινέσαι
λόγοισι. καί μ' ἔψευσας ἐλπίδος πολύ.
τούτῳ γὰρ ὢν ἔχθιστος Ἀργείων ἀνήρ,

Παρέστης χερσίν. συνεμάχησας ἔργῳ οὐ λόγῳ. τοῦτο δὲ λέγεται ἐπὶ τῶν μὲν αὐτοὺς δὴ ἐργαζομένων τι. Οὑπιβρόντητος. ὃν εἰώθαμεν λέγειν ἐμβρόντητον. ἐμβρόντητος δὲ ἐστὶν ὁ ἐκστατικὸς τῶν φρενῶν ἀπὸ ἤχου βροντῆς. Λωβητόν. ἐφύβριστον. Τοιγάρ σφ' Ὀλύμπου. διὸ αὐτοὺς τοῦ ἐν Ὀλύμπῳ θεῶν τὰ πρεσβεῖα ἔχων πατήρ, ἤγουν ὁ Ζεύς, μνήμων τ' Ἐριννύς, τῶν ἀδικημάτων δηλονότι, ἤγουν ἡ ταμιεύουσα τὰς τιμωρίας. Ἐριννύς δὲ εἰσὶν αἱ κατάραι αἱ ἔφοροι τῶν καταρῶν θεαί. Τάφου μὲν τοῦδ' ὀκνῶ. πιθανῶς τοῦτο εὐχῆ μόνως τοῦτο λέγει ὁ Τεῦκρος. Ὄκνος ὁ φόβος καὶ ἡ ἀναβολή. Κεἴ τινα στρατοῦ. κεἴ τινα ἄλλον δηλονότι ἀπὸ τοῦ στρατοῦ. Πορσυνῶ. πράξω. Ἀλλ' ἤθελον. συνεργῆσαι δηλονότι εἰς τὴν ταφήν, μάλιστα καινόσχημον τοῦτό γε. Εἶμ' ἐπαινέσας τὸ σόν. πιθανὴ ἡ ἔξοδος, διὰ τὴν σπουδὴν τῆς ταφῆς. Ἅλις ἤδη. ἀντὶ τοῦ ἀρκούντως ἔχει τὸ πρᾶγμα. πολὺς γὰρ ἤδη χρόνος ἀφ' οὗ τετελεύτηκεν ὁ Αἴας, καὶ ἤδη δεῖ αὐτὸν ταφῆναι. Κοίλην κάπετον. ἤγουν τάφον. Χερσὶ ταχύνετε. μετὰ σπουδῆς ὀρύξατε. Ἐπίκαιρον. εὔκαιρον. καιρὸς γὰρ ἤδη τοῦ ῥύπου ὥστε ἀπολοῦσαι τὸ σῶμα καὶ καθᾶραι. Τοί δ' ὑψίβατον. οἱ δὲ θέσθε ἐπὶ τοῦ πυρὸς δηλονότι ἐπίκαιρον, ἀντὶ τοῦ ἐπικαίρως, ἤγουν ἐγκαίρως, χυτρόποδα. Ἀμφίπυρον.

μόνος παρέστης χερσίν, οὐδ' ἔτλης παρὼν
θανόντι τῷδε ζῶν ἐφυβρίσαι μέγα,
ὡς ὁ στρατηγὸς οὑπιβρόντητος μολὼν
αὐτός τε χὠ ξύναιμος ἠθελησάτην
λωβητὸν αὐτὸν ἐκβαλεῖν ταφῆς ἄτερ.
τοιγάρ σφ' Ὀλύμπου τοῦδ' ὁ πρεσβεύων πατὴρ
μνήμων τ' Ἐριννύς, καὶ τελεσφόρος Δίκη,
κακοὺς κακῶς φθείρειαν, ὥσπερ ἤθελον
τὸν ἄνδρα λώβαις ἐκβαλεῖν ἀναξίως.
σὲ δ' ὦ γεραιοῦ σπέρμα Λαέρτου πατρός,
τάφου μὲν ὀκνῶ τοῦδ' ἐπιψαύειν ἐᾶν,
μὴ τῷ θανόντι τοῦτο δυσχερὲς ποιῶ.
τὰ δ' ἄλλα, καὶ ξύμπραττε, κεἴ τινα στρατοῦ
θέλεις κομίζειν, οὐδὲν ἄλγος ἕξομεν.
ἐγὼ δὲ τἆλλα πάντα πορσυνῶ. σὺ δὲ
ἀνὴρ καθ' ἡμᾶς ἐσθλὸς ὢν ἐπίστασο.
Οδ. ἀλλ' ἤθελον μέν, εἰ δὲ μή 'στί σοι φίλον
πράσσειν τάδ' ἡμᾶς, εἶμ' ἐπαινέσας τὸ σόν.
Τευ. ἅλις. ἤδη γὰρ πολὺς ἐκτέταται
χρόνος. ἀλλ' οἱ μέν, κοίλην κάπετον
χερσὶ ταχύνετε. οἱ δ' ὑψίβατον
τρίποδ' ἀμφίπυρον λουτρῶν ὁσίων
θέσθ' ἐπίκαιρον. μία δ' ἐκ κλισίας
ἀνδρῶν ἴλη, τὸν ὑπασπίδιον
κόσμον φερέτω.
παῖ, σὺ δὲ πατρός γ' ὅσον ἰσχύεις,

ἀμφοτέρωθεν τὸ πῦρ δεχόμενον, ὑψίβατον ὑψηλὴν βάσιν ἔχοντα. Λουτρῶν ὁσίων. τουτέστιν ἐπιταφίων. χυτρόπους δὲ ὁ κοινῶς πυροστάτης, ὁ καὶ λασάνη λέγεται. ἀπὸ δὲ τῆς θέσεως τοῦ χυτρόποδος νοεῖται ὁ λέβης καὶ τὸ θερμαινόμενον ὕδωρ. Ἐκ κλισίας. τῆς σκηνῆς. Ἴλη. σύστημα, κυρίως δὲ φρατρεία. Ὑπασπίδιον. ἐνόπλιον. Παῖ σὺ δέ. στρατικὰ καὶ ταῦτα καὶ παιδὸς ἐχόμενα.

Σίεγγον.

ΣΥΡΙΓΓΕΣ. ἀναδόσεις, αἱ ὀπαὶ τῆς πληγῆς. ¶ Μέλαν μένος. ἀντὶ τοῦ τὴν δύναμιν τοῦ αἴαντος. ἢ ἀντὶ τοῦ μέλαν αἷμα μετ' ἰσχύος. ¶ Πᾶς φίλος. ὅστις τῶν παρόντων φίλος ἐστὶ, σπευδέτω εἰς τὴν ταφήν. ¶ Σούσθω. ταχα κινείσθω. ¶ Βάτω. πορευέσθω. ¶ Τῷ πάντ' ἀγαθῷ. οἱ τοιοῦτοι ἔπαινοι περὶ τῶν ἰδίων λεγόμενοι περὶ παθεῖς ὅροι εἰσίν. ¶ Ἦ πολλὰ βροτοῖς. οἰκείως ἔχει τοῖς ἀπαλλαχθήσεσθαι μέλλουσιν ἡ τελευταία γνώμη. ὅτι πλεῖστά ἐστι τοῖς ἀνθρώποις γνῶναι ἐπ' αὐτῶν τῶν πραγμάτων γινομένων. προμηθεία δὲ, ἀδύνατον χρήσασθαι, ἢ μαντεύσασθαι ὅ, τί ποτε ἀποβήσεσθαι μέλλει. ταῦτα δὲ ἅμα λέγοντες παραπέμπουσι τὸν νεκρόν. καὶ γίνεται ἔξοδος πρέπουσα τῷ λειψάνῳ. ¶ Ὅ, τι πράξει. ἤγουν ἢ εὐπραγήσῃ ἢ δυσπραγήσῃ. ἀμφότερα γὰρ ἡ λέξις δηλοῖ, ἤγουν ὅπως διακείσεται.

φιλότητι θιγών, πλευρὰς σὺν ἐμοὶ
τάσδ' ἐπικούφιζ'. ἔτι γὰρ θερμαὶ
σύριγγες ἄνω φυσῶσι μέλαν
μένος. ἀλλ' ἄγε πᾶς φίλος ὅστις ἀνὴρ
φησὶ παρεῖναι, σούσθω, βάτω,
τῷδ' ἀνδρὶ πονῶν τῷ πάντ' ἀγαθῷ,
κοὐδενί πω λῴονι θνητῶν
αἴαντος, ὅτ' ἦν, τότε φωνῶ.

Χο. Ἦ πολλὰ βροτοῖς ἐστιν ἰδοῦσι
γνῶναι. πρὶν ἰδεῖν δ', οὐδεὶς μάντις
τῶν μελλόντων ὅ, τι πράξει.

ΤΕΛΟΣ ΑΙΑΝΤΟΣ
Μαστιγοφόρου.

## ΥΠΟΘΕΣΙΣ ΗΛΕΚΤΡΑΣ.

Ὑπόκειται ὧδε τροφεὺς, δεικνὺς Ὀρέστῃ τὰ ἐν Ἄργει. μικρὸν γὰρ αὐτὸν ὄντα κλέψασα ἡ Ἠλέκτρα, ἡνίκα ὁ πατὴρ ἐσφάζετο, δέδωκε τῷ τροφεῖ, δείσασα μὴ καὶ αὐτὸν κτείνωσι. ὁ δὲ ὑπεξέθετο αὐτὸν εἰς Φωκίδα πρὸς τὸν Στρόφιον. Νῦν δὲ μετὰ εἴκοσιν ἔτη ἐπανιὼν σὺν αὐτῷ πρὸς τὸ Ἄργος, δεικνύων αὐτῷ τὰ ἐν Ἄργει.

Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Ἄργει. ὁ δὲ χορὸς συνέστηκεν ἐξ ἐπιχωρίων παρθένων. προλογίζει δὲ ὁ παιδαγωγὸς Ὀρέστου.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

| | |
|---|---|
| Παιδαγωγὸς τροφεύς. | Χρυσόθεμις. |
| Ὀρέστης. | Κλυταιμνήστρα. |
| Ἠλέκτρα. | Αἴγισθος. |

Χορὸς ἐξ ἐπιχωρίων παρθένων.

Προλογίζει δὲ ὁ παιδαγωγός.

## ΕΙΣ ΤΗΝ ΗΛΕΚΤΡΑΝ.

Ἀπειρόκαλον τὸ λέγειν, ὅτι ὃν τρόπον τὰ κατὰ μέρος τῆς Ἰθάκης ἡ Ἀθηνᾶ ἔδειξε τῷ Ὀδυσσεῖ, οὕτως ἔδει καὶ τὸν παιδαγωγὸν τῷ Ὀρέστῃ δεῖξαι. τῷ μὲν γὰρ ἀγνοοῦντι, δεικνύων ὁ παιδαγωγὸς, τῷ δὲ ἀπιστοῦντι ἡ Ἀθηνᾶ. ἅπαντα δὲ ἡμῖν φιλοτέχνως ἐν βραχεῖ δεδήλωκεν ὁ ποιητής. τὸν τόπον τῆς σκηνῆς. τὸν τρόπον ὡς παρέλαβεν αὐτὸν παρὰ τῆς ἀδελφῆς, καὶ πρὸς τὸν Στρόφιον ἐξέθετο. τὸν καιρὸν ἐν ᾧ πάρεισιν εἰς τὰς Μυκήνας. τὸν συνόντα, ὅτι Πυλάδης. φησὶ γὰρ ὑποκατιών, Πυλάδη τί χρὴ δρᾶν ἐν τάχει βουλευτέον.

# ΣΟΦΟΚΛΕΟΥΣ

## ΗΛΕΚΤΡΑ.

Ω ΤΟΥ στρατηγήσαντος ἐν Τροίᾳ ποτέ. πολλάκις παρατηροῦμεν, ὅτι οἱ παλαιοὶ τὰ συνεκτικὰ τῶν ὑποθέσεων ἐν ἀρχαῖς ἡμῖν δηλοῦσι. καὶ νῦν δηλοῖ πρὸς τίνα ὁ λόγος. ὅπερ ἦν ἀναγκαῖον πρόσωπον. ¶ Νῦν ἐκεῖν' ἔξεστί σοι. προσοχὴν ὁ λόγος ἀπεργάζεται σκοπούντων ἡμῶν, τί δή ποτε προθυμεῖται τὴν πόλιν ἰδεῖν. ¶ Ὧν πρόθυμος. ἤγουν ὧν ἐπιθυμῶν ὀρεγόμενος. ¶ Ἦσθ'. ὑπῆρχες. ἔστι δὲ ἀττικισμός, ἀντὶ τοῦ ἐπεθύμεις.

Ω ΤΟΥ στρατηγήσαντος ἐν Τροίᾳ ποτὲ
Ἀγαμέμνονος παῖ, νῦν ἐκεῖν' ἔξεστί σοι
παρόντι λεύσσειν, ὧν πρόθυμος ἦσθ' ἀεί.
Τὸ γὰρ παλαιὸν Ἄργος, οὗ 'πόθεις, τόδε,
τῆς οἰστροπλῆγος ἄλσος Ἰνάχου κόρης.

¶ Τὸ γὰρ παλαιὸν Ἄργος. Ὅμηρος χωρίζει τὸ Ἄργος καὶ τὴν Μυκήνην. οἱ δὲ νεώτεροι, τὴν αὐτὴν Μυκήνην καὶ Ἄργος φασίν. Ἄλλως. Ἄργος ὁμωνύμως τῇ χώρᾳ. ὡς Ὅμηρος, Ἄργος τε Σπάρτη τε. παλαιὸν δέ, ἢ ὅτι Ἄργος ὁ προπάτωρ αὐτῶν γηγενὴς ἦν. ἢ ὅτι καὶ αὐτοὶ πρωτογενεῖς ἀντιποιοῦνται εἶναι. ἔστι δὲ ἔτι καὶ τὸ περὶ τοῦ πυρὸς μέχρι τοῦ νῦν δεικνύμενον καὶ λεγόμενον, ὡς ἀπὸ τοῦ οὐρανοῦ πρῶτον ἐκεῖσε κατηνέχθη. Ἄλλως. τὸ παλαιὸν ἐνίοτε μὲν πρὸς ἕτερον λέγεται νέον, ὡς παλαιὰ Ῥώμη λέγεται πρὸς τὴν νέαν. ἐνίοτε δὲ οὐ τῶν πρός τι ἐστίν, ἀλλὰ δηλοῖ μόνον τὸ πάλαι γεγονός, οἷον παλαιὰ πρᾶξις, ἡ πάλαι γεγονυῖα, καὶ ἁπλῶς τὸ προῳχηκός. ἢ τὸ πάλαι μὲν τὴν ἀρχὴν εἰληφός, οὐ μὴν δὲ παυσάμενον, καθ' ὃ λέγεται παλαιὸν Ἄργος. Ἄργος δὲ τὰ περὶ τὰς Μυκήνας χωρία λέγει. καὶ αὐταὶ αἱ Μυκῆναι λέγονται Ἄργος. Μυκῆναι δὲ ἡ προκαθεζομένη τοῦ Ἄργους πόλις. ὥσπερ Σπάρτη, ἡ προκαθεζομένη πόλις τῆς Λακεδαιμονίας. Λακεδαιμονία δέ, τὰ περὶ αὐτὴν χωρία. εἰσὶ δὲ τὸ Ἄργος καὶ ἡ Λακεδαιμονία ἐντὸς τῆς Πελοποννήσου. ¶ Τῆς οἰστροπλῆγος. τῆς οἴστρῳ, ἤγουν μανίᾳ πληγείσης, τὰ ἀπὸ τοῦ πλήσσω, εἰ μὲν εἰς ος λήγει, παθητικά εἰσιν ἀεί, οἷον ἔμπληκτος, ἀπόπληκτος, ἃ λέγεται ἐπὶ τῶν πληγέντων τὴν γνώμην καὶ ἐκστασθέντων. εἰ δὲ εἰς ηξ, ἐνίοτε μὲν ἐνεργητικά, οἷον βουπλὴξ τὸ κέντρον τὸ τὴν βοῦν πλῆττον. ἐνίοτε δὲ παθητικά, οἷον παραπλήξ, ὁ φθαρεὶς τὰς φρένας. καταπλὴξ ὁ συνεχῶς πεπληγμένος. καὶ καταπλὴξ εἰλείθυια ἡ πληγὰς συνεχεῖς ἔχουσα. εἰσὶ δὲ εἰλείθυιαι οἱ τόκοι, καὶ αἱ ἔφοροι τῶν τόκων θε-

αι. καὶ οἰστροπλὴξ ἐνταῦθα ἡ οἴστρῳ ἤγουν μανίᾳ πληκτιζομένη ὑπὸ τῆς ἥρας. ταύτης γὰρ ὁ ζεὺς ἐρασθεὶς μεταβέβληκεν αὐτὴν εἰς βοῦν, λαθεῖν πειρώμενος τὴν ἥραν. ἡ δὲ γνοῦσα, τὸν κύνα τὸν ἄργον τὸν πανόπτην ἐπέστησε φυλάττειν αὐτήν, ὃν Ερμῆς ὑπὸ τοῦ Διὸς πεμφθεὶς ἀπέκτεινεν. ἡ ἥρα δὲ μὴ κατέχειν δυναμένη τὴν ζηλοτυπίαν εἰς μανίαν αὐτὴν ἔτρεψεν. ἡ δὲ ὑπὸ τῆς μανίας ἐλαυνομένη τὸ ἰόνιον διεπέρασε πέλαγος, ἀφ' ἧς καὶ ἰόνιον ὠνομάσθη. ¶ ΑΥΤΗ δ' Ορέστα τοῦ λυκοκτόνου θεοῦ. οὐκ ἀπ' ἄλλου τινὸς ποιεῖται τὴν δεῖξιν, ἢ ἀπὸ τοῦ ἱεροῦ τοῦ ἀπόλλωνος, ὅπερ ἀρχαιότατον κατὰ τὴν ἐν τῷ ἄργει ἀγοράν, ἐν ᾧ καὶ πῦρ ἀπόκειται περὶ οὗ πρόσθεν εἰρήκαμεν. ἔστι δὲ καταντικρὺ τοῦ νεμέου διός. παραγενόμενοι γὰρ εἰς ἄργος, ὁ τροφεὺς δεικνύων αὐτῷ τὰ ἐν Αργει, λέγων, ἔστιν οὐκ ἄπωθεν τῶν Μυκηνῶν, ἀλλ' ἐξ ἀπόπτου φαίνεται. καὶ τὸν ναὸν τῆς ἥρας ἐξ ἀριστερᾶς ὄντα Μυκηνῶν τοῖς ἀπὸ Κορίνθου εἰσιοῦσι. λυκοκτόνον δὲ τὸν ἀπόλλωνα, οἱ μὲν διὰ τό, νόμιον ὄντα τὸν τοῖς βουκόλοις αὐτὸν φονεύειν. διὸ καὶ λύκους αὐτῷ φησι θύεσθαι ἐν Αργει. οἱ δὲ διὰ τὸ ἱερὸν εἶναι τὸ ζῶον, ὡς καὶ τῆς ἀρτέμιδος τὰς ἐλάφους. ὅθεν καὶ τῷ νομίσματι τῶν ἀργείων, ἐγχαράττεσθαί φασι λύκους, ὡς καὶ τὰς γλαῦκας ἀθήνησι. ¶ Αγορὰ λύκειος. τόπος ἔνθα συνηθροίζοντο, οὕτως ὀνομαζόμενος. ἣν δὲ ἀφιερωμένος τῷ ἀπόλλωνι. λέγεται δὲ ὁ ἀπόλλων λύκειος. λύκειον δὲ οὐδετέρως γυμνάσιον ἐν ἀθήναις. ¶ Οὑξ ἀριστερᾶς. ἔστι γὰρ ἐξ ἀριστερᾶς τῶν Μυκηνῶν τοῖς ἀπὸ Κορίνθου εἰσιοῦσιν, ἥρας ναός. ἐκ Φωκίδος δὲ παραγενόμενοι, διὰ Κορίνθου περαίνονται τὴν ὁδόν. ¶ Οἷ δ' ἱκάνομεν. ὅποι καταλαβόμεν. ¶ φάσκειν. θέλε φάσκειν, ἤγουν φάσκε, λέγε. ἐνταῦθα δὲ ἀντὶ τοῦ βε-
» βαίως ἐπίστασο. ¶ Τὰς πολυχρύσους. Ομηρος, Πολυχρύσοιο Μυκήνης.
Πολύφθορόν τε. ἐν ᾧ πολλαὶ φθοραὶ καὶ φόνοι ἐγένοντο. ¶ Εκ φόνων. ἀφ' οὗ χρόνου ἐγένοντο οἱ φόνοι τοῦ πατρός σου. Ομαίμου καὶ κασιγνήτης. ἐκ παραλλήλου. ¶ Τοσόνδ' ἐς ἥβης. τὸ βραχὺ τῆς ἡλικίας δηλοῖ, ὡς πολὺ παιδαρίου ὄντος βαδίζειν δυναμένου. ἤτοι εἰς τοσοῦτον μέτρον ἥβης, ἤγουν μέχρι τοσαύτης ἀκμῆς ἡλικίας.
Φίλτατε ξένων. κυρίως ξένος ὁ φίλος, ὃν ἂν ποιήσῃ τις ἐν τῇ πατρίδι ἀπὸ ξένης ἐλθόντα. ¶ Μέλαινά τ' ἄστρων. ἔχρην οὕτως εἰπεῖν, μελαίνης νυκτὸς τὰ
» ἄστρα ἐκλέλοιπεν, ὡς τό, Οἱ δὲ χαριζόμενος πολεμίχθη. ἢ οὕτως. ἐκλέλοιπε

αὕτη δ' Ορέστα τοῦ λυκοκτόνου θεοῦ
ἀγορὰ λύκειος. οὑξ ἀριστερᾶς δ' ὅδε,
Ηρας ὁ κλεινὸς ναός. οἷ δ' ἱκάνομεν,
φάσκειν Μυκήνας τὰς πολυχρύσους ὁρᾶν,
πολύφθορόν τε δῶμα Πελοπιδῶν τόδε.
ὅθεν σε πατρὸς ἐκ φόνων ἐγώ ποτε
πρὸς σῆς ὁμαίμου καὶ κασιγνήτης λαβὼν
ἤνεγκα, κἀξέσωσα, κἀξεθρεψάμην
τοσόνδ' ἐς ἥβης, πατρὶ τιμωρὸν φόνου.
Νῦν οὖν Ορέστα, καὶ σὺ φίλτατε ξένων
Πυλάδη, τί χρὴ δρᾶν ἐν τάχει βουλευτέον.
ὡς ἡμὶν ἤδη λαμπρὸν ἡλίου σέλας,
ἑῷα κινεῖ φθέγματ' ὀρνίθων σαφῆ.
μέλαινά τ' ἄστρων ἐκλέλοιπεν εὐφόνη.

τῶν

τῶν ἄστρων ἡ μέλαινα εὐφρόνη. ἤγουν ἡ τῶν ἄστρων, πλὴν τοῦ ἐκλέλοιπεν. ¶ Ἀκμή. σπουδή. πιθανῶς δὲ ἐγχειρεῖ τὸν ἀκροατὴν προσέχειν τοῖς ἔργοις, ἃ ταχέως συμβουλεύει τελεσθῆναι. ¶ Ξυνάπτετον λόγοισιν. ἤγουν συνέρχεσθε διὰ λόγων. Ἐμέν. ἀντὶ τοῦ ἐσμέν, ἀναλογώτερον δὲ τὸ ἐμὲν τοῦ ἐσμέν. ἀπὸ τούτου γίνεται τὸ ἐσμὲν πλεονασμῷ τοῦ σ. ¶ Ὦ φίλτατ' ἀνδρῶν. διδάσκει ἡμᾶς μεθ' οἵων ἀνδρῶν δεῖ τὰ ἀπόρρητα ποιεῖν καὶ λέγειν. ¶ Ἐσθλὸς εἰς ἡμᾶς γεγώς. τὸ ἐστὶ πιστὸς εἰς ἡμᾶς.

πρὶν οὖν τιν' ἀνδρῶν ἐξοδοιπορεῖν στέγης,
ξυνάπτετον λόγοισιν. ὡς ἐνταῦθ' ἐμέν,
ἵν' οὐκέτ' ὀκνεῖν καιρός, ἀλλ' ἔργων ἀκμή.
Ὀρέ. Ὦ φίλτατ' ἀνδρῶν προσπόλων, ὥς μοι σαφῆ
σημεῖα φαίνεις, ἐσθλὸς εἰς ἡμᾶς γεγώς.
» Ὥσπερ γὰρ ἵππος εὐγενής, κἂν ᾖ γέρων,
» Ἐν τοῖσι δεινοῖς θυμὸν οὐκ ἀπώλεσεν,
» Ἀλλ' ὀρθὸν οὖς ἵστησιν, ὡσαύτως δὲ σὺ
» Ἡμᾶς τ' ὀτρύνεις, καὐτὸς ἐν πρώτοις ἕπῃ.
τοιγὰρ, τὰ μὲν δόξαντα, δηλώσω, σὺ δὲ
ὀξεῖαν ἀκοὴν τοῖς ἐμοῖς λόγοις διδούς,
εἰ μή τι καιροῦ τυγχάνω, μεθάρμοσον.
Ἐγὼ γὰρ ἡνίχ' ἱκόμην τὸ πυθικὸν
μαντεῖον, ὡς μάθοιμ' ὅτῳ τρόπῳ πατρὸς
δίκας ἀροίμην τῶν φονευσάντων πάρα,
χρῇ μοι τοιαῦθ' ὁ Φοῖβος, ὧν πεύσῃ τάχα.
ἄσκευον αὐτὸν ἀσπίδων τε καὶ στρατοῦ
δόλοισι κλέψαι χειρὸς ἐνδίκου σφαγάς.
ὅτ' οὖν τοιόνδε χρησμὸν εἰσηκούσαμεν,
σὺ μὲν μολών, ὅταν σε καιρὸς εἰσάγῃ

¶ Εὐγενής. ἀπὸ ἀγαθοῦ γένους. εὐγενεῖς, ὧν ἡ πατρὶς περιφανὴς καὶ τὸ γένος. γένος γὰρ καὶ ἡ πατρὶς καὶ ἡ γενεά. εὐπατρίδαι δὲ παρὰ Ἀττικοῖς οἱ αὐτόχθονες, καὶ κατὰ τοῦτο περιφανεῖς, οἷον οἱ εὖ ἔχοντες ἕνεκα τῆς πατρίδος, ὡς εἶναι τοὺς εὐγενεῖς ἐπὶ πλέον τῶν εὐπατριδῶν. ὥστε εἴ τις εὐπατρίδης καὶ εὐγενής, οὐ μὴν εἴ τις εὐγενὴς καὶ εὐπατρίδης. εἴη γὰρ ἂν κατὰ τὸ ἕτερον μέρος εὐγενής, οὐ κατὰ τὴν πατρίδα. ὡς ἐνταῦθα εὐγενὴς ἵππος, ὁ ἀπὸ ἀγαθοῦ γένους, οὐ μὴν ὁ εὖ ἔχων ἕνεκα πατρίδος. οὐ γὰρ ἔχουσιν οἱ ἵπποι πατρίδας. ἀπὸ τούτων εὐγενὴς ψυχή, εὐγενὴς λόγος, καὶ εὐγενὲς ἦθος. ¶ Ἐν τοῖσι δεινοῖσι. ἐν τοῖς πολέμοις. ¶ Ἐν πρώτοις ἕπῃ. ἕπῃ, ἀκολουθεῖς, διὰ τὴν ἀπὸ τοῦ γήρως εὐεξίαν. ¶ Ὀξεῖαν ἀκοήν. εὐήκοον, ἐπεὶ οἱ γέροντες ὠτοκωφοῦσιν. ἢ ὀξεῖαν καὶ σύντονον, ἐπεὶ ἐπὶ ἐξοχάδην μέλλει λέγειν τοὺς λόγους. ¶ Μεθάρμοσον. ἐπὶ τῆς μουσικῆς, ὅταν μὴ οὕτως ἡρμοσμένη, πρὸς ὃν σκοπὸν βούλεται μεθαρμόζει αὐτήν. ¶ Εἰ μή τι καιροῦ. εἰ ὅτι σοι δοκῶ μὴ καλῶς βεβουλεῦσθαι, μεθάρμοσον, ὅ ἐστιν ἐπανόρθωσον. ἔστι δὲ ἀγάσασθαι τὸν νεανίσκον, ὅτι μὴ πάνυ αὐθέκαστος φαίνεται. τὸ μουσικῆς δὲ κυρίως λέγεται τὸ μεθαρμόζειν, ἤγουν τὸ μετατιθέναι τὴν ἁρμονίαν. ¶ Ἐγὼ γὰρ ἡνίχ' ἱκόμην. διὰ τῆς διηγήσεως ταύτης, τὸ λεῖπον τῆς ἱστορίας προσανεπλήρωσεν ἡμῖν. ¶ Ἀροίμην. ἀντὶ τοῦ λάβοιμι. ἀροίμην μακρὸν τὸ α, ἐπεὶ ἀπὸ τοῦ ἀορίστου. ἀροίμην δὲ βραχύ, ἐπεὶ ἀπὸ τοῦ μέλλοντος. ¶ Χρῇ. ἔχρησεν. ἀνεῖλεν. ¶ Ἄσκευον αὐτόν. ἢ αὐτὸν τὸν ἀγαθὸν ἀπαρασκεύαστον ὄντα. ἢ τὸν Ὀρέστην, οἷον μὴ μετὰ πολέμου ἐπεμβῆναι.

ΙΣ θι πᾶν. περιεργάζου τὰ πραττόμενα. Οὐ γάρ σε μὴ γήρᾳ τε. τοῦ πιθανοῦ χάριν οὕτως εἶπε. οὐ μὴ γὰρ ἀναγνωρίσωσιν, οὐδ' ὑποπτεύσουσιν, ἤγουν ὑπονοήσουσιν οὕτως ἠνθισμένον, τουτέστι κεχρωματισμένον ὑπὸ γήρως καὶ χρόνου μακροῦ. ¶ Ἠνθισμένον. τινὲς ἐπὶ τῆς κεφαλῆς ἤκουσαν, οἷον ταῖς πολιαῖς ἠνθισμένον. ἔστι δὲ ἀπίθανον. ἐγνώσθη γὰρ ἂν εἰ καὶ τοσοῦτον ἤλλαξε τὴν κεφαλήν. δοκεῖ οὖν μοι τὸ ἠνθισμένον, ἀντὶ τοῦ ἠσκημένον. οὐ μὴ οὖν σε ἐπιγνῶσι τοιαῦτα πλαττόμενον. εἰ δὲ τὸ ἠνθισμένον ἐπὶ ἡλικίας δεξόμεθα, ἔστιν οὐκ ἐπὶ τῶν τριχῶν, ἀλλὰ τοῦ παντὸς τοῦ σώματος. ¶ Φωκεύς. τὸν φωκέα προσθεὶς ἐπήνεγκε Φανοτέα ἀπὸ τοῦ ὅλου εἰς τὸ μερικὸν καταβαίνων. ὁμοίως τῷ,
» Ἡ δ' ἐς Κύπρον ἵκανε φιλομειδὴς
» ἀφροδίτη ἐς Πάφον. ἔλεγον γὰρ ὁλοσχερέστερον μὲν φωκεῖς, ἐπὶ μέρους δὲ Κρισαῖοι. Φανοτεῖς. πόλεως δὲ ὄνομα Φανοτεύς(?) ... σι τὸ, Φανοτέως. ¶ Δορυξένων. ἀντὶ τοῦ φίλων. κυρίως δὲ οἱ ἐν πολέμῳ γινόμενοι φίλοι ὡς Γλαῦκος καὶ Διομήδης. Ἄγγελλε δ' ὅρκῳ. μὴ μικρολόγος τις ἐπιλαμβάνηται. ὡς κελεύοντος ἐπιορκεῖν τοῦ ποιητοῦ. δεῖ γὰρ αὐτὸν πείθεσθαι τῷ θεῷ, τὸ πᾶν δόλῳ πράξασθαι παρακελευομένῳ. ὥστε ἐν οἷς δοκεῖ περὶ ὅρκων δυσσεβεῖν, διὰ τούτων εὐσεβεῖ πειθόμενος τῷ θεῷ. ἔχει δὲ ἀξιοπιστίαν ὁ λόγος, ὡς ἐν Φωκίδι τρεφόμενον καταβῆναι ἐς τὰ πύθια. ἀνήκει δὲ τοῖς χρόνοις. ἐπὶ Τεισπολέμου γάρ φασι γενέσθαι πυθικὸν ἀγῶνα ἑξακοσίοις ἔτεσιν ὕστερον. ἔστι δὲ ἀντιστρόφως λέγεται ἀντὶ τοῦ προστιθεὶς τὸν ὅρκον τῇ ἀγγελίᾳ. ¶ Ὁθούνεκα. ἐκ παραλλήλου. Ἐξ ἀναγκαίας τύχης. βιαίως. οἷον ἀναγκαστῷ μόρῳ, καὶ οὐκ ἐκ ταυρμάτου. ἐκ βίας. ἐκ δυστυχίας. οὐκ ἰδίῳ θανάτῳ. ¶ Ἄθλοισι πυθικοῖσι. τοῖς χρόνοις ἀνήκει. νεώτερος γὰρ Ὀρέστου ἐστὶν ὁ πυθικὸς ἀγών. ¶ Ὧδ' ὁ μῦθος ἑστάτω. ἡ ἔκβασις τοῦ λόγου, ἢ τὸ κεφάλαιον. ἢ ἐνταῦθα ὁ λόγος ὁριζέσθω. πιθανὸν δὲ τό, ἐν Φωκίδι ἀνατρεφόμενον τὰ πύθια ἀγωνίζεσθαι. ¶ Ἑστάτω. δεδόχθω. ¶ Ὡς ἐφίετο. ὁ Ἀπόλλων δηλονότι ὡς ἐκέλευσεν. Λοιβαῖσι πρῶτον καὶ καρατόμοις. τοῖς ἀπὸ κρατὸς τετμημένοις βοστρύχοις. λέγει δ' ἂν χλιδάς, ἤτοι καθόλου τοὺς πλοκάμους, οἵ εἰσι τρυφὴ τῆς κεφαλῆς. ἢ παρ' ὅσον τρυφὴ καὶ κόσμος ἀπετίθεντο τοῖς νεκροῖς οἱ πλόκαμοι ἐν τῷ τάφῳ. Ἄλλως. καρατόμοις θριξὶν ὤφελεν εἰπεῖν, ἐπεὶ δὲ αἱ τρίχες ἁβρότητα καὶ καλλωπι-

σμὸν

δόμων ἔσω τῶνδ', ἴσθι πᾶν τὸ δρώμενον,
ὅπως ἂν εἰδὼς ἡμῖν ἀγγείλῃς σαφῆ.
οὐ γάρ σε μὴ γήρᾳ τε καὶ χρόνῳ μακρῷ
γνῶσ', οὐδ' ὑποπτεύσουσιν ὧδ' ἠνθισμένον.
λόγῳ δὲ χρῶ τοιῷδ', ὅτι ξένος μὲν εἶ
Φωκεύς, παρ' ἀνδρὸς Φανοτέως ἥκων. ὁ γὰρ
μέγιστος αὐτοῖς τυγχάνει δορυξένων.
ἄγγελλε δ' ὅρκῳ προστιθείς, ὁθούνεκα
τέθνηκ' Ὀρέστης ἐξ ἀναγκαίας τύχης,
ἄθλοισι πυθικοῖσιν ἐκ τροχηλάτων
δίφρων κυλισθείς. ὧδ' ὁ μῦθος ἑστάτω.
ἡμεῖς δὲ πατρὸς τύμβον ὡς ἐφίετο,
λοιβαῖς τε πρῶτον καὶ καρατόμοις χλιδαῖς
στέψαντες, εἶτ' ἄψορρον ἥξομεν πάλιν

σμὸν ἐμπεριέχουσιν τοῖς ἀνθρώποις φησὶ καρατόμοις χλιδαῖς. ¶ Τύπωμα. τὸ ἄγγος. τὴν ὑδρίαν. ἐν ᾗ ἔλαθεν τὰ δοκοῦντα εἶναι ὀστέα Ὀρέστου ἀπέκειτο. ¶ Ἡρμένοι. ἀντὶ τοῦ ἠρμένον ἔχοντες, ὅμοιον τῷ πώγωνα καθειμένος, ἀντὶ τοῦ κεχαλασμένον ἔχων. ℭ Κλέπτοντες. ἀπατῶντες. παραλογιζόμενοι. Ὅμηρος, κλέπτε νόῳ.

Η Δὴ γὰρ εἶδον. πυθαγόρας καθείρξας ἑαυτὸν ἐν ὑπογείῳ, λογοποιεῖν ἐκέλευσε τὴν

›› μητέρα ὡς τεθνηκὼς εἴη. καὶ μετὰ ταῦτα ἐπιφανεὶς, περὶ παλιγγενεσίας, καὶ τῶν

τύπωμα χαλκόπλευρον ἠρμένοι χεροῖν,
ὃ καὶ σὺ θάμνοις οἶσθά που κεκρυμμένον,
ὅπως λόγῳ κλέπτοντες, ἡδεῖαν φάτιν
φέροιμεν αὐτοῖς, τοὐμὸν ὡς ἔρρει δέμας
φλογιστὸν ἤδη, καὶ κατηνθρακωμένον.
τί γάρ με λυπεῖ τοῦθ', ὅταν λόγῳ θανὼν,
ἔργοισι σωθῶ, κἀξενέγκωμαι κλέος.
›› Δοκῶ μὲν οὐδὲν ῥῆμα σὺν κέρδει κακόν.
ἤδη γὰρ εἶδον πολλάκις καὶ τοὺς σοφοὺς
λόγῳ μάτην θνήσκοντας. εἶθ' ὅταν δόμους
ἔλθωσιν, αὖθις ἐκτετίμηνται πλέον.
ὡς κἄμ' ἐπαυχῶ τῆσδε τῆς φήμης ἄπο
δεδορκότ' ἐχθροῖς ἄστρον ὣς, λάμψειν ἔτι.
Ἀλλ' ὦ πατρῴα γῆ, θεοί τ' ἐγχώριοι,
δέξασθέ μ' εὐτυχοῦντα ταῖσδε ταῖς ὁδοῖς.
σύ τ' ὦ πατρῷον δῶμα· σοῦ γὰρ ἔρχομαι
δίκῃ καθαρτὴς πρὸς θεῶν ὡρμημένος.
καὶ μή μ' ἄτιμον τῆσδ' ἀποστείλητε γῆς,
ἀλλ' ἀρχέπλουτον, καὶ καταστάτην δόμων.
εἴρηκα μὲν νῦν ταῦτα. σοὶ δ' ἤδη γέρον,
τὸ σὸν μελέσθω βάντι φρουρῆσαι χρέος.

καθ' ἄλλο τινὰ ἐτερατεύετο, διηγούμενος πρὸς τοὺς ζῶντας περὶ τῶν οἰκείων, οἷς ἐν ἄλλου συντετυχηκέναι ἔλεγεν, διὰ ὧν τοιαύτην ἑαυτῷ δόξαν περιέθηκεν, ὡς πρὸ μὲν τῶν τρωϊκῶν αἰθαλίδης ἦν ὁ ἑρμοῦ. εἶτα εὔφορβος. εἶτα ἑρμότιμος. εἶτα πύθιος ὁ δήλιος. εἶτα ἐπὶ πᾶσι πυθαγόρας. εἰς τοῦτον οὖν ἔοικεν ἀποτείνεσθαι ὁ Σοφοκλῆς. ἔνιοι δὲ οἴονται ἀπιθάνως, εἰς Ὀδυσσέα ἀποτείνεσθαι. οὐ γὰρ πέπρακταί τι τοιοῦτον Ὀδυσσεῖ. ἐφυλάξατο δὲ ὀνομάσαι τὸν ἄνδρα ἢ μὴ τοῦ θαυμαστῶν εἶναι δόξῃ ἐν τραγῳδίᾳ. ἢ μύθῳ παλαιῷ τετόλμηκέ τι κακόηθες εἰπεῖν, καὶ προσκρουστικὸν εἰς τοὺς καθ' ἑαυτόν. ὃ μᾶλλον ἥρμοζε κωμῳδίᾳ. ℭ Ὡς κἀμέ. διὰ τὸ μέτρον ἴσως οὕτω γίνεται. ἥρμοζε γὰρ μᾶλλον, ὡς κἀγὼ ἐπαυχῶ, καθὰ πέποιθα καὶ ἐμὲ ζῶντα λάμψειν τοῖς ἐχθροῖς εἰς τὸ ἑξῆς ὥσπερ ἄστρον ἀπὸ τῆς φήμης ταύτης. ¶ Δέξασθέ μ' εὐτυχοῦντα. ἐπ' εὐτυχίᾳ με δέξασθε ὥστε ταύτας τὰς ὁδοὺς τελεσθῆναι. ἢ οὕτως. δέξασθέ με εὐτυχοῦντα, καὶ εὐτυχῶς ἐγχειροῦντα ταύταις ταῖς μηχαναῖς. ¶ Ἀρχέπλουτον. ἄρχοντα πλούτου. καὶ τὴν ἀρχαίαν τύχην ἀποληψόμενον. ἀρχέπλουτος, ὁ δὲ ἀρχῆς πλούσιος. ¶ Καταστάτην. εὐθετιστήν. ¶ Εἴρηκα μέν. κατὰ τὸ πρὸς ὂν ταῦτα ἱκανὰ δηλονότι, κατὰ ἀπόθεσιν λέγεται, ὡς τὸ, εἶεν. καὶ ταῦτα μὲν δὴ ταῦτα. καὶ ταῦτα μὲν οὕτως· ἢ εἴρηνται λόγοις, ἢ τὰ τοιαῦτα. ¶ Σοὶ δ' ἤδη γέρον. στίζεται ἀπὸ τοῦ νῦν ὦ γέρον μελέτω τὸ σὸν, ἤγουν ὅπερ ἐτάχθης ἢ χρεωστεῖς πληρῶσαι, λέγω τὸ περιελθεῖν τι κατασκοπῆσαι. καιρὸς γὰρ νῦν

ἐστιν δηλονότι, ὅς ἐστι τοῖς ἀνδράσι μέγιστος ἐπιστάτης, ἤγουν ἡγεμὼν ἔργου παντός. Νῷν δ' ἐξιμεν. ἐξιέναι βούλονται διὰ τὴν εἴσοδον τοῦ χοροῦ. ¶ Καιρὸς γὰρ ὅσπερ. ἐφ' ἑκάστου πράγματος τὸ καίριον καὶ χρησιμώτατον ὁ καιρός ἐστιν, ὅπου καὶ τὰ σπουδαῖα παρὰ καιρὸν γινόμενα οὐκ ἀποδέχονται. ὡς ἰατρὸν γὰρ κάμνοντι περὶ τῆς φύσεως τοῦ κοσμήματος διαλεγόμενον, ὡς εἴ τις τοῖς μεθύουσι περὶ σωφροσύνης διαλέγοιτο. K αἱ μὴν θυρῶν, ἐξῆς, ἔνδον θυρῶν. θαυμαστῶς δὲ ὁ γέρων οὐκ ὑπεβέβηκε τῷ ἀληθεῖ, ἀλλ' ἀποστῆσαι βουλόμενος τὸν Ὀρέστην, προσπόλων τινός φησιν. ℭ Προσπόλων. θεραπαινίδων οὐ μόνον ἀρσενικῶς, ἀλλὰ καὶ θηλυκῶς ὁ πρόσπολος, ὥσπερ ἐνταῦθα καὶ ἑτέρωθι. Α ρ' ἐστὶν ἡ δύστηνος. ὑπὸ νεότητος Ὀρέστης προάγεται φιλοπευστεῖν. ὁ δὲ πρεσβύτης τὸ χρήσιμον σκοπεῖν ἀναγκάζει. ¶ Ανακούσωμεν. ἐπακούσωμεν. Μηδὲν πρόσθεν. ἅμα μὲν εἰς τὸ χρήσιμον συμβουλεύει πείθεσθαι τῷ θεῷ. ἅμα δὲ καὶ πρὸς τὴν ὑπόθεσιν. διελύθη γὰρ ἂν τὸ πᾶν ἐξ ἀρχῆς μηνυθέντος Ὀρέστου. ¶ Ω φάος ἁγνόν. ὀλοφυρσίς ἐστι τῆς Ἠλέκτρας ἐν ταῖς μονῳδίαις, ὅπερ σύνηθες τοῖς τραγικοῖς, κινητικὸν τοῦ πένθους. διὰ δὲ τὸ πρόσωπον εὔνουν ἐστὶ τῷ ἀποθανόντι. ἐπεὶ δὲ ἀηδές ἐστι πρὸς τοὺς θεατάς, ἢ πρὸς ἑαυτὴν ταῦτα διαλέγεσθαι, ὡς ἀπομεμφομένη τοῖς θεοῖς, ἢ μάρτυρας τῶν θρήνων καλοῦσα, πρὸς τὰ στοιχεῖα ποιεῖται τὸν λόγον. καὶ οὕτως ἡμῖν δηλωθήσεται ὅπως διέκειτο τῷ συμβάντι κατὰ τὸν πατέρα. ἰσόμοιρον δὲ φησὶν εἶναι τὴν γῆν τῷ ἀέρι, παρ' ὅσον παρατείνεσθαι ἀλλήλοις τὰ στοιχεῖα πρέπει. καὶ τοῖς φιλοσόφοις ἴσος δοκεῖ εἶναι κατὰ ἀνάλυσιν ὁ ἀὴρ τῇ γῇ, συνέσταλται γὰρ ἡ γῆ. εἰ δὲ διαλυθῇ ἰσωθήσεται αὐτῷ.

›› οὕτως ἔχει καὶ τὸ ἡσιόδειον, Γαῖα δέ τοι πρῶτον μὲν ἐγείνατο ἶσον ἑαυτῇ, οὐρανόν. ἰσόμοιρον δὲ γῆς ἀέρα τὸν σκότον φησὶν, ἵνα τὸ, φάος ἁγνὸν αὐτῷ διαστέλληται. καὶ γῆς φησιν ἰσόμοιρος ἀὴρ, ἴσην μοῖραν ἔχων τῇ γῇ. πανταχοῦ γάρ ἐστιν ἀήρ. ἢ ὅτι γῆ καὶ ἀὴρ στοιχεῖα. ἰσότιμα γὰρ τὰ τέσσαρα στοιχεῖα ἀλλήλοις. τινὲς δὲ ὅτι μέσῃ ἀέρος ἐστὶν ἡ γῆ, διὰ τὰ ἀπὸ κέντρου διαστήματα. ἰσόμοιρος οὖν διὰ τὸ ἴσον ἀπέχειν πανταχόθεν τῆς γῆς. καὶ ταῦτα δὲ Φερεκράτης παρῴδηκεν. τὸ δὲ ἀὴρ, τὸ ᾱ συνέστειλε διὰ ῥυθμὸν ἢ μέτρον. Ἄλλως. κατὰ τὴν ἴσην ἐναντιότητά ἐστιν, ὁ μὲν ἀὴρ ἰσόμοιρος τῆς γῆς, τὸ δὲ ὕδωρ τοῦ αἰθέρος. ἔστι γὰρ ὁ μὲν ἀὴρ θερμὸς καὶ ὑγρός, ἐξαίρετον ἔχων τὸ ὑγρόν. ἡ δὲ γῆ ψυχρὰ καὶ ξηρά, ἐξαίρετον ἔχουσα τὸ ξηρόν. καὶ ὁ αἰθὴρ

νῷν δ' ἐξιμεν. καιρὸς γάρ, ὅσπερ ἀνδράσι
μέγιστος ἔργου παντός ἐστ' ἐπιστάτης.

ΗΛ Ἰώ μοί μοι δύστηνος.

ΠΑΙ καὶ μὴν θυρῶν ἔδοξα προσπόλων τινὸς
ὑποστενούσης ἔνδον αἰσθέσθαι, τέκνον.

ΟΡ ἆρ' ἐστὶν ἡ δύστηνος Ἠλέκτρα; θέλεις
μείνωμεν αὐτοῦ, κἀνακούσωμεν γόων;

ΠΑΙ ἥκιστα. μηδὲν πρόσθεν, ἢ τὰ Λοξίου
πειρώμεθ' ἔρδειν, κἀπὸ τῶνδ' ἀρχηγετεῖν,
πατρὸς χέοντες λουτρά. ταῦτα γὰρ φέρει
νίκην τ' ἐφ' ἡμῖν, καὶ κράτος τῶν δρωμένων.

ΗΛ Ω φάος ἁγνόν, καὶ γῆς
ἰσόμοιρ' ἀὴρ, ὥς μοι

θερμὸς καὶ ξηρὸς, ἐξαίρετον ἔχων τὸ θερμόν. τὸ δὲ ὕδωρ ψυχρὸν καὶ ὑγρὸν, ἐξαίρετον ἔχον τὸ ψυχρόν. Ὦ φάος ἁγνόν. ὅσας μοι σύνοισθας θρηνούσῃ, καὶ κοπτομένῃ. τὸ δὲ κατὰ παράλληλον οὕτως. ὡς πολλὰς μὲν ᾠδὰς ᾔσθου. πολλὰς δὲ πληγὰς αἱμασσομένων τῶν στέρνων. ¶ Πλαγὰς ἀντήρεις. τραγικώτερον δέ πως ἀπήγγελται, ὥστε τὴν διάλεκτον αὐτῶν μὴ πάνυ πολιτικὴν εἶναι. μετῆκται δὲ ἀπὸ τῶν ἐρεσσόντων. οἷον πληγὰς κατὰ τὸ ἐναντίον τῶν στέρνων ἐλαυνομένας. ἢ ἀντήρεις, ἀντιθέρις. ἀντὶ τοῦ ἴσας τοῖς θρήνοις. μετῆκται ἀπὸ τῶν ἐρεσσόντων, ὅταν κατ' ἴσον ἐρέσσωσι, καὶ μὴ εἰς θάτερον περιωθεῖται ἡ ναῦς. ἀντήρεις γὰρ ἀντικτυπούσας τοῖς θρήνοις. θρηνοῦσα γὰρ ἔτυπτε τὸ στῆθος πρὸς ἕκαστον. ¶ Ἤσθου. ἀντὶ τοῦ ἔμαθες, σύνοισθας. ¶ Αἱμασσομένων. διὰ τούτων ἡ ἐπίτασις. αἱμασσομένων δὲ αἱματηρῶν γινομένων ὑπὸ τοῦ πλήττεσθαι. ¶ Ὁπόταν δνοφερά. ὅσας μέν φησι διὰ νυκτὸς κλαίω, αἱ εὐναὶ ἴσασι. ὅσας δὲ δι' ἡμέρας, ὁ ἀὴρ καὶ τὸ φῶς. λέγει δὲ, ὅτι οὐ διαλείπω οὔτε νυκτὸς, οὔτε ἡμέρας κλαίουσα. ¶ Ὑπολειφθῇ. παρέλθῃ. ¶ Ὅσα τὸν δύστηνον. κατὰ βραχὺ ἐνδείκνυται τὰ τῆς ὑποθέσεως. ἰδοὺ γὰρ ἔγνωμεν ὅτι ἀδελφὴ τοῦ Ὀρέστου, καὶ διά τι θρηνεῖ. πρὶν γὰρ ἠμφιβάλλετο εἴτε Ἠλέκτρα ἐστὶν, εἴτε πρόσπολος. Ὃν κατὰ μὲν βάρβαρον. παρὰ τὸ ὑπὸ Ἀγαμέμνονος ἐν τῇ νεκυίᾳ, οὔτε με ἀνάρσιοι ἄνδρες. καὶ τὰ ἑξῆς. πάνυ δὲ περιπαθὴς ὁ λόγος, εἰ καὶ πολεμίων πικροτέρα ἐφάνη Κλυταιμνήστρα τῷ ἰδίῳ ἀνδρί. πάνυ γὰρ περιπαθὲς τὸ, τὸν τηλικοῦτόν τι τοσαῦτα δὲ πραξάμενον τὸ εἰπεῖν, ὅπως δρῦν ὑλοτόμοι. τὸ δὲ ὅλον. μήτηρ δὲ ἡ ἐμὴ, καὶ ὁ συγκαθεύδων αὐτῇ Αἴγισθος ἔσχισαν αὐτὸν κατὰ τὸ κάρα διὰ φονικοῦ πελέκεως καθὰ δρῦν δενδροτόμοι σχίζουσι δηλονότι. τὸ μὲν κάρα ἔχει τὸ πρότερον βραχὺ, καὶ τὸ δεύτερον μακρὸν, παίσας κάρα θώυξε. τὸ δὲ κρᾶτα τὸ πρότερον μακρὸν καὶ τὸ δεύτερον βραχύ. ¶ Οὐκ ἐξένισεν. ἀντὶ τοῦ οὐκ ἀπέκτεινε. ξένια γὰρ Ἄρεος τραύματα, φόνοι. καὶ Ἀρχίλοχος, ξείνια δυσμενέεσσι λυγρὰ χαριζόμενοι. ¶ Μήτηρ δ' ἡμή. μήτηρ δὲ ἡ ἐμὴ καὶ ὁ συγκαθεύδων αὐτῇ Αἴγισθος ἔσχισαν αὐτὸν κατὰ τὸ κάρα διὰ φονικοῦ πελέκεως καθὰ δρῦν δενδροτόμοι, σχίζουσι δηλονότι. Ἢ 'μοῦ φέρεται. εἰ δὲ καὶ τῆς χρυσοθέμιδος παρέκειτο, ἀλλ' ὅμως διὰ τὸ πάνυ ἀλγεῖν οὐδένα κατ' ἀξίαν φροντίζειν τῶν πενθούντων οἴεται ἢ μόνην αὐτήν. Ἀδίκως οἰκτρῶς τε. ἔν τισιν ὑπόκειται ἀντὶ τοῦ ἀδίκως, αἰκῶς. καὶ οἰκ

πολλὰς μὲν θρήνων ᾠδάς,
πολλὰς δ' ἀντήρεις ᾔσθου
στέρνων πλαγὰς αἱμασσομένων,
ὁπόταν δνοφερὰ νὺξ ὑπολειφθῇ.
τὰ δὲ παννυχίδων ἤδη, στυγεραὶ
ξυνίσασ' εὐναὶ μογερῶν οἴκων,
ὅσα τὸν δύστηνον ἐμὸν θρηνῶ
πατέρ', ὃν κατὰ μὲν βάρβαρον αἶαν
φοίνιος Ἄρης οὐκ ἐξένισε.
μήτηρ δ' ἡμὴ, χ' ὡ κοινολεχὴς
Αἴγισθος, ὅπως δρῦν ὑλοτόμοι,
σχίζουσι κάρα φονίῳ πελέκει.
κοὐδεὶς τούτων οἶκτος ἀπ' ἄλλης,
ἢ 'μοῦ φέρεται, σοῦ πάτερ οὕτως
ἀδίκως οἰκτρῶς τε θανόντος.

τοῦ μὲν, διὰ τὸ βίᾳ καὶ ἐξ ἐπιβουλευθέντα. ἀξίως δὲ, ὅτι πλέκει αὐτὸν μετὰ ὕβρεως ἐπίβουλος.
Α Λλ' οὐ μὲν δὴ λήξω. ὁ νοῦς. ἀλλ' οὐ λήξω θρήνων οὔτε ἡμέρας οὔτε νυκτὸς ὀδυρομένη, ἕως ἂν νύκτα καὶ φῶς βλέπω. ὥστε μὴ ἀηδόνος τρόπῳ ἠχὼ εἶναι προπέμπειν τῶν θρήνων πρὸ τῶν πατρῴων θυρῶν. ¶ Ἠχώ. ἀντὶ τοῦ ἦχον, ὃν οἱ ποιηταὶ ἠχὴν λέγουσιν. ἠχὼ γὰρ τὸ τῆς φωνῆς ἀντίφθεγμα. ¶ Σεμναί τε θεῶν. εὐφήμως ὡς καὶ τὸ εὐμενίδες. ¶ Ὑποκλεπτομένους. τοὺς ζημιουμένους λάθρα. ℭ Μούνη γὰρ ἄγειν. ἢ τὸ καταβαροῦν καὶ καταφερόμενον ὃ φέρειν οὐ δύναμαι. ἢ διὰ τοῦ ὀξέος ἀκούειν δεῖ οὕτως· τὸ ἀντίρροπον, ὅπερ ἂν εἶχεν ἐκεῖνος φέρειν πρότερον, ὥστε κοινῇ ἡμᾶς αὐτὸ φέρειν. μόνη γὰρ φέρειν οὐκέτι σωκῶ, ἀντὶ τοῦ ἰσχύω. οἱ δὲ νεώτεροι ἀντὶ τοῦ σώζω. ¶ Ἰὼ παῖ παῖ. παρεισόδιος ἐστι χοροῦ γυναικῶν, τῇ Ἠλέκτρᾳ συναχθομένων. ¶ Δυστανοτάτας. τῆς ἐξολεσάσης διὰ κακῆς. οὐ γὰρ ἐπὶ οἴκτου ἐστὶν ὁ λόγος.
Τ Ἀκόρεστον. ἀντὶ τοῦ ἀκορέστως. τίν' ἀεὶ τάκεις. ἀντὶ τοῦ διὰ τί τήκῃ τῇ ἀκορέστῳ οἰμωγῇ. ἤγουν τίς ἐστιν ἡ οἰμωγὴ ἣν οὕτως ἀκορέστως ἀεὶ τήκουσα σεαυτὴν οἰμώζεις, τὸν πάλαι ἁλόντα ἀπάταις Ἀγαμέμνονα ἐξ ἐνεδρείας διὰ δολερᾶς τῆς ἀσεβεστάτης μητρὸς καὶ ἔκδοτον γενόμενον δηλονότι χειρὶ κακῇ, ἤγουν κακοποιῷ καὶ φονικῇ. ℭ Ἀθεωτάτας. ἀσεβεστάτης. ¶ Ματρὸς ἁλόντα. λίαν αὐθήμων ὁ χορὸς ἐπὶ τὸν αὐτόθεν τρέπει τὴν αἰτίαν. καὶ γυναικῶν ἐστιν ἴδιον, μηδὲ ἐπὶ τοῖς προφανέσιν ἁμαρτήμασι καταλέγειν ἄλλης γυναικός. Καὶ τὸ, εἴ μοι θέμις τάδ' αὐδᾶν. λίαν ἠθικὸν καὶ ἁρμόζον γυναιξίν. ἐπεὶ κατ' ἀρχὴν τῶν ἦν ὁ λόγος. ἢ ἐπεὶ δοκεῖ δυσφημεῖν, φησὶν, εἰ δίκαιον ἐστὶν οὕτως εὔχομαι. Ἄλλως οὕτως. ὡς ὁ Ἀγαμέμνων ἀπώλετο, οὕτως εἴθε ἀπόλοιτο ὁ τάδε παρέχων. θέμις δὲ τὸ ἔννομον, ὅπου ἐστὶ τὸ δίκαιον, ὅμως καὶ ἀμφότερα ἐπὶ θεοῦ, τὸ δὲ δίκαιον ἐπὶ ἀνθρώπων.

ἀλλ' οὐ μὲν δὴ λήξω θρήνων
στυγερῶν τε γόων, ἔς τ' ἂν
λεύσσω παμφεγγεῖς ἄστρων
ῥιπάς, λεύσσω δὲ τόδ' ἦμαρ,
μὴ οὐ τεκνολέτειρ' ὥστις ἀηδὼν
ἐπὶ κωκυτῷ τῶνδε πατρῴων
πρὸ θυρῶν ἠχὼ πᾶσι προφωνεῖν.
ὦ δῶμ' Ἀΐδου, καὶ Περσεφόνης,
ὦ χθόνι' Ἑρμῆ, καὶ πότνι' ἀρά,
σεμναί τε θεῶν παῖδες Ἐριννύες,
αἳ τοὺς ἀδίκως θνήσκοντας ὁρᾶτε,
τοὺς εὐνὰς ὑποκλεπτομένους,
ἔλθετ', ἀρήξατε, τίσασθε πατρὸς
φόνον ἡμετέρου,
καί μοι τὸν ἐμὸν πέμψατ' ἀδελφόν.
μούνη γὰρ ἄγειν οὐκέτι σωκῶ
λύπης ἀντίρροπον ἄχθος.
Χο Ἰὼ παῖ παῖ δυστανοτάτας
Ἠλέκτρα ματρός, τίν' ἀεὶ
τάκεις ὧδ' ἀκόρεστον οἰμωγὰν
τὸν πάλαι ἐκ δολερᾶς ἀθεωτάτας
ματρὸς ἁλόντ' ἀπάταις Ἀγαμέμνονα,
κακᾷ τε χειρὶ πρόδοτον. ὡς
ὁ τάδε πορὼν
ὄλοιτ', εἴ μοι θέμις τάδ' αὐδᾶν.

Ὦ γενέθλα. ὦ παῖδες τῶν εὐγενῶν Μυκηναίων. ¶ Ἥκετ' ἐμῶν καμάτων. οἶδα φησὶν ἃ πράττω. καὶ οὐ λανθάνει με ὅτι ὑπὲρ τὸ δέον ποιῶ. ἢ οἶδα ὅτι μοι εὖνοι ἐστέ, ἵνα συνάπτηται τῷ προκειμένῳ, ἥκετ' ἐμῶν καμάτων παραμύθιον, ἄμεινον δὲ τὸ πρῶτον. ¶ Φυγγάνει. ἤγουν διαφεύγει, ἀπὸ τοῦ φεύγω γίνεται φυγγάνω, καὶ ἐκβολῇ τοῦ ε, καὶ πλεονασμῷ τοῦ ν, εἶτα δὲ τὸ ἐπαγόμενον γ, ὥσπερ ῥύτως εἰς γ, φυγγάνω. οὕτω γίνεται καὶ τὸ τυγχάνω ἀπὸ τοῦ τεύχω ἀρχαϊστί, καὶ τὸ ἁνδάνω ἀπὸ τοῦ ἥδω. καὶ τὸ πυνθάνομαι ἀπὸ τοῦ πεύθομαι, καὶ τὸ ἐρυγγάνω ἀπὸ τοῦ ἐρεύγομαι, καὶ ἕτερα.

ΗΛ ὦ γενέθλα γενναίων πατέρων,
ἥκετ' ἐμῶν καμάτων παραμύθιον.
οἶδά τε καὶ ξυνίημι τάδ'. οὔ τί με
φυγγάνει, οὐδ' ἐθέλω προλιπεῖν τόδε,
μὴ οὐ τὸν ἐμὸν στοναχεῖν πατέρ' ἄθλιον.
ἀλλ' ὦ παντοίας
φιλότητος ἀμειβόμεναι χάριν,
ἐᾶτέ μ' ὧδ' ἀλύειν.
αἰαῖ ἱκνοῦμαι.
ΧΟ ἀλλ' οὔτι τόν γ' ἐξ ἀΐδα
παγκοίνου λίμνας πατέρ' ἀν-
στάσεις, οὔτε γόοις, οὔτε λιταῖς,
ἀλλ' ἀπὸ τῶν μετρίων, ἐπ' ἀμήχανον
ἄλγος ἀεὶ στενάχουσα διόλλυσαι,
ἐν οἷς ἀνάλυσίς ἐστιν οὐδεμία κακῶν.
τί μοι τῶν δυσφόρων ἐφίῃ.
ΗΛ νήπιος, ὃς τῶν οἰκτρῶς
οἰχομένων γονέων ἐπιλάθεται.
ἀλλ' ἐμέ γ' ἁ στονόεσσ' ἄραρε φρένας,
ἃ Ἴτυν αἰὲν Ἴτυν ὀλοφύρεται,

¶ Ἐᾶτέ μ' ὧδε. μυρίοι γὰρ πολλάκις οἱ ἐν τοῖς πάθεσι παρηγοροῦμενοι, παρακαλοῦντες συγχωρεῖσθαι θρηνεῖν. ¶ Ἀλύειν. θρηνεῖν. ἐν ἄλλοις δυσφορεῖν σημαίνει. ἐνίοτε δὲ τὸ γεγηθέναι, ἀπὸ τῆς ἄλης καὶ διαχύσεως. Ὅμηρος, Ἦ ἀλύεις ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην. ¶ Ἱκνοῦμαι. ἀντὶ τοῦ παρακαλῶ. ἀφικνοῦμαι δὲ ἀντὶ τοῦ παραγίνομαι καὶ φθάνω. ¶ Ἀλλ' οὔτι τόν γ' ἐξ ἀΐδα. Ὅμηρος, Οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο. ¶ Παγκοίνου λίμνας. εἰς ἣν ἅπαντες ἀφικέσθαι δεῖ. ¶ Οὔτε γόοις οὔτε λιταῖσιν. οὔτε ὀδυρομένη, οὔτε παρακαλοῦσα τοὺς θεούς. καὶ Αἰσχύλος, Μόνος θεῶν γὰρ θάνατος οὐ δώρων ἐρᾷ, μόνος οὐ δίκη τῇ γλυκερᾶς μέρος ἐλπίδος. ¶ Ἐπ' ἀμήχανον. ἤγουν ἀνίκητον, ἀθεράπευτον, πρὸς ὃ οὐκ ἔστι τι μηχανήσασθαι. ¶ Ἐφίῃ. ἐπιθυμεῖς. τί μοι φησὶ τῶν τοιούτων δεῖ, ἅπερ ἐστὶν οὐκ εὐκόλως φέρειν, θρήνοις καὶ πένθει. ¶ Νήπιος. ὁ ἐν βρεφικῇ ὢν ἡλικίᾳ, καὶ ἀπὸ τούτου ὁ ἀνόητος καὶ μωρός. ¶ Ἀλλ' ἐμέ γ' ἁ στονόεσσ' ἄραρεν. ἀττικῶς τὸ ἄραρέ με, ἀντὶ τοῦ ἤρεσέ μου ταῖς φρεσίν. καὶ Ἀριστοφάνης, Σὲ δὲ ταῦτ' ἀρέσκει. τὸ δὲ ἄραρεν, ἀντὶ τοῦ σύμφωνα πράσσομεν ἐγὼ καὶ ἡ ἀηδὼν ἕνεκα τοῦ θρηνεῖν. Ἄλλως. οἷον συνήρμοσταί μου ταῖς φρεσίν. τουτέστιν, ἐκείνην ζηλῶ τὴν ἀεὶ τὸν Ἴτυν στενάζουσαν. Ἄλλως. οὕτως ἦν ῥᾴδιον λέγεσθαι, ἀλλ' ἐμὲ ἤρεσε κατὰ τὰς φρένας ἡ περὶ τὸ στενάζειν ἀσχολουμένη ἡ τοῦ Διὸς ἄγγελος ὄρνις, ἥτις ἀτυζομένη ἀεὶ ὀλοφύρεται Ἴτυν Ἴτυν, νῦν δὲ συνάπτει τὸν λόγον τῷ ὑποτακτικῷ ἄρθρῳ, καὶ λέγει, ἥτις ὄρνις Διὸς ἄγγελος ἀτυζομένη ἀεὶ ὀλοφύρεται Ἴτυν Ἴτυν.

Ἀτυζομένα. ἐκπληττομένη τοῖς συμβεβηκόσι, καὶ ὀδυρομένη. ¶ Διὸς ἄγγελος. ὅτι δὲ τὸ ἔαρ σημαίνει, Ὅμηρος, Ὡς δ' ὅτε Πανδαρέου κούρη χλωρηῒς ἀηδὼν, καλὸν ἀείδησιν ἔαρος νέον ἱσταμένοιο. ἢ ὅτι τὴν ἡμέραν σημαίνει. ἢ ὅτι τὰ ἑαυτῆς ἀπαγγέλλει κακά. καὶ τὴν προσδοκωμένην ἀγγελίαν. καὶ τὸ πάθος. ἢ ἄγγελον εἶπεν, οἷον τέρας ἐστὶ τὸ περὶ αὐτῆς γινόμενον εἰς τερατείαν τῆς φύσεως. καὶ Σαπφώ, Ἦρος ἄγγελος ἱμερόφωνος ἀηδών. ¶ Σὲ δ' ἔγωγε νέμω θεόν. ἀντὶ τοῦ ἐν τιμῇ τῶν θεῶν μερίζω σε. ἤγουν θεόν σε ἔχω καθότι δακρύεις ἐν τάφῳ πετραίῳ. τὸ δὲ αἰαῖ καθ' ἑαυτὴν λέγει. ¶ Ἐν τάφῳ πετραίῳ. τουτέστιν ἀπολιθωθεῖσα. καὶ Ὅμηρος, Ἐν Σιπύλῳ ὅτι φασὶ τυφωέος ἔμμεναι εὐνάς. ¶ Περισσά. πρὸς τὸ ἄχος περισσή. ἀντὶ τοῦ ἄμετρος ἐν τῷ θρηνεῖν. περισσῶς φησὶν ὀδύρῃ παρὰ τοὺς οἳ ἐκ τοῦ αὐτοῦ γένους τυγχάνεις. ὥστε καὶ ἕτερόν τι διδάσκει ἡμᾶς. ὅτι καὶ ἀδελφαὶ αὐτῇ εἰσὶ δύο μετριώτερον τὴν συμφορὰν φέρουσαι. ¶ Οἵα Χρυσόθεμις. ἢ Ὁμήρῳ ἀκολουθεῖ, εἰρηκότι τρεῖς τὰς θυγατέρας τοῦ Ἀγαμέμνονος. ἢ ὡς ὁ τὰ Κύπρια ποιήσας τέσσαράς φησι. ¶ Κρυπτᾷ τ' ἀχέων. ἡ μετοχὴ ἐστὶ τὸ ἀχέων, ἀντὶ τοῦ δυσφορῶν ἰδεῖν τῷ κεκρύφθαι. ἢ ὁ ἐν ἥβῃ κρυπτῇ λυπούμενος. ¶ Ὄλβιος ὅν. συνάπτει καὶ ταῦτα τὸν λόγον τῷ ὑποτακτικῷ ἄρθρῳ, ὀφείλων γὰρ λέγειν, ὄλβιος ὁ Ὀρέστης, ὃν ἡ κλεινὴ γῆ δέξεται τῶν Μυκηναίων, ὁ δὲ λέγει ὄλβιος ὃν ἵνα Ὀρέστην ἡ κλεινὴ γῆ τῶν Μυκηναίων δέξεταί ποτε, εὐπατρίδην ἀντὶ τοῦ περιφανῆ μολόντα εἰς τήνδε τὴν γῆν, βήματι εὔφρονι, ἀντὶ τοῦ πομπῇ ἡδείᾳ τοῦ Διός. ¶ Βήματι. ἀντὶ τοῦ ὁδῷ, πομπῇ. ¶ Ἀκάματα. ἀκαμάτως ἐστὶ ἀδιαλείπτως. λέγοι δ' ἂν ταῦτα ἐν ὑποκρίσει. ἢ οὐ κεκμηκότως. ¶ Οἰχνῶ. περιέρχομαι. οἰχνῶ δὲ γέγονεν ἀπὸ τοῦ οἴχομαι παρενθέσει τοῦ ν, μετέπεσε δὲ εἰς τὴν τῶν περισπωμένων συζυγίαν, ὥσπερ καὶ τὸ ἀφικνοῦμαι, γινόμενον ἀπὸ τοῦ ἵκομαι, παρενθέσει τοῦ ν. ἀπὸ δὲ τοῦ οἰχνῶ καὶ ἴχνος διὰ τοῦ ι.

ὄρνις ἀτυζομένα Διὸς ἄγγελος.
ἰὼ παντλάμων
Νιόβα, σὲ δ' ἔγωγε νέμω θεόν,
ἅτ' ἐν τάφῳ πετραίῳ
αἰαῖ δακρύεις.

Χο. Οὔτοι σοὶ μούνα τέκνον
ἄχος ἐφάνη βροτῶν,
πρὸς ὅ,τι σὺ τῶν ἔνδον εἶ περισσά,
οἷς ὁμόθεν εἶ, καὶ γονᾷ ξύναιμος.
οἵα Χρυσόθεμις
ζώει, καὶ Ἰφιάνασσα,
κρυπτᾷ τ' ἀχέων ἐν ἥβᾳ·

Ηλ. Ὄλβιος, ὃν ἁ κλεινὰ
γᾶ ποτὲ Μυκηναίων
δέξεται εὐπατρίδαν Διὸς εὔφρονι
βήματι μολόντα τάνδε γᾶν Ὀρέσταν·
ὃν ἔγωγ' ἀκάματα
προσμένουσ' ἄτεκνος,
τάλαιν' ἀνύμφευτος αἰὲν οἰχνῶ,

Μυδαλέα

ΜΥΔΑΛΕΑ. διάβροχος τοῖς δάκρυσιν. ¶ Ἀνήνυτον. ἀτελείωτον. ¶ Ὧν τ' ἔπαθεν, ὧν τ' ἐδάη. ὧν ἔπαθε παρ' ἐμοῦ εὐεργετῶν. διέσωσε γὰρ αὐτόν. ὧν δὲ ἐδάη, ἤγουν ἔμαθεν, συνεχεῖς ἔπεμπον ἀγγέλους δηλοῦσα τὰ κατ' αὐτόν. Τί γὰρ ἀγγελίας. ἤγουν τί εἶδος ἀγγελίας οὐκ ἔρχεται ἐμοὶ ἀπατώμενον, ἤγουν ἀπάτην ἔχον, τουτέστι ψευδές. ¶ Ἀεὶ μὲν ποθεῖ. ὁ Ὀρέστης φανῆναι, ἀπὸ κοινοῦ. ¶ Ὦ σὺ ὑπεραλγῆ χόλον. ὤζινι τῷ Διΐ, σὺ ὑπεραλγοῦντα, τὸν ἄγαν ὀδυνηρὸν καὶ λυπηρὸν χόλον τοῖς πεπραγμένοις νέμουσα, μὴ ὑπερβολῇ χρῶ τοῖς λυπηροῖς καὶ δεινοῖς. μήτε ἐπιλάθου αὐτῶν, ἀλλὰ μέμνησο μὲν αὐτῶν, γενναίως δὲ φέρε. ἢ μήτε ὑπὲρ τὸ δέον ἔχθαιρε, μήτε ἐπιλανθάνου τῆς ἔχθρας. ¶ Χρόνος γὰρ εὐμαρής. ὁ γὰρ χρόνος εὐμαρῶς παρέρχεται. ἐνίοτε δὲ οὐ μετ' ὀλίγον ἀνυομένου τοῦ χρόνου ἥξει Ὀρέστης. ἢ εὐχερής ἐστιν ὁ χρόνος. ὥστε μετελθεῖν τοὺς ἀδίκους. ¶ Κρίσαν. Φωκικήν. Κρίσα γὰρ πόλις Φωκίδος. ¶ Τὴν ἀκτὴν τὴν Κρίσαν. ἀντὶ κτητικοῦ, τουτέστιν, τὴν Κρίσης.

δάκρυσι μυδαλέα, τὸν ἀνήνυτον
οἶτον ἔχουσα κακῶν. ὁ δὲ, λάθεται
ὧν τ' ἔπαθ', ὧν τ' ἐδάη. τί γὰρ οὐκ ἐμοὶ
ἔρχεται ἀγγελίας ἀπατώμενον.
ἀεὶ μὲν γὰρ ποθεῖ.
ποθῶν δ', οὐκ ἀξιοῖ φανῆναι.
Χο θάρσει μοι θάρσει τέκνον,
ἔστι μέγας ἐν οὐρανῷ
Ζεὺς, ὃς ἐφορᾷ πάντα, καὶ κρατύνει.
ᾧ τὸν ὑπεραλγῆ χόλον νέμουσα,
μήθ' οἷς ἐχθαίρεις
ὑπεράχθεο, μήτ' ἐπιλάθου.
„ Χρόνος γὰρ εὐμαρὴς θεός.
οὔτε γὰρ ὁ τὰν Κρίσαν
βουνόμον ἔχων ἀκτὰν
παῖς Ἀγαμεμνονίδας ἀπερίτροπος,
οὔθ' ὁ παρὰ τὸν Ἀχέροντα θεὸς ἀνάσσων.

Βουνόμον. βοῶν θρεπτικήν. ¶ Ἀπερίτροπος. ἀνεπίστροφος, ἀνεπέλευστος, ἔνθεν καὶ τὸ, περιτροπέων ἐνιαυτός. ἀπὸ κοινοῦ δὲ ληπτέον τὸ, ἀπερίτροπος. οὔτε Ὀρέστης ἀπερίτροπος, ὃς ἐν τῇ Φωκίδι τρέφεται. οὔτε ὁ κάτω θεός. ἀλλὰ καὶ ὑπὸ Ὀρέστου τιμωρηθήσονται. καὶ ἀπὸ τῶν χθονίων θεῶν ἔσεσθαι τὴν τιμωρίαν τοῦ ἀδίκως ἀνῃρημένου προσδόκα. τινὲς δὲ τὸ ἀπερίτροπος ἐπὶ μὲν Ὀρέστου, ἀνεπέλευστος. ἐπὶ δὲ τοῦ Πλούτωνος, ἀνεπίστροφος τοῦ τοὺς ἐχθροὺς μετελθεῖν. πολλάκις γὰρ τὸ κατὰ κοινοῦ λαμβανόμενον διαφόρως νοεῖται. καὶ Ὅμηρος,
„ Ἔνθα ἑλέτην δίφρον τε καὶ ἀνέρε δήμου ἀρίστω. τὸ ἑλέτην κατὰ κοινοῦ ἐστιν. ἀλλ' ἐπὶ μὲν τοῦ δίφρου, ἀντὶ τοῦ ἔλαβον. ἐπὶ δὲ τῶν ἀνδρῶν, ἀντὶ τοῦ ἐφόνευσαν.
Οὔθ' ὁ παρὰ τὸν Ἀχέροντα. οὔτε ὁ ᾅδης ἀνεπίστροφος. ἀπὸ κοινοῦ γὰρ τὸ, ἀπερίτροπος. τοῦ τοὺς ἐχθροὺς μετελθεῖν. ἀλλ' ἔχει ἐπιστροφὴν, καὶ ἐπιμέλειαν ποιεῖται. Οὔθ' ὁ παρὰ τόν. Ἄλλως. παρὰ ἀντὶ τοῦ κατὰ, καὶ ἐν τῷ πεζῷ λόγῳ ἐν χρήσει αὕτη ἡ σύνταξις τοῦ παρὰ προθέσεως.

Ἀλλ' ἐμὲ μὲν ὁ πολύς. οἷον ὁ πλεῖστος τοῦ βίου ἐβίωσε ἐν κακοῖς. καὶ ὁ πλείων μέ φησι βίος ἀπολέλοιπε, μηδέποτε ἐν ἀγαθῇ ἐλπίδι γενομένην. ἐπεὶ μέχρι νῦν οὐδὲν ὑπὲρ ἐκδικίας Ἀγαμέμνονος πέπρακται. ¶ Ἇς φίλος οὔ τις ἀνήρ, ἤτοι ἧς φίλος οὐδεὶς προΐσταται, ἀλλὰ πάντες εἰσὶν ἐν ἀτυχήμασιν εὐλαβούμενοι. ἢ ἐκεῖνο, Ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι. ¶ Ὑπερίσταται. ὑπερμαχεῖ. Ἔποικος. ἀντὶ τοῦ μέτοικος. ¶ Ξένη. ἐν ἀλλοτρίᾳ οἰκίᾳ οὖσα. Ἀναξία. ἀξίαν οὐκ ἔχουσα, ἀλλ' ἄτιμος. ℂ Οἰκονομῶ. ἀντὶ τοῦ διαιτῶμαι τοὺς πατρῴους οἴκους. Ὧδε μὲν ἀεικεῖ. δεικτικῶς τὸ ὧδε. ἐλεεινὸν γὰρ τὸ τοιοῦτον, καὶ λελησθότως ἐμφαῖνον τὸ σχῆμα τοῦ ὑποκειμένου. ἀεικεῖ δὲ ἀντὶ τοῦ αἰσχρᾷ, ἀπρεπεῖ, παρὰ τὸ μὴ ἐοικέναι, ὃ δηλοῖ τὸ καθήκειν. ¶ Οἰκτρὰ μὲν νόστοις αὐδά. ἡ ἀγγελία ἡ περὶ τοῦ νόστου τοῦ πατρὸς οἰκτρὰ ἐπειδὴ εὐθέως ἀναιρεθέντος. ἀπὸ κοινοῦ δὲ τὸ, αὐδά. οἰκτρά σοι οὖν γέγονεν ἡ φωνὴ ἡ ἀγγέλλουσα περὶ τοῦ νόστου τοῦ πατρός. οἰκτρὰ δὲ καὶ περὶ τῆς κοίτης αὐτοῦ. οἷον οἰκτρὰ πέπονθας, ὅτε ἤκουσας τεθνεῖναι Ἀγαμέμνονα, προσδοκῶσα ὅτι εὐθὺς ἐλευθερωθήσεται. οἰκτρὰ δὲ ὅτε ἡ πρᾶξις γέγονε, ὅτε ἀνῃρέθη.

ΗΛ. Ἀλλ' ἐμὲ μὲν ὁ πολὺς
ἀπολέλοιπεν ἤδη
βίοτος ἀνέλπιστος, οὐδ' ἔτ' ἀρκῶ.
ἅτις ἄνευ τοκέων κατατάκομαι.
ἇς, φίλος οὔτις ἀνὴρ ὑπερίσταται,
ἀλλ' ἁπερεί τις ἔποικος ἀναξία,
οἰκονομῶ θαλάμους πατρός, ὧδε μὲν
ἀεικεῖ σὺν στολᾷ.
κεναῖς δ' ἐφίσταμαι τραπέζαις.

ΧΟ. Οἰκτρὰ μὲν νόστοις αὐδά,
οἰκτρὰ δ' ἐν κοίταις πατρῴαις,
ὅτε σοὶ παγχάλκων ἀνταία
γενύων ὡρμάθη πλαγά.
δόλος ἦν ὁ φράσας, ἔρος ὁ κτείνας,
δεινὰν δεινῶς προφυτεύσαντες
μορφάν. εἴτ' οὖν θεὸς, εἴτε βροτῶν
ἦν ὁ ταῦτα πράσσων.

ΗΛ. Ὦ πασᾶν κείνα πλέον ἁμέρα
ἐλθοῦσ' ἐχθίστα δή μοι.
ὦ νύξ, ὦ δείπνων ἀρρήτων

Ἀνταία γενύων. ὅτε αὐταίαν ἐπλήγη ἀπὸ γενύων παγχάλκων, ὅ ἐστι πελέκεων. γένυς γὰρ εἶδος πελέκεος. ℂ Δόλος ἦν ὁ φράσας. ἀντὶ τοῦ ὁ φρασάμενος, συννοησάμενος. ὁ δὲ ἀνελὼν ἔρως. δι' ἔρωτα γὰρ ἑαυτῶν ἀνεῖλον Ἀγαμέμνονα. δόλος ὁ φρασάμενος τὴν ἑστίασιν, ἐν ᾗ ἀνῃρέθη. ℂ Ἔρος ὁ κτείνας. ἔρος μικρὸν διὰ τὸ μέτρον. ὅτι δὲ καὶ μικρὸν γράφεται δῆλον ἐκ τοῦ ἀντιπαλικοῦ. τὸν ἔρον γὰρ λέγομεν, ὡς Ὅμηρος, ἐξ ἔρον ἕντο. ℂ Προφυτεύσαντες. προσκεψάμενοι, προκατασκευάσαντες. ¶ Μορφάν. μορφήν, τύπον. τὴν γὰρ μοιχείαν φησὶ τοῦ Αἰγίσθου, ἢ τὴν ὄψιν, ἣν εἰργάσατο τοῦ φόνου. ¶ Εἴτ' οὖν θεός. πάνυ αἰδημόνως ὁ χορὸς τὸ μὲν πρᾶγμα λέγει, τοὺς δὲ πράξαντας οὐκ ἐλέγχει. ¶ Εἴτε βροτῶν. εἴτε τις ἀπὸ βροτῶν. ℂ Ὦ πασᾶν κείνα. ὦ ἡμέρα ἐκείνη ἡ ἐλθοῦσα ἐμοὶ ἐχθίστη, ἡ μάλιστα μεμισημένη πασῶν ἡμερῶν, τὸ δὲ πλέον, περισσόν. ℂ Ὦ δείπνων ἀρρήτων. τῶν ὑπὸ Αἰγίσθου

φησὶ

φησὶ τῷ Ἀγαμέμνονι παρασκευασθέντων ἐπ' ὀλέθρῳ, ἃ οὐδὲ ὀνομάζειν καλόν. Ἔκπαγλ' ἄχθη. μεγάλα. γράφεται καὶ ἔκπαγλα πάθη. ¶ Τοὺς ἐμὸς εἶδε. ὤφειλεν εἰπεῖν πρὸς τὸ ἔκπαγλα ἄχθη, ἃ ὁ ἐμὸς εἶδε πατήρ. ὁ δὲ πρὸς τὸ σημαινόμενον ἀπέδωκε τὴν λέξιν, οὓς θανάτους ἀπρεπεῖς εἶδεν ὁ ἐμὸς πατὴρ ἀπὸ διδύμων χειρῶν. Διδύμαιν χεροῖν. τῆς Κλυταιμνήστρας καὶ τοῦ Αἰγίσθου. ¶ Αἳ τὸν ἐμὸν εἷλον βίον. πάνυ περιπαθῶς. αἵτινες χεῖρες

ἔκπαγλ' ἄχθη.
τοὺς ἐμὸς εἶδε πατὴρ
θανάτοις ἀεικεῖς διδύμαιν χεροῖν,
αἳ τὸν ἐμὸν εἷλον βίον
πρόδοτον, αἵ μ' ἀπώλεσαν.
οἷς θεὸς ὁ μέγας Ὀλύμπιος,
ποίνιμα πάθεα παθεῖν πόροι.
μηδέ ποτ' ἀγλαΐας ἀπονναίατο,
τοιάδ' ἀνύσαντες ἔργα.

ΧΟ. Φράζου μὴ πόρσω φωνεῖν.
οὐ γνώμαν ἴσχεις ἐξ οἵων
τὰ παρόντ' οἰκείας εἰς ἄτας
ἐμπίπτεις οὕτως αἰκῶς;
πολὺ γάρ τι κακῶν ὑπερεκτήσω,
σᾷ δυσθύμῳ τίκτουσ' αἰεὶ
ψυχᾷ πολέμους. τὰ δὲ τοῖς δυνατοῖς
οὐκ ἐριστὰ πλάθειν.

ΗΛ. Ἐν δεινοῖς ἠναγκάσθην. ἐν δεινοῖς
ἔξοιδ', οὐ λάθει μ' ὀργά.

αἱ ἀνελοῦσαι τὸν Ἀγαμέμνονα, τὸν ἐμὸν βίον ἀνεῖλον, καὶ προέδωκαν τοῖς ἐχθροῖς. ¶ Οἷς θεός. ἀπὸ τῶν χειρῶν μεταβαίνει ἐπὶ τοὺς ἐργαζομένους ταῖς χερσί. ¶ Ποίνιμα πάθεα. ἀντέκτισιν ἔχοντα, ἢ τιμωρίας ἄξια. ποινὴ δὲ λέγεται ἡ τοῦ φόνου καταβολὴ τῶν χρημάτων. Ὅμηρος, Ποινὴν οὐ παιδὸς ἐδέξατο τεθνειῶτος. καί, Ἀλλ' ὁ μὲν ἐν δήμῳ μένει αὐτοῦ πόλλ' ἀποτίσας. τοῦ δέ τ' ἐρητύεται κραδίη καὶ θυμὸς ἀγήνωρ, ποινὴν δεξαμένῳ. ¶ Ἀγλαΐας. ἡδονῆς, δόξης. ¶ Φράζου μὴ πόρσω φωνεῖν. ὁ χορὸς ἐπιτιμᾷ τῇ Ἠλέκτρᾳ μὴ ἄντικρυς ταῖς βλασφημίαις κατὰ Κλυταιμνήστρας καὶ Αἰγίσθου χωρεῖν. ¶ Οἰκείας. ἤτοι τὰς συγγενικάς, ἢ ἀπὸ σοῦ ἐσομένας καὶ οὐκ ἀλλαχόθεν. ¶ Οὐ γνώμαν ἴσχεις. οὐ νοεῖς. οὐ γινώσκεις φησὶν ἐξ οἵων ἀγαθῶν εἰς τί ἀνιαρὸν ἐλήλυθας. Σᾷ δυσθύμῳ τίκτουσ' ἀεί. σαυτῇ γεννῶσα ταῦτα, ἐξ ὧν πολεμεῖταί σου ἡ ψυχή. ὡς ἐν ἀθυμίαις αὐτῆς οὔσης. Ἄλλως. πολὺ ἐκτήσω τὸ πλῆθος τῶν κακῶν διὰ τῆς σῆς δυσθύμου ψυχῆς, τίκτουσα ἀεὶ ταραχὰς καὶ ἔριδας. δύσθυμος δὲ σκληρός, ἢ δύσθυμος, ᾧ ἐναντίον ὁ εὔθυμος. ¶ Πλάθειν. πελάζειν. ¶ Τὰ δὲ τοῖς δυνατοῖς οὐκ ἐριστά. τοῖς κρατοῦσιν, οὐ δι' ἔριδος δεῖ εἰς ταῦτα προσπελάζειν, ἀντὶ τοῦ οὐχ οἷόν τέ σε ἐρίζειν τοῖς δυνατοῖς. καὶ ἄλλως. ταῦτα δὲ ἃ πράττεις οὐκ ἐριστὰ τοῖς κρατοῦσιν ἐστί. τουτέστι, περὶ τούτων φιλονεικίαν πρὸς τοὺς κρατοῦντας ποιεῖσθαι, ἀσύμφορον. ἐριστὴς δὲ ὁ φιλόνεικος. ἐριστικὸς δὲ ὁ τὴν ἐπιτηδειότητα ἔχων εἰς τὸ ἐρίζειν, ὥσπερ φιλικὸς ὁ ἐπιτήδειος εἰς φιλίαν. ἐριστὸν δὲ τὸ ἀξίαν ἔχον τὴν ἔριν, ὥσπερ παίγνιον τὸ ἄξιον παίζεσθαι. καὶ παικτὴ παιδιὰ ἡ ἀξία παίζεσθαι. ¶ Ἔξοιδ'. οὐ λάθει με. ἀντὶ τοῦ ἔγνων φησὶν οὐ λανθάνει με, ἀλλ' οἶδα τὸ ἀσφαλὲς καὶ

συμφέρον. διὰ δὲ τὴν ὑπέρβασιν τῶν λυπῶν, ἀναγκάζομαι καὶ ἐπικινδυνώδη τινὰ φθέγγεσθαι. ¶ Τίνι γάρ ποτε. παρὰ τίνος γὰρ ἂν ἀκούσαιμι τὰ συμφέροντα, ἢ παρ' ὑμῶν τῶν συνοίκων, ὥστε μοι συγχωρῆσαι ἐν δεινοῖς οὔσῃ, παρηγορίαν τινὰ ἴσχειν ἐκ τῶν ὀδυρμῶν καὶ θρήνων. οὐ γὰρ πρὸς ξένους ἔχω. ἀλλὰ πρὸς ὑμᾶς εὐνοούσας. ¶ Ὦ φιλία γενέθλα. ὦ προσφιλὴς ἐμοὶ γενεά. ¶ Τίνι τὰ φρονοῦντι. παρὰ τίνος φρονοῦντος καίρια. ἤγουν συμφέροντα.

Ἀλλ' ἐν γὰρ δεινοῖς οὐ σχήσω
ταύτας ἄτας,
ὄφρα με βίος ἔχῃ.
τίνι γάρ ποτ' ἂν ὦ φιλία γενέθλα
πρόσφορον ἀκούσαιμ' ἔπος;
τίνι φρονοῦντι καίρια;
ἄνετέ μ' ἄνετε παράγοροι.
τάδε γὰρ ἄλυτα κεκλήσεται, οὐδέ
ποτ' ἐκ καμάτων ἀποπαύσομαι,
ἀνάριθμος ὧδε θρήνων.
ΧΟ Ἀλλ' οὖν εὐνοίᾳ γ' αὐδῶ,
μάτηρ ὡσεί τις πιστά,
μὴ τίκτειν σ' ἄταν ἄταις.
ΗΛ καὶ τί μέτρον κακότητος ἔφυ; φέρε,
πῶς ἐπὶ τοῖς φθιμένοις ἀμελεῖν καλόν;
ἐν τίνι τοῦτ' ἔβλαστ' ἀνθρώπων.
μήτ' εἴην ἔντιμος τούτοις,
μήτ' εἴ τῳ πρόσκειμαι χρηστῷ,
ξυνναίοιμ' εὔκηλος, γονέων

Ἄνετέ μ' ἄνετε. ἐάσατε. οἷον παύσασθέ με παραμυθούμεναι. ἢ οὕτως. ὑμεῖς με παραμυθούμεναι ἄνετε. ὅ ἐστιν προτρέπετε ὀδύρεσθαι, καὶ αὔξετέ μου διὰ τῆς παραμυθίας τὸν ὀδυρμόν. Τάδε γὰρ ἄλυτα. τὸ θρηνεῖν τὸν πατέρα ἄλυτόν μοι ἐστίν. ὅ ἐστιν, οὐδέποτε παύσομαι, ἀλλ' αἰεὶ ἐν τῷ θρηνεῖν ἔσομαι. ἡ δὲ ἔκ, περισσή. ¶ Ἀνάριθμος ὧδε θρήνων. ἔν τισι κεῖται ἀνάνομος, οἷον ἀεὶ νεμομένη ἐν αὐτοῖς, καὶ οὔποτε χωρὶς οὖσα τῆς τῶν δακρύων νομῆς. κεῖται δὲ καὶ ἀνήριθμος, καὶ ἔστιν ὁ λόγος, οὐκ ἔσομαι ἀνήριθμος θρήνων, ἀλλ' ἐν θρήνοις ἀριθμήσομαι. ἢ οὕτως. ἀνάριθμος, οἷον οὐκ ἀριθμοῦσα τοὺς θρήνους, ἀλλὰ δαψιλέσι χρωμένη αὐτοῖς. ¶ Καὶ τί μέτρον. ἔχει τόδε τὸ κακόν, ὥστε μετρίως θρηνεῖν. πρὸς γὰρ ἄμετρον κακόν, καὶ ἀμέτρων δεῖται θρήνων. ¶ Κακότητος. τῆς συνεχούσης με. ¶ Μήτ' εἴην ἔντιμος τούτοις. τοῖς ἀμελοῦσι τῶν γονέων. μὴ εἴη μοι ταύτης τῆς τιμῆς, τὸ τοὺς γονέας μὴ μέχρι τοῦ παντὸς ὀδύρεσθαι. τουτέστι, μὴ θέλοιμι ἔχειν τιμὴν ὑπὸ τούτων.

Μήτ' εἴ τῳ πρόσκειμαι χρηστῷ. μήτε εἴ τινι ἀγαθῷ καὶ χρηστῷ πρόσκειμαι φίλῳ, συνοικοίην εὔκηλος. οἷον, μηδὲ εἰ ἀγαθός τις ἐστὶν ᾧ ἐγὼ πρόσκειμαι. μηδὲ τούτῳ συνοικοίην εὖ ζηλοῦσα αὐτὸν καὶ ἀποδεχομένη, εἰ τοιοῦτος περὶ τοὺς γονέας φαίνοιτο. μήτε τὴν αὐτὴν γενοίμην, μήτε εἰ ὁ συνοικῶν μοι τοιοῦτος εἴη ζηλοίην τὰ ἐκείνου, ὥστε καταφρονεῖν τῶν γονέων. ἢ οὕτως. μηδὲ εἰ συνοικοίην χρηστῷ τινι ἀνδρί, ζηλώσαιμ' ἂν τὰ ἐκείνου ἡσυχάζουσα, καὶ κατέχουσα τοὺς ἐπὶ τῷ πατρὶ γόους.

Γονέων ἐκτίμους. τῶν ἐπὶ τοῖς γονεῦσι ὀξυτόνων γόων τὰς πτέρυγας ἴσχουσα ἐκτίμους, ἀντὶ τοῦ ἐκτὸς τιμῆς. ἀλλ' ἐν τῷ τιμᾶν τοὺς πατέρας εἶναι ἴδια τῶν γονέων.

πτέρυγας

πτέρυγας δὲ ὀξυτόνων γόων εἴρηκε, δηλονότι τὸ ταχύ. ἅμα μὲν γὰρ τῇ μνήμῃ καὶ ὀδυρμός, οὐδενὸς τοῦ μεταξὺ ὄντος. ὀξυτόνους δέ, δηλονότι τὸ σφοδρόν, καὶ τὸ εἰς ὀξὺ τείνεσθαι, τουτέστιν εἰς ἄκρον ἐλθεῖν. ¶ Πάλιν δώσουσιν. ἀντὶ τοῦ ἀνταποδώσουσιν, ἀντισταθμήσουσι τοῦ φόνου. ¶ Αἰδώς. ἤτε αἰδὼς ἔρροι, ἢ καὶ πάντας εὐσέβεια, εἰ τῶν ἀδίκως ἀνῃρημένων μὴ τιμωρία ἔσται. ℂ Σὺ νίκα, τὸ σὺ νίκα, πάνυ ἀναγκαίως, ἵν' ἀφορμὴ γένηται μακρὰν ἐκτεῖναι ῥῆσιν τῇ Ἠλέκτρᾳ, ἐν ᾗ πάντα τὰ καθ' ἑαυτὴν παραλήψεται. ¶ Αἰσχύνομαι μέν. αἰδοῦμαι. εἰ δοκῶ ὑμῖν τελέως πενθεῖν καὶ ἀπαραμυθήτως ἔχειν. ¶ Δυσφορεῖν. ἀγανακτεῖν. τὸ δυσφορεῖν κυρίως ἐπὶ νόσου λέγεται, ᾧ ἐναντίον τὸ εὐφορεῖν, ὡς παρ' Ἰσοκράτει, εὐφόρως φορέουσι. ¶ Ἀλλ' ἡ βία γάρ. ἐπεὶ περ ἐν τοῖς φθάσασιν ἐπετίμησαν αὐτῇ, δηλονότι τὸ ἀνενδότως θρηνεῖν, περὶ τούτου πρῶτον ἀπολογεῖσθαι βούλεται. λέγει δέ, ἀλλὰ σύγγνωτε. ἡ βία γὰρ ἀναγκάζει με δρᾶν ταῦτα. ¶ Ἁγὼ κατ' ἦμαρ. ἀναγκαίως κέχρηται τῷ νοήματι. ἐπὶ μὲν γὰρ γενομένῳ πράγματι καὶ παρελθόντι, εἰκὸς καὶ παύσασθαι τὸν ἀδημονοῦντα. ὁπότε δὲ αὐτὴν οὐ μόνον τὰ τοῦ πατρὸς λυπεῖ, ἀλλὰ καὶ τὰ τῆς μητρός, καὶ τὰ ἀπ' αὐτοῦ ὁσημέραι γινόμενα, εἰκότως παρατείνει καὶ τὸ πενθεῖν.

ℂ Καταφθίνοντα. μαραινόμενα κατὰ μεταφορὰν ἀντὶ τοῦ μειούμενα. τὸ θάλλειν ἐπὶ τῶν φυτῶν λέγεται κυρίως, ἔχει ἐναντίον τὸ μαραίνεσθαι ἢ τὸ φθίνειν. φθίνειν γὰρ καὶ μαραίνεσθαι ταὐτόν, καὶ ἀπὸ τούτων καὶ ἐπ' ἄλλων ὡς ἐνταῦθα θάλλοντα μᾶλλον ἢ καταφθίνοντα, ἀντὶ τοῦ αὐξάνοντα μᾶλλον ἢ τρεφόμενα ἢ μειούμενα. ℂ Ἐν τοῖς ἐμαυτῆς. ἀντὶ τοῦ λίαν τὸ ἐν τοῖς ἐμαυτοῦ. ὅτι ἀδικοῦμαι οὖσα ἐν τοῖς ἐμαυτῆς. ℂ Κἀκ τῶνδ' ἄρχομαι. ἢ βασιλεύομαι ὑπ' αὐτῶν. ἔστι δὲ τοῦτο χαλεπώτερον τὸ καὶ τούτοις ὑποτετάχθαι. Ἄρχομαι. τὸ ἀρχὴν ποιοῦμαι. ἢ τὸ ἀρχὴν λαμβάνω, ὡς ἐν τῷ, ἄρχεται δὲ ὁ πόλεμος ἐνθένδε ἤδη τῶν ἐπισκόπων. ἢ ἄρχομαι τὸ ὑποτάσσομαι.

ἐκτίμους ἴσχουσα πτέρυγας
ὀξυτόνων γόων.
Εἰ γὰρ ὁ μέν, θανὼν γᾶ τε καὶ οὐδὲν ὤν,
κείσεται τάλας, οἱ δέ, μὴ πάλιν
δώσουσ' ἀντιφόνους δίκας,
ἔρροι τ' ἂν αἰδώς, ἁπάντων
τ' εὐσέβεια θνατῶν.

ΧΟ Ἐγὼ μέν, ὦ παῖ, καὶ τὸ σὸν σπεύδουσ' ἅμα
καὶ τοὐμὸν αὐτῆς, ἦλθον. εἰ δὲ μὴ καλῶς
λέγω, σὺ νίκα. σοὶ γὰρ ἑψόμεσθ' ἅμα.

ΗΛ Αἰσχύνομαι μέν, ὦ γυναῖκες, εἰ δοκῶ
πολλοῖσι θρήνοις δυσφορεῖν ὑμῖν ἄγαν.
ἀλλ' ἡ βία γὰρ ταῦτ' ἀναγκάζει με δρᾶν,
σύγγνωτε. πῶς γὰρ ἥτις εὐγενὴς γυνή,
πατρῷ' ὁρῶσα πήματ', οὐ δρῴη τάδ' ἄν,
ἁ 'γὼ κατ' ἦμαρ καὶ κατ' εὐφρόνην ἀεὶ
θάλλοντα μᾶλλον ἢ καταφθίνονθ' ὁρῶ;
ᾗ πρῶτα μὲν τὰ μητρὸς ἥ μ' ἐγείνατο,
ἔχθιστα συμβέβηκεν. εἶτα δώμασιν
ἐν τοῖς ἐμαυτῆς, τοῖς φονεῦσι τοῦ πατρὸς
ξύνειμι. κἀκ τῶνδ' ἄρχομαι. κἀκ τῶνδέ μοι
λαβεῖν θ' ὁμοίως, καὶ τὸ τητᾶσθαι πέλει.
ἔπειτα ποίας ἡμέρας δοκεῖς μ' ἄγειν,

ΟΤΑΝ θρόνοις αἴγισθον. καὶ γὰρ μετὰ τὸ φονεῦσαι Ἀγαμέμνονα αἴγισθος ἐβασίλευσεν. Ὅμηρος, ,, Αἴγισθος ἤνασσε πολυχρύσοιο Μυκήνης, κτείνας Ἀτρείδην. δέδμητο ,, δὲ λαὸς ὑπ᾽ αὐτῷ. ¶ Φοροῦντ᾽ ἐκείνῳ ταυτά. οὐχ ὅμοια βασιλικά, ἀλλὰ τὰ ἐκείνου. πάνυ γὰρ τοῦτο συμπαθές, καὶ εἰς ὑπόμνησιν ἄγον τὴν μείρακα τοῦ πατρός. ἐσθήματα μὲν καὶ ἐσθήσεις ἐν πεζῷ λόγῳ ἄχρηστα, ἐσθὴς δὲ ἐν χρήσει. ¶ Καὶ παρεστίους. ἤγουν ἐφεστίους. ἐφέστιοι δὲ λοιβαί, αἱ ἐν τῇ οἰκίᾳ τελούμεναι. ¶ Σπένδοντα λοιβάς. τὸ τῆς ἀσεβείας αὐτοῦ κατηγόρημα, εἰ σπένδει θεοῖς, ὅπου ἄδικος φόνος εἴργασται. σπένδω λοιβάς, ὡς λέγω λόγον, καὶ σπένδω λίβα ἀντὶ τοῦ ὑγρῶν λέγεται.

I Ἴδω δὲ τούτων. ζηλοτυπίας μεστὸν τὸ πρᾶγμα. κινητικὸν δὲ πρὸς οἶκτον τὸ αὐθέντην πρὸς κοίτῃ πατρός. ¶ Αὐτοφόντην. γράφεται καὶ αὐθέντην. τὸ δὲ ἡμὶν, παρέλκει, ἀττικῶς. ¶ Μητέρ᾽ εἰ χρεών. χρεὼν, ἀντὶ τοῦ χρέος, καὶ ἀπὸ τούτου χρέπτην, ὡς τὸ ὤφελεν ἀντὶ τοῦ ἐχρεώστει, καὶ ἀπὸ τούτου ἀντὶ τοῦ ἔπρεπεν. ¶ Τλήμων. τολμηρά, ἀναιδής. ¶ Μιάστορι. λυμεῶνι, φονεῖ. μιάστωρ ὁ δὲ τὸν πρὸς ἑαυτοῦ μιασμὸν καὶ τοὺς ἄλλους μιαίνων, ὥστε τῷ μιάστορι σύνεστι. ὑποπακούεται ὁ καί, σύνδεσμος. τὸ γὰρ ὥστε μόνον μετὰ ἀπαρεμφάτου ζητεῖ τετάχθαι. ¶ Εὑροῦσ᾽ ἐκείνην ἡμέραν. τὸ εὑροῦσα, τὸν πόθον, καὶ τὴν ἐπιθυμίαν τῆς γυναικὸς σημαίνει, οἷον ἡδέως αὐτὴν θεωμένη. ¶ Ἁμόν. τὸν ἡμέτερον, ἤγουν τὸν ἐμόν, ἡμέτερον μὲν ὃ πολλοὶ ἔχομεν. ἐμὸν δὲ ὃ μόνος ἐγὼ ἔχω. ¶ Θεοῖσιν ἔμμην᾽ ἱερά. οἱ ἀρχαιολογικοὶ συγγραφεῖς τρισκαιδεκάτην εἶναί φασι μηνὸς γαμηλιῶνος. ὡς Δεινίας ἐν ἑβδόμῳ ἀργολικῶν. ¶ Κωκύω. δακρύω. λέγομεν δὲ δακρύω τὸν τεθνηκότα, ἐπιδακρύω δὲ τῷ τεθνηκότι. ¶ Ἐπωνομασμένην. ἐφ᾽ ᾧ ὠνομάσθη, ὅτε πολυτελῆ τράπεζαν ἴδωμεν, λέγομεν ταύτην τὴν παροιμίαν, ἀγαμέμνονος. ¶ Ὅσον μοι θυμός. ἐκουφίζετο γὰρ τοῖς δακρύοις ,, ἡ συμφορά. Αἰσχύλος, Οἵ τε στεναγμοὶ τῶν πόνων ἐρείσματα. ¶ Γενναία. ἀγεννὴς λόγοις καὶ οὐ πράξεσιν.

ὅταν θρόνοις αἴγισθον ἐνθακοῦντ᾽ ἴδω
τοῖσιν πατρῴοις, εἰσίδω δ᾽ ἐσθήματα
φοροῦντ᾽ ἐκείνῳ ταυτά, καὶ παρεστίους
σπένδοντα λοιβάς, ἔνθ᾽ ἐκεῖνον ὤλεσεν;
ἴδω δὲ τούτων τὴν τελευταίαν ὕβριν,
τὸν αὐτοφόντην ἡμὶν ἐν κοίτῃ πατρὸς
ξὺν τῇ ταλαίνῃ μητρί; μητέρ᾽ εἰ χρεὼν
ταύτην προσαυδᾶν, τῷδε συγκοιμωμένην.
ἡ δ᾽ ὧδε τλήμων, ὥστε τῷ μιάστορι
ξύνεστ᾽, Ἐριννὺν οὔτιν᾽ ἐκφοβουμένη,
ἀλλ᾽ ὥσπερ ἐγγελῶσα τοῖς ποιουμένοις,
εὑροῦσ᾽ ἐκείνην ἡμέραν, ἐν ᾗ τότε
πατέρα τὸν ἁμὸν ἐκ δόλου κατέκτανεν,
ταύτῃ χοροὺς ἵστησι, καὶ μηλοσφαγεῖ
θεοῖσιν ἔμμην᾽ ἱερὰ τοῖς σωτηρίοις.
ἐγὼ δ᾽ ὁρῶσ᾽ ἡ δύσμορος κατὰ στέγας,
κλαίω, τέτηκα, κἀπικωκύω πατρὸς
τὴν δυστάλαιναν δαῖτ᾽ ἐπωνομασμένην,
αὐτὴ πρὸς αὐτήν. οὐδὲ γὰρ κλαῦσαι πάρα
τοσόνδ᾽, ὅσον μοι θυμὸς ἡδονὴν φέρει.
αὕτη γὰρ ἡ λόγοισι γενναία γυνὴ
φωνοῦσα, τοιάδ᾽ ἐξονειδίζει κακά·

ΩΔΥΣΘΕΟΝ, καὶ ταῦτα Ἀριστοφάνης παρῴδηκεν ἐν Γηρυτάδῃ. δύσθεον δὲ, ἀσεβές. Σοὶ μόνῃ πατὴρ τέθνηκεν. οὐκ ἀνῃρέθη φησὶν, ἀλλὰ τέθνηκε. τῷ περισχήματι τῆς λέξεως παραλογιζομένη τὴν παρανομίαν. ¶ Ὁ κλεινός. κατὰ εἰρωνείαν.

ὦ δύσθεον μίσημα, σοὶ μόνῃ πατὴρ
τέθνηκεν; ἄλλος δ' οὔτις ἐν πένθει βροτῶν;
κακῶς ὄλοιο. μηδέ σ' ἐκ γόων ποτὲ
τῶν νῦν ἀπαλλάξειαν οἱ κάτω θεοί.
τάδ' ἐξυβρίζει πλὴν ὅταν κλύῃ τινὸς
ἥξοντ' Ὀρέστην, τηνικαῦτα δ' ἐμμανὴς
βοᾷ παραστᾶσ', οὐ σύ μοι τῶνδ' αἰτία;
οὐ σὸν τόδ' ἐστὶ τοὔργον; ἥτις ἐκ χερῶν
κλέψασ' Ὀρέστην τῶν ἐμῶν ὑπεξέθου;
ἀλλ' ἴσθι τοι τίσουσά γ' ἀξίαν δίκην.
τοιαῦθ' ὑλακτεῖ. σὺν δ' ἐποτρύνει πέλας
ὁ κλεινὸς αὐτῇ ταῦτα νυμφίος παρών.
ὁ πάντ' ἄναλκις οὗτος, ἡ πᾶσα βλάβη.
ὁ σὺν γυναιξὶ τὰς μάχας ποιούμενος.
ἐγὼ δ' Ὀρέστην τῶνδε προσμένουσ' ἀεὶ
παυστῆρ' ἐφήξειν ἡ τάλαιν', ἀπόλλυμαι.
μέλλων γὰρ αἰεὶ δρᾶν τι, τὰς οὔσας τέ μου
καὶ τὰς ἀπούσας ἐλπίδας διέφθορεν.
ἐν οὖν τοιούτοις, οὔτε σωφρονεῖν φίλαι,
οὔτ' εὐσεβεῖν πάρεστιν, ἀλλ' ἐν τοῖς κακοῖς,
πολλή 'στ' ἀνάγκη κἀπιτηδεύειν κακά.
ΧΟ φέρ' εἰπέ, πότερον ὄντος Αἰγίσθου πέλας
λέγεις τάδ' ἡμῖν, ἢ βεβῶτος ἐκ δόμων;
ΗΛ ἦ κάρτα, μὴ δόκει μ' ἂν εἴπερ ἦν πέλας
θυραῖον οἰχνεῖν. νῦν δ' ἀγροῖσι τυγχάνει.

Ὑλακτεῖ. ἐμμανῶς καὶ αἰσχρῶς βοᾷ, ὡς κύων. Σὺν δ' ἐποτρύνει. συμπαροξύνει δὲ ἐπὶ τούτοις ὁ νυμφίος αὐτῆς ὁ ἔνδοξος παρὼν πέλας, ἤγουν Αἴγισθος. λέγεται δὲ τὸ συνωθεῖν ἐπὶ τῶν ἀμφοτέραις ταῖς χερσὶν ὠθούντων, ὅμοιον τῷ, Ναύτας ἐφορμήσαντα χειμῶνος τὸ πλεῖν, ἀντὶ τοῦ εἰς τὸ πλεῖν παρορμήσαντα. ¶ Ὁ σὺν γυναιξὶ τὰς μάχας. συνεργούσης τῆς Κλυταιμνήστρας ἀνελεῖν τὸν Ἀγαμέμνονα. καὶ Ὅμηρος, Αἰγίσθου ὑπὸ χερσὶ καὶ οὐλομένης ἀλόχοιο. ¶ Ἐγὼ δ' Ὀρέστην τῶνδε. γράφεται, ἐγὼ δ' Ὀρέστην προσμένουσ' ἀεί ποτε. Τὰς οὔσας. τὰς παρούσας. Καὶ τὰς ἀπούσας. ἤγουν καὶ ἃς εἶχον, καὶ ἃς ἔμελλον ἀνακύψειν, λέγεται δὲ ὑπερβολικῶς. ¶ Ἐν οὖν τοιούτοις θαυμαστῶς καὶ ἀνθρωπίνως δικαιολογεῖται, ἐπεὶ οἱ ἐν δεινοῖς καὶ ἔξω λογισμοῦ τινὰ πράσσουσι, καὶ εἰς θεοὺς ἀσεβῆ φθέγγονται. Φέρ' εἰπέ. ἐπὶ θρασυτέρῳ λόγῳ ἡ Ἠλέκτρα κέχρηται, ὁ χορὸς βουλόμενος περὶ Ὀρέστου πυθέσθαι, ἐρωτᾷ εἰ πάρεστιν Αἴγισθος. Ἦ κάρτα. ἐν ἤθει, οἷον πολλοῦ γε δεῖ.

Μὴ δόκει. ἀντὶ τοῦ ἡγοῦ. δαιμονίως ᾠκονόμηται ταῦτα πρὸς τὴν χρῆσιν Κλυταιμνήστρας. ἀπορία γὰρ ἦν, πῶς Αἰγίσθου ὄντος ἔνδον τοιαῦτα φησὶν Ἠλέκτρα, ἄλλως τε ἐπεὶ μέλλουσιν οἱ περὶ τὸν Ὀρέστην ἐλθόντες ἀνελεῖν τὴν Κλυταιμνήστραν, πῶς ἔμελλον τοῦτο πρᾶξαι, τοῦ Αἰγίσθου ὄντος ἐκεῖσε, διὸ ταῦτα ᾠκονόμηται ἀπεῖναι τὸν Αἴγισθον. τὸ δὲ εἰρῆσθαι ἐξ ὅλου, περιπαθὲς μὲν πρὸς τὴν μείρακα, χρήσιμον δὲ πρὸς τὴν ὑπόθεσιν.

Θυραῖον οἰχνεῖν. ἀντὶ τοῦ θυραίαν διατρίβειν. θυραῖος ἀντὶ τοῦ θυραία, καὶ ῥᾴδιος ἀντὶ τοῦ ῥᾳδία, καὶ βίαιος ἀντὶ τοῦ βιαία, καὶ ὅσα εἰς ος ἀρσενικὰ ἀντὶ θηλυκῶν λέγεται εἰς α λεγόντων, Ἀττικά ἐστι. χρύσεος δὲ ἀντὶ τοῦ χρυσῆ, καὶ κλυτὸς ἀντὶ τοῦ κλυτή,

ἢ ὅσα εἰσὶν ἀρσενικὰ ἀντὶ θηλυκῶν λέγεται εἰς η, λεγόντων, ποιητικαί.

Η κἂν ἐγώ. ὄντως εἰ ταῦτα οὕτως ἔχει, καὶ ἐγὼ ἂν θαρροῦσα μᾶλλον ἀφικοίμην εἰς τοὺς σοὺς λόγους. γράφεται καὶ ἦ δ' ἄν. ¶ Ἱστόρει. ἐρώτα. ἱστορεῖν τὸ διέρχεσθαι τό τε παρὰ τοῖς κοινοῖς, παρὰ δὲ τοῖς ποιηταῖς τὸ ἐρωτᾶν. Τοῦ κασιγνήτου τί φής. λείπει ἡ περί. ℭ Μέλλοντος. βραδύνοντος. τὸ ἥξοντος δὲ λέγει, ὅταν ἐξελθὼν τὴν ὁδὸν ἀνύει. τὸ δὲ μέλλοντος ὅτ' οὐδ' ἐπεχείρησεν ἐλθεῖν. μέλλει δὲ τὸ ἐγχειρῆσαι. ¶ Φιλεῖ γὰρ ὀκνεῖν. δύναται τὸ ὀκνεῖν ὁμηρικῶς εἰρῆσθαι ἀντὶ τοῦ φοβεῖσθαι, ὀκνείω δ' ἵππων τε βαινέμεν ὠκειάων. οὕτω δὲ συντακτέον, πᾶς ἀνὴρ πράσσων μέγα, πρᾶγμα φιλεῖ καὶ εἴωθεν ὀκνεῖν. ¶ Πράσσων. τὸ χεῖρον πράττειν. Ἐπεί τ' ἄν. ἐπεί τοι ἄν.

Π ἔφυκεν ἐσθλός. ἤτοι ἀγαθὸς ὑπάρχει, ὥστε ἐπαρκεῖν, τουτέστι βοηθεῖν τοῖς φίλοις. ℭ Ὡς δόμων ὁρῶ τὴν σὴν ὅμαιμον. φασί τινες ὅτι οὐχ ὡς τῆς χρυσοθέμιδος τἀναντία φρονούσης τῇ Ἠλέκτρᾳ ταῦτά φησιν ὁ χορός, ἀλλ' ἐπειδὴ ὁρῶσιν ἐντάφια βαστάζουσαν, ὥστε πρῶτον πυθέσθαι βουλόμενοι κωλύουσιν αὐτὴν τῶν ἑξῆς λόγων. τὸ δὲ ἀληθέστερον οἶμαι, ὅτι βούλονται τῆς χρυσοθέμιδος ῥήματα ἀκοῦσαι πρῶτον, πρὸ τῆς Ἠλέκτρας ὑπὲρ τοῦ Αἰγίσθου καὶ τῆς Κλυταιμνήστρας μέρει προστιθεμένης καὶ δῆλον ἐκ τῶν ἑξῆς.

Χο. ἦ κἂν ἐγὼ θαρσοῦσα, μᾶλλον ἐς λόγους
τοὺς σοὺς ἱκοίμην, εἴπερ ὧδε ταῦτ' ἔχει.
Ηλ. ὡς νῦν ἀπόντος, ἱστόρει τί σοι φίλον.
Χο. καὶ δή σ' ἐρωτῶ, τοῦ κασιγνήτου τί φής,
ἥξοντος, ἢ μέλλοντος; εἰδέναι θέλω.
Ηλ. φησίν γε. φάσκων δ', οὐδὲν ὧν λέγει ποιεῖ.
Χο. φιλεῖ γὰρ ὀκνεῖν πρᾶγμ' ἀνὴρ πράσσων μέγα.
Ηλ. καὶ μὴν ἔγωγ' ἔσωσ' ἐκεῖνον οὐκ ὄκνῳ.
Χο. θάρσει. πέφυκεν ἐσθλὸς ὥστ' ἀρκεῖν φίλοις.
Ηλ. πέποιθ', ἐπεί τ' ἂν οὐ μακρὰν ἔζων ἐγώ.
Χο. μὴ νῦν ἔτ' εἴπῃς μηδέν, ὡς δόμων ὁρῶ
τὴν σὴν ὅμαιμον ἐκ πατρὸς ταὐτοῦ φύσιν
Χρυσόθεμιν, ἔκ τε μητρὸς, ἐντάφια χεροῖν
φέρουσαν, οἷα τοῖς κάτω νομίζεται.
Χρυ. τίν' αὖ σὺ τήνδε πρὸς θυρῶνος ἐξόδοις
ἐλθοῦσα φωνεῖς ὦ κασιγνήτη φάτιν;
κοὐδ' ἐν χρόνῳ μακρῷ διδαχθῆναι θέλεις,
θυμῷ ματαίῳ μὴ χαρίζεσθαι κενά;
καίτοι τοσοῦτόν γ' οἶδα κἀμαυτὴν, ὅτι
ἀλγῶ 'πὶ τοῖς παροῦσιν. ὥστ' ἂν εἰ σθένος
λάβοιμι, δηλώσαιμ' ἂν οἷ' αὐτοῖς φρονῶ.
νῦν δ' ἐν κακοῖς μοι πλεῖν ὑφειμένῃ δοκεῖ.
καὶ μὴ δοκεῖν μὲν δρᾶν τι, πημαίνειν δὲ μή.
τοιαῦτα δ' ἀλλὰ καὶ σὲ βούλομαι ποεῖν.

φ ύσιν. κατὰ φύσιν, ἤτοι φύσει καὶ οὐ θέσει, τὸ γνήσιον ἐναντίον ὁ μὴ φυσικὸς ὁ λεγόμενος κόπελος, τὸ δὲ φύσει υἱοῦ ὁ θέσει, ἤγουν ὁ υἱοθετούμενος. ℭ Τίν' αὖ σὺ τήνδε. τὸ ἑξῆς, τίνα φάτιν φωνεῖς. ἐπίτηδες δὲ τοῖς ἀγρίοις ἤθεσιν αὐτῇ παρατάσσουσι πρᾶα, καθάπερ νῦν τῇ Ἠλέκτρᾳ χρυσόθεμιν συνέζευξε. καὶ τῇ Ἀντιγόνῃ τὴν Ἰσμήνην, ἕνεκα τοῦ διαποικίλλειν ταῖς ἀντιθέσεσι τὰ δράματα. ℭ Καίτοι τοσοῦτόν γ' οἶδα. ὡς εἰ ἔλεγεν οἶδα ὅτι καὶ αὐτὴ ἀλγῶ ἐπὶ τοῖς παροῦσιν. ¶ Ὡς τ' ἂν εἰ σθένος. τρία παρακολουθοῦσιν εἰς τὸ ἀνεῖσθαί τι, βούλησις, δύναμις καὶ τὸ στῆμα. ℭ Ὑφειμένῃ δοκεῖ. μὴ ὅλα τὰ ἱστία ἀναπετασάσῃ. ἀντὶ τοῦ δοκεῖ μοι ταπεινῶς διαλέγεσθαι καὶ ὑπηκόως. με

καίτοι τὸ μὲν δίκαιον, οὐχ ᾗ 'γὼ λέγω,
ἀλλ' ᾗ σὺ κρίνεις. εἰ δ' ἐλευθέραν με δεῖ
ζῆν, τῶν κρατούντων ἐστὶ πάντ' ἀκουστέα.

ΗΛ. Δεινόν γέ σ' οὖσαν πατρὸς, οὗ σὺ παῖς ἔφυς,
κείνου λελῆσθαι, τῆς δὲ τικτούσης μέλειν.
ἅπαντα γάρ σοι τἀμὰ νουθετήματα,
κείνης διδακτὰ, κοὐδὲν ἐκ σαυτῆς λέγεις,
ἔπειθ' ἑλοῦ γε θάτερ', ἢ φρονεῖν κακῶς,
ἢ τῶν φίλων φρονοῦσα, μὴ μνήμην ἔχειν.
ἥτις λέγεις μὲν ἀρτίως ὡς εἰ λάβοις
σθένος, τὸ τούτων μῖσος ἐκδείξειας ἄν.
ἐμοῦ δὲ πατρὶ πάντα τιμωρουμένης,
οὔτε ξυνέρδεις, τήν τε δρῶσαν ἐκτρέπεις.
οὐ ταῦτα πρὸς κακοῖσι δειλίαν ἔχει;
ἐπεὶ δίδαξον, ἢ μάθ' ἐξ ἐμοῦ, τί μοι
κέρδος γένοιτ' ἂν τῶνδε ληξάσῃ γόων.
οὐ ζῶ; κακῶς μὲν οἶδ', ἐπαρκούντως δ' ἐμοί.
λυπῶ δὲ τούτους, ὥστε τῷ τεθνηκότι
τιμὰς προσάπτειν, εἴ τις ἔστ' ἐκεῖ χάρις.
σὺ δ' ἡμὶν ἡ μισοῦσα, μισεῖς μὲν λόγῳ,
ἔργῳ δὲ, τοῖς φονεῦσι τοῦ πατρὸς ξύνει.
ἐγὼ μὲν οὖν οὐκ ἄν ποτ' οὐδ' εἴ μοι τὰ σὰ
μέλλοι τις οἴσειν δῶρ', ἐφ' οἷσι νῦν χλιδᾷς,
τούτοις ὑπεικάθοιμι. σοὶ δὲ πλουσία
τράπεζα κείσθω, καὶ περιρρείτω βίος.
Ἐμοὶ γὰρ ἔστω τοὐμὲ μὴ λυπεῖν μόνον
βόσκημα. τῆς σῆς δ' οὐκ ἐρῶ τιμῆς τυχεῖν.
οὐδ' ἂν σὺ σώφρων γ' οὖσα. νῦν δ' ἐξὸν πατρὸς

μεταφορικῶς δὲ λέγεται ἀπὸ τῶν πλεόντων, οἳ πρὸς τὴν βίαν τῶν ἀνέμων οὐκ ἀντισχόντες ὑφιᾶσι τῶν ἱστίων. εἰς τὸ αὐτό. ὑφήσειν τὸ ἱστίον. οἷον συστέλλειν τὸ φρόνημα, καὶ ἀντικρὺς μάχεσθαι, οἱονεὶ τῇ προαιρέσει χρῶμαι.

ΤΟ ΜΕΝ δίκαιον. ὁ νοῦς, τί ὄφελος τῆς δικαιοσύνης, εἴ τις διὰ ταύτην τοῖς δεινοῖς περιπέσῃ. ¶ Ἀκουστέα. ἀττικῶς ἀντὶ τοῦ ἀκουστέον, τουτέστιν ἄξιόν ἐστιν ὑπακούειν κατὰ πάντα τῶν ἀρχόντων. ¶ Μέλειν. φροντίζειν. ¶ Ἅπαντα γάρ σοι. ταῦτα ὅμοιά ἐστι τὰ ἤθη τῇ Ἀντιγόνῃ, ὅπου τῇ Ἰσμήνῃ λοιδορεῖ, καί φησιν αὐτῇ τὰ Κρέοντος φρονεῖν. ¶ Τἀμὰ νουθετήματα. οἷον ἃ εἴπες ἐμὲ νουθετοῦσα. Ἔπειθ' ἑλοῦ γε. ὁμολόγησον σαυτὴν ἢ φρονεῖν κακῶς, προστιθεμένην τοῖς ἐχθροῖς, ἢ φρονοῦσαν, τῶν φιλτάτων ἀμνημονεῖν. οἷον θάτερά σε δεῖ ὁμολογῆσαι. ἢ ὅτι κακῶς φρονεῖς. ἢ ὅτι ἑκοῦσα ἁμαρτάνεις καὶ προορᾷς. τὸ δὲ θάτερα ἀντὶ τοῦ θάτερον ἀττικῶς εἴρηται. τὸ δὲ ἔπειθ' ἑλοῦ γε, ἀντὶ τοῦ εἰ δὲ μή τοι ἔκλεξαι θάτερον. ¶ Τὸ τούτων μῖσος. λείπει ἡ κατά. ¶ Τήν τε δρῶσαν. ἀντὶ τοῦ ἐμέ. ¶ Ἐκτρέπεις. ἡ ἐκ ἀντὶ τοῦ ἀπό, ἀποτρέπεις. ἐκτρέπειν δὲ παρακλίνειν τῆς ὁδοῦ, καὶ τροπὴ ὅταν τις ἣν βαδίζει ὁδὸν ἀφεὶς, ἑτέραν βαδίσῃ. ¶ Κακῶς μὲν οἶδα. κακῶς μὲν ζῶ, ἀλλ' ὑπὲρ τοῦ λυπεῖν τοὺς ἐχθροὺς τοῦτο πράττω. οὐ γὰρ ἐφίεμαι τρυφερώτερον ζῆν. ¶ Λυπῶ δὲ τούτους. διὰ τὸ τιμᾶν τὸν πατέρα. ¶ Ἐμοὶ γὰρ ἔστω. ἐμοί φησιν ἔστω τροφὴ ἡ τῇ ἀνάγκῃ μόνον ἁρμόζουσα, καὶ τὴν πείνην ἀπελαύνουσα. οὐ δέομαι δὲ τοιαύτης τροφῆς, ἀφ' ἧς ἡδονὴν ἕξω. ἢ οὕτως. τοῦτο μόνον ἐμὲ βοσκέτω τὸ μὴ λυπεῖν ἐμὲ αὐτὴν, εἰ τοῖς φονεῦσι τοῦ πατρὸς πείθεσθαι ἀναγκασθήσομαι.

Οὐδ' ἂν σὺ σώφρων. οὐδὲ σὺ εἰ ἐσωφρόνεις, ἀβρῶς ἔζης, ἠμεληκυῖα τοῦ πατρός.

Νῦν δ' ἐξόν. ἀδείας οὔσης, τὸ ἐξὸν τὸ πρὸν τὸ ἐνόν, καὶ οὖσα ἀλλ' οὐδὲ ἑτέρα μετοχικά,

οὐδέποτε οἱ Ἀττικοὶ πλεονάζουσιν, ὅτε πλεονασμὸν ἡ σύνταξις ἀπαιτεῖ.

ΚΑΛΟΥ. ἀντὶ τοῦ κλήθητι, λέγου, ὀνομάζου. Μηδὲν πρὸς ὀργήν. ἀντὶ τοῦ ὀργίλως. ὡς τὸ πρὸς βίαν, ἀντὶ τοῦ βιαίως. καὶ πρὸς δυσσέβειαν, ἀντὶ τοῦ δυσσεβῶς. καὶ πρὸς ἀλήθειαν, ἀντὶ τοῦ ἀληθῶς, καὶ πολλὰ ἕτερα λέγεται οὕτως ἀντὶ ἐπιρρήματος. Εἰ σὺ μὲν μάθοις. εἰ συγκεράσετε τοὺς τρόπους, εὖ ἂν ἔχοι. ἡ μὲν γὰρ αὐστηρά, ἡ δὲ ἀνειμένη.

Ηθάς εἰμι. ἀντὶ τοῦ ἐν συνηθείᾳ εἰμί. ἔθος ἡ συνήθεια, ἦθος δὲ ὁ τρόπος. ἐνταῦθα τὸ ἐθὰς ὤφειλεν εἶναι, διὰ δὲ τὸ μέτρον ἐτέθη τὸ ἠθάς, ἀπὸ τοῦ ἦθος, ἐπεὶ πλησιάζει τὸ ἔθος καὶ τὸ ἦθος. Τῶν τῆσδε μύθων. τῶν παρὰ ταύτης λεγομένων μύθων. Μακρῶν. μεγάλων, ἢ πολυχρονίων.

Σχήσει. ἐφέξει, κωλύσει. Γόων. γράφεται καὶ λόγων. Ἀλλ' ἐξερῶ σοι. γράφεται σοι. Ἐνταῦθα πέμψειν. ἐκεῖσε. τὸ ἐνταῦθα νοεῖται ἐν πρώτῳ προσώπῳ, ἤγουν ἐνταῦθα ἔνθα εἰμὶ ἐγώ. τὸ αὐτοῦ ἐν δευτέρῳ, οἷον αὐτοῦ ἔνθα εἶ σύ. τὸ ἐκεῖ ἐν τρίτῳ, οἷον ἐκεῖ ἔνθα ἐστὶν ἐκεῖνος, ἐνταῦθα δὲ ἀντὶ τοῦ ἐκεῖσε λέγεται τὸ ἐπίρρημα ἀντὶ τοῦ ἐπιρρήματος. Κατηρεφεῖ. κατεσκεπασμένῃ σκοτεινῇ. Ὑμνήσεις, θρηνήσεις. ὕμνος κυρίως ἡ εἰς θεὸν ᾠδή. παρὰ δὲ τοῖς τραγικοῖς ἁπλῶς ἡ ᾠδή, εἴτε ᾠδὴ θρηνητικὴ εἴτε ἐμμελείας, ἀφ' οὗ λέγεται ὑμνοπόλος παρ' αὐτοῖς ταυτὸν τῷ ἀοιδοπόλος, εἴτε ᾠδὴ μέλους θρηνῳδίας, καθ' ὃ λέγεται ἐνταῦθα τὸ ὑμνήσεις.

πάντων ἀρίστου παῖδα κεκλῆσθαι, καλοῦ
τῆς μητρός. οὕτω γὰρ φανῇ πλείστοις κακή,
θανόντα πατέρα, καὶ φίλους προδοῦσα σούς.

ΧΟ. Μηδὲν πρὸς ὀργὴν πρὸς θεῶν, ὡς τοῖς λόγοις
ἔνεστιν ἀμφοῖν κέρδος, εἰ σὺ μὲν μάθοις
τοῖς τῆσδε χρῆσθαι, τοῖς δὲ σοῖς αὕτη πάλιν.

ΧΡΥ. Ἐγὼ μὲν ὦ γυναῖκες, ἠθάς εἰμί πως
τῶν τῆσδε μύθων. οὐδ' ἂν ἐμνήσθην ποτέ,
εἰ μὴ κακὸν μέγιστον εἰς αὐτὴν ἰὸν
ἤκουσ', ὃ ταύτην τῶν μακρῶν σχήσει γόων.

ΗΛ. Φέρ' εἰπὲ δὴ τὸ δεινόν. εἰ γὰρ τῶνδέ μοι
μεῖζόν τι λέξεις, οὐκ ἂν ἀντείποιμ' ἔτι.

ΧΡΥ. ἀλλ' ἐξερῶ σοι πᾶν ὅσον κάτοιδ' ἐγώ.
μέλλουσι γάρ σ', εἰ τῶνδε μὴ λήξοις γόων,
ἐνταῦθα πέμψειν, ἔνθα μήποθ' ἡλίου
φέγγος προσόψει. ζῶσα δ' ἐν κατηρεφεῖ
στέγῃ, χθονὸς τῆσδ' ἐκτὸς ὑμνήσεις κακά.
πρὸς ταῦτα φράζου, καί με μήποθ' ὕστερον
παθοῦσα μέμψῃ. νῦν γὰρ ἐν καλῷ φρονεῖν.

ΗΛ. ἦ ταῦτα δή με καὶ βεβούλευνται ποεῖν;

ΧΡΥ. μάλισθ', ὅταν περ οἴκαδ' Αἴγισθος μόλῃ.

ΗΛ. ἀλλ' ἐξίκοιτο τοῦδέ γ' οὕνεκ' ἐν τάχει.

ΧΡΥ. τίν' ὦ τάλαινα τόνδ' ἐπηράσω λόγον;

ΗΛ. ἐλθεῖν ἐκεῖνον, εἴ τι τῶνδε δρᾶν νοεῖ.

ΧΡΥ. ὅπως πάθῃς τί χρῆμα; ποῦ ποτ' εἶ φρενῶν;

ΗΛ. ὅπως ἀφ' ὑμῶν ὡς προσωτάτω φύγω.

ΧΡΥ. βίου δὲ τοῦ παρόντος οὐ μνείαν ἔχεις;

Ἐν καλῷ. ἐν καιρῷ. νῦν φησιν εὔκαιρόν ἐστι καλῶς φρονῆσαι. Ἦ ταῦτα δή με. ἆρα δή μοι καὶ βεβούλευνται. ἤγουν οὐκ ἠπείλουν μόνον ταῦτα, ἀλλ' ἤδη καὶ βεβουλήκασιν. Ἀλλ' ἐξίκοιτο. ἁρμόζει μάλιστα τὸ πρόσωπον Ἠλέκτρας τῇ αὐτῆς ὀδύνῃ. Ἀφ' ὑμῶν. πάνυ θυμικῶς καὶ τὴν ἀδελφὴν αὐτῆς συγκαταλέγει ὡς τὰ αὐτοῦ αἱρουμένης.

Καλὸς

ΚΑΛΟΣ γάρ. εἰρωνεύεται ἐν ἤθει. ℭ Ὥστε θαυμάσαι. ἀντὶ τοῦ ἀγαπῆσαι βιοῦν αὐτὸν δηλονότι τὸν βίον μου. θαυμάζει τις ἀρετήν, ἀντὶ τοῦ ἀγαπᾷ ἐργάζεσθαι ἀρετήν, καὶ θαυμάζει λόγους, ἀντὶ τοῦ ἀγαπᾷ κτᾶσθαι λόγους. κατὰ τοῦτο λέγεται κἀνταῦθα τὸ θαυμάσαι. ἤγουν καλός τι ὁ ἐμὸς βίος, ὥστε θαυμάσαι αὐτὸν δηλονότι. ¶ Ἀλλ' οὐ διδάσκω. ἀλλ' οὐ διδάσκω κακὴν εἶναι τοῖς φίλοις, διδάσκω δὲ εἴκειν τοῖς ἄρχουσιν. ¶ Ἀβουλίας. ἐξ αἰτίας τῆς κακοβουλίας. ἤγουν διὰ κακοβουλίαν. ℭ Εἰ χρή. εἰ ἀπόκειται.

ΗΛ Καλὸς γὰρ οὑμὸς βίοτος, ὥστε θαυμάσαι.
ΧΡΥ ἀλλ' ἦν ἄν, εἰ σύ γ' εὖ φρονεῖν ἠπίστασο.
ΗΛ μή μ' ἐκδίδασκε τοῖς φίλοις εἶναι κακήν.
ΧΡΥ Ἀλλ' οὐ διδάσκω, τοῖς κρατοῦσι δ' εἰκαθεῖν.
ΗΛ Σὺ ταῦτα θώπευ', οὐκ ἐμοὺς τρόπους λέγεις.
ΧΡΥ Καλόν γε μέντοι μὴ 'ξ ἀβουλίας πεσεῖν.
ΗΛ Πεσούμεθ' εἰ χρή, πατρὶ τιμωρούμενοι.
ΧΡΥ Πατὴρ δὲ τούτων οἶδα συγγνώμην ἔχει.
ΗΛ ταῦτ' ἐστὶ τἄπη πρὸς κακῶν ἐπαινέσαι.
ΧΡΥ Σὺ δ' οὐχὶ πείσῃ, καὶ συναινέσεις ἐμοί;
ΗΛ Οὐ δῆτα, μή πω νοῦ τοσόνδ' εἴην κενή.
ΧΡΥ χωρήσομαί τἄρ' οἷπερ ἐστάλην ὁδοῦ.
ΗΛ ποῖ δ' ἐκπορεύῃ; τῷ φέρεις τάδ' ἔμπυρα;
ΧΡΥ Μήτηρ με πέμπει πατρὶ τυμβεῦσαι χοάς.
ΗΛ Πῶς εἶπας; ἦ τῷ δυσμενεστάτῳ βροτῶν;
ΧΡΥ ὃν ἔκταν' αὐτή. τοῦτο γὰρ λέξαι θέλεις.
ΗΛ Ἐκ τοῦ, φίλων πεισθεῖσα; τῷ, τοῦτ' ἤρεσεν;
ΧΡΥ Ἐκ δείματός του νυκτέρου δοκεῖν ἐμοί.
ΗΛ ὦ θεοὶ πατρῷοι, συγγένεσθέ γ' ἀλλὰ νῦν.
ΧΡΥ ἔχεις τι θάρσος τοῦδε τοῦ τάρβους πέρι;
ΗΛ Εἴ μοι λέγοις τὴν ὄψιν, εἴποιμ' ἂν τότε.
ΧΡΥ Ἀλλ' οὐ κάτοιδα, πλὴν ἐπὶ σμικρὸν φράσαι.
ΗΛ Λέγ' ἀλλὰ τοῦτο. Πολλά τοι σμικροὶ λόγοι
„ ἔσφηλαν ἤδη, καὶ κατώρθωσαν βροτούς.
ΧΡΥ λόγος τις αὐτήν ἐστιν εἰσιδεῖν πατρὸς

ℭ Τιμωρούμενοι. ἀντὶ τοῦ τιμωροῦντες. ¶ Πατὴρ δὲ τούτων. οἶδα ὅτι ὁ πατὴρ ἕνεκα τούτων συγγνώμην ἔχει ἡμῖν δηλονότι. ℭ Ταῦτ' ἐστὶ τἄπη. κακῶν ἐστιν ἐπαινέσαι ταῦτα τὰ ἔπη. ¶ Νοῦ κενή. ἀντὶ τοῦ συνέσεως κούφη. ¶ Ἐστάλην. ἀντὶ τοῦ ἀπεστάλην. στέλλομαι, ἀντὶ τοῦ πορεύομαι. ἀποστέλλομαι δὲ ὑφ' ἑτέρου, ἀντὶ τοῦ πέμπομαι. ¶ Οἷπερ ἐστάλην ὁδοῦ. καὶ τὸ οἷ μόνον ἱκανόν ἐστιν. οἷον πορεύσομαι οἷ ἀπεστάλην, ἐπεὶ δὲ ὁ λόγος ἀπαιτεῖ ἐκεῖσε ὅπερ ἀπεστάλη, λέγει οἷ τοῦ ὁδοῦ. Τυμβεῦσαι. σπεῖσαι τῷ τύμβῳ. ¶ Ὦ θεοὶ πατρῷοι. θεοὶ πατρῷοι, ἐφέστιοι, θεοὶ ἐγγενεῖς, οἱ ὑπὸ τῆς συγγενείας πάσης τιμώμενοι. θεοὶ ἐγχώριοι, οἱ ὑπὸ τῆς χώρας σεβόμενοι. Συγγένεσθε. συμμαχήσατε, συνεργήσατε, συμπράξατε ἡμῖν κἂν νῦν. ἀκούσασα δὲ ὅτι ἐν τοῖς ὀνείροις δείματά τινα τῇ Κλυταιμνήστρᾳ πέπονθε, θαρσεῖ καὶ ἐπικαλεῖται τοὺς θεοὺς εἰ καὶ μὴ πρότερον, κἂν νῦν παρεστάναι. ℭ Τὴν ὄψιν. ἤγουν ὃ εἶδεν. ὄψις τὸ θεαθέν, καὶ ἡ ὁρατικὴ δύναμις καὶ τὸ πρόσωπον. ¶ Πλὴν ἐπὶ σμικρόν. ἀντὶ τοῦ πλὴν ὀλίγον. Λέγ' ἀλλὰ τοῦτο. λέγε κἂν τοῦτο. ℭ Πολλά τοι. ἀντὶ τοῦ κατὰ πολύ, σχηματικῶς. ἔστι δὲ ἀττικὸν ὡς καὶ τὸ πότερα ἀντὶ τοῦ πότερον. ¶ Ἔσφηλαν. ἔσφαλαν, σφαλῆναι ἐποίησαν. ¶ Λόγος τις αὐτήν. λόγον λέγει, ἐπεὶ οὐκ αὐτὴ παρ' ἐκείνης ἔμαθεν, ἀλλὰ παρ' ἄλλου διηγουμένου.

ΔΕΥΤέραν ὁμιλίαν. ὡς αὖθις αὐτῶν ἀναζησάντων καὶ προσομιλησάντων. ὁμιλία δὲ ἐπὶ τῶν ἑνουμένων, κοινωνία ἐπὶ τῶν συμμετεχόντων τινός. ἐπεὶ δὲ ἡ ἕνωσις καὶ διὰ λόγου γίνεται καὶ διὰ μίξεως ἀφροδισίων, καὶ δι' ἑτέρων, λέγεται ἡ ὁμιλία καὶ ἐπὶ συνουσίας, καὶ ἐπὶ διαλέξεως. ὁμιλεῖ γάρ τις τινὶ, ἤγουν διαλέγεται. καὶ ὁμιλεῖ βιβλίῳ ἀντὶ τοῦ εἰς λόγους ἔρχεται. λόγους γὰρ τὸ βιβλίον ἐμπεριέχει. ὁμιλεῖ δὲ θανάτῳ ἀντὶ τοῦ ἑνοῦται. καὶ ὁμιλεῖ συμφοραῖς ἀντὶ τοῦ ἑνοῦται καὶ συγκρίνεται. κοινωνοῦσι δὲ τινὲς ἢ μεταδιδόντες ἀλλήλοις ἢ μεταλαμβάνοντες παρ' ἀλλήλων φιλίας ἢ γνώσεως, ἢ τινὸς τοιούτου τῶν παρ' ἑαυτοῖς ἢ ἑτέρου τινὸς ἔξω ἑαυτῶν συμμετέχοντες, οἷον τραπέζης ἢ χωρίων ἢ τοιούτων τινῶν. ¶ ΕΦΕΣΤΙΟΝ. ἐπὶ τὴν οἰκίαν γενόμενον. τουτέστιν εἰς τὸν οἶκον. ἐφέστιος ὁ οἰκῶν ἐν ἀλλοτρίᾳ οἰκίᾳ. ὡς παρ' Ὁμήρῳ, ἀλλ' ἐμὲ τὸν δύστηνον ἐφέστιον ἤγαγε δαίμων. ἢ ὁ ἔχων οἰκίαν. ὡς παρὰ τοῦ αὐτοῦ, Τρῶας μὲν λέξασθαι, ἐφέστιοι ὅσσοι ἔασιν. ἐφέστιος ἁπλῶς καὶ ὁ ἐν οἰκίᾳ ὤν, ὡς ἐνταῦθα. ὁμέστιος δὲ καὶ συνέστιος ὁ ἐν μιᾷ οἰκίᾳ μεθ' ἑτέρου ὤν. ¶ Θαλλόν. θαλλὸς καὶ θύρσος τὸ αὐτό. ἔστι δὲ ὁ ἁπαλὸς κλάδος. ἐσήμηνε δὲ αὐξησόμενον τὸν Ὀρέστην. ¶ Ἡ

τοῦ σοῦ τε κἀμοῦ δευτέραν ὁμιλίαν,
ἐλθόντος ἐς φῶς. εἶτα τόνδ' ἐφέστιον
πῆξαι λαβόντα σκῆπτρον, οὗ φόρει ποτὲ
αὐτὸς, τανῦν δ' Αἴγισθος. ἔκ τε τοῦδ' ἄνω
βλαστεῖν βρύοντα θαλλόν, ᾧ κατάσκιον
πᾶσαν γενέσθαι τὴν Μυκηναίων χθόνα.
τοιαῦτά του παρόντος ἡνίχ' ἡλίῳ
δείκνυσι τοὔναρ, ἔκλυον ἐξηγουμένου.
πλείω δὲ τούτων οὐ κάτοιδα, πλὴν ὅτι
πέμπει με κείνη τοῦδε τοῦ φόβου χάριν.
ΗΛ πρός νυν θεῶν σε λίσσομαι τῶν ἐγγενῶν,
ἐμοὶ πιθέσθαι, μηδ' ἀβουλίᾳ πεσεῖν.
εἰ γάρ μ' ἀπώσῃ, σὺν κακῷ μέτει πάλιν.
ἀλλ' ὦ φίλη, τούτων μὲν ὧν ἔχεις χεροῖν,
τύμβῳ προσάψῃς μηδέν. οὐ γάρ σοι θέμις
οὐδ' ὅσιον, ἐχθρᾶς ἀπὸ γυναικὸς ἱστάναι
κτερίσματ', οὐδὲ λουτρὰ προσφέρειν πατρί.
ἀλλ' ἢ πνοαῖσιν, ἢ βαθυσκαφεῖ κόνει
κρύψον νιν. ἔνθα μή ποτ' εἰς εὐνὴν πατρὸς
τούτων πρόσεισι μηδέν. ἀλλ' ὅταν θάνῃ,
κειμήλι' αὐτῇ ταῦτα σωζέσθω κάτω.

νὺξ ἡλίῳ. τοῖς γὰρ παλαιοῖς ἔθος ἦν, ἀποτροπιαζομένοις τῷ ἡλίῳ διηγεῖσθαι τὰ ὀνείρατα. ἡλίῳ, ἀντὶ τοῦ ἡμέρᾳ. ἤκουσα φησὶ τοῦ ὀνείρου ἡνίκα ἡμέρας γενομένης διηγεῖτο αὐτό τινι, κἀκεῖνος ἐμοί. ¶ Ἐξηγουμένου. ἀντὶ τοῦ διηγουμένου. Ἑρμηνεία συνθήκη λόγου δηλοῦσά τι, ἢ τῶν τυχόντων διασάφησις. ἐξήγησις δὲ διασάφησις θείων. διήγησις δὲ ἡ ἁπλῶς ἀφήγησις. ¶ Εἰ γάρ μ' ἀπώσῃ. εἰ γὰρ νῦν φησὶ δεομένην σου ἀπώσῃ με, κακοῦ σοι τινὸς γενομένου μετὰ ταῦτα, αὐτὴ μετελεύσῃ με καὶ ἀξιώσεις μετὰ σοῦ γενέσθαι. ἄλλως. μέτει. ἀντὶ τοῦ κολακεύσεις. μετέρχομαι, τὸ ὑπέρχομαι καὶ κολακεύω, καὶ τὸ κολάζω. ¶ Οὐ γάρ σοι θέμις. ἵνα μὴ ἀποτρέψῃ, εἴ τι κακὸν μέλλει γενέσθαι ἀπὸ τῶν ὀνείρων. εὐνὴν δὲ νῦν τὸν τάφον. θέμις τὸ ἔννομον, ὅσιον τὸ δίκαιον, ὅμως ἀμφότερα ἐπὶ θεοῦ, δίκαιον δὲ ἐπὶ ἀνθρώπου. ¶ Βαθυσκαφεῖ κόνει. εἰς βάθος ὀρωρυγμένῃ. πρὸς μὲν τὸ βαθυσκαφεῖ κόνει ἁρμοδίως λέγεται τὸ κρύψον,

πρὸς δὲ τὸ ποιοῦς οὐ δύναται ἁρμόσαι. διὸ δεῖ συνυπακούειν ἔξωθεν ῥῆμα κατὰ ἀναλογίαν, ἢ τὸ ῥῖψον, ἢ τὸ δός. ἤ τι τῶν τοιούτων. τοῦτο ἐν ἑτέροις πολλάκις γίνεται παρὰ ποιηταῖς, ὡς
,, παρ' Ὁμήρῳ, ἦχι ἑκάστῳ ἵπποι ἀερσίποδες καὶ ποικίλα τεύχε' ἔκειτο. οὐ γὰρ οἱ ἵπποι ἔκειντο, ἵν' ἀπὸ κοινοῦ τὸ ἔκειντο λέγηται μετασχηματισμένον ἀπὸ τοῦ ἔκειτο, ἀλλ' ἑστήκεσαν. ¶ ΕΙ ΜΗ τλημονεστάτη. καθόλου φησὶν εἰ μὴ τολμηροτάτη πασῶν ἐτύγχανεν, οὐκ ἄν ποτε ταῦτα ἔπραττεν περὶ τιμῆς τοῦ πατρὸς, ὃν αὐτὴ ἀνεῖλεν. εἰκὸς γὰρ αὐτὴν πολλάκις ἐπί τινι λυσιτελοῦντι πράττειν, ὦ μὴ ὑπουργήσῃς σύ. Εἴ σοι προσφιλῶς αὐτῇ. σκέψαι γὰρ εἰ σοὶ αὐτῇ δοκεῖ ὁ νέκυς δέξασθαι ἐν τοῖς τάφοις προσφιλῶς τάδε τὰ δῶρα. ¶ Ἐμασχαλίσθη. ὑπὸ τὰς μασχάλας ἔλαβε τὰ ἄκρα, ἀντὶ τοῦ, ἠκρωτηριάσθη. ἢ ἐπεὶ εἰώθεσαν εἰς τὰς κεφαλὰς τῶν ἀναιρουμένων ἀπομάσσειν τὰ ξίφη, ὥσπερ ἀποξοπαζόμενοι τὸ μύσος τὸ ἐν τῷ φόνῳ.

ἀρχὴν δ' ἄν, εἰ μὴ τλημονεστάτη γυνὴ
πασῶν ἔβλαστε, τάσδε δυσμενεῖς χοὰς
οὐκ ἄν ποθ', ὅν γ' ἔκτεινε, τῷδ' ἐπέστεφε.
Σκέψαι γὰρ, εἴ σοι προσφιλῶς αὐτῇ δοκεῖ
γέρα τάδ' οὖν τάφοισι δέξασθαι νέκυς,
ὑφ' ἧς θανὼν ἄτιμος ὡς δυσμενὴς
ἐμασχαλίσθη, κἀπὶ λουφοῖσιν κάρα
κηλῖδας ἐξέμαξεν. ἆρα μὴ δοκεῖς
λυτήρι' αὐτῇ ταῦτα τοῦ φόνου φέρειν;
οὐκ ἔστιν. ἀλλὰ ταῦτα μὲν μέθες. σὺ δὲ
τεμοῦσα κρατὸς βοστρύχων ἄκρας φόβας,
κἀμοῦ ταλαίνης, σμικρὰ μὲν τάδ', ἀλλ' ὅμως
ἄχω, δὸς αὐτῷ τήνδ' ἀλιπαρῆ τρίχα,

κάρα δὲ κατὰ τὴν κεφαλὴν ἑαυτοῦ δηλονότι. τὸ δὲ ἐξέμαξεν, περὶ τοῦ Ἀγαμέμνονος, ὃς ἐμασχαλίσθη ὑπὸ τῆς Κλυταιμνήστρας. τοῦτο δὲ τὸ κάρα αὐτοῦ, τὰς κηλῖδας τούτων τὰς ἐν τῷ φόνῳ ἐξέμαξεν. οὐ δεῖ δὲ διαφωνίαν δοκεῖν εἶναι πρὸς τὸν Ὅμη-
,, ρον, ἐπεί φησιν ἐκεῖνος, Δειπνίσσας
,, ὥς τίς τε κατέκτανε βοῦν ἐπὶ φάτ-
,, νῃ. ἀρκεῖ γὰρ τὰ ὅλα συμφωνεῖν τῷ πράγματι. τὰ γὰρ κατὰ μέρος ἐξουσίαν ἔχει ἕκαστος ὡς βούλεται πραγματεύσασθαι, εἰ μὴ τὸ πᾶν βλάπτει τῆς ὑποθέσεως. Ἄλλως. εἰώθεσαν οἱ δρῶντες ἔμφυλιον φόνον ἀκρωτηριάζειν τοὺς ἀναιρεθέντας ἐκ παντὸς μέρους τοῦ σώματος ἀποταμνόμενοι καὶ περιάπτειν ἑαυτοῖς τὰ ἄκρα συνείροντες. διὰ τούτου ὥσπερ τὴν δύναμιν ἐκείνων ἀφαιρούμενοι, διὰ τὸ μὴ παθεῖν ἐς ὕστερον τὶ δεινὸν παρ' ἐκείνων. ἐφόρουν δὲ εἰς τὰς μασχάλας τὰ ἄκρα, ὃ καὶ μασχαλισθῆναι ἔλεγον. Ἄλλως. Κηλῖδας ἐξέμαξεν. ἢ τῇ ἑαυτῶν κεφαλῇ ἀπέμασσον τοῦ ξίφους τὰς κηλῖδας. ἢ τῇ τοῦ φονευομένου, ὥσπερ τὰς περὶ τῷ μύσει κηλῖδας ἀποτρεπόμενοι. Ἄλλως. περὶ ταῖς καθάρσεσι τῶν φονευθέντων τὰ ἄκρα ἔτεμνον, καὶ περὶ τὰς μασχάλας αὐτοῦ ἐκρέμαζον αὐτὰ, ἵνα φησὶν ἀσθενὴς
,, γένοιτο πρὸς τὸ ἀντιτίσασθαι τὸν φονέα. καὶ Ἀπολλώνιος, ἐξάργματα τέμνε θανόντος. ὁ Ἰάσων τοῦ Ἀψύρτου. ¶ Ἀλλὰ ταῦτα μὲν μέθες. προοικονομικῶς ἀποστέλλει αὐτὴν εἰς τὸν τάφον περὶ τὸ εὑρεῖν τὸν βόστρυχον Ὀρέστου. ¶ Ἀλιπαρῆ τρίχα. περιπαθῶς μὲν τὸ διὰ παι-

ας. τὸ δὲ ἀλιπαρῆ, ἀντὶ τοῦ αὐχμηράν. ἐν δὲ τῷ ὑπομνήματι, λιπαρῆ, ὅ ἐστιν ἐξ ἧς αὐτὸν λιπαρήσομεν. ὡς εἰ ἔλεγεν ἱκέτιν τρίχα. ¶ ΚΑΙ ζῶμα τοὐμόν. σύμφωνον τοῦτο τῷ, ὧδε μὲν ἀεικεῖ σὺν στολῇ. ζῶμα δὲ νῦν τὴν ζώνην δηλοῖ, οὐ τὸ ἔνδυμα. ἵνα τούτῳ στέφῃ τὸν τάφον ἀντὶ μίτρας. δίδωσι γὰρ τὸ ζῶμα ἀντὶ τοῦ ταινίας. γράφεται καὶ, ζῶσμα.

E ἐξ ὑπερτέρας. ἀντὶ τοῦ ἰσχυροτέρας. μετὰ δυνάμεως μείζονος. ¶ Κοινῷ πατρί. τῷ σῷ καὶ ἐμῷ. ¶ Τὸ γὰρ δίκαιον οὐκ ἔχει λόγον. οὐκ ἔχει λόγον τὸ φιλονεικεῖν περὶ τοῦ δικαίου, ὥστε περὶ αὐτοῦ δύο ὄντας ἐρίζειν. δεῖ γὰρ τὸν ἕτερον τῷ ἑτέρῳ πείθεσθαι. ἢ τὸ οὐκ ἔχει λόγον, ἀντὶ τοῦ οὐ παρέχει πρόφασιν. Ἄλλως. οὐ διαστασμοῦ φησι καὶ ἀμφιβολίας προσδεῖται, τοῖς δύο, πότερον δεῖ τούτων ποιεῖν ἢ προαιρεῖσθαι. ¶ Σιγὴ παρ' ὑμῶν. εὐλαβὴς οὖσα ἡ χρυσόθεμις, κρύπτεσθαι ἀξιοῖ τὸν χορόν.

A ἀλλ' ἐπισπεύδειν. ἀλλὰ παρέχει σπεύδειν τοῦ τὸ δρᾶν. σπεύδω τοῦ τόδε, ἐπισπεύδω δὲ ἕτερον ἤγουν ἐπείγω. ¶ Ὡς εἰ τάδ' ἡ τεκοῦσα. ὅτι εἰ ἀκούσεται ταῦτα ἡ τεκοῦσα ἀλγεινὴν νομίζω εἰς τὸ ἑξῆς τολμήσειν ἐμὲ τήνδε τὴν πεῖραν, ἤτουν εἰς ἄλγος ἐμὸν τολμήσειν τήνδε τὴν ἐγχείρησιν, εἰ ἀκούσεται ταῦτα ἡ τεκοῦσα. ὀφείλει δὲ μᾶλλον οὕτω λέγεσθαι, πικρὰν δοκῶ ἐγὼ τολμήσειν τήνδε τὴν πεῖραν. ὅμοιον δὲ ὡς κάμ' ἐπαυχῶ. ¶ Εἰ μὴ ἐγὼ παράφρων. ἀνόητος. ὁ χορὸς ἐκ τοῦ ὀνείρου προμαντευόμενος θαρρεῖν παραινεῖ τὴν ἠλέκτραν. ¶ Εἶσιν ἁ πρόμαντις. ἡ προμαντευομένη τὰ μέλλοντα. ἢ τοῖς σοφοῖς προγινωσκομένη. ¶ Δίκαια φερομένα. δίκαια φερομένη κράτη χεροῖν. ἤγουν ἰσχὺν δικαίαν ἐπιφερομένη διὰ τῶν χειρῶν. ¶ Μέτεισι. μέτεισί φησι

καὶ ζῶμα τοὐμὸν, οὐ χλιδαῖς ἠσκημένον.
αἰτοῦ δὲ προσπίτνουσα, γῆθεν εὐμενῆ
ἡμῖν ἀρωγὸν αὐτὸν εἰς ἐχθροὺς μολεῖν.
καὶ παῖδ' Ὀρέστην ἐξ ὑπερτέρας χερὸς
ἐχθροῖσιν αὐτοῦ ζῶντ' ἐπεμβῆναι ποδί,
ὅπως τὸ λοιπὸν αὐτὸν ἀφνεωτέραις
χερσὶ στέφωμεν, ἢ τανῦν δωρούμεθα.
οἶμαι μὲν οὖν οἶμαί τι κἀκείνῳ μέλον
πέμψαι τάδ' αὐτῇ δυσπρόσοπτ' ὀνείρατα.
ὅμως δ' ἀδελφὴ, σοί θ' ὑπούργησον τάδε,
ἐμοί τ' ἀρωγὰ, τῷ τε φιλτάτῳ βροτῶν
πάντων ἐν ᾅδου κειμένῳ κοινῷ πατρί.

Χό. πρὸς εὐσέβειαν ἡ κόρη λέγει. σὺ δὲ
εἰ σωφρονήσεις ὦ φίλη, δράσεις τάδε.

Χρ. δράσω. τὸ γὰρ δίκαιον οὐκ ἔχει λόγον
δυοῖν ἐρίζειν, ἀλλ' ἐπισπεύδει τὸ δρᾶν.
πειρωμένῃ δὲ τῶνδε τῶν ἔργων ἐμοὶ,
σιγὴ παρ' ὑμῶν πρὸς θεῶν ἔστω φίλαι.
ὡς εἰ τάδ' ἡ τεκοῦσα πεύσεται, πικρὰν
δοκῶ με πεῖραν τήνδε τολμήσειν ἔτι.

Χο. Εἰ μὴ ἐγὼ παράφρων
μάντις ἔφυν, καὶ γνώμας
λειπομένα σοφᾶς,
εἶσιν ἁ πρόμαντις
δίκα δίκαια φερομένα
χεροῖν κράτη, μέτεισιν ὦ
τέκνον οὐ μακροῦ χρόνου.
ὕπεστί μοι θάρσος
ἁδυπνόων κλυούσαν ἀρ- κλυοῦσαν
τίως ὀνειράτων.

περιέχουσα τοῖς δύναμιν, ὡς χειρώσασθαι τοὺς ἐχθρούς. Ἄλλως. μέτεισι. κολάσει οὐ διὰ μακροῦ χρόνου. ¶ ΟΥ ΓΑΡ ποτε ἀμνηστεῖ. οὐ γὰρ ἀμνημονεῖ φησι τῶν πλημμεληθέντων καθ' ἑαυτοῦ ὁ βασιλεύς, ἀλλ' ἐπεξελεύσεται κατὰ τῶν ἐχθρῶν. ¶ Χαλκόπληκτος. ἀπὸ κοινοῦ τὸ ἀμνηστεῖ. οὐδ' ἀμνημονεῖ φησιν ἡ χαλκόπληκτος γένυς, ἡ ἑλοῦσα αὐτόν. ἀλλὰ καὶ αὐτὴ τιμωρὸς ἥξει κατὰ τῶν δρασάντων. χαλκόπληκτος δὲ λέγεται ὑπὸ χαλκοῦ πληγείς. ἐνταῦθα δὲ χαλκόπληκτος γένυς ἡ ὑπὸ χαλκοῦ ἠλασμένη. παλαιὰ δὲ ἀναφέρεται πρὸς τὴν πρᾶξιν ἥτις πάλαι ἐγένετο.

οὐ γάρ ποτ' ἀμναστεῖ γ' ὁ φύσας
Ἑλλάνων ἄναξ,
οὐδ' ἁ παλαιὰ χαλκόπληκτος
ἀμφήκης γένυς, ἅ νιν κατέπεφνεν αἰ-
σχίσταις ἐν αἰκίαις.
ἥξει καὶ πολύπους,
καὶ πολύχειρ, ἁ δεινοῖς
κρυπτομένα λόχοις χαλκόπους Ἐριννὺς
ἄλεκτρ', ἄνυμφα γὰρ ἐπέβα
μιαιφόνων γάμων ἁμιλ-
λήμαθ', οἷσιν οὐ θέμις
πρὸ τῶνδέ τοι μ' ἔχει,
μή ποτε μή ποθ' ἡμῖν ἀ-
ψεγὲς πελᾶν τέρας.
τοῖς δρῶσι καὶ συνδρῶσιν ἤτοι
μαντεῖαι βροτῶν

¶ Αἰκίαις. ὕβρεσιν. αἰκία ὕβρις ἀπὸ τοῦ μὴ ἐοικέναι, ἀφ' οὗ καὶ τὸ ἀεικής. ¶ Γένυς λέγεται δὲ πελέκεως.

¶ Ἥξει καὶ πολύπους. ἡ ἐριννὺς ἡ ἐκείνῳ τῷ φόνῳ ἀκολουθήσασα. οὕτως ἐν τῷ ὑπομνήματι. ¶ Πολύπους. ἐν ὑπερβολῇ τοῦτο ἔθηκεν. ἐν δὲ τῷ ὑπομνήματι κεῖται πολύπαις. ἐπεὶ γάρ φησιν ἐν τῷ Ὀρέστῃ τὴν πᾶσαν ἐλπίδα ἔχουσι, τὸ πολύπαις ἐν ὑπερβολῇ ἔθηκεν, ἡ πολλὰ κακὰ τίκτουσα. ¶ Χαλκόπους. ἡ στερεὰ καὶ ἀκοπίαστος ἐν τῷ διώκειν κατὰ τῶν φονέων. ¶ Ἄλεκτρ', ἄνυμφα. δύσλεκτρα καὶ κακόνυμφα, ἀντὶ τοῦ μὴ νενομισμένα, ἀλλὰ παράνομα διὰ τὴν μοιχείαν. ¶ Μιαιφόνων γάμων. ἤτοι τῆς ἐριννύος ἐστὶν ὁ λόγος. ἐπέβη γὰρ τοῖς ἁμιλλήμασι γάμων ἄλεκτρα καὶ ἀνόμφευτα. ἐπέβη δὲ τούτοις οἷς οὐ θέμις. οἷς οὐκ ἐχρῆν εἰς γάμον ἥκειν ἡ ἐριννύς. δι' ὅπερ καὶ νῦν αὐτοὺς μετελεύσεται. ἢ ἐπὶ τῆς Κλυταιμνήστρας ἐστὶ τὸ λεγόμενον. τὸ δέ, Οἷσιν οὐ θέμις. ἐπὶ τῶν γάμων. φησὶν οὖν ὅτι ἐπέβη γάμοις ἡ Κλυταιμνήστρα, οἷς οὐκ ἔπρεπε. ¶ Πρὸ τῶνδέ τοι μ' ἔχει. τὸ τοι, σύνδεσμος παραπληρωματικός. λείπει δὲ τὸ, ἐλπὶς ἢ θάρσος με ἔχει, μὴ πρὸ τούτων τῶν προειρημένων αἴτιον φησὶ καὶ Κλυταιμνήστραν τοῦτο τὸ ὄναρ ἀψεγὲς ἡμῖν προσπελάζειν. ἀλλ' ἀκουσόμεθα ψεγομένου αὐτοῦ παρὰ τῶν θεασαμένων αὐτόν, λεγόντων ὅτι κακῶν ἦν σημαντικόν. Ἄλλως. θαρρῶ ὅτι τοῖς δρῶσι ταῦτα τὰ ἄδικα καὶ συνδρῶσιν, αὐτοῖς οὐκ ἔσται ἄψεκτος ὁ ὄνειρος. παθόντες γὰρ ψέξουσι τὸ ὀφθέν. Ἄλλως. ὑπὲρ τοῦ δέ ἔχει ἐμὲ τὸ θάρσος, μή ποτε πελᾶν ἤγουν πλησιάζειν ἡμῖν τοῖς δρῶσι καὶ τὰ ἑξῆς. τὸ δὲ τέρας ἀντὶ τοῦ σημείου. ¶ Τοῖς δρῶσι καὶ συνδρῶσιν. ὑμῖν ταῖς δρώσαις ὑπὲρ Ἀγαμέμνονος, καὶ ἡμῖν ταῖς συνδρώσαις καὶ συναχθομέναις. ¶ Τέρας. τὸ τοῦ ὀνείρου τέρας λέγει. ¶ Ἤτοι μαντεῖαι. ἢ μαντεῖ-

αι ἀνθρώπων οὐκ εἰσὶν ἐν ὀνείροις δεινοῖς, ἀντὶ τοῦ ἀληθεύουσιν, οὐδ' ἐν θεσφάτοις, ἤγουν χρησμοῖς, ἀληθεύουσιν, εἰ μὴ τὸ φάσμα τόδε τῆς νυκτὸς εὖ κατασχήσει. ἀντὶ τοῦ εὖ ἕξει. ¶ ΕΝ ΔΕΙΝΟΙ͂Σ ὀνείροις. τοῖς ἐκφοβοῦσι τοὺς ὁρῶντας ὅταν ὦσι δεινοί. ℭ Θεσφάτοις. τοῖς τῶν ὀνείρων. ¶ Εὖ κατασχήσει. οὐ τοῖς ἑωρακόσιν, ἀλλὰ τῇ Ἠλέκτρᾳ. ¶ Ω Πέλοπος. οἷον ἦν καὶ τὸ πρῶτον, τὸ πολύφθορόν τε δῶμα Πελοπιδῶν τόδε. φησὶ δὲ Φερεκύδης, ὅτι Πέλοψ νικήσας τὸν ἀγῶνα, καὶ λαβὼν τὴν ἱπποδάμειαν, ὑπέστρεφεν ἐπὶ τὴν Πελοπόννησον μετὰ τῶν ὑποπτέρων ἵππων καὶ τοῦ Μυρτίλου. καθ' ὁδὸν δὲ καταλαβὼν αὐτὸν πειρῶντα πρὸς τὸ φιλῆσαι αὐτήν, ἔρριψεν εἰς θάλασσαν. ℭ Πολύπονος ἱππεία. πολύπονος γενομένη πᾶσιν Ἀργείοις. καὶ ἑρμηνεύει αὐτὸ λέγων ὡς ἔμολες αἰανὴ τᾷδε γᾷ. αἰανὴ δὲ θρηνητική, ὃ ἐξ οὗ γίνεται αἶ, αἶ. ἱππασία παρὰ τοῖς κοινοῖς, ἱππεία δὲ καὶ ἱπποσύνη παρὰ τοῖς ποιηταῖς. ¶ Εὖτε γὰρ ὁ ποντισθείς. ὁ νοῦς τοιοῦτός ἐστιν. ἀφ' οὗ ὁ Μυρτίλος ἀπέθανεν, οὐ δέλιπεν αἰκία τοὺς πολυκτήμονας δόμους. ὁ γὰρ Ἑρμῆς πατὴρ Μυρτίλου, ἐμήνισε τοῖς Πελοπίδαις. ¶ Αἰκίαις. αἰκισμοῖς, ὕβρεσι. ¶ Πρόρριζος. ἀντὶ τοῦ παντάπασιν. ℭ Ἀνειμένη. ἄνεσιν ἔχουσα. πανταχόθεν δὲ διαφόροις ἐξαλλαγαῖς, τὸν ἔλεον Ἠλέκτρας διαγράφει ὁ ποιητής. ¶ Στρέφῃ. ἀναστρέφῃ. γράφεται στρέφῃ, ἀντὶ τοῦ διάγεις. ℭ Αἰσχύνειν. ἀντὶ τοῦ καθ' ὑμῶν λέγειν. Ἄλλως. ὅς ἐπεῖχέ σε μὴ αἰσχύνειν τοὺς φίλους. ἁρμόζει δὲ καὶ χωρὶς τοῦ μὴ λέγεσθαι, οἷον ἐπεῖχέ σε μὴ αἰσχύνειν τοὺς φίλους, ἔνθα τὸ ἐπεῖχε τὸ ἐκώλυε μόνον δηλοῖ, ἐν δὲ τῷ ἐπεῖχε μὴ αἰσχύνειν, ἀντὶ τοῦ κωλύων ἐποίει, λαμβάνεται, τέθνηκεν ἐδύνατο δὲ λέγεσθαι καὶ μετὰ μετοχῆς, τεθνηκὼς πατήρ.

οὐκ εἰσὶν ἐν δεινοῖς ὀνείροις,
οὐδ' ἐν θεσφάτοις,
εἰ μὴ τόδε φάσμα νυκτὸς
εὖ κατασχήσει.
ὦ Πέλοπος ἁ πρόσθεν
πολύπονος ἱππεία,
ὡς ἔμολες αἰανὴ
τᾷδε γᾷ.
Εὖτε γὰρ ὁ ποντισθεὶς
Μυρτίλος ἐκοιμάθη
παγχρύσων δίφρων
δυστάνοις αἰκίαις
πρόρριζος ἐκριφθείς,
οὔ τι πω
ἔλειπεν ἐκ τοῦδ' οἴκου
πολύπονος αἰκία.
Ἀνειμένη μὲν ὡς ἔοικας αὖ στρέφῃ.
οὐ γὰρ πάρεστ' Αἴγισθος, ὅς σ' ἐπεῖχ' ἀεί,
μή τοι θυραίαν γ' οὖσαν αἰσχύνειν φίλους.
Νῦν δ' ὡς ἄπεστ' ἐκεῖνος, οὐδὲν ἐντρέπῃ
ἐμοῦ γε. καίτοι πολλὰ πρὸς πολλούς με δὴ
ἐξεῖπας, ὡς θρασεῖα καὶ πέρα δίκης
ἄρχω, καθυβρίζουσα καὶ σὲ καὶ τὰ σά.
Ἐγὼ δ' ὕβριν μὲν οὐκ ἔχω. κακῶς δέ σε
λέγω, κακῶς κλύουσα πρὸς σέθεν θαμά.
πατὴρ γάρ, οὐδὲν ἄλλο σοι πρόσχημ' ἀεί

ΕΞ ΕΜΟΥ. καλῶς. ἰδίων ἐπιεικῶς, τὸ μὴ ἀρνεῖσθαι μὲν, πιθανὴν δὲ τῶν δεδραμένων ἐπεισφέρειν αἰτίαν. οὐχ ὡς δίκαια δὲ πραττούσης συνηγορεῖ ὁ ποιητὴς, ἀλλ' ἵνα μὴ ἀργὸν εἴη τὸ πρόσωπον. ¶ Πότερον ἐκείνῳ παῖδες. λαμβάνονται τινὲς τοῦ ποιητοῦ ἐκ τῶν ὁμηρικῶν, ἐπεὶ ἐκεῖνος μίαν γεγενῆσθαι τῷ Μενελάῳ τὴν Ἑρμιόνην φησίν. οὗτος δὲ διπλοῦς ὁμομητρίους φησὶν αὐτῷ γεγενῆσθαι. ὅμως συμφωνεῖ τῷ Ἡσιόδῳ λέγοντι, Ἡ τέκεθ' Ἑρμιόνην δουρικλυτῷ Μενελάῳ, ὁπλότατον δ' ἔτεκεν Νικόστρατον ὄζον Ἄρηος. οὐ περὶ μεγάλων δὲ αἱ τοιαῦται διαφωνίαι τοῖς ποιήμασιν. ὥστε οὐ πάνυ δεῖ ἀορίστως τῶν τοιούτων ἐνοχλεῖν, ἀφεμένους τῶν ἀναγκαιοτέρων, ἅπερ παρατηρεῖν ἔχομεν. ταῦτα δέ ἐστι τὰ ἠθικὰ καὶ χρήσιμα ἡμῖν τοῖς ἐντυγχάνουσιν. ὅρα οὖν πῶς ἐκείνῳ τῷ μέρει τῆς ἱστορίας κατεχρήσατο, ὅτι συνέφερε τῷ λόγῳ τῆς Κλυταιμνήστρας. ¶ Παῖδες διπλοῖ. Ἑρμιόνη καὶ Νικόστρατος. ¶ Ἡ τῶν ἐμῶν ἅδης. τὸ ἑξῆς. ἢ τῶν ἐμῶν τέκνων δαίσασθαι πλέον ἵμερόν τινα ἅδης ἔσχεν ἢ τῶν ἐκείνης. ¶ Παρεῖτο. ἠμελεῖτο. παρῃρεῖτο. ¶ Δύσθυμος. μεταμελόμενος. κακόβουλος. ¶ Γνώμην δικαίαν. οἷον λογισμῷ χρησαμένη δικαίῳ. τότε δηλονότι. ¶ Τοὺς πέλας ψέγε. ἡμᾶς. μὴ τὸ πᾶν ὀργῇ καταχαριζομένη. τινὲς τοὺς πέλας, τοὺς περὶ Ἀγαμέμνονα ἔγνωσαν.

ὡς ἐξ ἐμοῦ τέθνηκεν. ἐξ ἐμοῦ. καλῶς
ἔξοιδα. τῶνδ' ἄρνησις οὐκ ἔνεστί μοι.
ἡ γὰρ δίκη νιν εἷλεν, οὐκ ἐγὼ μόνη.
ᾗ χρῆν σ' ἀρήγειν, εἰ φρονοῦσ' ἐτύγχανες.
ἐπεὶ πατὴρ οὗτος σὸς ὃν θρηνεῖς ἀεὶ,
τὴν σὴν ὅμαιμον μοῦνος Ἑλλήνων ἔτλη
θῦσαι θεοῖσιν. οὐκ ἴσον καμὼν ἐμοὶ
λύπης ὅτ' ἔσπειρε, ὥσπερ ἡ τίκτουσ' ἐγώ.
εἶεν. δίδαξον δή με, τοῦ χάριν τίνος
ἔθυσεν αὐτήν. πότερον Ἀργείων ἐρεῖς;
ἀλλ' οὐ μετῆν αὐτοῖσι τήν γ' ἐμὴν κτανεῖν.
ἀλλ' ἀντ' ἀδελφοῦ δῆτα Μενέλεω; κτανὼν
τἄμ', οὐκ ἔμελλε τῶνδέ μοι δώσειν δίκην;
πότερον ἐκείνῳ παῖδες οὐκ ἦσαν διπλοῖ,
οὓς τῆσδε μᾶλλον εἰκὸς ἦν θνήσκειν, πατρὸς
καὶ μητρὸς ὄντας, ἧς ὁ πλοῦς ὅδ' ἦν χάριν; ἧς
ἢ τῶν ἐμῶν ἅδης τίν' ἵμερον τέκνων
ἢ τῶν ἐκείνης, ἔσχε δαίσασθαι πλέον;
ἢ τῷ πανώλει πατρὶ, τῶν μὲν ἐξ ἐμοῦ
παίδων πόθος παρεῖτο, Μενέλεω δ' ἐνῆν;
οὐ ταῦτ' ἀβούλου καὶ κακοῦ γνώμην πατρός;
δοκῶ μὲν, εἰ καὶ σῆς δίχα γνώμης λέγω.
φαίη δ' ἂν ἡ θανοῦσά γ' εἰ φωνὴν λάβοι.
ἐγὼ μὲν οὖν οὐκ εἰμὶ τοῖς πεπραγμένοις
δύσθυμος. εἰ δέ σοι δοκῶ φρονεῖν κακῶς
γνώμην δικαίαν σχοῦσα, τοὺς πέλας ψέγε.

ΗΛ. ἐρεῖς μὲν οὐχὶ νῦν γέ μ' ὡς ἄρξασά τι
λυπηρὸν, εἶτα σοῦ τάδ' ἐξήκουσ' ὕπο.
ἀλλ' ἢν ἐφῇς μοι, τοῦ τεθνηκότος γ' ὕπερ
λέξαιμ' ἂν ὀρθῶς, τῆς κασιγνήτης θ' ὁμοῦ.

¶ Ἐρεῖς μὲν οὐχὶ νῦν. οὐκ ἂν εἴποις ὡς λυπήσασά με τοιαῦτα ἀντακήκοας. ἐμοῦ γὰρ εἰπούσης οὐδὲν, σὺ πρώτη κατῆρξω τῆς εἰς ἐμὲ λοιδορίας.

ΕΙ ΔΕ μ' ὧδ' ἀεὶ λόγοισ. εἰ πρὸ τῶν λόγων ἐπυνθάνου, εἰ τὸ λέγειν σοὶ ἐφίημι, οὐκ ἂν ἦς λυπηρά. ¶ Κλύειν. εἰς τὸ ἀκούεσθαι. ¶ Πατέρα φὴς κτεῖναι. ὡς ῥήτωρ διεῖλεν εἰς κεφάλαια τὸν λόγον. τὸ πρῶτον κεφάλαιον, ὅτι οὐδὲν χαλεπώτερον τούτου, εἴτε δικαίως. δεύτερον, ὅτι οὐ δικαίως, ἀλλὰ πεισθεῖσα αἰγίσθῳ. δείκνυσι δὲ ὅτι ἀκουσίως ὁ

ΚΛ. Καὶ μὴν ἐφίημ'. εἰ δέ μ' ὧδ' ἀεὶ λόγοισ
ἐξῆρχες, οὐκ ἂν ἦσθα λυπηρὰ κλύειν.
ΗΛ. Καὶ δὴ λέγω σοι. πατέρα φὴς κτεῖναι. τίσ ἂν
τούτου λόγοσ γένοιτ' ἂν αἰσχίων ἔτι,
εἴτ' οὖν δικαίως, εἴτε μή; λέξω δέ σοι
ὡς οὐ δίκῃ γ' ἔκτεινας, ἀλλά σ' ἔσπασεν
πειθὼ κακοῦ πρὸσ ἀνδρός, ᾧ τανῦν ξύνει.
Ἐροῦ δὲ τὴν κυναγὸν Ἄρτεμιν, τίνοσ
ποινῆς, τὰ πολλὰ πνεύματ' ἔσχ' ἐν αὐλίδι.
ἢ 'γὼ φράσω. κείνησ γὰρ οὐ θέμισ μαθεῖν.
πατήρ ποθ' οὑμὸσ, ὡς ἐγὼ κλύω, θεᾶσ
παίζων κατ' ἄλσοσ, ἐξεκίνησεν ποδοῖν
στικτὸν κεράστην ἔλαφον. οὗ κατὰ σφαγὰς
ἐκκομπάσας ἔποσ τι τυγχάνει βαλών.
κἀκ τοῦδε μηνίσασα Λητῴα κόρη,
κατεῖχ' Ἀχαιοὺς, ὡς πατὴρ ἀντίσταθμον
τοῦ θηρὸσ, ἐκθύσειε τὴν αὑτοῦ κόρην,
ὧδ' ἦν τὰ κείνης θύματ'. οὐ γὰρ ἦν λύσισ
ἄλλη στρατῷ πρὸς οἶκον, οὐδ' εἰς Ἴλιον.
ἀνθ' ὧν βιασθεὶς πολλὰ, κἀντιβὰς, μόλις
ἔθυσεν αὐτὴν, οὐχὶ Μενέλεω χάριν.
Εἰ δ' οὖν, ἐρῶ γὰρ καὶ τὸ σόν, κεῖνον θέλων
ἐπωφελῆσαι ταῦτ' ἔδρα, τούτου θανεῖν
χρῆν αὐτὸν οὕνεκ' ἐκ σέθεν; ποίῳ νόμῳ;
ὅρα τιθεῖσα τόνδε τὸν νόμον βροτοῖσ,
μὴ πῆμα σαυτῇ καὶ μετάγνοιαν τίθης.
Εἰ γὰρ κτενοῦμεν ἄλλον ἀντ' ἄλλου, σύ τοι
πρώτη θάνοις ἂν, εἰ δίκης γε τυγχάνεισ.

Ἀγαμέμνων ἔθυσε τὴν Ἰφιγένειαν ἐν τῇ Αὐλίδι. ¶ Αἰσχίων ἔτι. ἀντὶ τοῦ ἀκμὴν παρὰ τοῖς κοινοῖς, οἷον ἔτι νέος ἐστὶ, τὸ ἔτι τοιῶ τόδε. λέγεται δὲ καὶ ἀντὶ τοῦ ἐπὶ τούτῳ. λέγεται δὲ ἀντὶ τοῦ εἰς τὸ ἑξῆς, οἷον οὐ μὴ ἔτι ποιήσω τόδε. ἔστι δὲ τοιοῦτον ὡς ἐνταῦθα.

Ἔσπασε. παρήγαγε, παρέπεισεν, παρεβιάσατο. ¶ Ὡς οὐ δίκῃ γ' ἔκτεινας. ἐναντίον τοῦ, ἡ γὰρ δίκη νιν εἷλε, τὸ ὡς οὐ δίκῃ γ' ἔκτεινασ.

Ἀλλά σ' ἔσπασε πειθώ. αὕτη γὰρ ἀπόδειξις, οὐ διὰ τὴν θυγατέρα, ἀλλὰ διὰ τὸν μοιχὸν πεφονεῦσθαι τὸν Ἀγαμέμνονα, τὸ καὶ μέχρι τοῦ νῦν αὐτοῦ συνεῖναι καὶ συνοικεῖν.

Τίνοσ ποινῆς. λείπει ἡ διά. ¶ Ἐξεκίνησεν. ἐξεδίωξεν. ¶ Πολλὰ κἀντιβάς. ἀντιπραττόμενος, καὶ μὴ βουλόμενος. διὰ δὲ τῆς λέξεως, δηλοῖ τὸ ἀκούσιον τῆς προαιρέσεως. ἀντιβαίνειν δὲ τὸ ἀντιπράττειν. τὸ αὐθεντεῖν ταυτὸν, παρὰ δὲ τοῖς κοινοῖσ ἀντιπατεῖν.

Εἰ δ' οὖν, ἐρῶ γὰρ καὶ τὸ σόν. πιθανῶς κατασκευάζει, ὅτι εἰ νομοθετεῖς ἄλλον ἀντ' ἄλλου ἀναιρεῖσθαι, κατὰ σαυτῆς νομοθετεῖσ. ¶ Μετάγνοιαν. ἀντὶ τοῦ μετάνοιαν, τουτέστι μεταμέλειαν. ἄνοια ἡ παντελὴς ἀφροσύνη, ἄγνοια δὲ, ἡ ἑνός τινος πράγματος. μετάνοια δὲ καὶ μετάγνοια ταυτὸν, πλὴν ὅτι τὸ μὲν ἐστὶν ἐν χρήσει, παρὰ τοῖς κοινοῖς τὸ μετάνοια. τὸ δὲ μετάγνοια παρὰ τοῖσ ποιηταῖσ. ¶ Πρώτη θάνοις ἄν. ἀντὶ τοῦ Ἀγαμέμνονοσ.

Ἀλλ' εἰσόρα. ὅρα φησὶ μὴ παρακάλυμμα τοῦ σαυτῆς ἀδικήματος ταύτην κομίζῃ τὴν πρόφασιν. ¶ Παλαμναίῳ. φονεῖ. παλαμναῖος ὁ ταῖς οἰκείαις χερσὶ φόνον ἐργασάμενος. ¶ Ἐκβαλοῦσ' ἔχεις. ἐξέβαλες, ἀπέρριψας, ἐδίωξας.

ἀλλ' εἰσόρα, μὴ σκῆψιν οὐκ οὖσαν τίθῃς.
Εἰ γὰρ θέλεις, δίδαξον ἀνθ' ὅτου τανῦν
αἴσχιστα πάντων ἔργα δρῶσα τυγχάνεις,
ἥτις ξυνεύδεις τῷ παλαμναίῳ, μεθ' οὗ
πατέρα τὸν ἁμὸν πρόσθεν ἐξαπώλεσας,
καὶ παιδοποιεῖς. τοὺς δὲ πρόσθεν εὐσεβεῖς
κἀξ εὐσεβῶν βλαστόντας, ἐκβαλοῦσ' ἔχεις.
πῶς ταῦτ' ἐπαινέσαιμ' ἄν; ἢ καὶ τοῦτ' ἐρεῖς,
ὡς τῆς θυγατρὸς ἀντίποινα λαμβάνεις;
αἰσχρῶς δ', ἐάν περ καὶ λέγῃς. οὐ γὰρ καλὸν
ἐχθροῖς γαμεῖσθαι τῆς θυγατρὸς οὕνεκα.
ἀλλ' οὐ γὰρ οὐδὲ νουθετεῖν ἔξεστί σε,
ἣ πᾶσαν ἵης γλῶσσαν, ὡς τὴν μητέρα
κακοστομοῦμεν. καί σ' ἔγωγε δεσπότιν
ἢ μητέρ' οὐκ ἔλασσον εἰς ἡμᾶς νέμω,
ἣ ζῶ βίον μοχθηρόν, ἔκ τε σοῦ κακοῖς
πολλοῖς ἀεὶ ξυνοῦσα, τοῦ τε συννόμου.
ὁ δ' ἄλλος ἔξω χεῖρα σὴν μόλις φυγὼν
τλήμων Ὀρέστης, δυστυχῆ τρίβει βίον.
ὃν πολλὰ δή με σοὶ τρέφειν μιάστορα
ἐπῃτιάσω. καὶ τόδ' εἴπερ ἔσθενον,
ἔδρων ἄν, εὖ τοῦτ' ἴσθι. τοῦδέ γ' οὕνεκα,
κήρυσσέ μ' εἰς ἅπαντας, εἴτε χρὴ κακήν,
εἴτε στόμαργον, εἴτ' ἀναιδείας πλέαν.
Εἰ γὰρ πέφυκα τῶνδε τῶν ἔργων ἴδρις,
σχεδόν τι τὴν σὴν οὐ καταισχύνω φύσιν.
Χο. Ὁρῶ μένος πνέουσαν. εἰ δὲ σὺν δίκῃ
ξύνεστι, τοῦδε φροντίδ' οὐκέτ' εἰσορῶ.
Κλ. Ποίας δέ μοι δεῖ πρός γε τήνδε φροντίδος,
ἥτις τοιαῦτα τὴν τεκοῦσαν ὕβρισε,

¶ Ἀλλ' οὐ γὰρ οὐδὲ νουθετεῖν ἔξεστί σε. ἐπεὶ πάλιν αὐτὴν διήλεγξεν ἐπὶ τῇ μοιχείᾳ, ὥσπερ ἐπιλαμβανομένην αὐτοῦ, κἀκείνην ἐκμειλισσομένην φησίν. ὅτι οὐδὲ νουθετεῖν σε δεῖ, χαλεπαίνεις γὰρ ὡς λοιδορουμένη. τὸν ἔλεγχον τὴν νουθεσίαν ὠνόμασεν. ¶ Πᾶσαν ἵης γλῶσσαν. ἀντὶ τοῦ, πάντα λόγον κινεῖς, ἀκρατῶς πάντα λέγεις, ἐπεὶ ὄργανα τοῦ λόγου εἰσὶν ἡ γλῶσσα, τὰ χείλη, καὶ τὸ στόμα, οἰκείως ἐνίοτε ταῦτα ἀντὶ τοῦ λόγου λαμβάνεται. τὸ δὲ κακοστομοῦμεν, ἐνταῦθα ἀντὶ τοῦ κακῶς λέγομεν, ἀτιμάζομεν. ¶ Εἴτε στόμαργον. εἴ γε γυναρύρις τοῖς κακοῖς ἔνοχος, στόμαργος καὶ ἀναιδὴς ὡς φῄς, οὐ καταισχύνω σου τὴν φύσιν, ἐλάττων σου οὖσα. ἀλλ' ὁμοία σοι φανήσομαι, ζηλῶ σέ φησιν, ὥσπερ γὰρ σὺ κατὰ Ἀγαμέμνονος Αἴγισθον ἔθρεψας, οὕτω κατὰ σοῦ τὸν Ὀρέστην ἐγώ. ¶ Σχεδόν τι. ἴσως καὶ ἀντὶ τοῦ πλησίον. ¶ Καταισχύνω. ἐξουθενημένην ποιῶ τὴν σὴν φύσιν, ἐπεὶ καὶ αὐτὴ οὐκ ἀμέτοχος τούτων ἐστίν. ¶ Ὁρῶ μένος πνέουσαν. ὁ χορὸς τεθαυμακὼς ἐπὶ τοῖς λόγοις, φησίν, ὁρῶ μένος πνέουσαν τὴν παῖδα. εἰ δὲ σὺν δίκῃ αὐτῇ τοῦτο τὸ μένος σύνεστιν, πύρου τοῦ μέρους φροντίδα οὐκέτι ὁρῶ, γινομένην ὑπό τινος. εὐσχημόνως δὲ ἐς τὴν Κλυταιμνήστραν τὸν λόγον ἀποτείνουσιν. ἀντιλαμβανομένη δὲ ἐκείνη τοῦ λόγου φησί, ποίας δέ μοι δεῖ πρός γε τῆσδε φροντίδος. ¶ Οὐκέτ' εἰσορῶ. ἀντὶ τοῦ οὐκ ἐννοῶ. ¶ Ποίας δέ μοι.

πατρίας γνώσεως χρεία ἐστὶν ἐμοὶ εἰς τὸ ἰδεῖν, εἰ δίκαια αὕτη λέγει, ἢ πῶς τοιαῦτα ὕβρισε τὴν τεκοῦσαν. ΚΑΙ ταῦτα τηλικοῦτος. ὑπὲρ ἐπιτάσεως, ὅτι εἰ καὶ δίκαιός τις ἐξουσίαν ἀντιλέγειν τοῖς γονεῦσιν, ἀλλ' οὐ ταύτῃ παρθένῳ οὔσῃ ἔπρεπε τηλικαύτῃ.

Αἰσχύνης ἄτερ. ἀντὶ τοῦ ἀναισχύντως. τὸ χωρὶς, τὸ ἄνευ, καὶ τὸ δίχα κοινά. τὸ δὲ ἄτερ ποιητικόν. ¶ Ἔξωρα πράσσω. κἀγώ φησιν αἰσθάνομαι ἀνεπιτήδειά τινα πράσσουσα, καὶ οὐ κατὰ τὴν ἐμὴν ὥραν. ¶ Καὶ τὰ σὰ ἔργα ἐξαναγκάζει με. ἐμφατικώτερον τὸ ἐξαναγκάζει με διὰ τῆς προθέσεως. ¶ Ἦ σ' ἐγὼ καὶ τἄμ' ἔπη. ὡς δὴ καὶ τοῖς ἔργοις καὶ τοῖς λόγοις μετριάζουσα πρὸς αὐτὴν, ταῦτά φησιν ἡ Κλυταιμνήστρα. Θράσους τοῦδ' οὐκ ἀλύξεις, εὖτ' ἂν Αἴγισθος μόλῃ. πιθανῶς διὰ τὸ ἀγρίου ἔφη τὸν Αἴγισθον, ὑπὲρ τοῦ παρρησίαν δοθῆναι τῇ κόρῃ. ¶ Ἐκφέρῃ. ἐκκλίνεις. τὸ ἐκφέρεσθαι κυρίως ἐπὶ τοῦ νεκροῦ λέγεται, καὶ ὅταν φέρει τινὰ ἵππος ἔξω τῆς εὐθείας ὁδοῦ, ἀφ' οὗ κατὰ μεταφορὰν λέγεται ἐνταῦθα τὸ πρὸς ὀργὴν ἐκφέρῃ. ἡγεμὼν γάρ ἐστιν ὁ λογισμός. ὁ δὲ θυμὸς καὶ ἡ ἐπιθυμία ὡς ἄλογα τινὰ ζῶα. νικώμενος οὖν ὁ λογισμὸς ὑπὸ τούτων, ἐκφέρεται τῶν προσηκόντων, ὥσπερ ὑπὸ ἵππων.

ΗΛ. Καὶ ταῦτα τηλικοῦτος. ἆρ' οὔ σοι δοκῶ
χωρεῖν ἂν εἰς πᾶν ἔργον αἰσχύνης ἄτερ;

ΗΛ. Εὖ νῦν ἐπίστω τῶνδέ μ' αἰσχύνην ἔχειν,
κεἰ μὴ δοκῶ σοι. μανθάνω δ' ὅθ' οὕνεκα
ἔξωρα πράσσω, κοὐκ ἐμοὶ προσεικότα.
ἀλλ' ἡ γὰρ ἐκ σοῦ δυσμένεια, καὶ τὰ σὰ
ἔργ' ἀναγκάζει με ταῦτα δρᾶν βίᾳ.
" Αἰσχροῖς γὰρ αἰσχρὰ πράγματ' ἐκδιδάσκεται.

ΚΛ. Ὦ θρέμμ' ἀναιδές. ἦ σ' ἐγὼ, καὶ τἄμ' ἔπη,
καὶ τἄργα τἀμὰ, πόλλ' ἄγαν λέγειν ποιεῖ;

ΗΛ. Σύ τοι λέγεις νιν, οὐκ ἐγώ. σὺ γὰρ ποιεῖς
τοὔργον. τὰ δ' ἔργα τοὺς λόγους εὑρίσκεται.

ΚΛ. Ἀλλ' οὐ μὰ τὴν δέσποιναν Ἄρτεμιν, θράσους
τοῦδ' οὐκ ἀλύξεις, εὖτ' ἂν Αἴγισθος μόλῃ.

ΗΛ. Ὁρᾷς; πρὸς ὀργὴν ἐκφέρῃ, μεθεῖσά μοι
λέγειν ἃ χρῄζοιμ', οὐδ' ἐπίστασαι κλύειν.

ΚΛ. Οὔκουν ἐάσεις οὐδ' ὑπ' εὐφήμου βοῆς
θῦσαί μ', ἐπειδὴ σοί γ' ἐφῆκα πᾶν λέγειν;

ΗΛ. Ἐῶ, κελεύω, θῦε. μηδ' ἐπαιτιῶ
τοὐμὸν στόμ', ὡς οὐκ ἂν πέρα λέξαιμ' ἔτι.

ΚΛ. Ἔπαιρε δὴ σὺ θύμαθ' ἡ παροῦσά μοι
πάγκαρπ' ἄνακτι τῷδ', ὅπως λυτηρίους
εὐχὰς ἀνάσχω δειμάτων, ὧν νῦν ἔχω.
κλύοις ἂν ἤδη Φοῖβε προστατήριε

Χρῄζοιμι. θέλοιμι. χρῄζω τὸ χρείαν ἔχω καὶ τὸ θέλω, ὧν τὸ μὲν συντάσσεται γενικῇ τὸ χρείαν ἔχω, τὸ δὲ θέλω αἰτιατικῇ. Οὔκουν ἐάσεις. οὐκ ἐμμενεῖς οἷς πρότερον εἶπας. ἔφην γὰρ, καὶ μὴν ἐφίημι. πιθανῶς δὲ, οὐ γὰρ χρὴ ἐν ταῖς ἀντιλογίαις θυμοῦσθαι τὸν ἡττώμενον. ¶ Ἐῶ. κελεύω. θῦε. μηδ' ἐπαιτιῶ. δεῖ γὰρ καὶ προκόπτειν τὴν ὑπόθεσιν. διὸ οὐ ποιεῖται πλείονας ἀντιρρήσεις. ¶ Ἔπαιρε δὴ σύ. πρὸς θεράπαιναν φησί. Θύματα. θυμιάματα. Πάγκαρπα. ἐπεὶ πανόσπρια ἔθυον τοῖς θεοῖς. ¶ Εὐχὰς ἀνάσχω. ἀναπέμψω. ἀνέχω ἐπὶ τῆς εὐχῆς, τὸ ἀναπέμπω. ἀνέχω ἐπὶ τῶν χειρῶν, ἀντὶ τοῦ ὑψῶ. ἀνέχω ἐπὶ βάρους, ἀντὶ τοῦ βαστάζω. ἀνέχει δὲ ὁ ἥλιος, ἀντὶ τοῦ ἀνατέλλει. καὶ ἀνίσχει ἡ βοτάνη, ἀντὶ τοῦ βλαστάνει. ἀνίσχομαι δὲ παθητικῶς τὸ ὑπομένω. ¶ Κλύοις ἄν. ἐπάκουε. ἐπὶ γὰρ μεγάλων προσώπων, ἐ-

φθῶν ἐδόκει εἶναι τὸ φανερῶς προστάττειν ἔχειν· γὰρ οἱ ἀττικοὶ εὐκτικῷ μετὰ τοῦ ἄν, ὡς ἐνταῦθα. Προστατηρίου. ὅτι πρὸ τῶν θυρῶν ἵδρυται. ΒΑΞΙΝ. λόγον. ¶ Οὐ γὰρ ἐν φίλοις. οὐκ εἰς τὸν χορὸν ἀποτείνεται, ἀλλὰ εἰς τὴν Ἠλέκτραν. ¶ Σπείρῃ ματαίαν. τὸ ματαίαν οὐκ ἔστι ψευδῆ ἀλλ' ἀνωφελῆ. τί γὰρ πράξει τοὺς κρατοῦντας διαβάλλουσα. ματαίαν γοῦν κοινὴν λέγει δηλονότι τὸ μηδὲν αὐτὴν δύνασθαι πρᾶξαι. ℭ Ἀλλ' ὧδ' ἄκουε. οὕτως ἐμοῦ λεγούσης ℭ τῇδε γάρ. ἀντὶ τοῦ τούτῳ τρόπῳ.

κεκρυμμένως μου βάξιν. οὐ γὰρ ἐν φίλοις
ὁ μῦθος. οὐδὲ πᾶν ἀναπτύξαι πρέπει
πρὸς φῶς, παρούσης τῆσδε πλησίας ἐμοί.
μὴ σὺν φθόνῳ τε καὶ πολυγλώσσῳ βοῇ
σπείρῃ ματαίαν βάξιν ἐς πᾶσαν πόλιν.
ἀλλ' ὧδ' ἄκουε. τῇδε γὰρ κἀγὼ φράσω.
ἃ γὰρ προσεῖδον νυκτὶ τῇδε φάσματα,
δισσῶν ὀνείρων, ταῦτά μοι λύκει' ἄναξ,
εἰ μὲν πέφυκεν ἐσθλά, δὸς τελεσφόρα.
εἰ δ' ἐχθρά, τοῖς ἐχθροῖσιν ἔμπαλιν μέθες.
καὶ μή με πλούτου τοῦ παρόντος εἴ τινες
δόλοισι βουλεύουσιν ἐκβαλεῖν, ἐφῇς.
ἀλλ' ὧδέ μ' αἰεὶ ζῶσαν ἀβλαβεῖ βίῳ,
δόμους ἀτρειδῶν σκῆπτρά τ' ἀμφέπειν τάδε,
φίλοισί τε ξυνοῦσαν, οἷς ξύνειμι νῦν
εὐημεροῦσαν, καὶ τέκνων ὅσων ἐμοὶ
δύσνοια μὴ πρόσεστιν, ἢ λύπη πικρά.
ταῦτ' ὦ λύκει' Ἄπολλον ἵλεως κλύων,
δὸς πᾶσιν ἡμῖν, ὥσπερ ἐξαιτούμεθα.
τὰ δ' ἄλλα πάντα, καὶ σιωπώσης ἐμοῦ,
ἐπαξιῶ σε δαίμον' ὄντ' ἐξειδέναι.

¶ Δισσῶν ὀνείρων. ἢ διπλῆν ἐχόντων φύσιν, ὡς καὶ ὅμηρος, Δοιαὶ γάρ τε πύλαι ἀμενηνῶν εἰσιν ὀνείρων. δύναται δὲ τὸ δισσῶν, καὶ ἀριθμὸν ἐμφαίνειν. ὡς δύο αὐτῆς ὀνείρους θεασαμένης. καὶ τὸ μὲν ἕν, φάσμα ἠγησαμένης εἶναι, ὑπὲρ οὗ καὶ πέπομφεν ἀποτροπιασθησομένην τὴν χρυσόθεμιν. τάχα δὲ καὶ ἕτερον αὐτὴν κεκίνηκεν, ὑπὲρ οὗ καὶ εὔχεται τῷ ἀπόλλωνι, ὅπερ οὐδὲ ἐξεῖπε πρός τινα, οὐδὲ πρὸς τὸν ἀπόλλωνα. ἢ δισσῶν ὀνείρων, τῶν ἀμφιβόλων καὶ διασοφιστῶν. ἔλυσε δὲ αὐτό, εἰποῦσα. εἰ μὲν πέφυκεν ἐσθλά, δὸς τελεσφόρα. εἰ δ' ἐχθρά, τοῖς ἐχθροῖσιν ἔμπαλιν μέθες. ℭ Ἀλλ' ὧδέ μ' αἰεὶ ζῶσαν. τὸ ὅλον ὑπὲρ τῆς αἰγίσθου εὔχεται διὰ δὲ τῆς πληθυντικοῦ τοὺς φίλους, τὸ γλυκερὸν τοῦ λόγου ἐπεκάλυψεν. ¶ Ἀμφέπειν. τὸ γὰρ διέπειν διατιθεῖν, περιέπειν δὲ τὸ φίλον τινὰ κυβερνᾶν καὶ σκέπειν. ¶ Φίλοισί τε ξυνοῦσαν. ἀκατάλληλον φαίνεται τὸ ὅλον. ἐὰν μὴ ἔξωθεν τὸ οἷς ξύνειμι νῦν, ἀπὸ κοινοῦ λαμβανόμενον, φίλοισί τε καὶ τέκνοις συνοῦσαν, οἷς ξύνειμι νῦν. τὸ δὲ δύσνοια, ἀπ' αὐτῶν εἰς ἐμέ. ἢ ἀπ' ἐμοῦ εἰς αὐτούς. ¶ Εὐημεροῦσαν. ἑκάστην ἡμέραν εὖ διάγουσαν. ¶ Τὰ δ' ἄλλα πάντα. τὰ περὶ τῆς τελευτῆς ὀρέστου, ἔοικεν εὔχεσθαι. ζητοῦσι δὲ διά τι ἐνταῦθα μὲν οὐκ ἐμφαίνει περὶ τοῦ ὀρέστου, ὕστερον δὲ τοῦ ἀγγέλου ἐλθόντος φαίνεται ἐφησθομένη; ῥητέον δέ, ὅτι νῦν μὲν προσδοκῶσα αὐτὸν ἥξοντα ζῶντα, ὑποστέλλεται περὶ αὐτοῦ. τότε δὲ ὡς κατὰ ἀποθανόντος παρρησιάζεται ἄφοβος γενομένη.

Ε παξιῶ. ἀξιῶ, παρακαλῶ. ἀξιῶ ποιεῖν τόδε, καὶ ἀξιῶ σε τόδε, καὶ ἀμφότερα

ἀντὶ τοῦ ἄξιον κείνου. ἀξιῶ δὲ τὸ παρακαλῶ. καὶ ἔστι τοῦτο ἀττικὴ μόνη.

ΞΕΝΑΙ γυναῖκες. ὁ παιδαγωγὸς ἥκει πλασάμενος τὰ περὶ τοῦ θανάτου Ὀρέστου. τὸ δὲ ἦθος αὐτοῦ μέσον ἐστίν. οὔτε ἀττικιζόμενος παντάπασιν, οὔτε ἡδόμενος, ἀλλ' ὡς ξένος. εὐκαίρως δὲ ἥκει ἔξω οὐσῶν ἀμφοτέρων. πρῶτον ἵνα μὴ δισσολογίῃ πρὸς ἀμφοτέρας ἀπαγγέλλων. δεύτερον πρὸς τὸ δηλωθῆναι τὴν γνώμην ἀμφοτέρων. πιθανῶς δὲ ἐρωτᾷ ὡς ἀγνοῶν. Πρέπει γὰρ ὡς τύραννος. στοχάζεται ἐκ τῆς στολῆς καὶ τῶν βασιλείων. ¶ Ἐδεξάμην λείπει ἡ ἀπὸ, ἵν' ᾖ ἀπεδεξάμην.

Τί φής, τί φής. οἱ ἡδέως ἀκούοντες τῶν λόγων, κἂν πάνυ σαφῶς ἀκούσωσι, δὶς καὶ τρὶς τὰ αὐτὰ ἀκούειν βούλονται. ¶ Μὴ ταύτης κλύε. οἷον μὴ διὰ ταύτην φυλάξῃ εἰπεῖν τὰ ἑξῆς. Τῷ τρόπῳ διόλλυται. ἴδιον καὶ τοῦτο τῶν ἡδομένων. μαθόντες γὰρ τὸ πᾶν, καὶ τὸ κατὰ μέρος ἡδόμενοι πυνθάνονται. ἔπειτα ὁ ποιητὴς βούλεται εὐδοκιμεῖν περὶ ἀγῶνος λέγων ἑλληνικοῦ. Δελφικῶν ἄθλων χάριν. οὔπω ἦν ἤδη ὀρέστου ὁ πυθικὸς ἀγών. Δρόμου δ' ἰσώσας. τοῦ ἐκ ποδὸς δρόμου. τινὲς δολιχόν φασιν ἀγωνίσασθαι Ὀρέστην. ὅς ἐστιν εἴκοσι σταδίων, εἴκοσι ἐτῶν ὄντα. ὥστε τῇ φύσει ἴσα τὰ τέρματα τοῦ δρόμου ἐποίησεν. Ἄλλως. Δρόμου δ' ἰσώσας. οἷον, οὐκ ἐλλείπων κατὰ τὰ τέρματα, ἀλλ' ἴσος φανεὶς τοῖς τέρμασι. κατὰ τὴν αὐτοῦ φύσιν τῆς νίκης ἔτυχεν. ἀλλ' ὁμοίως καὶ ἴσως τεθαυμασμένος ἐν τῷ ἀγωνίσματι ὡς ἤδη τῇ μορφῇ. ἀντὶ τοῦ ὡς θαυμαστὸς ἤδη τῇ μορφῇ, οὕτω καὶ τῷ ἔργῳ ἐφάνη, ὡς ἤδη τῷ εἴδει, οὕτω καὶ ἤδη τῷ ἔργῳ.

,, Τοὺς ἐκ Διός γὰρ εἰκός ἐστι πάνθ' ὁρᾶν.
ΠΑΙ Ξέναι γυναῖκες, πῶς ἂν εἰδείην σαφῶς
εἰ τοῦ τυράννου δώματ' Αἰγίσθου τάδε;
ΧΟ τάδ' ἐστὶν ὦ ξέν'. αὐτὸς εἴκασας καλῶς.
ΠΑΙ ἦ καὶ δάμαρτα τήνδ' ἐπεικάζων κυρῶ
κείνου; πρέπει γὰρ ὡς τύραννος εἰσορᾶν.
ΧΟ Μάλιστα πάντων ἥδε σοι κείνη πάρα.
ΠΑΙ ὦ χαῖρ' ἄνασσα. σοὶ φέρων ἥκω λόγους
ἡδεῖς φίλου παρ' ἀνδρὸς, Αἰγίσθῳ θ' ὁμοῦ.
ΚΛ Ἐδεξάμην τὸ ῥηθέν. εἰδέναι δέ σου
πρώτιστα χρῄζω, τίς σ' ἀπέστειλε βροτῶν.
ΠΑΙ Φανοτεὺς ὁ Φωκεὺς, πρᾶγμα πορσύνων μέγα.
ΚΛ τὸ ποῖον ὦ ξέν', εἰπέ. παρὰ φίλου γὰρ ὢν
ἀνδρὸς, σάφ' οἶδα, προσφιλεῖς λέξεις λόγους.
ΠΑΙ τέθνηκε Ὀρέστης. ἐν βραχεῖ ξυνθεὶς λέγω.
ΗΛ Οἲ 'γὼ τάλαιν', ὄλωλα τῇδ' ἐν ἡμέρᾳ.
ΚΛ Τί φὴς τί φὴς ὦ ξεῖνε; μὴ ταύτης κλύε.
ΠΑΙ θανόντ' Ὀρέστην νῦν τε καὶ τότ' ἐννέπω.
ΗΛ ἀπωλόμην δύστηνος. οὐδέν εἰμ' ἔτι.
ΚΛ Σὺ μὲν τὰ σαυτῆς πρᾶσσ'. ἐμοὶ δὲ σὺ ξένε,
τἀληθὲς εἰπέ, τῷ τρόπῳ διόλλυται.
ΠΑΙ Κἀπεμπόμην πρὸς ταῦτα, καὶ τὸ πᾶν φράσω.
κεῖνος γὰρ ἐλθὼν εἰς τὸ κλεινὸν Ἑλλάδος
πρόσχημ' ἀγῶνος, Δελφικῶν ἄθλων χάριν,
ὅτ' ᾔσθετ' ἀνδρὸς ὀρθίων κηρυγμάτων,
δρόμον προκηρύξαντος, οὗ πρώτη κρίσις,
εἰσῆλθε λαμπρὸς, πᾶσι τοῖς ἐκεῖ σέβας.
δρόμου δ' ἰσώσας τῇ φύσει τὰ τέρματα,
νίκης ἔχων ἐξῆλθε πάντιμον γέρας.
χ' ὥπως μὲν ἐν πολλοῖσι παῦρά σοι λέγω,
οὐκ οἶδα τοιοῦδ' ἀνδρὸς ἔργα καὶ κράτη.
ἓν δ' ἴσθ', ὅσων γὰρ εἰσεκήρυξαν βραβῆς

ΠΕΝΤάεθλ', ἃ νομίζεται. ἅλμα. δίσκον. ἄκοντα. δρόμον. πάλην, ταῦτα ἐν μιᾷ
» τις ἠγωνίζετο ἡμέρᾳ. ¶ Ὅταν δέ τις θεῶν. ὅμοιον τούτῳ τὸ Πινδαρικόν, Θεὸς
» ὃ καὶ πτερόεντ' αἰετὸν κίχε, καὶ θαλασσαῖον παραμείβεται δελφῖνα. ¶ Εἰσῆλθε πολ-

δρόμων διαύλων πεντάεθλ', ἃ νομίζεται,
τούτων ἐνεγκὼν πάντα τἀπινίκια,
ὠλβίζετ', Ἀργεῖος μὲν ἀνακαλούμενος,
ὄνομα δ' Ὀρέστης, τοῦ τὸ κλεινὸν Ἑλλάδος
Ἀγαμέμνονος στράτευμ' ἀγείραντός ποτε.
» καὶ ταῦτα μὲν τοιαῦθ'. ὅταν δέ τις θεῶν
» βλάπτῃ, δύναιτ' ἂν οὐδ' ἂν ἰσχύων φυγεῖν.
κεῖνος γὰρ ἄλλης ἡμέρας, ὅθ' ἱππικῶν
ἦν, ἡλίου τέλλοντος, ὠκύπους ἀγών,
εἰσῆλθε πολλῶν ἁρματηλατῶν μέτα.
εἷς ἦν ἀχαιός. εἷς ἀπὸ σπάρτης. δύο
λίβυες ζυγωτῶν ἁρμάτων ἐπιστάται.
κἀκεῖνος ἐν τούτοισι, θεσσαλὰς ἔχων
ἵππους ὁ πέμπτος. ἕκτος ἐξ Αἰτωλίας
ξανθαῖσι πώλοις. ἕβδομος, μάγνης ἀνήρ.
ὁ δ' ὄγδοος, λεύκιππος Αἰνειὰν γένος.
ἔνατος, Ἀθηνῶν τῶν θεοδμήτων ἄπο.
Βοιωτὸς ἄλλος δέκατον ἐκπληρῶν ὄχον.
στάντες δ' ὅθ' αὐτοὺς οἱ τεταγμένοι βραβῆς
κλήροις ἔπηλαν, καὶ κατέστησαν δίφρους,
χαλκῆς ὑπαὶ σάλπιγγος ᾖξαν. οἱ δ' ἅμα
ἵπποις ὁμοκλήσαντες, ἡνίας χεροῖν
ἔσεισαν. ἐν δὲ πᾶς ἐμεστώθη δρόμος,
κτύπου κροτητῶν ἁρμάτων. κόνις δ' ἄνω
φορεῖθ'. ὁμοῦ δὲ πάντες ἀναμεμιγμένοι,
φείδοντο κέντρων οὐδέν. ὡς ὑπερβάλοι
χνόας τις αὐτῶν, καὶ φρυάγμαθ' ἱππικά.
ὁμοῦ γὰρ ἀμφὶ νῶτα καὶ τροχῶν βάσεις,
ἤφριζον, εἰσέβαλλον ἱππικαὶ πνοαί.
κεῖνος δ' ὑπ' αὐτὴν ἐσχάτην στήλην ἔχων,

λῶν. φιλοτίμως. διὰ τὴν πιθανότητα ταῦτα ἐπεξεργάζεται. ¶ Κἀκεῖνος ἐν τούτοισιν. ὁ ὀρέστης. ℂ Λεύκιππος Αἰνιάν. ἐμοὶ δοκεῖ ὄνομα εἶναι. οὐδὲν γὰρ ἄρθρον ἐπίθετον ἐστί. ὄνομα γὰρ κύριον οὐ προτέθηκε πρὸς τὸ τοῦ πράγματος ἀνεξέλεγκτον. ὅλη γὰρ ἡ διήγησις τοῦ ἀγῶνος πέπλασται. οἱ δὲ αἰνιᾶνες, τῶν θεσπρωτῶν ἢ θρᾳκῶν. Ὅμηρος, τῷ δ' ἐνιῆνες ἕποντο, μενεπτόλεμοί τε περαιβοί. ℂ Ἔνατος. ἐννέα δύο νν. ἔνατος ἕν. ¶ Ἀθηνῶν τῶν θεοδμήτων ἄπο. προχαρίζεται τοῖς ἀθηναίοις ἐν ἀθηναίοις λέγων. ¶ Ὄχον. ὄχος ἀρσενικῶς τὸ ἅρμα. ὄχεα δὲ πληθυντικῶς παρ' Ὁμήρῳ οὐδετέρως. ὄχημα δὲ παρὰ τοῖς κοινοῖς, τὸ αὐτό, ὡς παρὰ Λουκιανῷ, καὶ ἠξίου ὄχημα ζεύγνυσθαι αὐτῷ.

ℂ Ὡς ὑπερβάλοι χνόας τις αὐτῶν. οἷον πρόεδρος τοῦ δρόμου γένηται. χνόας δὲ τὰς τοῦ ἄξονος σύριγγας, καὶ τὰ ἱππικὰ φρυάγματα. ἀπὸ δὲ μέρους τὸ ὅλον ἅρμα. σύριγξ δέ ἐστι τὸ εἰς τὴν ὀπὴν τοῦ τροχοῦ ἐμβαλλόμενον μέρος τοῦ ἄξονος. καὶ αὐτὴ δὲ ἡ ὀπὴ τοῦ τροχοῦ οὕτως καλεῖται. λείπει δὲ τό, ἐλαύνων. τὸ δὲ χνόας, βραδέως. τὰ γὰρ εἰς η. δισύλλαβα ἐπὶ ο. παραληγόμενα, ἀπὸ δύο συμφώνων ἀρχόμενα ὧν πρόκειται δασύ, βαρύνεται, χνόη. φθόη. χλόη. τὸ δὲ πνοὴ οὐκ ἔχει δασύ. Ὑπερβάλοι. ὑπεκδράμοι. ¶ Φρυάγματα. φυσήματα. πνεύματα. ℂ Στήλην. τὸν λίθον τὸν καμπτῆρα. στῆλαι κυβοειδεῖς λίθοι ἦσαν γράμματα τινῶν ἔχοντες. ἐσχάτην δὲ λέγει, ἐπεὶ καὶ ἄλλαι ἦσαν ἐν τῷ μέσῳ τοῦ δρόμου.

Ἔχριμπτ' αἰέν. ὅ ἐστι, προσεπέλαζε τῷ καμπτῆρι ἀεὶ τὴν ὀπὴν τοῦ τροχοῦ. Σύριγγα, τὴν ὀπὴν τοῦ τροχοῦ. ¶ Σειραῖον ἵππον. τὸν ἔξω τοῦ ζυγοῦ. τὸν δεξιόν. προσκείμενον δὲ τῷ καμπτῆρι ἀριστερόν. ¶ Ἄστομοι. σκληρόστομοι. Ἐκ δ' ὑποστροφῆς. ἐξ ὑπαντήσεως ἐκείνων ὑποστρεφόντων. ¶ Βαρκαίοις ὄχοις. τοῖς λιβυκοῖς. Βάρκη γὰρ πόλις Λιβύης, ἡ νῦν Πτολεμαῒς καλουμένη. ¶ Ναυαγίων. τῶν πτωμάτων. ¶ Γνοὺς δ' οὐξ Ἀθηνῶν δεινὸς ἡνιοστρόφος. ἀντὶ τοῦ ἔμπειρος. πρὸς εὔνοιαν δὲ τῶν ἀκροωμένων ἐπαινεῖ αὐτὸν ὡς Ἀθηναῖον.

Ἔξω παρασπᾷ. φυλαξάμενός φησι τοὺς τοῖς συμπεσοῦσιν ἐμπεσεῖν, ἔξω ἀπ' αὐτῶν παρασπᾷ. ¶ Κἀνακωχεύει. ἀνασειράζει, κατέχει. ἀνακωχεύειν γὰρ κυρίως λέγεται, ὅταν χειμῶνος ὄντος, ἐν τῷ πελάγει στείλαντες τὰ ἄρμενα σαλεύωσιν αὐτόθι, μὴ διαμαχόμενοι τῷ πνεύματι. μεταφορικῶς οὖν ἐπὶ τοῦ ἅρματος εἴρηκεν. οὐ διημιλλήσατο, ἀλλ' ἀφῆκε τὸν τῶν ἵππων κλύδωνα, καὶ ὕστερος ἠρέμα ἤλαυνε.

Πώλους Ὀρέστης. πῶλος λέγεται ἀρσενικῶς καὶ θηλυκῶς. ℂ Τῷ τέλει πίστιν φέρων. οἷον πιστεύων ἐπὶ τῷ τέλει τοῦ δρόμου περιελεύσεσθαι. ἢ νομίζων ἕως τοῦ τέλους οὕτως ἐλαύνειν. ℂ Κἀξισώσαντε τὼ ζυγά. ὁ Ὀρέστης καὶ ὁ Ἀθηναῖος. ¶ Λύων ἡνίαν. χαυνῶν. δέον τὸ συμπεπλέχθαι. ℂ Ἔθραυσε δ' ἄξονος μέσας χνόας. τὸ λεπτὸν μέρος τοῦ ἄξονος, τὸ τετριβόμενον ὑπὸ τῆς χοινικίδος. εἴρηται δὲ ὁμοίως τὸ παρ' Ἀπολλωνίῳ, Ἀζόμενος πλήμνῃσι περὶ κλιδὸν αἰνομένῃσι.

ἔχριμπτ' ἀεὶ σύριγγα, δεξιὸν δ' ἀνεὶς
σειραῖον ἵππον, εἶργε τὸν προσκείμενον.
καὶ πρὶν μὲν ὀρθοὶ πάντες ἕστασαν δίφροι.
ἔπειτα δ' Αἰνιᾶνος ἀνδρὸς ἄστομοι
πῶλοι βίᾳ φέρουσιν. ἐκ δ' ὑποστροφῆς
τελοῦντες ἕκτον ἕβδομόν τ' ἤδη δρόμον,
μέτωπα συμπαίουσι βαρκαίοις ὄχοις.
κἀντεῦθεν ἄλλος ἄλλον ἐξ ἑνὸς κακοῦ
ἔθραυε, κἀνέπιπτε. πᾶν δ' ἐπίμπλατο
ναυαγίων Κρισαῖον ἱππικῶν πέδον.
γνοὺς δ' οὐξ Ἀθηνῶν δεινὸς ἡνιοστρόφος,
ἔξω παρασπᾷ, κἀνακωχεύει, παρεὶς
κλύδων' ἔφιππον ἐν μέσῳ κυκώμενον.
ἤλαυνε δ' ἔσχατος μὲν, ὑστέρας δ' ἔχων
πώλους Ὀρέστης, τῷ τέλει πίστιν φέρων.
ὁ δ' ὡς ὁρᾷ μόνον νιν ἐλλελειμμένον,
ὀξὺν δι' ὤτων κέλαδον ἐνσείσας θοαῖς
πώλοις, διώκει. κἀξισώσαντε ζυγὰ,
ἠλαυνέτην, τότ' ἄλλος ἄλλοθ', ἅτερος
κάρα προβάλλων ἱππικῶν ὀχημάτων.
καὶ τοὺς μὲν ἄλλους πάντας ἀσφαλὴς δρόμους
ὠρθοῦθ' ὁ τλήμων ὀρθὸς ἐξ ὀρθῶν δίφρων.
ἔπειτα, λύων ἡνίαν ἀριστερὰν
κάμπτοντος ἵππου, λανθάνει στήλην ἄκραν
παίσας, ἔθραυσε δ' ἄξονος μέσας χνόας,
κἀξ ἀντύγων ὤλισθε. σὺν δ' ἑλίσσεται
τμητοῖς ἱμᾶσι. τοῦ δὲ πίπτοντος πέδῳ,
πῶλοι διεσπάρησαν εἰς μέσον δρόμον.
στρατὸς δ' ὅπως ὁρᾷ νιν ἐκπεπτωκότα
δίφρων, ἀνωλόλυξε τὸν νεανίαν,

Λαγχάνει

ΛΑΓΧΑΝΕΙ. γράφεται καὶ τυγχάνει.

οἷ' ἔργα δράσας, οἷα λαγχάνει κακά.
φορούμενος πρὸς οὖδας, ἄλλοτ' οὐρανῷ
σκέλη προφαίνων. ἔστε νιν διφρηλάται
μόλις κατασχέθοντες ἱππικὸν δρόμον,
ἔλυσαν αἱματηρὸν, ὥστε μηδένα
γνῶναι φίλων ἰδόντ' ἂν ἄθλιον δέμας.
καί νιν πυρᾷ κήαντες εὐθὺς, ἐν βραχεῖ
χαλκῷ μέγιστον σῶμα, δειλαίας σποδοῦ
φέρουσιν ἄνδρες Φωκέων τεταγμένοι,
ὅπως πατρῴας τύμβον ἐκλάχοι χθονός.
τοιαῦτά σοι ταῦτ' ἐστίν. ὡς μὲν ἐν λόγοις
ἀλγεινά. τοῖς δ' ἰδοῦσιν, οἵπερ εἴδομεν,
μέγιστα πάντων, ὧν ὄπωπ' ἐγὼ κακῶν.
Χο φεῦ, φεῦ. τὸ πᾶν δὴ δεσπόταισι τοῖς πάλαι
πρόρριζον ὡς ἔοικεν ἔφθαρται γένος.
Κλ Ω Ζεῦ, τί ταῦτα. πότερον εὐτυχῆ λέγω,
ἢ δεινὰ μὲν, κέρδη δέ. λυπηρῶς δὲ ἔχει,
εἰ τοῖς ἐμαυτῆς τὸν βίον σῴζω κακοῖς.
Πα τί δ' ὧδ' ἀθυμεῖς ὦ γύναι τῷ νῦν λόγῳ;
Κλ Δεινὸν τὸ τίκτειν ἐστίν. οὐδὲ γὰρ κακῶς
πάσχοντι, μῖσος ὧν τέκῃ προσγίνεται.
Πα Μάτην ἄρ' ἡμεῖς ὡς ἔοικεν ἥκομεν.
Κλ Οὔ τι μάτην γε. πῶς γὰρ ἂν μάτην λέγεις,
εἴ μοι θανόντος πίστ' ἔχων τεκμήρια
προσῆλθες. ὅστις τῆς ἐμῆς ψυχῆς γεγὼς,
μαστῶν ἀποστὰς, καὶ τροφῆς ἐμῆς, φυγὰς
ἀπεξενοῦτο. καί μ' ἐπεὶ τῆσδε χθονὸς
ἐξῆλθεν, οὐκέτ' εἶδεν. ἐγκαλῶν δέ μοι
φόνους πατρῴους, δείν' ἐπηπείλει τελεῖν.
ὥστ' οὔτε νυκτὸς ὕπνον, οὔτ' ἐξ ἡμέρας
ἐμὲ στεγάζειν ἡδύν. ἀλλ' ὁ προστατῶν
χρόνος διῆγέ μ' αἰὲν ὡς θανουμένην.
Νῦν δ', ἡμέρᾳ γὰρ τῇδ', ἀπήλλαγμαι φόβου
πρὸς τῆσδ' ἐκείνου θ'· ἥδε γὰρ μείζων βλάβη
ξύνοικος ἦν μοι, τοὐμὸν ἐκπίνουσ' ἀεὶ
ψυχῆς ἄκρατον αἷμα, νῦν δ' ἕκηλά που

¶ Ἔλυσαν αἱματηρὸν ὥστε μηδένα. καὶ ἵνα ἀξιόπιστος εἴη ὁ ἄγγελος. ἵνα πάλιν τὸ περιπαθὲς εἴη τῇ Ἠλέκτρᾳ. ℂ Αἱματηρόν. ᾑμαγμένον. αἱματηραὶ αἱ σταγόνες αἱ ἀπὸ αἵματος στάζουσαι. ᾑμαγμέναι δὲ τῷ αἵματι μεμιγμέναι. ¶ Ἐν βραχεῖ χαλκῷ. ἀγγείῳ. ἡ εὐθεῖα ὁ βραχὺς χαλκὸς ὃ δηλοῖ τὴν οὐσίαν τοῦ χαλκοῦ καὶ τὴν ὕλην. ἀπὸ δὲ τῆς ὕλης ἐνταῦθα δηλοῦται τὸ ἀγγεῖον τὸ ἐκ τῆς ὕλης. ℂ Μέγιστον σῶμα δειλαίας σποδοῦ. ἀντίπτωσις, ἀντὶ τοῦ σποδὸν δειλαίαν μεγίστου σώματος. ℂ Ω Ζεῦ. ὡς μὲν γυνὴ κεκίνηται ἐπὶ τῷ πάθει. πρὸς δὲ τὸν κίνδυνον ἀποβλέπουσα ἥδεται. διὰ δὲ τὸν χρόνον ἀλγεῖν ὑποκρίνεται. ¶ Η δεινὰ μέν. λυπηρόν ἐστιν, εἰ ἐν τοῖς τοιούτοις δεινοῖς τὴν ζωήν μου διαβιώσω.

¶ Φυγάς. ἀντὶ τοῦ φυγών. φυγάδες γὰρ κυρίως οἱ διωχθέντες ἀπὸ τῆς οἰκίας πατρίδος. ἐνταῦθα δὲ τὸ φυγὰς ἀντὶ τοῦ φυγὼν ἐστί. ¶ Ο προστατῶν χρόνος. ὁ ἐπιγινόμενος. ℂ Ξύνοικος ἦν μοι. τοῦτο οἰκονομικῶς. εἰ γὰρ ἀπεστήσασα ἐπὶ τοῖς ἠγγελμένοις, ἀπέκλινεν ἑαυτὴν, διέλυσεν ἂν τὴν ὑπόθεσιν.

ΗΜΕΡΕΥΣΟΜΕΝ. διημερεύσομεν. διημερεύω δὲ τὴν ἡμέραν διαβιβάζω· οὕτω καὶ διανυκτερεύω. ἐνταῦθα δὲ τὸ διημερεύσομεν ἀντὶ τοῦ βιωσόμεθα. ¶ Νέμεσι. ἤγουν δίκη. Νέμεσις, Δίκη, καὶ Ἀδράστεια ταυτόν. ¶ Πολλῶν ἂν ἄξιος. ἄξιος ἂν εἴης ὦ ξένε διὰ τὴν ὁδὸν ἣν ἦλθες τυχεῖν πολλῶν ἀγαθῶν. ¶ Πορεύσαντος. ἀποστείλαντος. πορεύομαι ἐγὼ, καὶ πορεύω ἕτερον, ἀντὶ τοῦ ἄγω. ὡς παρὰ Πλάτωνι, ὃ δὴ προστέτακται σοὶ ἐνθένδε, ἐκεῖσε πορεῦσαι, ἀντὶ τοῦ ἀπαγαγεῖν. ἐνταῦθα δὲ πορεύσαντος ἀντὶ τοῦ πέμψαντος λέγεται. ¶ Ἀλλ' εἴσιθ' εἴσω. περιττὸν δὲ εἴσω. τὸ γὰρ εἴσιθι τὸ εἴσω ἐλθὲ δηλοῖ, εἰσῆλθε δὲ εἰς τὴν οἰκίαν, λέγεται κατὰ λόγον. τὸ γὰρ εἰσῆλθε δηλοῖ μὲν τὸ εἴσω ἦλθον, οὐ μὴν καὶ ὅποι εἰσῆλθον ὡρισμένως, διὸ ἐπάπτεται εἰς τὴν οἰκίαν, ἢ εἰς τὴν πόλιν, καὶ οὐ δοκεῖ φορτικόν.

τῶν τῆσδ' ἀπειλῶν οὕνεχ' ἡμερεύσομεν.
ΗΛ Οἴμοι τάλαινα. νῦν γὰρ οἰμῶξαι πάρα
Ὀρέστα τὴν σὴν ξυμφοράν. ὅθ' ὧδ' ἔχων,
πρὸς τῆσδ' ὑβρίζῃ μητρός. ἆρ' ἔχει καλῶς;
ΚΛ Οὔ τοι σύ. κεῖνος δ' ὡς ἔχει, καλῶς ἔχει.
ΗΛ Ἄκουε Νέμεσι τοῦ θανόντος ἀρτίως.
ΚΛ Ἤκουσεν ὧν δεῖ, κἀπεκύρωσεν καλῶς.
ΗΛ Ὕβριζε. νῦν γὰρ εὐτυχοῦσα τυγχάνεις.
ΚΛ Οὔκουν Ὀρέστης καὶ σὺ, παύσετον τάδε.
ΗΛ Πεπαύμεθ' ἡμεῖς, οὐχ ὅπως σε παύσομεν.
ΚΛ Πολλῶν ἂν ἥκοις ὦ ξέν' ἄξιος τυχεῖν,
εἰ τήνδ' ἔπαυσας τῆς πολυγλώσσου βοῆς.
ΠΑ Οὐκοῦν ἀποστείχοιμ' ἂν, εἰ τάδ' εὖ κυρεῖ.
ΚΛ Ἥκιστ'. ἐπείπερ οὔτ' ἐμοῦ καταξίως
πράξειας, οὔτε τοῦ πορεύσαντος ξένου.
ἀλλ' εἴσιθ' εἴσω. τήνδε δ' ἔκτοθεν βοᾶν
ἔα τά θ' αὑτῆς, καὶ τὰ τῶν φίλων κακά.
ΗΛ Ἆρ' ὑμὶν ὡς ἀλγοῦσα κὠδυνωμένη
δεινῶς δακρῦσαι, κἀπικωκῦσαι δοκεῖ
τὸν υἱὸν ἡ δύστηνος ὧδ' ὀλωλότα;
ἀλλ' ἐγγελῶσα, φροῦδος. ὢ τάλαιν' ἐγώ,
Ὀρέστα φίλταθ', ὥς μ' ἀπώλεσας θανών.
ἀποσπάσας γὰρ τῆς ἐμῆς οἴχῃ φρενὸς,
αἵ μοι μόναι παρῆσαν ἐλπίδων ἔτι,
σὲ πατρὸς ἥξειν ζῶντα τιμωρόν ποτε,
κἀμοῦ ταλαίνης. νῦν δὲ ποῖ με χρὴ μολεῖν.
μόνη γάρ εἰμι, σοῦ τ' ἀπεστερημένη,
καὶ πατρὸς ἤδη, δεῖ με δουλεύειν πάλιν,
ἐν τοῖσιν ἐχθίστοισιν ἀνθρώπων ἐμοὶ,
φονεῦσι πατρός. ἆρά μοι καλῶς ἔχει;
ἀλλ' οὔ τι μὴν ἔγωγε τοῦ λοιποῦ χρόνου
ξύνοικος ἔσομ'. ἀλλὰ τῇδε πρὸς πύλῃ
παρεῖσ' ἐμαυτὴν, ἄφιλος αὐανῶ βίον.
πρὸς ταῦτα, καινέτω τις, εἰ βαρύνεται
τῶν ἔνδον ὄντων. ὡς χάρις μὲν ἢν κτάνῃ,
λύπη δ' ἐὰν ζῶ. τοῦ βίου δ' οὐδεὶς πόθος.

Ποῦ

ΠΟΥ ποτε κεραυνοὶ διός. ἐν τοῖς ἔμπροσθεν παραμυθούμενος ὁ χορὸς τὴν ἠλέκτραν ἔλεγε, θάρσει μοι τέκνον θάρσει. ἔστι μέγας ἐν οὐρανῷ ζεύς, καὶ τὰ ἑξῆς. νῦν δὲ πανταχόθεν ἀπογινωσκομένης τῆς σωτηρίας, καὶ περιστάσης αὐτὴν κατὰ τὸν ὀρέστην συμφορᾶς, εἰκότως παρακεκινδυνευμένῳ τῷ λόγῳ ἐχρήσατο, ὥστε καὶ περὶ θεῶν τι εἰπεῖν, καὶ ὅλως ἀμφιβάλλειν, εἰ ὅλως ἐν οὐρανῷ εἰσιν. εἴωθε πρὸς τὰ τοιαῦτα γινόμενα. καὶ τὸν μὲν

Χο ποῦ ποτε κεραυνοὶ διός, ἢ ποῦ φαέθων
ἅλιος, εἰ ταῦτ' ἐφορῶντες
κρύπτουσιν ἕκηλοι.

Ηλ ἒ ἒ, αἰαῖ.

Χο ὦ παῖ τί δακρύεις.

Ηλ φεῦ.

Χο μηδὲν μέγ' ἀΰσῃς.

Ηλ ἀπολεῖς.

Χο πῶς.

Ηλ εἰ τῶν φανερῶς οἰχομένων εἰς ἀΐδαν
ἐλπίδ' ὑποίσεις κατ' ἐμοῦ
τακομένας,
μᾶλλον ἐπεμβάσῃ.

Χο οἶδα γὰρ ἄνακτ' Ἀμφιάρεων
χρυσοδέτοις
ἕρκεσι κρυφθέντα
γυναικῶν ἀπάταις.
καὶ νῦν ὑπὸ γαίας.

ἥλιον, ὡς πάντα ἐφορῶντα παρέλαβον. τὸν δὲ Δία, ὡς πάντων δεσπότην ὄντα. δεῖ δὲ τὸν ὑποκειτὴν ἅμα τῇ βοῇ ἀναβλέψαι πρὸς οὐρανόν, καὶ τὰς χεῖρας ἀνατεῖναι, ὃ δὴ κωλύει ὁ χορός, μηδὲν μέγ' ἀΰσῃς. ¶ Φαέθων. ἐπίθετον ὄνομα ἐνταῦθα, ἀντὶ τοῦ λάμπων. λέγεται δὲ φαέθων καὶ ὁ υἱὸς τοῦ ἡλίου καὶ ὁ ἕτερος τῶν ἵππων αὐτοῦ. ¶ Εἰ ταῦτ' ἐφορῶντες κρύπτουσιν. οἷον οὐκ ἄγουσιν εἰς φῶς τὴν τούτων παρανομίαν. ¶ Ε' ἔ. αἰαῖ. θρηνεῖ ἡ Ηλέκτρα τὸν ἀδελφόν. ἐλεεινὸν δὲ λίαν τὸ τοιοῦτον μέρος. ¶ Απολεῖς. ἀτεχνῶς μέ φησιν ἐν τοῖς ἀθεραπεύτοις περιγραφεῖς. δαιμονίως δὲ τοῦτο ἐπήγαγεν. οὐ γὰρ ἀμελήσας τῆς ἀπὸ χοροῦ ἐπιπλήξεων, ἐρεῖ τι ἀπρεπὲς εἰς θεούς, ἐπεὶ

καὶ τελέως ἀμηχανεῖ ὁ Σοφοκλῆς εἰς τοὺς θεοὺς βλασφημῶν. καὶ γὰρ εἰσὶν ἢν τῶν θεοσεβεστάτων. ἀλλ' ὥσπερ δυσχεραίνουσα ταῖς περὶ τιμήσεσιν, ὡς ψυχαῖς τῆς τόφησιν. οἱ δὲ ἐν τοῖς προφανέσι καὶ ἀθεραπεύτοις πάθεσι, μεγαλίζειν αὐτὴν ἀξιοῦσιν. ¶ Οἶδα γὰρ ἄνακτ' ἀμφιάρεων χρυσοδέτοις. ταῖς διὰ χρυσοῦ γενομέναις τέχναις, τοῦ δηθήρου ὅρμου εἰ ἐριφύλη διὰ τὴν ἀμφιάρεω ἔξοδον, διὰ τὰς τῶν γυναικὸς ἀπάτας. Αλλως. Χρυσοδέτοις ἕρκεσιν. ἢ περὶ τῶν ἁρμάτων φησίν, οἷον τοῖς χρυσῷ δεδεμένοις καὶ κατεσκευασμένοις, ἀπὸ τοῦ ἕρκει εἰπεῖν, οἷον περιφάγματα καὶ τείχη, ὧν οὐκ ἐξέφυγεν ὁ ἀμφιάραος. ἀλλ' ἐνεσχέθη ἐν αὐτοῖς. ἢ χρυσοδέτοις τῷ ὅρμῳ, ὃς ἦν ἐκ χρυσοῦ πεποιημένος. τὸ δὲ ἕρκεσιν, οἷον τοῖς δεσμοῖς, καὶ φαρμάκοις, καὶ τῇ ἀνάγκῃ τῇ ἀπὸ τοῦ ὅρμου γενομένῃ. ¶ Γυναικῶν ἀπάταις. ἢ τῇ ἀπὸ τῆς γυναικὸς ἀπάτῃ. ἢ καθόλου τὸν χρυσὸν γυναικῶν ἀπάτην εἶπεν. θαυμαστῶς δὲ εἴκασεν, ὅτι καὶ οὗτος διὰ γυναικῶν ἀπώλετο. Αλλως.

Οἶδα γὰρ ἄνακτ' Ἀμφιάρεων. ὁ χορός φησιν, ὅτι καὶ ἐν αὐτῷ τῷ θανάτῳ ἐστὶ τῆς εὐτυχίας. ζῆν μὲν δὲ αὐτῷ φησιν ἔσπασθαι, δηλονότι μαντεύεσθαι αὐτόν. ¶ Ἒ ἔ. οὐ προσιεμένη οὐδὲ τοὺς τοιούτους λόγους, θρηνεῖ ἡ Ἠλέκτρα. ¶ Πάμψυχος ἀνάσσει. ἀντὶ τοῦ πασῶν ψυχῶν ἀνάσσει. ἃ δὴ ἦν ἐν χρείᾳ καθεστᾶσι τῆς ἐκείνου μαντικῆς. ἢ πάμψυχος, ὁ διασώζων πᾶσαν τὴν ἑαυτοῦ ψυχήν. ἢ ὁ δηλονότι πᾶσαν τὴν ψυχὴν σώζων, ὅ ἐστιν ἀθάνατος. ¶ Φεῦ. μνησθεῖσα τῆς Ἐριφύλης ἡ Ἠλέκτρα, ἀναβοᾷ, ἐπεὶ τῷ ἤθει αὐτῆς δυσχεραίνουσα. ¶ Φεῦ δῆτ'. ὀλοὰ γάρ. ὁ χορὸς συγκατατιθέμενός φησιν, ὅτι δικαίως ἀνεβόησας. ὀλοὴ γὰρ ἦν ἡ Ἐριφύλη. ὅρα δὴ τοῦτο εἰ ἔπραξε ὁ χορός. ἀπέσπασε γὰρ αὐτὴν τοῦ θρηνεῖν, ἐμβαλὼν τὸ κατ' αὐτὴν μύθευμα.

Ἐδάμη. ἡ Ἐριφύλη δηλονότι. ὁ δὲ λόγος ἀποφαντικός. ὁ χορὸς δὲ ὡς πυνθανομένης ἐπαγγέλλει τό, ναί. ¶ Οἶδ' οἶδ'. ἐφάνη. οἶδα ὅτι ἐδάμη. ἐφάνη γὰρ ὁ ἐπιμελούμενος τοῦ ἐν τῷ φόνῳ. τουτέστι τιμωρὸς τοῦ πατρός. ἐμοὶ δὲ οὐδεὶς πάρεστιν ἀποθανόντος Ὀρέστου. ὁ μὲν οὖν χορὸς παρέβαλε τὸν Ἀγαμέμνονα τῷ Ἀμφιαράῳ, ἵνα ἡ Ἠλέκτρα εὔελπις εἴη περὶ τοῦ πατρός, ὅτι τεύξεται τιμῆς τινος. ἡ δέ φησιν ὅτι Ἀμφιάραος ὑπὸ τοῦ Ἀλκμαίωνος ἔτυχε τιμωρίας. πάνυ δὲ περιπαθῶς τὸ πάθος τοῦ Ἀγαμέμνονος εἰς ἑαυτὴν μεταφέρει διὰ τοῦ ἐμοὶ δ' οὔτις. ¶ Μελέτωρ. φροντιστής. ὁ ἐπιμελὲς πεποίηκε μετελθεῖν τὸν τοῦ πατρὸς θάνατον, τοῦ Ἀμφιαράου. ¶ Δειλαία δειλαίων. ἢ τοῦτο εἶδος παραμυθίας. τὸ εἴ τι παραχωρεῖν τοῖς λυπουμένοις, ἢ συγχωρεῖν αὐτοῖς κλαίειν, ὡς ἐπεὶ ἀπαρηγορήτοις κακοῖς. Ἄλλως. εἴρηται ὑπερβολικῶς, ὡς τὸ ἑορτὴ ἑορτῶν, οὕτω ἀθλιωτάτη ἀθλιωτάτων. κυρεῖς, ἤγουν ὑπάρχεις. ¶ Κἀγὼ τοῦδ' ἴστωρ. οἶδα φησίν, ὅτι δειλαία εἰμὶ αὐτῷ τούτῳ τῷ πανσύρτῳ τῶν πολλῶν ἀχέων.

Πανσύρτῳ. τῷ πάντα σύροντι τὰ κακά. ἢ πανσύρτῳ, τῷ μετὰ πάσης ὁρμῆς τῶν κακῶν ὡρμημένῳ. ¶ Παμμήνῳ. τῷ πολυχρονίῳ καὶ διηνεκεῖ. δειλαία γάρ εἰμι οἷον κατ' αὐτὸ τοῦτο, καθὸ πάντα τὰ ἄχη εἰς ἡμᾶς συνεσύρη, καὶ διηνεκῆ παρέμεινεν. Ἄλλως. Κἀγὼ τοῦδ' ἴστωρ. κἀγὼ τούτου ἐπιστήμων εἰμί, ὅτι ταλαίπωρός εἰμι.

ΗΛ ἒ ἔ. ἰώ.
ΧΟ πάμψυχος ἀνάσσει.
ΗΛ φεῦ.
ΧΟ φεῦ δῆτ'. ὀλοὰ γάρ.
ΗΛ ἐδάμη;
ΧΟ ναί.
ΗΛ οἶδ' οἶδ'. ἐφάνη γὰρ
μελέτωρ ἀμφὶ τὸν ἐν
πένθει. ἐμοὶ δ' οὔτις ἔτ' ἔσθ'. ὃς
γὰρ ἔτ' ἦν,
φροῦδος ἀναρπασθείς.
ΧΟ δειλαία, δειλαίων κυρεῖς.
ΗΛ κἀγὼ τοῦδ' ἴστωρ ὑπερίστωρ,
πανσύρτῳ παμμήνῳ πολλῶν
δεινῶν, στυγνῶν τ' ἀχέων.
ΧΟ εἴδομεν ἃ θροεῖς.

Μή με νῦν μηκέτι. μηκέτι οὖν φησι παρηγορήσητε. ὅτι οὐδέ γε οὐ πάρεισιν αἱ τῶν ἐλπίδων ἀρωγαί, αἱ ἀπὸ τῶν ἀδελφῶν. ¶ Τί φῄς. τοῦτο διὰ μέσον. ¶ Κοινοτόκων. τῶν ἀπ' ἀμφοῖν τῶν γονέων, τινὲς τῶν πάνυ κοινῶν. διὰ δὲ τοῦ εὐπατριδᾶν, ηὔξησε τοῦ πατρὸς τὸ ἐγκώμιον, οἷον εὐπατέρων καὶ γενναίων, οἷος ἦν ὁ Ὀρέστης, γεγονὼς ἐξ Ἀγαμέμνονος. ἢ κοινοτόκων, τῶν ἀδελφικῶν τῶν τοῦ αὐτοῦ πατρὸς κεκοινωνηκότων. ¶ Ἦ καὶ χαλάργοις. τοῖς λευκόποσιν. ἢ ταῖς ταχείαις ἐν ταῖς χηλαῖς. χηλὰς δὲ ἀντὶ τῶν ὁπλῶν παρέλαβεν. εἰπόντος δὲ τοῦ χοροῦ, πᾶσι θνητοῖς ἔφυ μόρος, ἀντιτίθησιν ἡ Ἠλέκτρα, ἆρα οὖν οὕτω πέπρωται τοῖς θνητοῖς τελευτᾶν ἐν ταῖς ἁμίλλαις ταῖς ἱππικαῖς, ὡς ἐκείνῳ τῷ ἀθλίῳ. ¶ Τμητοῖς ὁλκοῖς. τμητοῖς λώροις τοῖς ἱμᾶσιν. ὁλκοὺς οὖν ἀντὶ τοῦ τῶν ἱμάντων, ἐν οἷς εἱλκύσθη. ¶ Ἄσκοπος. ἀπροόρατος ὁ θάνατος.

¶ Πῶς γὰρ οὔκ. εἰ ξένος. τοῦ χοροῦ εἰπόντος ἀπροϊδὴς ἡ κατὰ τὸν ἀγῶνα, ἡ Ἠλέκτρα πρὸς ἕτερον ἐπήγαγεν, ὅτι δὴ περιῆλθεν ἀπροσδοκήτως, ἐπ' ἀλλοδαπῆς τελευτῶν καὶ ἐμοῦ χωρίς. ¶ Κέκευθεν. ἀντὶ τοῦ κρύπτεται. ¶ Ὑφ' ἡδονῆς τοι. ἡ Χρυσόθεμις παραγέγονε τὰ ὑπὸ τοῦ Ὀρέστου ἐγκείμενα τῷ τάφῳ εὑροῦσα. τοῦτο τὸ πρόσωπον εἰσήγαγεν, ἵνα μὴ εἰς μακρὸν ἡ ὀλόφυρσις τῆς Ἠλέκτρας γένηται. ¶ Σὺν τάχει μολεῖν. λείπει ἡ ὥστε. ὥστε ἐμὲ σὺν τάχει μολεῖν. ¶ Κἀνάπαυλαν. ἀνάπαυσις, καὶ κατάπαυσις λέγεται. ἀνάπαυλα δὲ μόνον, οὐχὶ καὶ κατάπαυλα. ¶ Τῶν ἐμῶν σὺ πημάτων. τῶν νοσημάτων τὰ μὲν θεραπεύεται προσκαίροις θεραπείαις, ὅπερ ἐστὶν ἄρηξις. τὰ δὲ, θεραπεύεται παντελῶς, ὅπερ ἐστὶν ἴασις. κατ' οὐδένα δὲ τρόπον προκόπτει τὰ ἡμέτερα ἐπὶ τὸ βέλτιον. ¶ Κλύουσ' ἐναργῶς. ἐπὶ τοῦ κλύουσα πρὸς βραχὺ διαστικτέον. ἵν' ᾖ πάρεστ' ἐναργῶς. ἴσθι τοῦτο κλύουσα ἐμοῦ.

ΗΛ μή με νῦν μηκέτι
παραγάγῃς ἵν' οὔ.
Χο τί φῄς. αὐδᾷς δὲ ποῖον.
ΗΛ πάρεισιν ἐλπίδων ἔτι κοινοτόκων,
εὐπατριδᾶν τ' ἀρωγαί.
Χο πᾶσι θνατοῖς ἔφυ μόρος.
ΗΛ ἦ καὶ χαλάργοις ἐν ἁμίλλαις
οὕτως ὡς κείνῳ δυστάνῳ
τμητοῖς ὁλκοῖς ἐγκῦρσαι;
Χο ἄσκοπος ἁ λώβα.
ΗΛ πῶς γὰρ οὔκ. εἰ ξένος
ἄτερ ἐμᾶν χειρῶν.
Χο παπαῖ.
ΗΛ Κέκευθεν οὔτε του τάφου ἀντιάσας,
οὔτε γόων παρ' ἡμῶν.
Χρ Ὑφ' ἡδονῆς τοι φιλτάτη διώκομαι,
τὸ κόσμιον μεθεῖσα σὺν τάχει μολεῖν.
φέρω γὰρ ἡδονάς τε κἀνάπαυλαν, ὧν
πάροιθεν εἶχες, καὶ κατέστενες κακῶν.
ΗΛ Πόθεν δ' ἂν εὕροις τῶν ἐμῶν σὺ πημάτων
ἄρηξιν, οἷς ἴασιν οὐκ ἔνεστ' ἰδεῖν.
Χρ Πάρεστ' Ὀρέστης ἡμῖν. ἴσθι τοῦτ' ἐμοῦ
κλύουσ' ἐναργῶς, ὥσπερ εἰσορᾷς ἐμέ.
ΗΛ Ἀλλ' ἦ μέμηνας ὦ τάλαινα, κἀπὶ τοῖς
σαυτῆς κακοῖσι, κἀπὶ τοῖς ἐμοῖς γελᾷς;

Χρυ. Μὰ τὴν πατρῴαν ἑστίαν, ἀλλ' οὐχ ὕβρει
λέγω τάδ', ἀλλ' ἐκεῖνον ὡς παρόντα νῷν.
ΗΛ. οἴμοι τάλαινα. καὶ τίνος βροτῶν λόγον
τόνδ' εἰσακούσασ', ὧδε πιστεύεις ἄγαν.
Χρυ. Ἐγὼ μὲν ἐξ ἐμοῦ τε κοὐκ ἄλλου σαφῆ
σημεῖ' ἰδοῦσα, τῷδε πιστεύω λόγῳ.
ΗΛ. τίν' ὦ τάλαιν' ἰδοῦσα πίστιν. ἐς τί μοι
βλέψασα, θάλπῃ τῷδ' ἀνηκέστῳ πυρί.
Χρυ. πρὸς νῦν θεῶν ἄκουσον, ὡς μαθοῦσά μου
τὸ λοιπὸν, ἢ φρονοῦσαν, ἢ μώραν λέγῃς.
ΗΛ. Σὺ δ' οὖν λέγ', εἴ σοι τῷ λόγῳ τις ἡδονή.
Χρυ. καὶ δὴ λέγω πᾶν ὅσον κατειδόμην.
Ἐπεὶ γὰρ ἦλθον πατρὸς ἀρχαῖον τάφον,
ὁρῶ κολώνης ἐξ ἄκρας νεορρύτους
πηγὰς γάλακτος. καὶ περιστεφῆ κύκλῳ
πάντων ὅσ' ἔστιν ἀνθέων θήκην πατρός.
ἰδοῦσα δ', ἔσχον θαῦμα. καὶ περισκοπῶ
μή πού τις ἡμῖν ἐγγὺς ἐγχρίμπτῃ βροτῶν.
ὡς δ' ἐν γαλήνῃ πάντ' ἐδερκόμην τόπον,
τύμβου προσεῖρπον ἆσσον. ἐσχάτης δ' ὁρῶ
πυρᾶς νεωρῆ βόστρυχον τετμημένον.
κεὐθὺς τάλαιν' ὡς εἶδον, ἐμπαίει τί μοι
ψυχῇ σύνηθες ὄμμα φιλτάτου βροτῶν
πάντων Ὀρέστου τοῦθ' ὁρᾶν τεκμήριον.
καὶ χερσὶ βαστάσασα, δυσφημῶ μὲν οὔ,
χαρᾷ δὲ πίμπλημ' εὐθὺς ὄμμα δακρύων.
καὶ νῦν θ' ὁμοίως, καὶ τότ' ἐξεπίσταμαι,
μή του τόδ' ἀγλάισμα πλὴν κείνου μολεῖν.
τῷ γὰρ προσήκει πλήν γ' ἐμοῦ καὶ σοῦ τόδε;
κἀγὼ μὲν οὐκ ἔδρασα τοῦτ' ἐπίσταμαι,
οὐδ' αὖ σύ. πῶς γάρ; ἥ γε μηδὲ πρὸς θεοὺς
ἔξεστ' ἀκλαύστῳ τῆσδ' ἀποστῆναι στέγης.
ἀλλ' οὐδὲ μὲν δὴ μητρὸς, οὔθ' ὁ νοῦς φιλεῖ
τοιαῦτα πράσσειν, οὔτε δρῶσ', ἐλάνθανεν.
ἀλλ' ἔστ' Ὀρέστου ταῦτα τἀπιτίμια.
ἀλλ' ὦ φίλη, θάρσυνε, τοῖς αὐτοῖσί τοι
οὐκ αὐτὸς αἰεὶ δαιμόνων παραστατεῖ.
νῷν δ' ἦν τὰ πρόσθεν στυγνός. ἡ δὲ νῦν ἴσως

Βλέψασα θάλπῃ. ἀντὶ τοῦ παρακόπτεις τὰς φρένας, ὡς ἐν πυρετῷ. ἀνηκέστῳ δὲ πυρί, ὡσεὶ ἔλεγεν ἀνιάτῳ ἐλπίδι. ἀνέλπιστον γὰρ τὸ παραγενέσθαι Ὀρέστην ἤδη ἀπολωλότα. ¶ Ἀρχαῖον τάφον. τὸν ἐκ παλαιοῦ ᾠκοδομημένον. ¶ Πηγὰς γάλακτος. πολὺ γάλα, ὡς τὸ δακρύων πηγάς. ἀντὶ τοῦ πολλὰ δάκρυα. ¶ Θήκην πατρός. τὴν σορὸν λέγει, ἔνθα τὸ λείψανον ἐτέθη. ¶ Νεωρῆ. τὸν νεωστὶ ἠρτημένον. ἢ ἐκ νέου τινὸς καὶ ὥραν ἔχοντος νέαν. ¶ Σύνηθες ὄμμα. ὅραμα, ὃ ἀεὶ ἐφανταζόμην κατὰ ψυχήν. ¶ Μή του, τόδ' ἀγλάισμα. μὴ παρά τινος ἄλλου, δηλονότι τὴν ταύτην τιμὴν, καὶ τὰ ἑξῆς. ¶ Τῷ γὰρ προσήκει πλήν γ' ἐμοῦ καὶ σοῦ τόδε. τὸ ἀποκείρασθαι τὰς κόμας δηλονότι. τὸ μὲν γὰρ ἀπὸ τῆς ὄψεως τοῦ βοστρύχου κινεῖσθαι ἐπὶ τὴν ἀλήθειαν, γελοῖον. πιθανὸν δὲ τοῦτο ἐπάγει, ὅτι οὐδενὶ ἄλλῳ ἢ τῷ πάνυ συνημμένῳ κατὰ γένος τὰ τοιαῦτα προσήκει. ¶ Τοιαῦτα πράσσειν. τὰ εἰς τιμὴν γινόμενα τοῦ πατρός. ¶ Ταῦτα τἀπιτίμια. γράφεται τὰ ἀγλαΐσματα.

πολλῶν

πολλῶν ὑπάρξει κῦρος ἡμέρα καλῶν.
ΗΛ φεῦ τῆς ἀνοίας. ὥς σ' ἐποικτείρω πάλαι.
ΧΡ τί δ' ἔστιν. οὐ πρὸς ἡδονὴν λέγω τάδε;
ΗΛ οὐκ οἶσθ' ὅποι γῆς, οὐδ' ὅποι γνώμης φέρῃ.
ΧΡ πῶς δ' οὐκ ἐγὼ κάτοιδ' ἅ γ' εἶδον ἐμφανῶς;
ΗΛ τέθνηκεν ὦ τάλαινα. τἀκείνου δέ σοι
σωτήρι', ἔρρει. μηδὲν ἐς κεῖνόν γ' ὅρα.
ΧΡ οἴμοι τάλαινα. τοῦ, τάδ' ἤκουσας βροτῶν;
ΗΛ τοῦ πλησίον παρόντος ἡνίκ' ὤλλυτο.
ΧΡ καὶ ποῦ 'στιν οὗτος; θαῦμά τοί μ' ὑπέρχεται.
ΗΛ κατ' οἶκον, ἡδὺς, οὐδὲ μητρὶ δυσχερής.
ΧΡ οἴμοι τάλαινα. τοῦ, γὰρ ἀνθρώπων ποτ' ἦν
τὰ πολλὰ πατρὸς πρὸς τάφον κτερίσματα.
ΗΛ οἶμαι μάλιστ' ἔγωγε τοῦ τεθνηκότος
μνημεῖ' Ὀρέστου ταῦτα προσθεῖναί τινα.
ΧΡ ὦ δυστυχής. ἐγὼ δὲ σὺν χαρᾷ λόγους
τοιούσδ' ἔχουσ', ἔσπευδον. οὐκ εἰδυῖ' ἄρα,
ἵν' ἦμεν ἄτης. ἀλλὰ νῦν ὅθ' ἱκόμην,
τά τ' ὄντα πρόσθεν, ἄλλα θ' εὑρίσκω κακά.
ΗΛ οὕτως ἔχει σοι ταῦτ'. ἐὰν δέ μοι πίθῃ,
τῆς νῦν παρούσης πημονῆς λύσεις βάρος.
ΧΡ ἦ τοὺς θανόντας ἐξαναστήσω ποτέ;
ΗΛ οὐκ ἔσθ' ὅ γ' εἶπον. οὐ γὰρ ὧδ' ἄφρων ἔφυν.
ΧΡ τί γὰρ κελεύεις, ὧν ἐγὼ φερέγγυος.
ΗΛ τλῆναί σε δρῶσαν, ἃ 'ν σ' ἐγὼ παραινέσω.
ΧΡ ἀλλ' εἴ τις ὠφέλειά γ' οὐκ ἀπώσομαι.
ΗΛ ὅρα. Πόνου τοι χωρὶς, οὐδὲν εὐτυχεῖ.
ΧΡ ὁρῶ ξυνοίσω πᾶν ὅσον περ ἂν σθένω.
ΗΛ ἄκουε δὴ νῦν ᾗ βεβούλευμαι τελεῖν.
παρουσίαν μὲν οἶσθα καὶ σύ που φίλων,
ὡς οὔ τις ἡμῖν ἐστιν, ἀλλ' ᾅδης λαβὼν,
ἀπεστέρηκε, καὶ μόνα λελείμμεθον.
ἐγὼ δ' ἕως μὲν τὸν κασίγνητον βίῳ
θάλλοντά τ' εἰσήκουον, εἶχον ἐλπίδας
φόνου ποτ' αὐτὸν πράκτορ' ἵξεσθαι πατρός.
νῦν δ' ἡνίκ' οὐκέτ' ἐστὶν, εἰς σὲ δὴ βλέπω,
ὅπως τὸν αὐτόχειρα πατρῴου φόνου,
ξὺν τῇδ' ἀδελφῇ μὴ κατοκνήσῃς κτανεῖν

¶ ΚΥΡΟΣ ὑπάρξει. ἐπιτυχίαν ἄρξει. ¶ Οὐδὲ μητρὶ δυσχερής. ὅ ἐστιν, οὐ κατὰ τὴν τῆς μητρὶ δυσχερὴς ὀφθείς. καὶ διὰ τῆς ἀγγελίας λυπήσας αὐτήν. γράφεται καὶ μητρὶ δυσμενής. ¶ Μνημεῖ' Ὀρέστου. τοῦ Ὀρέστου μνημόσυνα. ¶ Ων ἐγὼ φερέγγυος, ὧν ἐγὼ εἰς τὸ πράττειν ἀσφαλής εἰμι. φερέγγυος λέγεται, ὁ ἐκδεξάμενός τι καὶ δυνάμενος ἀποτίσαι, οἷον ἀξιόχρεως, δυναμένη ἀναδέξασθαι. ¶ Ἀλλ' εἴ τις ὠφέλειά γ'. τοῦτο τῷ προτέρῳ ὅμοιον, ἦ τοὺς θανόντας ἐξαναστήσω ποτέ. ¶ Εὐτυχεῖ. ἀντὶ τοῦ ἐπιτυγχάνεται. ¶ Ποιεῖν. γράφεται τελεῖν. ¶ Ξυνοίσω. συμπονήσω. τοῦτο σύμφωνον τῷ, τί γὰρ κελεύεις ὧν ἐγὼ φερέγγυος. ¶ Πράκτορα. ἔκδικον. ἀπαιτητήν. πράκτωρ ὁ ἀπαιτητής, ἀπὸ τοῦ πράττομαι, τὸ ἀπαιτῶ.

Ποῖ γὰρ μενεῖς. ἀντὶ τοῦ εἰς τίνα χρόνον ῥαθυμήσεις. ¶ Ἀλεκτρα. ἐπίρρημα. ¶ Οὐ γὰρ ὧδ᾽ ἄβουλος. περιττεύει τὰ δεινά, τὸ δὲ χαλεπώτερον ἐπιφέρει, ὡς οὐδὲ μεταβολῆς τυχεῖν ἐλπὶς ἔνεστι. ¶ Τίς γάρ ποτ᾽ ἀστῶν. ὅρα ἐν τούτῳ τῷ λόγῳ τὰς ἐπιχειρήσεις τῆς ἠλέκτρας, ὅτι πάντα τέθεικε τὰ ἀγαθὰ, ἅπερ αὐταῖς περιέσται, ἀνελούσαις τὸν αἴγισθον. τὰ δὲ ἕτερα ὑπεξῄρηκεν. ὅτι τὰ πείσονται ἁλοῦσαι. καίτοι ἦν κατὰ τὸ πάθος τῆς ἠλέκτρας κἀκεῖνα προσθῆναι, ὅτι καλόν μοι ἀποθανεῖν οὕτω δυστυχούσῃ. ὅτι καὶ πρόσθεν ἔλεγεν. ὡς χάρις μὲν ἂν θάνω, λύπη δὲ ἂν ζῶ. ἀλλ᾽ ᾔδει τὸ περίφοβον τῆς χρυσοθέμιδος, ὥστε ἑκοῦσα τοὺς σκληροτέρους τῶν λόγων ὑπεξεῖλεν. ὥστε μηδὲ εἰς ἔννοιαν τῶν κινδύνων ἐκείνην καταστῆσαι. ¶ Δεξιώσεται. ἤγουν φιλοφρονήσεται. ἀπὸ μεταφορᾶς τῶν τὰς δεξιὰς ἐμβαλλόντων ἀλλήλοις μετὰ φιλοφρονήσεως. ¶ Ἴδεσθε τώδε. ἀντὶ τοῦ τάσδε. ἀντὶ τῶν θηλυκῶν τοῖς ἀρσενικοῖς ἄρθροις κέχρηται, ὅπερ σύνηθες ἀττικοῖς. τὼ χεῖρε γάρ φασι. καὶ ὅμηρος, τὼ δὲ βάτην, τρήρωσι πελειάσιν ἴθμαθ᾽ ὁμοῖαι. ¶ Ὣ προὐστήτην. ἀντὶ τοῦ αἵτινες προέστησαν περὶ τοῦ φόνου τῶν ἐχθρῶν. ¶ Τούτω. ἀντὶ τοῦ ταύτας.

αἴγισθον. οὐδὲν γάρ σε δεῖ κρύπτειν μ᾽ ἔτι.
ποῖ γὰρ μενεῖς ῥᾴθυμος. εἰς τίν᾽ ἐλπίδων
βλέψασ᾽ ἔτ᾽ ὀρθήν. ᾗ πάρεστι μὲν στένειν,
πλούτου πατρῴου κτῆσιν ἐστερημένῃ.
πάρεστι δ᾽ ἀλγεῖν, ἐς τοσόνδε τοῦ χρόνου
ἄλεκτρα γηράσκουσαν, ἀνυμέναιά τε.
καὶ τῶνδε μέντοι μηκέτ᾽ ἐλπίσῃς ὅπως
τεύξῃ ποτ᾽, οὐ γὰρ ὧδ᾽ ἄβουλός ἐστ᾽ ἀνὴρ
αἴγισθος, ὥστε σόν ποτ᾽ ἢ κἀμὸν γένος
βλαστεῖν ἐᾶσαι, πημονὴν αὑτῷ σαφῆ.
ἀλλ᾽ ἢν ἐπίσπῃ τοῖς ἐμοῖς βουλεύμασι,
πρῶτον μὲν εὐσέβειαν ἐκ πατρὸς κάτω
θανόντος οἴσῃ, τοῦ κασιγνήτου θ᾽ ἅμα,
ἔπειτα δ᾽ ὥσπερ ἐξέφυς ἐλευθέρα,
καλῇ τὸ λοιπὸν, καὶ γάμων ἐπαξίων
τεύξῃ. φιλεῖ γὰρ πρὸς τὰ χρηστὰ πᾶς ὁρᾶν.
λόγων γε μὴν εὔκλειαν οὐχ ὁρᾷς ὅσην
σαυτῇ τε κἀμοὶ προσβαλεῖς πεισθεῖσ᾽ ἐμοί;
τίς γάρ ποτ᾽ ἀστῶν ἢ ξένων ἡμᾶς ἰδὼν,
τοιοῖσδ᾽ ἐπαίνοις οὐχὶ δεξιώσεται.
ἴδεσθε τώδε τὼ κασιγνήτω φίλοι,
ὣ τὸν πατρῷον οἶκον ἐξεσωσάτην.
ὣ τοῖσιν ἐχθροῖς εὖ βεβηκόσιν ποτὲ,
ψυχῆς ἀφειδήσαντε, προὐστήτην φόνου.
τούτω φιλεῖν χρή. τώδε χρὴ πάντας σέβειν.
τώδ᾽ ἔν θ᾽ ἑορταῖς, ἔν τε πανδήμῳ πόλει,
τιμᾶν ἅπαντας οὕνεκ᾽ ἀνδρείας χρεών.
τοιαῦτά τοι νὼ πᾶς τις ἐξερεῖ βροτῶν,
ζώσαιν, θανούσαιν θ᾽, ὥστε μὴ ᾽κλιπεῖν κλέος
ἀλλ᾽ ὦ φίλη, πείσθητι, συμπόνει πατρί.
σύγκαμν᾽ ἀδελφῷ. παῦσον ἐκ κακῶν ἐμέ.
παῦσαι δὲ σαυτήν, τοῦτο γινώσκουσ᾽, ὅτι
„ ζῆν αἰσχρὸν αἰσχρῶς τοῖς καλῶς πεφυκόσιν.

Χο. Ἐν τοῖς τοιούτοις ἐστὶν ἡ προμηθία

Τοιαῦτα πᾶς τις ἐρεῖ. ἤτοι οὕτως ἐπαινέσεται ἡμᾶς, ὥστε μὴ λιπεῖν ἡμῖν τὸ κλέος καὶ ζώσαις καὶ θανούσαις. Ἐν τοῖς τοιούτοις ἐστίν. ὁ χορὸς ὑποτεθαυμακὼς τὸ τολμηρὸν τῆς ἠλέκτρας φησὶν, ὅτι μετὰ προγνώσεως καὶ ἀσφαλείας δεῖ τὰ τοιαῦτα καὶ λέγειν καὶ ἀκούειν.

¶ Προμηθία. τῆς νεωτέρας ἰάδος ἐστί,

καὶ τῷ λέγοντι, καὶ κλύοντι σύμμαχος.
Χρ Καὶ πρὶν καὶ φωνεῖν ὦ γυναῖκες, εἰ φρενῶν
ἐτύγχαν' αὕτη μὴ κακῶν, ἐσώζετ' ἂν
τὴν εὐλάβειαν, ὥσπερ οὐχὶ σώζεται.
ποῖ γάρ ποτ' ἐμβλέψασα, τοιοῦτον θράσος
αὐτή θ' ὁπλίζῃ, κἄμ' ὑπηρετεῖν καλεῖς.
οὐκ εἰσορᾷς; γυνὴ μὲν, οὐδ' ἀνὴρ ἔφυς.
σθένεις δ' ἔλαττον τῶν ἐναντίων χερί.
δαίμων δὲ, τοῖς μὲν, εὐτυχὴς καθ' ἡμέραν,
ἡμῖν δ' ἀπορρεῖ, κἀπὶ μηδὲν ἔρχεται.
τίς οὖν τοιοῦτον ἄνδρα βουλεύων ἑλεῖν,
ἄλυπος ἄτης ἐξαπαλλαχθήσεται.
» Ὅρα κακῶς πράσσοντε, μὴ μείζω κακὰ
» κτησώμεθ', εἴ τις τούσδ' ἀκούσεται λόγους.
» Λύει γὰρ ἡμᾶς οὐδὲν οὐδ' ἐπωφελεῖ
» βάξιν καλὴν λαβόντε, δυσκλεῶς θανεῖν.
» Οὐ γὰρ θανεῖν ἔχθιστον, ἀλλ' ὅταν θανεῖν
» χρήζων τις, εἶτα μηδὲ τοῦτ' ἔχῃ λαβεῖν.
ἀλλ' ἀντιάζω πρὶν πανωλέθρους τὸ πᾶν
ἡμᾶς τ' ὀλέσθαι, κἀξερημῶσαι γένος,
κατάσχες ὀργήν. καὶ τὰ μὲν λελεγμένα,
ἄρρητ' ἐγώ σοι κἀτελῆ φυλάξομαι.
αὐτὴ δὲ νοῦν σχές. ἀλλὰ τῷ χρόνῳ ποτὲ
σθένουσα μηδὲν, τοῖς κρατοῦσιν εἰκάθειν.
Χο πείθου. Προνοίας οὐδὲν ἀνθρώποις ἔφυ
» Κέρδος λαβεῖν ἄμεινον, οὐδὲ νοῦ σοφοῦ.
ΗΛ ἀπροσδόκητον οὐδὲν εἴρηκας. καλῶς
δ' ᾔδειν σ' ἀπορρίψουσαν ἃ 'πηγγελλόμην.
ἀλλ' αὐτόχειρί μοι μόνῃ τε δραστέον
τοὔργον τόδ', οὐ γὰρ δὴ κενόν γ' ἀφήσομεν.
Χο Φεῦ. εἴθ' ὤφελες τοιάδε τὴν γνώμην, πατρὸς
θνήσκοντος εἶναι, πάντα γὰρ κατειργάσω.
ΗΛ ἀλλ' ἦν φύσιν γε. τὸν δὲ νοῦν, ἥσσων τότε.
Χρ ἄσκει τοιαύτη νοῦν δι' αἰῶνος μένειν.
ΗΛ ὡς οὐχὶ συνδράσουσα νουθετεῖς τάδε;
Χρ εἰκὸς γὰρ ἐγχειροῦντα καὶ πράττειν κακῶς.

τὸ λέγειν τὴν προμήθειαν, προμηθίαν, καὶ τὴν εὐέπειαν, εὐεπίαν, καὶ τὰ τοιαῦτα, διὰ μακροῦ τοῦ α. Καὶ συστολὴ τοῦ παρακελευούσης. ¶ Ἐσώζετ' ἂν τὴν εὐλάβειαν. οὐ σώζει φησὶ τὴν εὐλάβειαν, ἀλλ' ἐστὶ θρασεῖα καὶ ῥιψοκίνδυνος. ¶ Τοιοῦτον θράσος αὐτή θ' ὁπλίζῃ. λίαν ἐμφαντικῶς τῷ θράσει φησὶν αὐτὴν ὁπλίζεσθαι ὡς μηδὲν ἀμυντήριον αὐτὴν ἔχουσαν, εἰ μὴ μόνον θράσος ¶ Γνώμη. ταῦτα πάντα ὅμοια τοῖς ἐν ἀντιγόνῃ, εἴ τις παραβάλλοι εἰ καὶ τοῖς αὐτοῖς ὀνόμασι χρησάμενον Σοφοκλέα. ¶ Σθένεις δ' ἔλαττον. τοῦτο δεύτερον κεφάλαιον. ¶ Δαίμων δέ. τὸ τρίτον κεφάλαιον καὶ ἀναγκαιότερον, ὡς οὐδ' ἐκ παραδόξου κατορθῶσαι ἡμᾶς τὴν ἐγχείρησιν εἰκὸς, τῆς τύχης μὴ συλλαμβανομένης. Ἀπορρεῖ. ἐλαττοῦται, μαραίνεται. ¶ Λύει γὰρ ἡμᾶς οὐδέν. οὐ λυσιτελεῖ ἡμῖν φησιν. οὐκ ἀπαλλάσσει τῶν κακῶν. ἢ ἀντὶ τοῦ οὐδὲν ἡμᾶς ἐκλύσεται. ¶ Δυσκλεῶς θανεῖν. ἐνταῦθα δηλοῖ τὸ μετ' αἰσχρᾶς τιμωρίας ἀποθανεῖν. καὶ ὅμηρος. Μὴ μὲν δὴ καθαρῷ θανάτῳ ἀπὸ θυμὸν ἑλοίμην. ¶ Ἀλλ' ὅταν θανεῖν χρήζων. ὅρα ὅτι τοῦτο δηλοῖ τὸ δυσκλεῶς. Εἶτα μηδὲ τοῦτ'. οὐ τὸ τοῦ θανάτου δεινόν. ἀλλ' ὅταν ἐπιθυμῇ τις ἀποθανεῖν, ὥστε τὰς προσούσας κολάσεις ἐκφυγεῖν, τότε μηδὲ τούτου τύχῃ. τοιαῦτα γὰρ πεισόμεθα, ὧν ὁ θάνατος αἱρετώτερος. ¶ Τὸ πᾶν. ἀντὶ τοῦ παντάπασι. περισσὸν δὲ ἐστὶν ἐνταῦθα. Ἀπηγγελλόμην. ἀντὶ τοῦ ἠξίουν. τὸ δὲ παρακαλεῖν ἀπαγγέλλειν φησίν. Ἀλλ' αὐτοχειρί. παρατήρει κἀνταῦθα τὴν εὐτολμίαν, ὡς καὶ ἐν ἀντιγόνῃ. ¶ Εἰκὸς γὰρ ἐγχειροῦντα. εἰκὸς

ΗΛ. ζηλῶ σε τοῦ νοῦ, τῆς δὲ δειλίας στυγῶ.
Χρ. ἀνέξομαι κλύουσα, χὤταν εὖ λέγῃς.
ΗΛ. ἀλλ' οὔ ποτ' ἐξ ἐμοῦ γε μὴ μάθῃς τόδε.
Χρ. μακρὸς τὸ κρῖναι ταῦτα χὠ λοιπὸς χρόνος.
ΗΛ. ἄπελθε. σοὶ γὰρ ὠφέλησις οὐκ ἔνι. (νθ.
Χρ. ἔνεστιν. ἀλλὰ σοὶ μάθησις οὐ πάρα.
ΗΛ. ἐλθοῦσα μητρὶ ταῦτα πάντ' ἔξειπε σῇ.
Χρ. οὐδ' αὖ τοσοῦτον ἔχθος ἐχθαίρω σ' ἐγώ.
ΗΛ. ἀλλ' οὖν ἐπίστω γ' οἷ μ' ἀτιμίας ἄγεις.
Χρ. ἀτιμίας μὲν οὔ, προμηθίας δὲ σοῦ.
ΗΛ. τῷ σῷ δικαίῳ δῆτ' ἐπισπέσθαι με δεῖ;
Χρ. ὅταν γὰρ εὖ φρονῇς, τόθ' ἡγήσῃ σὺ νῷν.
ΗΛ. ἦ δεινὸν εὖ λέγουσαν, ἐξαμαρτάνειν.
Χρ. εἴρηκας ὀρθῶς ᾧ σὺ πρόσκεισαι κακῷ.
ΗΛ. τί δ'. οὐ δοκῶ σοι ταῦτα σὺν δίκῃ λέγειν;
Χρ. ἀλλ' ἔστιν ἔνθα χ' ἡ δίκη βλάβην φέρει.
ΗΛ. τούτοις ἐγὼ ζῆν τοῖς νόμοις οὐ βούλομαι.
Χρ. ἀλλ' εἰ ποιήσεις ταῦτ', ἐπαινέσεις ἐμέ.
ΗΛ. καὶ μὴν ποιήσω γ', οὐδὲν ἐκπλαγεῖσά σε.
Χρ. καὶ τοῦτ' ἀληθὲς οὐδὲ βουλεύσῃ πάλιν;
ΗΛ. βουλῆς γὰρ οὐδέν ἐστιν ἔχθιον κακῆς.
Χρ. φρονεῖν ἔοικας οὐδὲν ὧν ἐγὼ λέγω.
ΗΛ. πάλαι δέδοκται ταῦτα, κοὐ νεωστί μοι.
Χρ. ἄπειμι τοίνυν, οὔτε γὰρ σὺ τἄμ' ἔπη
τολμᾷς ἐπαινεῖν, οὔτ' ἐγὼ τοὺς σοὺς τρόπους.
ΗΛ. ἀλλ' εἴσιθ'. οὔ σοι μὴ μεθέψομαί ποτε,
οὐδ' ἢν σφόδρ' ἱμείρουσα τυγχάνῃς. ἐπεὶ
„ Πολλῆς ἀνοίας καὶ τὸ θηρᾶσθαι κενά.
Χρ. ἀλλ' εἰ σεαυτῇ τυγχάνεις δοκοῦσά τι
φρονεῖν, φρόνει τοιαῦθ'. ὅταν γὰρ ἐν κακοῖς
ἤδη βεβήκῃς, τἄμ' ἐπαινέσεις ἔπη.
ΧΟ. τί τοὺς ἄνωθεν φρονιμωτάτους
οἰωνοὺς ἐσορώμενοι,
τροφᾶς κηδομένους, ἀφ' ὧν

τὸ γὰρ σὺν κακῶς πράττειν ἐπιχειροῦντα, καὶ παθεῖν κακῶς. τοῦτο δὲ πινδαρικόν, Επιρρεάζοντά τι καὶ παθεῖν ἔοικεν. ¶ Ζηλῶ σε. μακαρίζω σε ἕνεκα τοῦ νοῦ, ἤγουν τῆς φρονήσεως, ἕνεκα δὲ τῆς δειλίας μισῶ. ¶ Χ' ὅταν εὖ λέγῃς. οἷον ἔσται καιρὸς ὅτε με εὐφημήσεις. ἤγουν πεισθήσομαι, καὶ ἐπαινέσω σε ὅταν εὖ λέγῃς. ¶ Ατιμίας μὲν οὔ. οὐκ ἀτιμάζω σε, ἀλλὰ προνοοῦμαί σου. Ἠ δεινὸν εὖ λέγουσαν. δεινὸν ἐμὲ καλῶς λέγουσαν δοκεῖν ἐξαμαρτάνειν. ἐπεὶ δὲ ἡ χρυσόθεμις καλῶς λέγει. δοκεῖ δὲ ἁμαρτάνειν διὰ τὸ μὴ πράσσειν τὰ δίκαια ὑπὲρ ἐκδικίας τοῦ πατρός, πρὸς τοῦτο ἡ ἠλέκτρα, δεινόν ἐστι συμφορά, δοκοῦσαν συμβουλεύειν, ἄδικα πράττειν καὶ ἁμαρτάνειν, ὅπερ ἡ χρυσόθεμις εἰς ἠλέκτραν στρέφει ἐν τῷ ἑξῆς στίχῳ, Εἴρηκας ὀρθῶς ᾧ σὺ πρόσκεισαι κακῷ τῷ ἁμαρτάνειν. λέγουσα γὰρ δίκαια καὶ εὐπρεπῆ ἐν αὐτοῖς ἁμαρτάνεις. ἀλλ' ἀτελῆ γὰρ τὸ χειρέως πράττειν. ¶ Αλλ' εἰ ποιήσεις ταῦτα. οἷον τοῖς δεινοῖς περιπεσοῦσα, ἐπαινέσεις με συμφορᾷ σοι βουλευσαμένην. ¶ Πάλιν. εἰς τοὐπίσω, εἰς τὸ ἐναντίον. Μεθέψομαι. ἀντὶ τοῦ κοινωνήσω.

Οταν γὰρ ἐν κακοῖς. παρὰ τὸ ὁμηρικόν, Ρεχθὲν δέ τε νήπιος ἔγνω.

Τί τοὺς ἄνωθεν φρονιμωτάτους. τὸ ἄνωθεν ἢ τόπου, ἢ χρόνου ἐστίν. ἄνωθεν ἐκ φύσεως. ἢ τοὺς ἐν τῷ ἀέρι, οἰκεῖον δὲ τῷ χορῷ ἀγανακτοῦντι ἐπὶ τῇ κλυταιμνήστρᾳ τὸν περὶ τῶν ἀλόγων ἐνταῦθα παραλαβεῖν λόγον, ὅτι ἐν τοῖς ἀλόγοις ζώοις φυσική τις ἐστὶ φιλοστοργία, ἡ δὲ κλυταιμνήστρα ἄστοργος. τὸ δὲ ἑξῆς. τί τοὺς ἄ-

νωθεν

νωθεν φρονιμωτάτους οἰωνοὺς ὁρῶντες καλῶς κηδομένους τῆς τροφῆς, ἀφ' ὅτων τε ἂν βλαστῶσι, καὶ ἀφ' ὧν ἂν ὄνησιν εὕρωσιν. διὰ τῶν τέκνων τὰ δύο, ἀφ' ὧν τ' ἀορίστως βλαστῶσι τὰ τέκνα. ἀφ' ὧν τ' καὶ ὄνησιν εὕρωσι. λέγονται δὲ οἱ πελαργοὶ γεγηρακότας

τε βλαστῶσιν, ἀφ' ὧν τ' ὄνησιν εὕρω-
σι, τάδ' οὐκ ἐπίσας τελοῦμεν;
ἀλλ' οὐ μὰ τὰν Διὸς ἀστραπὰν,
καὶ τὰν οὐρανίαν θέμιν,
δαρὸν οὐκ ἀπόνητοι.
ὦ χθονία βροτοῖσι φάμα,
κατά μοι βόασον οἰκτρὰν
ὄπα τοῖς ἔνερθ' Ἀτρείδαις,
ἀχόρευτα φέρουσ' ὀνείδη.
ὅτι σφίσιν ἤδη τὰ μὲν ἐκ δόμων,
νοσεῖ. τὰ δὲ πρὸς τέκνων.
διπλῆ φύλοπις οὐκέτ' ἐξι-
σοῦται φιλοτασίῳ διαίτᾳ.
πρόδοτος δὲ μόνα σαλεύει
ἠλέκτρα τὸν ἀεὶ πατρὸς
δειλαία στενάχουσ', ὅπως
ἁ πανόδυρτος ἀηδών
οὔτέ τι τοῦ θανεῖν προμηθὴς,
τότε μὴ βλέπειν ἑτοίμα
διδύμαν ἑλοῦσ' ἐρινύν.
τίς ἂν οὖν εὔπατρις ὧδε βλαστοῖ.
» Οὐδεὶς τῶν ἀγαθῶν ζῶν κακῶς,
» Εὔκλειαν αἰσχῦναι θέλει
» Νώνυμος ὦ παῖ παῖ.
ὡς καὶ σὺ πάγκλαυστον αἰ-
ῶνα κοινὸν εἵλου,
τὸ μὴ καλὸν καθοπλίσασα,
δύο φέρειν ἐνὶ λόγῳ,
σοφά τ' ἀρίστα τε παῖς κεκλῆσθαι.

τοὺς γονεῖς, βαστάζειν τοῖς πτεροῖς, ἕως ὅπου πτεροφυήσωσι. ¶ Τάδ' οὐκ ἐπίσας. καλεῖ ὁ χορὸς καὶ ἑαυτὸν συγκαταλέγει, ἵνα μὴ δοκῇ φορτικὸς εἶναι τούτοις, καθ' ὧν τὸν λόγον ποιεῖται. ¶ Οὐκ ἀπόνητοι. ἀντὶ τοῦ οὐκ ἀπολυθήσονται ἀθῷοι οἱ περὶ αἴγισθον καὶ κλυταιμνήστραν. ¶ Ω χθονία βροτοῖσιν. οὐ τὴν ἐπίγειόν φησιν. ἀλλὰ τὴν κατὰ γῆς χωρεῖσθαι δυναμένην. ¶ Τοῖς ἔνερθ' ἀτρείδαις. ἢ ἀγαμέμνονα, ἢ ὀρέστην. δοκοῦσι γὰρ αὐτὸν τεθνηκέναι. ¶ Ἀχόρευτα φέρουσ' ὀνείδη. ἐφ' οἷς οὐκ ἄν τις χορεύσειεν. ὀνείδη δὲ τὰ πένθιμα ὀνείδη, ἐπειδὴ ὄνειδος ἦν τῇ κλυταιμνήστρᾳ τὸ μὴ χαίρειν ὀρέστῃ. ¶ Ὅτι σφίσιν ἤδη. ἡ ἀπόστασις πρὸς τὴν κλυταιμνήστραν. ἀγγέλλει οὖν φησιν, ὅτι τὰ κατὰ οἶκον νενόσηκε, τουτέστιν οὐκ ἔστιν ὑγιῆ. ¶ Οὐκέτ' ἐξισοῦται. οὐκέτι ἴσα φρονοῦσιν ὡς ἐν φιλίᾳ διαιτώμεναι. ἀλλὰ στασιάζουσι πρὸς ἀλλήλας. ¶ Πρόδοτος δὲ μόνα σαλεύει. κινδυνεύει. ἐκ μεταφορᾶς τῶν νηῶν. μόνη δὲ αὕτη ἐφ' ἑαυτῆς χωρὶς ἀγκύρας. ¶ Τὸν ἀεὶ πατρός. λείπει ἡ περί. περὶ τοῦ πατρὸς στενάχουσα. ὡς τὸ ὁμηρικὸν, τῶν πάντων οὐ τόσσον ὀδύρομαι ἀχνύμενός περ, ὡς ἑνός. τὸ δὲ ἑξῆς. ἀεὶ τὸν τοῦ πατρὸς μόρον στενάχουσα. ἢ τὸν ἀεὶ, εἰς τὸν ἀεὶ χρόνον. Οὔτέ τι, τοῦ θανεῖν προμηθής. πρόνοιαν οὐκ ἔχουσα τοῦ μὴ ἀποθανεῖν, ὅ ἐστιν ἀφειδοῦσα τῆς ἰδίας τύχης, καὶ φιλοκινδυνοῦσα. ¶ Τότε μὴ βλέπειν ἑτοίμα. ἑτοίμη καὶ τὸ ὅτε δεῖ στέρεσθαι. τουτέστιν ἀποστερηθῆναι τῶν ὀμμάτων. ἀντὶ τοῦ καὶ

ἀποθανεῖν ἐρήμη, καὶ ζῶσα κολάζεσθαι. καὶ τοῦτο λέγει διδύμην ἐρινύν. ἢ διὰ τὸ τοῦ θανάτου τὰ δύο. ἐρήμη μὴ βλέπειν αὐτούς, ἀλλ' ἐν σκότει γενέσθαι τοῦ θανάτου. ἐν τῇ αὐτῇ εἶναι νοΐ γενομένη τῷ ἀγαμέμνονι. ὅ ἐστι διπλῆ ἐρινύς. ¶ Διδύμαν. αἴγισθον καὶ κλυταιμνήστραν. Νώνυμνος. νώνυμνος τῆς εὐκλείας θέλων γενέσθαι. Ω παῖ παῖ. οὕτω καὶ σὺ ὦ παῖ εἵλου τὸν αἰῶνα πάγκλαυστον. ¶ Κοινόν. διηνεκῆ, καὶ κοινὸν διὰ παντὸς αἰῶνος ἑαυτοῦ. Καθοπλίσασα. καταπολεμήσασα τὸ αἰσχρόν, καὶ νικήσασα. οἱ γὰρ τοῦτο ἐχθροῖς καταγωνιζομένη. ¶ Α δὲ μέγιστα ἔβλαστε νόμιμα. ἃ δὲ φυσικὰ καὶ τὰ μέγιστα ἔβλαστε νόμιμα ἔβλαστε, τούτων ἀποφερομένην τὰ ἄριστα. ἢ ἔριστα, ἀμφηρίστῳ τῇ εὐσεβείᾳ τῇ τοῦ διός. ἢ ἐριστὰ τῇ εὐσεβείᾳ. ἣν ἄν τις ἐρίσειεν, ἀντὶ τοῦ περισπουδάστῳ προσφερομένην τῇ εὐσεβείᾳ τὰ νόμιμα. ἀντὶ μὲν εὐσεβείας πρωτεύουσαν. Τᾷ διός. γράφεται τᾷ ζηνός. ¶ Ἆρ' ὦ γυναῖκες. ὀρέστης πάρεστι σὺν τῷ πυλάδῃ κομίζων τὰ λείψανα τῶν λογοποιουμένων ὀστῶν ἑαυτοῦ. θαυμαστὴ δὲ ἡ οἰκονομία τοῦ ποιητοῦ, μὴ ἅμα τῇ ἀπαγγελίᾳ τοῦ θανάτου κομίσαι τὰ λείψανα, ἵνα εὔλογος πρόφασις γένηται τῆς παρόδου τῷ ὀρέστῃ, καὶ περὶ αὐτὰ ὁ ἀναγνωρισμὸς πρὸς αὔξησιν τοῦ πάθους. Ἱστορῶ. γράφεται μαστεύω. Ἀζήμιος. ἀληθής, καὶ οὐκ ὑπέχων ζημίαν ψεύδους. Ἐφεῖτο. ἀντὶ τοῦ ἐνετέλλετο. ¶ Εἴπερ τι κλαίεις. ἀξιοπίστως ἄγαν ὀρέστης σκληρός ἐστιν, οὐχ οἷον δεῖ ἄγγελον εἶναι, καὶ συναχθόμενον τοῖς ἀτυχήμασιν ἐστὶν ὅτε. ¶ Δόθ' ἥτις

ζώης μοι καθύπερθε χερί,
τῷ πλούτῳ τῶν ἐχθρῶν, ὅσον
νῦν ὑπὸ χεῖρα ναίεις.
ἐπεί σ' ἐφεύρηκα μοί-
ρᾳ μὲν οὐκ ἐν ἐσθλᾷ
βεβῶσαν. ἃ δὲ μέγιστ' ἔβλαστε,
νόμιμα, τῶνδε φερομέναν
ἄριστα τᾷ διὸς εὐσεβείᾳ.

Ορ ἆρ' ὦ γυναῖκες ὀρθά τ' εἰσηκούσαμεν.
ὀρθῶς δ' ὁδοιποροῦμεν ἔνθα χρῄζομεν;

Χο τί δ' ἐξερευνᾷς, καὶ τί βουληθεὶς πάρει;

Ορ αἴγισθον ἔνθ' ᾤκησεν ἱστορῶ πάλαι.

Χο ἀλλ' εὖ θ' ἱκάνεις, χὠ φράσας ἀζήμιος.

Ορ τίς οὖν ἂν ὑμῶν τοῖς ἔσω φράσειεν ἂν
ἡμῶν ποθεινὴν κοινόπουν παρουσίαν;

Χο ἥδ', εἰ τὸν ἄγχιστόν γε κηρύσσειν χρεών.

Ορ ἴθ' ὦ γύναι, δήλωσον εἰσελθοῦσ', ὅτι
φωκεῖς ματεύουσ' ἄνδρες αἴγισθόν τινες.

Ηλ οἴμοι τάλαινα. οὐ δή ποθ' ἧς ἠκούσαμεν
φήμης φέροντες ἐμφανῆ τεκμήρια;

Ορ οὐκ οἶδα τὴν σὴν κληδόν', ἀλλά μοι γέρων
ἐφεῖτ' ὀρέστου στρόφιος ἀγγεῖλαι πέρι.

Ηλ τί δ' ἔστιν ὦ ξέν'. ὥς μ' ὑπέρχεται φόβος.

Ορ φέροντες αὐτοῦ μικρὰ λείψαν' ἐν βραχεῖ
τεύχει θανόντος, ὡς ὁρᾷς, κομίζομεν.

Ηλ οἲ 'γὼ τάλαινα. τοῦτ' ἐκεῖν' ἤδη σαφές.
πρόχειρον ἄχθος ὡς ἔοικε δέρκομαι.

Ορ εἴπερ τι κλαίεις τῶν ὀρεστείων κακῶν.
τόδ' ἄγγος ἴσθι σῶμα τοὐκείνου στέγον.

Ηλ ὦ ξεῖνε, δός νυν πρὸς θεῶν εἴπερ τόδε
κέκευθεν αὐτὸν τεῦχος, εἰς χεῖρας λαβεῖν.
ὅπως ἐμαυτὴν καὶ γένος τὸ πᾶν ὁμοῦ,
ξὺν τῇδε κλαύσω κἀποδύρωμαι σποδῷ.

Ορ δόθ' ἥτις ἐστί προσφέροντες. οὐ γὰρ ὡς
ἐν δυσμενείᾳ γ' οὖσ' ἐπαιτεῖται τόδε.
ἀλλ' ἢ φίλων τις, ἢ πρὸς αἵματος φύσιν.

Ηλ ὦ φιλτάτου μνημεῖον ἀνθρώπων ἐμοί,

ψυχῆς ὀρέστου λοιπόν. ὥς σ' ἀπ' ἐλπίδων,
οὐχ ὧνπερ ἐξέπεμπον εἰσεδεξάμην.
Νῦν μὲν γὰρ οὐδὲν ὄντα βαστάζω χεροῖν.
δόμων δέ σ' ὦ παῖ λαμπρὸν ἐξέπεμψ' ἐγώ.
ὡς ὤφελον πάροιθεν ἐκλιπεῖν βίον,
πρὶν ἐς ξένην σε γαῖαν ἐκπέμψαι χεροῖν
κλέψασα ταῖνδε, κἀνασώσασθαι φόνου.
ὅπως θανὼν, ἔκεισο τῇ τόθ' ἡμέρᾳ,
τύμβου πατρῴου κοινὸν εἰληχὼς μέρος.
νῦν δ' ἐκτὸς οἴκων, κἀπὶ γῆς ἄλλης φυγὰς,
κακῶς ἀπώλου, σῆς κασιγνήτης δίχα.
κοὔτ' ἐν φίλαισι χερσὶν ἡ τάλαιν' ἐγὼ
λουτροῖς ἐκόσμησ', οὔτε παμφλέκτου πυρὸς
ἀνειλόμην ὡς εἰκὸς ἄθλιον βάρος.
ἀλλ' ἐν ξένῃσι χερσὶ κηδευθεὶς τάλας,
σμικρὸς προσήκεις ὄγκος ἐν σμικρῷ κύτει.
οἴμοι τάλαινα τῆς ἐμῆς πάλαι τροφῆς
ἀνωφελήτου, τὴν ἐγὼ θάμ' ἀμφὶ σοὶ
πόνῳ γλυκεῖ παρέσχον. οὔτε γάρ ποτε
μητρὸς σύ γ' ἦσθα μᾶλλον ἢ κἀμοῦ φίλος,
οὔθ' οἱ κατ' οἶκον ἦσαν. ἀλλ' ἐγὼ τροφὸς,
ἐγὼ δ' ἀδελφὴ σοὶ προσηυδώμην ἀεί.
νῦν δ' ἐκλέλοιπε ταῦτ' ἐν ἡμέρᾳ μιᾷ
θανόντι σὺν σοί. πάντα γὰρ συναρπάσας
θύελλ' ὅπως, βέβηκας. οἴχεται πατήρ.
τέθνηκ' ἐγὼ σοί. φροῦδος αὐτὸς εἶ θανών.
γελῶσι δ' ἐχθροί. μαίνεται δ' ὑφ' ἡδονῆς
μήτηρ ἀμήτωρ. ἧς ἐμοὶ σὺ πολλάκις
φήμας λάθρα προὔπεμπες ὡς φανούμενος
τιμωρὸς αὐτός. ἀλλὰ ταῦθ' ὁ δυστυχὴς
δαίμων ὁ σός τε κἀμὸς ἐξαφείλετο.
ὅς σ' ὧδέ μοι προὔπεμψεν ἀντὶ φιλτάτης
μορφῆς, σποδόν τε καὶ σκιὰν ἀνωφελῆ.
οἴμοι μοι.
ὦ δέμας οἰκτρόν. φεῦ. φεῦ.
ὦ δεινοτάτας. οἴμοι μοι. (σας.
πεμφθεὶς κελεύθους φίλταθ', ὥς μ' ἀπώλε

ἐστίν. εἰκὸς αὐτοῖς ἐπιθεῖναι τινας. περιπαθῶς δὲ λίαν τοῦτο, ἢ πιστεῖ.

¶ Ψυχῆς ὀρέστου λοιπόν. λοιπὸν μνημεῖον. τοῦτο δέ φησι λαβοῦσα τὸ τεῦχος. ὑπὸ φύσεως δὲ ἔχει τῇ διαθέσει, λαβοῦσαν καὶ βαστάζουσαν τὰ ὀστᾶ ὀδύρεσθαι. ¶ Εἰσεδεξάμην. δέχομαι ἁπλῶς, τὸ, τὸ ἐρχόμενον εἰς ἐμὲ λαμβάνω. εἰσδέχομαι δὲ τὸ οἰκίας ἢ λιμένος, ἢ τοιούτου τινός. οὐκ ἐδεξάμην σε ἀπὸ τῶν ἐλπίδων ὧν ἐξέπεμπον. λαμβάνω ἀπὸ σοῦ τόδε, ὅταν ἄκοντός σου λαμβάνω. καὶ λαμβάνω ἀπὸ σοῦ, ὅταν σύ μοι διδῷς. καθ' ὃ λέγεται ἐνταῦθα. ¶ Οὐχ ὅνπερ ἐξέπεμπον. ὅμηρος, Ζωὸν μέν σ' ἔλιπον ἐγὼ κλισίηθεν ἰοῦσα. ¶ Σῆς κασιγνήτης δίχα. οἷον τῆς μόνης σου κηδομένης. ὅλα δὲ ταῦτα τέτακται τῷ πάθει, διὰ τὸ πεπεῖσθαι τὸν ὀρέστην. ὡς καὶ Πηνελόπη παρόντα ὀδυσσέα θρηνεῖ παρ' ὁμήρῳ, ἐν οἷς φησι, Τὸν ἄνδρα παρήμην. ἐνθάδε δὲ δίκαιον δηλοῦσθαι ὅτι ἀδελφὴ αὐτοῦ ἐστιν, ἢ ἐν τῷ λόγῳ. ἀγνοῶν γὰρ αὐτὴν ὀρέστης, ἀπολοφυρομένην γνώσεται.

¶ Οὔτε γὰρ ποτε. οὐ γὰρ ἧς φησι τῆς μητρὸς ποτὲ ἢ καὶ ἐμοῦ μᾶλλον, ἵνα τὸ τοῦ ἦσθα διεστείλωμεν. οὐκ ἦσθα τῆς μητρὸς, ἀλλὰ μᾶλλον τῆς ἐμοῦ. οἷον, ἐγώ σοι μᾶλλον ἤμην μήτηρ ἤπερ ἡ κλυταιμνήστρα. τὸ δὲ φίλος, ἀντὶ τοῦ ὄφελος. ἄλλως. οὐκ ἦς τῆς μητρὸς φίλος μᾶλλον ἢ ἐμοῦ. ἀντὶ τοῦ, οὐ τῇ μητρὶ προσέκεισο μᾶλλον. ἄμεινον δὲ τὸ ἕτερον δὲ τὴν ἡλικίαν τοῦ ὀρέστου, ἐφ' ἧς τὸ φίλον εἶναι αὐτὸν, καὶ διακρίνειν τινὰ τότε οὐκ ἐνεχώρει. μικρὸς γὰρ ἦν. Ἀμήτωρ, κακομήτωρ.

Θνητοῦ πέφυκας πατρὸς Ἠλέκτρα, φρόνει. πιθανῶς προσέκειτο τὸ ὄνομα τῆς Ἠλέκτρας, ἵνα μάθῃ Ὀρέστης. οὐ γὰρ μόνη ἦν αὐτοῦ ἀδελφή. τοῖς δὲ κοινοῖς βοηθήμασι χρῆται ὁ χορὸς ἐν τῇ παρηγορίᾳ.

Φεῦ φεῦ τί λέξω; ἀναγκαῖον ἐμφανισθῆναι τὸν Ὀρέστην. διεφθάρη γὰρ τὸ συνεκτικὸν τῆς ὑποθέσεως σιωπῶντος αὐτοῦ. ¶ Γλώσσης. γράφεται γνώμης. ¶ Τί δ' ἔσχες. πρὸς τί ἀπὸ κοινοῦ ἡ πρόθεσις. ¶ Τόδ' ἔστ' ἐκεῖνο. τοῦτο δύναται μὲν καὶ ἡ Ἠλέκτρα λέγειν. πρεπέστερον δὲ τῷ χορῷ προσκεῖται, ἵνα μὴ δόξῃ τὸ ἑαυτῆς εἶδος εἰπεῖν. θαυμαστῶς δὲ τὴν Κλυταιμνήστραν ἀπὸ τοῦ λαμπροῦ σχήματος ὁ ἄγγελος ἐγνώρισεν, οὗτος δὲ οὐ γινώσκει τὴν Ἠλέκτραν, διὰ τὸ κεκακῶσθαι τὸ σῶμα. ¶ Ὧδ' ἐπισκοπῶν στένεις. αὐτὶ τοῦ ἀμφ' ἐμοὶ καθορῶν στενάζεις. ¶ Ἐν τῷ διέγνως; ἐν τίνι, ἢ διὰ τί. ποίῳ λόγῳ εἰρημένῳ τοῦτο συνῆκας τῶν λόγων. ¶ Τῇδε. εἰς τοῦτο. ¶ Μητρὶ δ' οὐδὲν ἐξισοῖ. οὐκ ἴσα πράττει τῷ τῆς μητρὸς ὀνόματι.

ἀπώλεσας δῆτ' ὦ κασίγνητον κάρα.
τοιγὰρ σὺ δέξαι μ' ἐς τὸ σὸν τόδε στέγος
τὴν μηδὲν, εἰς τὸ μηδέν. ὡς σὺν σοὶ κάτω
ναίω τὸ λοιπόν. καὶ γὰρ ἡνίκ' ἦσθ' ἄνω,
ξὺν σοὶ μετεῖχον τῶν ἴσων. καὶ νῦν ποθῶ
τοῦ σοῦ θανοῦσα μὴ ἀπολείπεσθαι τάφου.
„ τοὺς γὰρ θανόντας οὐχ ὁρῶ λυπουμένους.
ΧΟ θνητοῦ πέφυκας πατρὸς Ἠλέκτρα, φρόνει.
θνητὸς δ' Ὀρέστης. ὥστε μὴ λίαν στένε.
„ πᾶσιν γὰρ ἡμῖν τοῦτ' ὀφείλεται παθεῖν.
ΟΡ φεῦ, φεῦ. τί λέξω. ποῖ λόγων ἀμηχανῶν
ἔλθω. κρατεῖν γὰρ οὐκέτι γλώσσης σθένω.
ΗΛ τί δ' ἔσχες ἄλγος. πρὸς τί τοῦτ' εἰπὼν κυρεῖς
ΟΡ ἦ σὸν τὸ κλεινὸν εἶδος Ἠλέκτρας τόδε;
ΗΛ τόδ' ἔστ' ἐκεῖνο, καὶ μάλ' ἀθλίως ἔχον.
ΟΡ οἴμοι ταλαίνης ἄρα τῆσδε συμφορᾶς.
ΗΛ τί δή ποτ' ὦ ξέν' ἀμφ' ἐμοὶ στένεις τάδε;
ΟΡ ὦ σῶμ' ἀτίμως κἀθέως ἐφθαρμένον.
ΗΛ οὔ τοι ποτ' ἄλλην ἢ 'μὲ δυσφημεῖς ξένε.
ΟΡ φεῦ τῆς ἀνύμφου δυσμόρου τε σῆς τροφῆς.
ΗΛ τί δή ποτ' ὦ ξέν' ὧδ' ἐπισκοπῶν στένεις
ΟΡ ὡς οὐκ ἄρ' ᾔδειν τῶν ἐμῶν οὐδὲν κακῶν
ΗΛ ἐν τῷ, διέγνως τοῦτο τῶν εἰρημένων.
ΟΡ ὁρῶν σε πολλοῖς ἐμπρέπουσαν ἄλγεσιν.
ΗΛ καὶ μὴν ὁρᾷς γε παῦρα τῶν ἐμῶν κακῶν.
ΟΡ καὶ πῶς γένοιτ' ἂν τῶνδ' ἔτ' ἐχθίω βλέπειν;
ΗΤ ὅθ' οὕνεκ' εἰμὶ τοῖς φονεῦσι σύντροφος.
ΟΡ τοῖς τοῦ; πόθεν τοῦτ' ἐξεσήμηνας κακόν.
ΗΛ τοῖς πατρός. εἶτα τοῖσδε δουλεύω βίᾳ,
ΟΡ τίς γάρ σ' ἀνάγκῃ τῇδε προτρέπει βροτῶν;
ΗΛ μήτηρ καλεῖται, μητρὶ δ' οὐδὲν ἐξισοῖ.
ΟΡ τί δρῶσα. πότερα χερσίν, ἢ λύμῃ βίου;
ΗΛ καὶ χερσί, καὶ λύμαισι, καὶ πᾶσιν κακοῖς.
ΟΡ οὐδ' οὐ πήξων, οὐθ' ὁ κωλύσων πάρα;
ΗΛ οὐ δῆθ', ὃς ἦν γάρ μοι, σὺ προὔθηκας σποδόν.
ΟΡ ὦ δύσποτμ', ὡς ὁρῶν σ' ἐποικτείρω πάλαι.
ΗΛ μόνος βροτῶν νῦν ἴσθ' ἐποικτείρας ποτέ.
ΟΡ μόνος γὰρ ἥκω τοῖσι σοῖς ἀλγῶν κακοῖς.

ΗΛ Οὐ δή ποθ' ἡμῖν ξυγγενὴς ἥκεις ποθέν;
Ορ Ἐγὼ φράσαιμ' ἄν, εἰ τὸ τῶνδ' εὔνουν πάρα.
ΗΛ Ἀλλ' ἔστιν εὔνουν, ὥστε πρὸς πιστὰς ἐρεῖς.
Ορ μέθες τόδ' ἄγγος νῦν, ὅπως τὸ πᾶν μάθῃς.
ΗΛ Μὴ δῆτα πρὸς θεῶν τοῦτό μ' ἐργάσῃ ξένε.
Ορ πιθοῦ λέγοντι, κοὐχ ἁμαρτήσῃ ποτέ.
ΗΛ Μὴ πρὸς γενείου, μὴ 'ξέλῃ τὰ φίλτατα.
Ο οὔ φημ' ἐάσειν. ΗΛ ὦ τάλαιν' ἐγὼ σέθεν
Ορέστα, τῆς σῆς εἰ στερήσομαι ταφῆς.
Ορ Εὔφημα φώνει. πρὸς δίκης γὰρ οὐ στένεις.
ΗΛ Πῶς τὸν θανόντ' ἀδελφὸν οὐ δίκῃ στένω;
Ορ οὔ σοι προσήκει τήνδε προσφωνεῖν φάτιν.
ΗΛ οὕτως ἄτιμός εἰμι τοῦ τεθνηκότος;
Ορ Ἄτιμος οὐδενὸς σύ. τοῦτο δ' οὐχὶ σόν.
ΗΛ εἴπερ γ' ὀρέστου σῶμα βαστάζω τόδε.
Ορ Ἀλλ' οὐκ ὀρέστου, πλὴν λόγῳ γ' ἠσκημένον.
ΗΛ ποῦ δ' ἔστ' ἐκείνου τοῦ ταλαιπώρου τάφος;
Ορ οὐκ ἔστι. τοῦ γὰρ ζῶντος οὐκ ἔστι τάφος.
ΗΛ πῶς εἶπας ὦ παῖ; Ορ Ψεῦδος οὐδὲν ὧν λέγω.
ΗΛ ἦ ζῇ γὰρ ἁνήρ; Ορ Εἴπερ ἔμψυχός γ' ἐγώ.
ΗΛ ἦ γὰρ σὺ κεῖνος; Ορ τήνδε προσβλέψασά μου
σφραγῖδα πατρὸς ἔκμαθ' εἰ σαφῆ λέγω.
ΗΛ ὦ φίλτατον φῶς. Ορ φίλτατον, συμμαρτυρῶ.
ΗΛ ὦ φθέγμ' ἀφίκου; Ορ Μηκέτ' ἄλλοθεν πύθῃ.
ΗΛ ἔχω σε χερσίν. Ορ ὡς τὰ λοίπ' ἔχοις ἀεί.
ΗΛ ὦ φίλταται γυναῖκες, ὦ πολίτιδες,
ὁρᾶτ' Ορέστην τόνδε μηχαναῖσι μὲν
θανόντα, νῦν δὲ μηχαναῖς σεσωσμένον;
Χο ὁρῶμεν ὦ παῖ, κἀπὶ συμφοραῖσί μοι
γεγηθὸς ἕρπει δάκρυον ὀμμάτων ἄπο.
ΗΛ ἰὼ γοναὶ σωμάτων ἐμοὶ φιλτάτων,
ἐμόλετ' ἀρτίως.
ἐφεύρετ'. ἤλθετ'. εἴδετ' οὓς ἐχρήζετε.
Ορ πάρεσμεν. ἀλλὰ σῖγ' ἔχουσα πρόσμενε.
ΗΛ τί δ' ἔστιν;

¶ Πρὸς δίκης γὰρ. ἢ πρὸς αὐτῇ τῇ μετά.

¶ Οὕτως ἄτιμός εἰμι τοῦ τεθνηκότος. ἤγουν ἀνάξιος, ὥστε μὴ τὸ νομάζειν αὐτὸν δηλονότι. ¶ Τοῦτο δ' οὐχὶ σόν. οὐ σοὶ προσήκει. ¶ Ἠσκημένον. κατεσκευασμένον. ἀσκήματα γὰρ τὰ κατασκευάσματα. ¶ Σφραγῖδα πατρός. τὸν δακτύλιον. ¶ Ω φθέγμ' ἀφίκου. λείπει φίλτατον. ¶ Γοναὶ σωμάτων. ἀντὶ τοῦ ἑνικοῦ γονὴ σώματος. ἐμοὶ φιλτάτου, τοῦ Αγαμέμνονος.

¶ Εἴδεθ' οὓς ἐχρήζετε. ἀντὶ τοῦ ἐμέ. ¶ Σῖγ' ἔχουσα πρόσμενε. ἀντὶ τοῦ σίγα, ἕως ἂν κατὰ νοῦν ἀποβῇ τὸ πᾶν. ¶ Τί δ' ἔστιν; παράκειται ἑκάστῳ τὸ οἰκεῖον. ἡ μὲν γὰρ γυνή τε οὖσα καὶ παρὰ προσδοκίαν εὐτυχοῦσα, θρασυτέρα ἐστίν. ὁ δὲ ἧττον ἀσφαλής, διὰ τὸ νῦν πρῶτον ἐπιχειρεῖν τοιούτῳ κινδύνῳ.

Ἀλλ' οὐ μὰ τὰν Ἄρτεμιν. ἡ ἀπόστασις πρὸς Κλυταιμνήστραν. ὅρα δὲ εἰ οἰκεῖα ταῦτα τῇ Ἠλέκτρᾳ πρέποντος ὀρέστου, ὁπότε κειμένη οὐδὲ γοῦν τὸν ἐθρασύνετο. ¶ Ἀδμήταν. παρθένον. Ὅρα γε μὲν δή. ὅτι τὴν Κλυταιμνήστραν γυναῖκά φησιν ὅτι τὸν ἀγαμέμνονα ἀνεῖλον. Ὀτοτοῖ. ἐπειδὴ ὑπέμνησεν αὐτὴν τὸν τοῦ πατρὸς ἀναιρέσεως, διὰ τῶν προειρημένων δύο στίχων φησὶν, ὅτι ἐνέβαλές μοι κακὸν ἀνέφελον, καλυφθῆναι μὴ δυνάμενον. ἀσκίαστον ὡς εἰ ἔφη πρόδηλον κακόν, ὑπὸ μηδεμιᾶς νεφέλης κρυβῆναι δυνάμενον. ¶ Οὔποτε καταλύσιμον. οὐδέποτε λησόμενον. οὐ καταλυόμενον. ὁ δὲ νοῦς, λήθης τυχεῖν μὴ δυνάμενον. ¶ Ἀλλ' ὅταν παρουσία φράζῃ. ὅταν ἐπιτρέπῃ ὁ καιρὸς καὶ καλῇ, ἢ ὁπόταν ἡ παρουσία τούτων ᾖ, καὶ ὁ καιρὸς ἐπιτήδειος. τὸ γὰρ διεξιέναι τὰ κατὰ τὸν ἀγαμέμνονα, δι' ὄχλου ἦν τοῖς θεαταῖς ἐνθυμουμένοις τὸ πᾶν, καὶ βουλομένοις ἰδεῖν τὰ παρ' ὀρέστου γινόμενα. ¶ Ὁ πᾶς ἂν πρέποι. ὁ πᾶς χρόνος πρέποι τῇ δίκῃ λέγειν με ταῦτα. τὰ δὲ δίκαια. γράφεται τάδε δίκαια. ¶ Σῷζε τόδε. τηρεῖν. τὸ ἐλευθεροστομεῖν. τοιγαροῦν ἀντέχου τῆς ἐλευθεροστομίας.

Ορ Σιγᾶν ἄμεινον, μή τις ἔνδοθεν κλύῃ.
Ηλ ἀλλ' οὐ μὰ τὰν Ἄρτεμιν τὰν αἰὲν ἀδμήταν,
τόδε μὲν οὔποτ' ἀξιώσω τρέσαι,
περισσὸν ἄχθος ἔνδον γυναικῶν ὂν ἀεί.
Ορ ὅρα γε μὲν δὴ, κἀν γυναιξὶν ὡς ἄρης
ἔνεστιν. εὖ δ' ἐξοισθα πειραθεῖσά που.
Ηλ ὀτοτοῖ.
ἀνέφελον ἐπέβαλες
οὔποτε καταλύσιμον,
οὐδέ ποτε λησόμενον
ἀμέτερον
οἷον ἔφυ κακόν.
Ορ ἔξοιδα καὶ ταῦτ'. ἀλλ' ὅταν παρουσία
φράζῃ, τότ' ἔργων τῶνδε μεμνῆσθαι χρεών.
Ηλ ὁ πᾶς ἐμοὶ
ὁ πᾶς ἂν πρέποι παρὼν ἐννέπειν
τάδε δίκαια χρόνος.
μόλις γὰρ ἔσχον νῦν ἐλεύθερον στόμα.
Ορ ξύμφημι κἀγώ. τοιγαροῦν σῷζε τόδε.
Ηλ τί δρῶσα.
Ορ οὗ μή 'στι καιρὸς μὴ μακρὰν βούλου λέγειν.
Ηλ τίς οὖν ἂν ἀξίαν γε πεφηνότος
μεταβάλοιτ' ἂν ὧδε σιγὰν λόγων;
ἐπεί σε νῦν ἀφράστως
ἀέλπτως τ' ἐσεῖδον.
Ορ τότ' εἶδες, ὅτε θεοί μ' ὤτρυναν μολεῖν.
Ηλ ἔφρασας ὑπερτέραν
τᾶς πάρος ἔτι χάριτος,
εἴ σε θεὸς ἐπῶρσεν
ἁμέτερα πρὸς μέλαθρα,
δαιμόνιον
αὐτὸ τίθημ' ἐγώ.
Ορ τὰ μὲν, σ' ὀκνῶ χαίρουσαν εἰργάθειν. τὰ δὲ,
δέδοικα λίαν ἡδονῇ νικωμένην.
Ηλ ἰὼ χρόνῳ μακρῷ φιλτάταν ὁδὸν
ἐπαξιώσας ὧδέ μοι φανῆναι,

Μὴ μακράν. ἀντὶ τοῦ μὴ μακρῶς. ¶ Τίς οὖν ἀξίαν γε. τίς ἂν φήσει νοῦς ἀφαιρεῖτο δικαίως ἕλοιτο ἀντὶ λόγων σιωπήν. ¶ Ὑπερτέραν. λείπει χάριν. ¶ Τᾶς πά

ρος

μή τί με πολύστονον ὧδ' ἰδών.

Ορ τί μὴ ποιήσω.

Ηλ μή μ' ἀποστερήσῃς

τῶν σῶν προσώπων ἡδονὰν μεθέσθαι.

Ορ ἦ κάρτα κἂν ἄλλοισι θυμοίμην ἰδών.

Ηλ ξυναινεῖς;

Ορ τί μὴν οὔ.

Ηλ ὦ φίλαι, ἔκλυον ἂν

ἐγὼ οὐδ' ἂν ἤλπισ' αὐδάν.

ἔσχον ὀργὰν ἄναυδον.

οὐδὲ σὺν βοᾷ κλύουσα τάλαινα.

νῦν δ' ἔχω σε, προὐφάνης δὲ

φιλτάταν ἔχων πρόσοψιν,

ἇς ἐγὼ οὐδ' ἂν ἐν κακοῖς λαθοίμαν.

Ορ τὰ μὲν περισσεύοντα τῶν λόγων, ἄφες.

καὶ μήτε μήτηρ ὡς κακὴ δίδασκέ με,

μήθ' ὡς πατρῴαν κτῆσιν Αἴγισθος δόμων

ἀντλεῖ. τὰ δ' ἐκχεῖ, τὰ δὲ διασπείρει μάτην.

χρόνου γὰρ ἄν σοι καιρὸν ἐξείργοι λόγος.

ἃ δ' ἁρμόσει μοι τῷ παρόντι νῦν χρόνῳ,

σήμαιν', ὅπου φανέντες, ἢ κεκρυμμένοι,

γελῶντας ἐχθροὺς παύσομεν τῇ νῦν ὁδῷ.

οὕτως δ', ὅπως μήτηρ σε μὴ 'πιγνώσεται,

φαιδρῷ προσώπῳ νῷν ἐπελθόντοιν δόμοις

ἀλλ' ὡς ἐπ' ἄτῃ τῇ μάτην λελεγμένῃ,

στέναζ'. ὅταν γὰρ εὐτυχήσωμεν, τότε

χαίρειν παρέσται καὶ γελᾶν ἐλευθέρως.

Ηλ ἀλλ' ὦ κασίγνηθ' ὧδ', ὅπως καὶ σοὶ φίλον

καὶ τοὐμὸν ἔσται τῇδ'. ἐπεὶ τὰς ἡδονὰς

πρὸς σοῦ λαβοῦσα, κοὐκ ἐμὰς ἐκτησάμην.

κοὐδ' ἄν σε λυπήσασα βουλοίμην βραχὺ

αὐτὴ μέγ' εὑρεῖν κέρδος. οὐ γὰρ ἂν καλῶς

ὑπηρετοίμην τῷ παρόντι δαίμονι.

ἀλλ' οἶσθα μὲν τἀνθένδε. πῶς γὰρ οὔ. κλύων

ὁθούνεκ' Αἴγισθος μὲν, οὐ κατὰ στέγας,

μήτηρ δ' ἐν οἴκοις, ἣν σὺ μὴ δείσῃς ποθ', ὡς

γέλωτι φαιδρὸν τοὐμὸν ὄψεται κάρα.

ρος ἐστι χεῖρον. τῆς σῆς παρουσίας. Ὧδ' ἰδών. γράφεται ὧ δ' ἰδών. ¶ Μή μ'. μὴ ἀποστερήσῃς με φησὶ τοῦ μεθέσθαι τῶν προσώπων σου καὶ ἀπαλλαγῆναι μετὰ ἡδονῆς, ὅπερ μοι περίεστι νῦν πλέον μετεχούσῃ σου καὶ ἀπολαυούσῃ. οὕτω γὰρ ἀπαλλαγήσομαι μετὰ ἡδονῆς· ἐὰν δὲ ἤδη ἀποστερήσῃς σαυτοῦ, μετὰ λύπης ἀπαλλαγήσομαι. ¶ Ὦ φίλαι, ἔκλυον ἂν ἐγώ. ὦ φίλαι οἵαν ἤκουσα φήμην περὶ τοῦ ἀδελφοῦ ἀπροσδόκητον, ἐφ' ἧ οὔτε σιωπῆσαι ἂν ἠδυνάμην, οὔτε ἀκούσασα βοῆσαι, καὶ γὰρ ἡ ἡδονὴ προεξέπεσο αὐτὴν βοῆσαι. καὶ ὁ φόβος ὁ περὶ τὸν Αἴγισθον, καὶ τὴν μητέρα, σιωπῆσαι· ὅμως δὲ ἔχω σε φιλτάτην ἔχοντα πρόσοψιν. ὁ νοῦς, ἔκλυον αὐδὴν ἣν οὐδέποτε ἤλπισα, καὶ ἔσχον τρόπον ἄναυδον τῷ μὴ δύνασθαι ἀκούειν. οὐδὲ βοῶντος τινὸς ἀκούειν δυναμένη, οὕτως ἐξέστην ἐμαυτῆς. λέγει δὲ περὶ τῆς ἀπωλείας τοῦ Ὀρέστου ὅτε ἤκουσεν. Μήθ' ὡς πατρῴαν. ἐμφαντικὸν τὸ συνεχὲς τῆς ταυτολογίας. ἤρκει γὰρ κἂν ἓν τῶν λελεγμένων. ¶ Χρόνου γὰρ ἄν σοι καιρὸν ἐξείργοι λόγος. ἀφαιρεῖται γάρ φησι τὴν εὐκαιρίαν τῶν μελλόντων πραχθῆναι, τῶν λόγων ἡ ἀδολεσχία. ¶ Δεξαίμην βραχύ. γράφεται βουλοίμην βραχύ. ¶ Ἀλλ' οἶσθα μὲν τἀνθένδε. εἰκὸς γὰρ καὶ ἔξωθεν ταῦτα πεπύσθαι τὸν Ὀρέστην.

ΜΙΣΟΣ τε γὰρ παλαιὸν ἐντέτηκέ μοι. πρὸς τὴν μητέρα δηλονότι. ¶ Ἔσωσ' ἐμαυτήν. ἀναιροῦσα αὐτούς.

Σιγᾶν ἐπῄνεσα. τινὲς οὖν χορὸν φασὶ λέγειν ταῦτα. ¶ Εἴσιτ' ὦ ξένοι. τοῦ παιδαγωγοῦ μέλλοντος ἐξιέναι, ὁ ὀρέστης αἰσθόμενος τοῦ ψόφου, ἀγνοῶν, κελεύει αὐτὴν σιγᾶν. διὸ καὶ ἡ ἠλέκτρα ὡς ξένοις διαλέγεται.

Καὶ φέροντες οἷ' ἂν οὔτε τις. τὴν αὐτὴν ἀγγελίαν δηλονότι φέροντες ἣν οὐκ ἄν τις ἀπώσαιτο, λαβεῖν τὰ ὀστᾶ. οὐδὲ ἡσθείη ὡς λάβοι, ὅτι κακή ἐστιν. ¶ Ὦ πλεῖστα μῶροι. ἐπιτιμᾷ αὐτοῖς, ὅτι φανεροὶ τοῖς ἐχθροῖς γίγνονται. ¶ Ἐγγενής. ἐγγεγεννημένος. ἢ ἄξιος τοῖς γένοις. ἔμφυτος. γνήσιος. ¶ Πρόσθεν ἢ τὰ σώματα. οἷον πρὶν ἰδεῖν τὰ σώματα ὑμῶν οἱ ἐχθροί, ἔγνωσαν ἂν τὰ βουλεύματα διὰ τύχης. ¶ Ἐν τοῖς τοιούτοις. καιροῖς δηλονότι.

Τελουμένων εἴποιμ' ἄν. θαυμαστῶς ὑπὲρ τοῦ μὴ ἐπὶ πλέον διατρίβειν, ὡς καὶ ὀρέστης ἐν τοῖς ἔμπροσθεν, τὰ μὲν διασκευάζοντα τῶν λόγων ἀφείς. ὁ δὲ νοῦς. καὶ τὰ μὴ καλῶς, ἀλλὰ κακῶς αὐτοῖς ἔχοντα, καὶ αὐτὰ νῦν καλῶς ἔχει, ἕως οὐδέπω τιμωρίας τυγχάνουσιν. ἅπερ λεγόμενα πρὸς ἄκρον ἐστὶ παροξυντικά.

μῖσός τε γὰρ παλαιὸν ἐντέτηκέ μοι.
κἀπεί σ' ἐσεῖδον, οὔποτ' ἐκλήξω χαρᾶς
δακρυρροοῦσα. πῶς γὰρ ἂν λήξαιμ' ἐγώ,
ἥτις μιᾷ σε τῇδ' ὁδῷ θανόντα τε,
καὶ ζῶντ' ἐσεῖδον; εἴργασαι δέ μ' ἄσκοπα.
ὥστ' εἰ πατήρ μοι ζῶν ἵκοιτο, μηκέτ' ἂν
τέρας νομίζειν αὐτό, πιστεύειν δ' ὁρᾶν.
ὅτ' οὖν τοιαύτην ἡμὶν ἐξήκεις ὁδόν,
ἄρχ' αὐτὸς, ὥς σοι θυμός. ὡς ἐγὼ μόνη
οὐκ ἂν δυοῖν ἥμαρτον. ἢ γὰρ ἂν καλῶς
ἔσωσ' ἐμαυτήν, ἢ καλῶς ἀπωλόμην.
Ορ Σιγᾶν ἐπῄνεσ', ὡς ἐπ' ἐξόδῳ κλύω
τῶν ἔνδοθεν χωροῦντος. Ηλ εἴσιτ' ὦ ξένοι.
ἄλλως τε καὶ φέροντες, οἷ' ἂν οὔτε τις
δόμων ἀπώσαιτ', οὔτ' ἂν ἡσθείη λαβών.
παι Ω πλεῖστα μῶροι, καὶ φρενῶν τητώμενοι.
πότερα παρ' οὐδὲν τοῦ βίου κήδεσθ' ἔτι,
ἢ νοῦς ἔνεστιν οὔτις ὑμὶν ἐγγενής;
ὅτ' οὐ παρ' αὐτοῖς, ἀλλ' ἐν αὐτοῖσιν κακοῖς
τοῖσιν μεγίστοις ὄντες, οὐ γινώσκετε.
ἀλλ' εἰ σταθμοῖσι τοῖσδε μὴ 'κύρουν ἐγὼ
πάλαι φυλάσσων, ἦν ἂν ὑμὶν ἐν δόμοις
τὰ δρώμεν' ὑμῶν πρόσθεν, ἢ τὰ σώματα.
νῦν δ' εὐλάβειαν τῶνδε προὐθέμην ἐγώ.
καὶ νῦν ἀπαλλαχθέντε τῶν μακρῶν λόγων,
καὶ τῆς ἀπλήστου τῆσδε σὺν χαρᾷ βοῆς,
εἴσω παρέλθεθ', ὡς τὸ μὲν μέλλειν, κακὸν
ἐν τοῖς τοιούτοις ἔστ', ἀπηλλάχθαι δ' ἀκμή.
Ορ Πῶς οὖν ἔχει τἀντεῦθεν εἰσιόντι μοι.
παι Καλῶς. ὑπάρχει γάρ σε μὴ γνῶναί τινα.
Ορ ἤγγειλας ὡς ἔοικεν ὡς τεθνηκότα.
παι εἷς τῶν ἐν ᾅδου μάνθαν' ἐνθάδ' ὢν ἀνήρ.
Ορ χαίρουσιν οὖν τούτοισιν, ἢ τίνες λόγοι.
παι τελουμένων εἴποιμ' ἄν. ὡς δὲ νῦν ἔχει,
καλῶς τὰ κείνων πάντα, καὶ τὰ μὴ καλῶς.

ΗΛ. τίς οὗτός ἐστ' ἀδελφὲ πρὸς θεῶν φράσον.
Ορ. οὐχὶ ξυνίης; ΗΛ. οὐδέ γ' ἐς θυμὸν φέρω.
Ορ. οὐκ οἶσθ' ὅτῳ μ' ἔδωκας εἰς χεῖρας ποτέ;
ΗΛ. ποίῳ; τί φωνεῖς; Ορ. οὗ τὸ Φωκέων πέδον
ὑπεξεπέμφθην σῇ προμηθίᾳ χεροῖν.
ΗΛ. ἦ κεῖνος οὗτος, ὅν ποτ' ἐκ πολλῶν ἐγὼ
μόνον προσηῦρον πιστὸν ἐν πατρὸς φόνῳ;
Ορ. ὅδ' ἐστί. μή μ' ἔλεγχε πλείοσιν λόγοις.
ΗΛ. ὦ φίλτατον φῶς, ὦ μόνος σωτὴρ δόμων
Ἀγαμέμνονος, πῶς ἦλθες; ἦ σὺ κεῖνος εἶ,
ὃς τόνδε κἄμ' ἔσωσας ἐκ πολλῶν πόνων;
ὦ φίλταται μὲν χεῖρες, ἥδιστον δ' ἔχων
ποδῶν ὑπηρέτημα. πῶς οὕτω πάλαι
ξυνών μ' ἔληθες, οὐδ' ἔφαινες, ἀλλά με
λόγοις ἀπώλλυς, ἔργ' ἔχων ἥδιστ' ἐμοί.
χαῖρ' ὦ πάτερ, πατέρα γὰρ εἰσορᾶν δοκῶ.
χαῖρ'. ἴσθι δ' ὡς μάλιστά σ' ἀνθρώπων ἐγὼ
ἤχθηρα, κἀφίλησ' ἐν ἡμέρᾳ μιᾷ.
Πα. ἀρκεῖν δοκεῖ μοι. τοὺς γὰρ ἐν μέσῳ λόγους
πολλαὶ κυκλοῦσι νύκτες, ἡμέραι τ' ἴσαι,
αἳ ταῦτά σοι δείξουσιν Ἠλέκτρα σαφῆ.
σφῷν δ' ἐννέπω γε τοῖν παρεστώτοιν, ὅτι
νῦν καιρὸς ἔρδειν. νῦν Κλυταιμνήστρα μόνη.
νῦν οὔ τις ἀνδρῶν ἔνδον. εἰ δ' ἐφέξετον,
φροντίζεθ' ὡς τούτοις τε καὶ σοφωτέροις
ἄλλοισι, τούτων πλείοσιν μαχούμενοι.
Ορ. οὐκ ἂν μακρῶν ἔθ' ἡμὶν οὐδὲν ἂν λόγων
Πυλάδη, τόδ' εἴη τοὔργον. ἀλλ' ὅσον τάχος
χωρεῖν ἔσω, πατρῷα προσκύσανθ' ἕδη
θεῶν, ὅσοιπερ πρόπυλα ναίουσιν τάδε.
ΗΛ. Ἄναξ Ἄπολλον, ἵλεως αὐτοῖν κλύε,
ἐμοῦ τε πρὸς τούτοισιν, ἥ σε πολλὰ δὴ
ἀφ' ὧν ἔχοιμι, λιπαρεῖ προὔστην χερί.
νῦν δ' ὦ Λύκει' Ἄπολλον ἐξ οἵων ἔχω,
αἰτῶ, προπίτνω, λίσσομαι, γενοῦ πρόφρων
ἡμῖν ἀρωγὸς τῶνδε τῶν βουλευμάτων,
καὶ δεῖξον ἀνθρώποισι τἀπιτίμια

¶ Τίς οὗτός ἐστ' ἀδελφέ. οὐκ ἠρώτησε τοῦτο ὀρέστην πρότερον ἡ ἠλέκτρα ὑπὸ τῆς χαρᾶς. ἀλλ' ἐφύλαξε νῦν ὁ ποιητὴς εἰς ἕτερον ἀναγνωρισμόν. ¶ Οὗ τὸ Φωκέων πέδον. οὗ χεροῖν εἰς τὸ Φωκέων πέδον ὑπεξεπέμφθην, σῇ προμηθίᾳ. ¶ Αἳ ταῦτά σοι. τὰ κατ' ἐμέ φησι. αἳ ταῦτά σοι δείξουσι. τοὺς ἐν μέσῳ λόγους εἰπών, ὤφειλεν ἀποδοῦναι, αἳ τούτους σοὶ δείξουσιν. ὁ δὲ ποιητὴς τὴν σύνταξιν πραγματικήν, καὶ ἀποδίδωσιν, αἳ ταῦτά σοι δείξουσιν. ἤγουν δὲ τοὺς λόγους δέ, ἤ τι τοιοῦτον. σύνηθες δὲ τοῦτο τὸ σχῆμα, τὸ ἄρχεσθαι ἄλλως. εἶτα ὥσπερ ἐκ μεταμελείας ἀποδιδόναι τὸν λόγον ἄλλως, ὡς παρὰ Φιλοστράτῳ. Φαρέτραι μὲν τῶν χρυσόπαστοι δὲ, χρυσοῖ δὲ τὰ ἐν αὐταῖς βέλη, γυμνὴ τούτων ἡ ἀγέλη πᾶσα.

¶ Νῦν Κλυταιμνήστρα μόνη. ἐνταῦθα ἀνεκάλυψε τὸ χρήσιμον τῆς ἀποδημίας αἰγίσθου. ¶ Ἐφέξετον. μελλήσετε. βραδύνετε. Ἔθ' ἡμῖν οὐδὲν ἂν λόγων. τὸ οὐδὲν παρέλκει.

¶ Λιπαρεῖ προὔστην χερί. ἀντὶ τοῦ λιπαρῶς, συνεχῶς. ¶ Ἐξ οἵων ἔχω. ὡς δυνάμεως ἔχω. λόγοις ἀξιοῦν. οὐ θύειν. ¶ Τἀπιτίμια. τοὺς μισθούς.

Ἴδεθ' ὅπου προνέμεται. ἀντὶ τοῦ προβιβάζει. τοῦ ὀρέστου δὲ εἰσελθόντος, ὁ χορὸς ταῦτά φησιν. Ἄλλως. εἰσεληλύθασι μὲν ἐνταῦθα οἱ περὶ ὀρέστην καὶ πυλάδην. τούτου δὲ ἤτοι ὁ χορός φησι. καὶ περὶ ἠλέκτρας συνεισελθούσης αὐτοῖς. καὶ τὸ ἴδετε πρὸς ἀλλήλας φασὶν αἱ τοῦ χοροῦ. ἢ ὅτι ἔξω οὖσα ἡ ἠλέκτρα, λέγει πρὸς τὸν χορὸν τοὺς δύο στίχους, καὶ οὕτως εἰσέρχεται. ἤ ἐστι διάλειμμα ὥστε ἐξελθοῦσαν αὐτὴν ἄρχεσθαι τοῦ ὦ φίλταται γυναικῶν.

τῆς δυσσεβείας, οἷα δωροῦνται θεοί.
ΧΟ ἴδεθ' ὅπου προνέμεται
τὸ δυσέριστον αἷμα φυσῶν Ἄρης.
βεβᾶσιν ἄρτι δωμάτων ὑπόστεγοι
μετάδρομοι κακῶν πανουργημάτων
ἄφυκτοι κύνες.
ὥστ' οὐ μακρὰν ἔτ' ἀμμενεῖ
τοὐμὸν φρενῶν ὄνειρον αἰωρούμενον.
παράγεται γὰρ ἐνέρων
δολιόπους ἀρωγὸς εἴσω στέγας,
ἀρχαιόπλουτα πατρὸς εἰς ἑδράσματα,
νεακόνητον αἷμα χεροῖν ἔχων.
ὁ Μαίας δὲ παῖς
Ἑρμῆς, ἐπάγει δόλον σκότῳ
κρύψας πρὸς αὐτὸ τέρμα, κοὐκέτ' ἀμμένει.
ΗΛ Ὦ φίλταται γυναικῶν, ἄνδρες αὐτίκα
τελοῦσι τοὔργον. ἀλλὰ σῖγα πρόσμενε.
ΧΟ Πῶς δή; τί νῦν πράσσουσιν;
ΗΛ ἡ μὲν ἐς τάφον
λέβητα κοσμεῖ. τὼ δ' ἐφέστατον πέλας.
ΧΟ Σὺ δ' ἐκτὸς ᾖξας, πρὸς τί;

παρατήρει δὲ ὅτι τὸ μὲν τῆς τοῦ ἀγγέλου παρουσίας προοικονομεῖ ὁ ποιητὴς ἔξω διατρίβειν τὴν κλυταιμνήστραν, δι' ἃς προείπομεν αἰτίας. ἐνθάδε τῶν λόγων γινομένων πρὸς τὴν ἠλέκτραν ἐκ τοῦ ὀρέστου, οὐδὲ ἀπολείπει εἰς τὸ ἀνελεῖν τὴν κλυταιμνήστραν, ἅπερ ἐν τῷ ἐμφαίνειν ὁ ποιητὴς οὐκ εἰσήγαγεν. ¶ Τὸ δυσέριστον αἷμα φυσῶν. οἷον ὁ ἄρης συναγκαλάζεται αὐτοῖς φυσῶν αἷμα καὶ φόνον. δυσέριστον, τὸ δι' ἔριν γινόμενον κακόν, τὸ δὲ κακόν, οὐχ ὡς κατηγοροῦσα φησι. ἐναντίον γὰρ τοῦτο ἤθει τοῦ χοροῦ. ἀλλ' ὅτι τὰ τοιαῦτα ἔργα οὐχ ἡδέα τοῖς ἀνθρώποις. ¶ Ἄφυκτοι κύνες. ἤτοι εἰς τὸν ὀρέστην ἀποτείνεται ἐν τούτῳ, ἄφυκτοι κύνες. ἢ μᾶλλον τῶν ἐριννύων. εἰσῆλθον εἰς τὸν οἶκον αἱ ἐριννύες, ἃς οὐκ ἔστι φυγεῖν. ¶ Ὥστ' οὐ μακράν. οὐ περὶ τοῦ ὀνείρου τῆς κλυταιμνήστρας φησί. ὅπερ ἦν βίαιον. ἀλλὰ τοῦτό φησιν. ἃ κατ' ἐμαυτὴν ὠνειροπόλουν, οὐκ εἰς μακρὰν ἔσται μετέωρα, ἀλλ' εὐθέως τελεσθήσεται. ¶ Παράγεται ὁ ἐνέρων δολιόπους. ἡ ἐριννὺς ἀφόβως χωροῦσα. ἢ δαίμων τις ἀ[illegible] βοηθὸς νεκρῶν. ἢ μᾶλλον τοῦ ὀρέστου. παρέρχεταί φησιν ἔσω στέγης ὁ ὀρέστης. ¶ Ἐνέρων δ' ἀρωγός. ἤτοι τοῦ ἀγαμέμνονος, ἢ τῶν χθονίων θεῶν βοηθός, ὅ ἐστιν ὑπηρέτης.

Ἀρχαιόπλουτα πατρὸς εἰς ἑδώλια, ἑδράσματα ἀρχαῖα. παλαιὰ οἰκήματα.

Νεακόνητον αἷμα. τὸ ξίφος τὸ ἠκονημένον εἰς αἷμα καὶ φόνον. ¶ Ὁ Μαίας δὲ παῖς. ὁ ἑρμῆς αὐτὸν ἄγει πρὸς αὐτὸ τὸ τέρμα κατακρύψας σκότῳ τὸν ὑπ' αὐτοῦ γινόμενον λόγον. ¶ Ὦ φίλταται γυναῖκες. ἐξερχομένη ταῦτά φησιν. ¶ Ἡ μὲν ἐς τάφον. εἰς τὸ περίδειπνον τὸ ὑπὲρ τοῦ ὀρέστου δοκοῦντος ἀπολωλέναι. ¶ Σὺ δ' ἐκτὸς ᾖξας, πρὸς

ΗΛ φρουρήσουσ' ὅπως
Αἴγισθος μὴ λάθῃ μολὼν ἔσω.
ΚΛ αἰαῖ αἰαῖ. ἰὼ στέγαι
φίλων ἔρημοι, τῶν δ' ἀπολλύντων πλέαι.
ΗΛ βοᾷ τις ἔνδον. οὐκ ἀκούετ' ὦ φίλαι;
ΧΟ ἤκουσ' ἀνήκουστα δύ-
στανος, ὥστε φρίξαι.
ΚΛ οἴμοι τάλαιν'. Αἴγισθε, ποῦ ποτ' ἂν κυρεῖς;
ΗΛ ἰδοὺ μάλ' αὖ θροεῖ τις.
ΚΛ ὦ τέκνον, ὦ τέκνον,
οἴκτειρε τὴν τεκοῦσαν.
ΗΛ ἀλλ' οὐκ ἐκ σέθεν
ᾠκτείρεθ' οὗτος, οὐθ' ὁ γεννήσας πατήρ.
ΧΟ ὦ πόλις, ὦ γενεὰ τάλαινα. νῦν σε
μοῖρα καθημερία φθίνει.
ΚΛ ὤμοι, πέπληγμαι.
ΗΛ παῖσον εἰ σθένεις διπλῆν.
ΚΛ ὤμοι μάλ' αὖθις.
ΗΛ εἰ γὰρ Αἰγίσθῳ θ' ὁμοῦ.
ΧΟ τελοῦσιν ἀραί. ζῶσιν οἱ
γᾶς ὑποκείμενοι.
πολύρρυτον γὰρ αἷμ' ὑπεξαιροῦσι τῶν
κτανόντων οἱ πάλαι θανόντες.
ΗΛ καὶ μὴν πάρεισιν οἵδε. φοινία δὲ χεὶρ
στάζει θυηλῆς Ἄρεος. οὐδ' ἔχω λέγειν
Ὀρέστα, πῶς κυρεῖ.
ΟΡ τἀν δόμοισι μὲν,
καλῶς, Ἀπόλλων εἰ καλῶς ἐθέσπισε.
τέθνηκεν ἡ τάλαινα. μηκέτ' ἐκφοβοῦ
μητρῷόν ὥς σε λῆμ' ἀτιμάσῃ ποτέ.
ΧΟ παύσασθε. λεύσσω γὰρ
Αἴγισθον ἐκ προδήλου.
ΗΛ ὦ παῖδες, οὐκ ἄψορρον;
εἰσορᾶτέ που
τὸν ἄνδρ' ἐφ' ὑμῖν;
οὗτος ἐκ προαστίου
χωρεῖ γεγηθώς.
ΧΟ βᾶτε κατ' ἀντιθύρων ὅσον τάχιστα,

πρὸς τί; ἐν τούτοις δηλοῖ ὅτι εἰσῆλθεν ἐν τοῖς ἔμπροσθεν ἡ Ἠλέκτρα. Αἰαῖ. ἰὼ στέγαι. ὁ λόγος ἀποτείνεται εἰς Αἴγισθον. ἔθος δ' ἔχουσι τὰ γιγνόμενα ἔνδον ἀπαγγέλλειν τοῖς ἔξω οἱ ἄγγελοι. νῦν δὲ διὰ τὸ μὴ διατρίβειν ἐν τῷ δράματι οὐκ ἐποίησε τοῦτο. προκείμενον γὰρ τὸ κατὰ τὴν Ἠλέκτραν ἐστὶ πάθος. νῦν τοίνυν βοώσης ἐν τῇ ἀναιρέσει τῆς Κλυταιμνήστρας ὁ θεατὴς ἀκούει, καὶ ἐναργέστερον τὸ πρᾶγμα γίνεται, ἢ δι' ἀγγέλου σημαινόμενον. καὶ τὸ μὲν φορτικὸν τῆς ὄψεως ἀπέστη. τὸ δὲ ἐναργὲς οὐδὲν ἧσσον καὶ διὰ τῆς βοῆς ἐπραγματεύσατο. Βοᾷ τις ἔνδον. οἰκεῖον τὸ διανόημα γυναικῶν. τὸ δὲ αἰνήκουσα, οὐχ ὡς καταγινώσκουσαι τοῦ Ὀρέστου φασὶν ἀλλὰ πᾶν τὸ πρᾶγμα ἐκτρεπόμεναι. Ὦ πόλις, ὦ γενεά. ὦ γενεὰ τοῦ οἴκου τούτου. κατὰ ταύτην σε τὴν ἡμέραν ἡ μοῖρα εἰς φθορὰν καὶ ἐλάττωσιν ἄγει τοῦ γένους. Τελοῦσιν ἀραί. ἀντὶ τοῦ ἐπεξέρχονται αὐτούς. Ὑπεξαιροῦσιν. ἐκχέουσι τὸ αἷμα τῶν φονευσάντων οἱ φονευθέντες. Ἀπόλλων εἰ καλῶς ἐθέσπισεν. οἷον οὐκ ἀπ' ἐμαυτοῦ ὑποβαλλόμενος ἔπραξα, ἀλλὰ πειθόμενος τῷ θεῷ. Λεύσσω γὰρ Αἴγισθον ἐκ προδήλου. οἷον ὑποστρέψαντα. μετεκέκλητο γὰρ ἴσως ὑπὸ Κλυταιμνήστρας.

Νῦν τὰ πρὶν εὖ θέμενοι. τὰ μὲν πρὶν εὖ θέμενοι τὰ κατὰ τὴν Κλυταιμνήστραν, ὡς καὶ ὑμῖν εὖ εἴη τὰ κατὰ Αἴγισθον. ¶ Δι' ὠτὸς ἂν παῦρα. μὴ ἀνατεταμένῃ φθέγγεσθαι, ἀλλ' ἐλαφρῶς ἐν τῷ λαλεῖν δεῖ. μηδὲ μηκύνειν τὸν λόγον. ¶ Ὡς ἠπίως ἐννέπειν. γέγραπται νηπίῳ. ὡς ἂν μικρῶν παίδων ῥήματα, οὕτως αὐτῷ ἀφελῶς διαλέγεσθαι δεῖ, μὴ ἀνακαλύπτοντας εὐθέως τὸ γεγονὸς κατὰ τὸν οἶκον. ¶ Πρὸς ἄνδρα τόνδε συμφέροι. καθ' ὑπέρβασιν. συμφέροι ἂν πρὸς τοῦτον τὸν ἄνδρα ὀλίγα δι' ὠτὸς αὐτοῦ ἐννέπειν, ὡς ἂν ἀνοήτῳ διαλεγομένην. λείπει δὲ τῷ λόγῳ, διαλεγομένην τῷ νηπίῳ. ἢ πρὸς ἀπατητικὴν μετακτέον πρὸς τὸν ἄνδρα συμφέρει τοῦτον ὡς πρὸς νήπιον ἐννέπειν ὀλίγα διὰ τοῦ ὠτός. ὅπως ἂν ἀπατηθεὶς ἐμπέσῃ εἰς τὸν ἀγῶνα τῆς δίκης τὸν λάθρα κατ' αὐτοῦ γινόμενον. Χαίροις ἂν εἴ σοι χαρτά. ὡς σαρκάζουσα λέγει τάδε. ¶ Δίδασκέ με. γράφεται μήνυέ μοι. ¶ Σιγᾶν ἄνωγα. κελεύει ὁ Αἴγισθος ἐμφανῶς δείκνυσθαι τὸ σῶμα τοῦ Ὀρέστου, οἱ δὲ ᾤοντο δεικνύουσι τὸ τῆς Κλυταιμνήστρας. ¶ Μηδὲ πρὸς βίαν. ἐὰν μὴ πείθηται πρὸς βίαν κολάσεως τυχών, τότε φύσει φρένας, καὶ εἴσεται ὅτι ἄμεινον ἦν πείθεσθαι τῷ κρατοῦντι. ¶ Ἄνευ φθόνου μέν. οἷον ἐφθονήθη, καὶ ἔπεσεν ὁ Ὀρέστης. ¶ Εἰ δ' ἔπεστι νέμεσις οὐ λέγω. εἰ δὲ μεμφόμεθα τοῖς τῷ αὐτῷ συμβᾶσιν οὐ λέγω.

νῦν τὰ πρὶν εὖ θέμενοι, τάδ' ὡς πάλιν.
ΟΡ θάρσει, τελοῦμεν ἢ νοεῖς.
ΗΛ ἔπειγε νῦν.
ΟΡ καὶ δὴ βέβηκα.
ΗΛ τἀνθάδ' ἂν μέλοιτ' ἐμοί.
δι' ὠτὸς ἂν παῦρά γ' ὡς
ἠπίως ἐννέπειν,
πρὸς ἄνδρα τόνδε συμφέροι
λαθραῖον ὡς ὀρούσῃ πρὸς
δίκας ἀγῶνα.
αἰ Τίς οἶδεν ὑμῶν, ποῦ ποθ' οἱ Φωκεῖς ξένοι,
οὕς φασ' Ὀρέστην ἡμὶν ἀγγεῖλαι βίον
λελοιπόθ' ἱππικοῖσιν ἐν ναυαγίοις;
Σέ τοι σὲ κρίνω, καὶ σὲ τὴν ἐν τῷ πάρος
χρόνῳ θρασεῖαν, ὡς μάλιστα σοὶ μέλειν
οἶμαι. μάλιστα δ' ἂν κατ' εἰδυῖαν φράσαι.
ΗΛ ἔξοιδα. πῶς γὰρ οὐχί; συμφορᾶς γὰρ ἂν ἔξωθεν εἴην τῶν ἐμῶν τῆς φιλτάτης.
αἰγ Ποῦ δῆτ' ἂν εἶεν οἱ ξένοι; δίδασκέ με.
ΗΛ ἔνδον. φίλης γὰρ προξένου κατήνυσαν.
αἰγ ἦ καὶ θανόντ' ἤγγειλαν ὡς ἐτητύμως;
ΗΛ οὐκ, ἀλλὰ κἀπέδειξαν, οὐ λόγῳ μόνον.
αἰγ πάρεστ' ἄρ' ἡμῖν ὥστε κἀμφανῆ μαθεῖν;
ΗΛ πάρεστι δῆτα. καὶ μάλ' ἄζηλος θέα.
αἰγ ἦ πολλὰ χαίρειν μ' εἶπας οὐκ εἰωθότως.
ΗΛ χαίροις ἄν, εἴ σοι χαρτὰ τυγχάνει τάδε.
αἰγ Σιγᾶν ἄνωγα, κἀναδεικνύναι πύλας
πᾶσιν Μυκηναίοισιν, Ἀργείοις θ' ὁρᾶν.
ὡς εἴ τις αὐτῶν ἐλπίσιν κεναῖς πάρος
ἐξῄρετ' ἀνδρὸς τοῦδε, νῦν ὁρῶν νεκρὸν
στόμια δέχηται τἀμά, μηδὲ πρὸς βίαν
ἐμοῦ κολαστοῦ προστυχὼν, φύσῃ φρένας.
ΗΛ καὶ δὴ τελεῖται τἀπ' ἐμοῦ. τῷ γὰρ χρόνῳ
νοῦν ἔσχον, ὥστε συμφέρειν τοῖς κρείττοσιν.
αἰ ὦ Ζεῦ, δέδορκα φάσμ', ἄνευ φθόνου μὲν οὐ
πεπτωκός. εἰ δ' ἔπεστι Νέμεσις, οὐ λέγω.
χαλᾶτε πᾶν κάλυμμ' ἀπ' ὀφθαλμῶν, ὅπως
τὸ συγγενές τοι κἀπ' ἐμοῦ θρήνων τύχῃ.

Ορ. Αὐτὸς σὺ βάσταζ', οὐκ ἐμὸν τόδ', ἀλλὰ σόν
τὸ ταῦθ' ὁρᾶν τε καὶ προσηγορεῖν φίλως.
Αἰγ. ἀλλ' εὖ παραινεῖς, κἀπιπείσομαι. σὺ δὲ
εἴ που κατ' οἶκόν μοι Κλυταιμνήστρα, κάλει.
Ορ. Αὕτη πέλας σοῦ, μηκέτ' ἄλλοσε σκόπει.
Αἰγ. οἴμοι, τί λεύσσω. Ορ. τίνα φοβῇ; τίν' ἀγνοεῖς;
Αἰγ. τίνων ποτ' ἀνδρῶν ἐν μέσοις ἀρκυστάτοις
πέπτωχ' ὁ τλήμων; Ορ. οὐ γὰρ αἰσθάνῃ πάλαι
ζῶν τοῖς θανοῦσιν οὕνεκ' ἀνταυδᾷς ἴσα;
Αἰγ. οἴμοι, ξυνῆκα τοὔπος. οὐ γὰρ ἔσθ' ὅπως
ὅδ' οὐκ Ὀρέστης ἔσθ' ὁ προσφωνῶν ἐμέ.
Ορ. καὶ μάντις ὢν ἄριστος ἐσφάλλου πάλαι.
Αἰγ. ὄλωλα δὴ δείλαιος. ἀλλά μοι πάρες
κἂν σμικρὸν εἰπεῖν. Ηλ. μὴ πέρα λέγειν ἔα
πρὸς θεῶν ἀδελφέ, μηδὲ μηκύνειν λόγους.
τί γὰρ βροτῶν ἂν σὺν κακοῖς μεμιγμένων
„ θνήσκειν ὁ μέλλων, τοῦ χρόνου κέρδος φέροι.
„ Ἀλλ' ὡς τάχιστα κτεῖνε, καὶ κτανὼν, πρόθες
ταφεῦσιν, ὧν τόνδ' εἰκός ἐστι τυγχάνειν,
ἄποπτον ἡμῶν· ὡς ἐμοὶ τόδ' ἂν κακῶν
μόνον γένοιτο τῶν πάλαι λυτήριον.
Ορ. χωροῖς ἂν εἴσω σὺν τάχει. λόγων γὰρ οὐ
νῦν ἐστιν ἁγὼν, ἀλλὰ σῆς ψυχῆς πέρι.
Αἰγ. τί δ' ἐς δόμους ἄγεις με; πῶς τόδ' εἰ καλὸν
τοὔργον, σκότου δεῖ, κοὐ πρόχειρος εἶ κτανεῖν;
Ορ. Μὴ τάσσε. χώρει δ' ἔνθαπερ κατέκτανες
πατέρα τὸν ἀμὸν, ὡς ἐν ταὐτῷ θάνῃς.
Αἰγ. ἦ πᾶσ' ἀνάγκη τήνδε τὴν στέγην ἰδεῖν,
τά τ' ὄντα καὶ μέλλοντα Πελοπιδῶν κακά.
Ορ. τὰ γοῦν σ', ἐγώ σοι μάντις εἰμὶ τῶνδ' ἄκρος.
Αἰγ. Ἀλλ' οὐ πατρῴαν τὴν τέχνην ἐκόμπασας.
Ορ. πόλλ' ἀντιφωνεῖς, ἡ δ' ὁδὸς βραδύνεται.
ἀλλ' ἕρφ'. Αἰ. ὑφηγοῦ. Ορ. Σοὶ βαδιστέον πάρος.
Αἰγ. ἦ μὴ φύγω σε. Ορ. Μὴ μὲν οὖν καθ' ἡδονὴν
θάνῃς, φυλάξαι δεῖ με τοῦτό σοι πικρόν.
„ Χρῆν δ' εὐθὺς εἶναι τήνδε τοῖς πᾶσιν δίκην,
„ Ὅστις πέρα πράσσειν γε τῶν νόμων θέλει,
„ Κτείνειν. τὸ γὰρ πανοῦργον οὐκ ἂν ἦν πολύ.

¶ Ζῶν. ὅτι σὺ πάλαι ζῶν, νῦν ἀνταυδᾷς ἴσα τοῖς θανοῦσιν ἡμῖν. Τοῖς θανοῦσι. τῷ Ὀρέστῃ.

¶ Μὴ πέρα λέγειν ἔα. ἀνόητος ἡ γὰρ καὶ ἀπίθανος διατριβὴ πρὸς τῷ τέλει ἐκτείνειν λόγους.

¶ Πρόθες ταφεῦσιν, ὧν τόνδ' εἰκός ἐστι τυγχάνειν. ἤγουν οἰωνοῖς καὶ κυσὶ πρόθες αὐτόν.

¶ Ὡς ἐμοὶ τόδ' ἄν. τὸ ἄταφον αὐτὸν αἰκισθῆναι. ¶ Μὴ τάσσε. μὴ ἐπίτασσε. ¶ Χώρει δ' ἔνθαπερ κατέκτανες. πρόφασιν ἱκανὴν εὗρε τοῦ μὴ ἐν τῷ ἐμφανεῖ φονεῦσαι αὐτόν.

ΩΣ πολλὰ παθόν. αὐτὶ τοῦ μετὰ πολλῶν καμάτων μόλις ἠλευθερώθης.

ΧΟ. Ω σπέρμ' Ἀτρέως, ὡς πολλὰ παθὸν
δι' ἐλευθερίας μόλις ἐξῆλθες,
τῇ νῦν ὁρμῇ
τελεωθέν.

ΤΕΛΟΣ ΗΛΕΚΤΡΑΣ.

# ΥΠΟΘΕΣΙΣ ΟΙΔΙΠΟΔΟΣ ΤΥΡΑΝΝΟΥ ΕΜΜΕΤΡΟΣ τοῦ Ἀριστοφάνους.

Λιπὼν Κόρινθον Οἰδίπους πατρὸς νόθος
Πρὸς τῶν ἁπάντων λοιδορούμενος ξένος,
ἦλθεν πυθέσθαι πυθικῶν θεσπισμάτων,
Ζητῶν ἑαυτὸν, καὶ γένος φυτοσπόρον.
Εὑρὼν δὲ τλήμων ἐν στεναῖς ἁμαξιτοῖς,
Ἄκων ἔπεφνε Λαΐον γεννήτορα.
Σφιγγὸς δὲ δεινῆς θανάσιμον λύσας μέλος,
Ἤισχυνε μητρὸς ἀγνοουμένης λέχος.
Λοιμὸς δὲ θήβας εἷλε καὶ νόσος μακρά.
Κρέων δὲ πεμφθεὶς Δελφικὴν πρὸς ἑστίαν,
Ὅπως πύθηται τοῦ κακοῦ παυστήριον,
Ἤκουσε φωνῆς μαντικῆς θεοῦ πάρα,
Τὸν Λαΐειον ἐκδικηθῆναι φόνον.
Ὅθεν μαθὼν ἑαυτὸν Οἰδίπους τάλας,
Δισσαῖς τε χερσὶν ἐξαλάωσεν κόρας.
Αὐτὴ δὲ μήτηρ ἀγχόναις διώλετο,

## ΔΙΑ ΤΙ ΤΥΡΑΝΝΟΣ ἐπιγέγραπται.

Ὁ τύραννος Οἰδίπους, ἐπὶ διακρίσει θατέρου ἐπιγέγραπται. χαριέντως δὲ τύραννον ἅπαντες αὐτὸν ἐπιγράφουσιν, ὡς ἐξέχοντα πάσης τῆς Σοφοκλέους ποιήσεως, καίπερ ἡττηθέντα ὑπὸ Φιλοκλέους, ὥς φησι Δικαίαρχος. εἰσὶ δὲ καὶ οἱ πρότερον αὐτὸν οὐ τύραννον ἐπιγράφοντες, διὰ τοὺς χρόνους τῆς διδασκαλιῶν, καὶ διὰ τὰ πράγματα. ἀλήτην γὰρ καὶ πηρὸν Οἰδίπουν ἐν τῷ Κολωνῷ εἰς τὰς Ἀθήνας ἀφικνεῖσθαι. ἴδιον δέ τι πεπόνθασιν οἱ μεθ' Ὅμηρον ποιηταὶ, τοὺς πρὸ τῶν Τρωϊκῶν βασιλεῖς τυράννους προσαγορεύοντες, ὀψέ ποτε τοῦδε τοῦ ὀνόματος εἰς τοὺς Ἕλληνας διαδοθέντος, κατὰ τοὺς Ἀρχιλόχου χρόνους, καθάπερ Ἱππίας ὁ σοφιστής φησιν. Ὅμηρος γοῦν τὸν πάντων παρανομώτατον Ἔχετον, βασιλέα φησὶ, καὶ οὐ τύραννον, Εἰς Ἔχετον βασιλῆα βροτῶν δηλήμονα. προσαγορευθῆναι δέ φασι τὸν τύραννον ἀπὸ τῶν Τυῤῥηνῶν. χαλεποὺς γάρ τινας περὶ λῃστείαν τούτους γενέσθαι. οἱ δὲ λέγουσιν αὐτὸν γεννηθῆναι ἀπὸ Τύρου πόλεως. εἴρηται δὲ τύραννος κατὰ τὸ ἔτυμον, οἱονεὶ τυρῶν τοὺς λαοὺς, καὶ αἰτίας ἐπιφέρων, καὶ τυρεύων ἄλλοις κατὰ τῶν ὑπ' αὐτόν. ὅτι δὲ νεώτερον τὸ τοῦ τυράννου ὄνομα, δῆλον. οὔτε γὰρ Ὅμηρος, οὔτε Ἡσίοδος, οὔτε ἄλλος οὐδεὶς τῶν παλαιῶν, τύραννον ἐν τοῖς ποιήμασιν ὀνομάζει. ὁ δὲ Ἀριστοτέλης ἐν Κυμαίων πολιτείᾳ, τοὺς τυράννους φησὶ τὸ πρότερον αἰσυμνήτας προσαγορεύεσθαι. εὐφημότερον γ' ἐκεῖνο τοὔνομα.

## ΧΡΗΣΜΟΣ ΔΟΘΕΙΣ Λαΐῳ τῷ Θηβαίῳ.

Λάϊε Λαβδακίδη, παίδων γένος ὄλβιον αἰτεῖς;
Δώσω τοι φίλον υἱόν, ἀτὰρ πεπρωμένον ἐστὶ
Σοῦ παιδὸς χείρεσσι λιπεῖν φάος. ὡς γὰρ ἔνευσε
Ζεὺς Κρονίδης Πέλοπος στυγεραῖς ἀραῖσι πιθήσας
Οὗ φίλον ἥρπασας υἱόν. ὁ δ' ηὔξατό σοι τάδε πάντα.

ἀραῖσι, ἀρὰ,

### Τὸ αἴνιγμα τῆς Σφιγγός.

Ἔστι δίπουν ἐπὶ γῆς καὶ τετράπον, οὗ μία φωνή,
Καὶ τρίπον. ἀλλάσσει δὲ βοὴν μόνον, ὅσ' ἐπὶ γαῖαν
Ἑρπετὰ κινεῖται, ἀνά τ' αἰθέρα, καὶ κατὰ πόντον.
Ἀλλ' ὁπόταν πλείστοισιν ἐπειγόμενον ποσὶ βαίνῃ,
Ἔνθα τάχος γυίοισιν ἀφαυρότατον πέλει αὐτοῦ.

### ΤΑ ΤΟΥ ΔΡΑΜΑ- ΤΟΣ πρόσωπα.

Οἰδίπους.
Ἱερεύς.
Κρέων.
Χορὸς ἐκ Θηβαίων γερόντων.
Τειρεσίας.
Ἰοκάστη.
Ἄγγελος.
Θεράπων Πολύβου.
Ἕτερος ἄγγελος.

Προλογίζει δὲ ὁ Οἰδίπους.

# ΣΟΦΟΚΛΕΟΥΣ

## ΟΙΔΙΠΟΥΣ ΤΥΡΑΝΝΟΣ.

Ὦ ΤΕΚΝΑ Κάδμου τοῦ πάλαι νέα τροφή. φιλόδημον καὶ προνοητικὸν τοῦ κοινῇ συμφέροντος τὸ τοῦ Οἰδίποδος ἦθος. καὶ εὔνοιαν ἔχον ἀπὸ τοῦ πλήθους, δι' ὧν αὐτοὺς εὐηργέτησεν. εἰκότως οὖν κέχρηται τῷ τέκνα ὥσπερ εἰ πατήρ. νέοι ὄντες οὗτοι νῦν ἀπὸ τοῦ ἀρχαίου Κάδμου. οἰκεῖον δὲ τὸ, νέα. ¶ Ὦ τέκνα. ἐμά. Κάδμου. Κάδμου τοῦ πρὸ μακροῦ γενομένου ἀπόγονοι, νῦν βλαστήσαντες. ¶ Τροφή. ἀνατροφή. ἣν ἀνατρέφει τίς τινά, ἢ ἣν ἀνατρέφεταί τις ὑπό τινος. ἐνταῦθα δὲ νέαν ἀνατροφὴν λέγει τοὺς ἀναστραφέντας νῦν. τὸ δὲ προοίμιον τοῦτο ἔστι προσφωνητικόν. ¶ Τίνας ποθ' ἕδρας. ποδαπὸν τὸ ποτέ. τίνος εἰσὶν αἱ καθέδραι αὗται, ἃς κάθησθε χάριν ἐμοῦ.

Ὦ ΤΕΚΝΑ Κάδμου τοῦ πάλαι νέα τροφή,
τίνας ποθ' ἕδρας τάσδε μοι θοάζετε
ἱκτηρίοις κλάδοισιν ἐξεστεμμένοι;
Πόλις δ' ὁμοῦ μὲν θυμιαμάτων γέμει,
ὁμοῦ δὲ παιάνων τε, καὶ στεναγμάτων.
ἁγὼ δικαιῶν μὴ παρ' ἀγγέλων τέκνα
ἄλλων ἀκούειν, αὐτὸς ὧδ' ἐλήλυθα,
ὁ πᾶσι κλεινὸς Οἰδίπους καλούμενος.

κάθημαι τήνδε τὴν καθέδραν, καὶ βαδίζω ταύτην τὴν ὁδὸν, καὶ ὑβρίζω τοιαῦτά τινα, τὸν αὐτὸν ἔχει σχηματισμὸν τῷ, λέγω λόγον, καὶ γράφω γραφὴν, καὶ τοῖς τοιούτοις. ἐμοὶ δ' εἰκότως εἴρηκεν δι' αὐτὸν γὰρ ἐκάθηντο. ¶ Θοάζετε. κατὰ διάλυσιν, ἀντὶ τοῦ θοάζετε, ἢ θοῶς προκάθησθε. ¶ Ἱκτηρίοις κλάδοισιν. ἀντὶ τοῦ ταῖς ἱκετηρίοις. τὸ δὲ ἐξεστεμμένοι, ἀντὶ τοῦ κεκοσμημένοι. εἰώθασι γὰρ τὸ στέφειν χρῆσθαι, ἀντὶ τοῦ κοσμεῖν. στέμμα δέ ἐστι τὸ περιειλημμένον ἔριον τῷ θαλλῷ. ¶ Πόλις δ' ὁμοῦ μὲν θυμιαμάτων. οἱ μὲν μηδὲν πεπονθότες ἐπὶ ἀποτροπῇ τοῦ κακοῦ θύουσι καὶ παιᾶνας ᾄδουσιν. οἱ δὲ ἐπταικότες, τοῖς οἰκείοις κακοῖς ἀτιμώζουσιν. τὸ δὲ ὁμοῦ ἐπὶ βλάπτει δυσκόλων λεγόμενον ἐπὶ τοῦ προτέρου κώλου δύναται λέγεσθαι καὶ τοῦ δευτέρου, ὥσπερ τὸ ἅμα, καὶ ὁ καὶ, σύνδεσμος, καθ' ὃ λείπεται ἐνταῦθα ὁμοῦ μὲν θυμιαμάτων γέμει, ὁμοῦ δὲ παιάνων. ¶ Ἁγὼ δικαιῶν. οὐ δι' ἀγγέλων μαθεῖν τὴν αἰτίαν ἠξίωσα, ἀλλ' αὐτὸς παραγενόμενος προκηδόμενος ὑμῶν. ¶ Ὁ πᾶσι κλεινός. ἢ πᾶσι τοῖς ἐπιτηδεύμασιν. ἢ ὑπ' ἀνθρώπων. πιθανῶς δὲ τὸ ὄνομα τοῦ προλογίζοντος ἐδήλωσεν. ἅμα τε καὶ εἰς ἐπιθυμίαν φέρει τὸν θεατὴν τῶν περὶ τὸν Οἰδίποδα. οὐκ εὐθὺς δὲ τὰς αἰτίας ἐν ἀρχῇ ἐπάγει, ἀλλὰ ταμιεύεται κατὰ βραχὺ ἐν καιρῷ ἐνθήσειν. καλῶς δὲ οὐ δι' ἀγγέλων ἀπαγγέλλεται διαλεγομένου αὐτοῦ ἐκ Δελ-

φῶν εἰσαγάγῃ τὸν Κρέοντα. ❡ Ἀλλ' ὦ γεραιέ. εὐτάκτως ἐκ τοῦ σοφοῦ τὸ δέον ἀπένειμε. διὰ μὲν τῶν παίδων τὸν οἶκτον τῆς ἱκετείας, διὰ δὲ τοῦ πρεσβύτου, ἡ πρὸς βασιλέα ἀπόκρισις. εἰς γὰρ τοῦτ' ἀπρεπὲς τὸ τῶν νέων πρόσωπον. δεδήλωται τὸ ἡμῖν τὸ χρήσιμον τῆς παρουσίας τοῦ γέροντος. ❡ Τίνι τρόπῳ. ἀντὶ τοῦ ἐκ ποίας προφάσεως ἱκετεύετε. εἶτα ἐπιφέρει τὰς αἰτίας. ἢ γὰρ διὰ δέος κολάσεως. ἢ παθόντες ἐκδικίας τυχεῖν ἀξιοῦτε. ὅπερ ἐδήλωσε διὰ τοῦ στέρξαντες, οἷον ἤδη πεπονθότες. ❡ Δυσάλγητος. σκληρὸς, δυσμετάκλαστος, ἀναλγὴς, ἀπαθὴς, ἀνελεής. ἴσον τὸ ἀνάλγητος καὶ σκληρός. ❡ Τοιάνδ' ἕδραν. ἀνθρώπους οὕτω καθημένους ἐλεεινῶς. ¶ Ἀλλ' ὦ κρατύνων. ἐν τῷ πρώτῳ λόγῳ ἐγνώκαμεν τὸ ὄνομα τοῦ Οἰδίποδος, καὶ ὅτι παιᾶνες εἰσὶν ἐν τῇ πόλει. νῦν δὲ διὰ τῆς ἐντέχνου ἀπεξεργασίας, ὅτι ὁ βασιλεὺς καὶ τὴν αἰτίαν τῶν παιάνων. προαγωγὸν δὲ εἰς πειθὼ τὸ προοίμιον. ¶ Ἡλίκοι προσήμεθα. τοῦτο καὶ τὴν ἡλικίαν σημαίνει καὶ δυσωπητικόν πως τυγχάνει. ὡς γὰρ ἐπὶ θεοῦ βωμοὺς πάρεισιν. τὸ δὲ τοὺς πρὸ τῶν βασιλείων ἱδρυμένους. τὸ ἡλίκος δὲ πρὸς τὸ τηλικόσδε ἔχει τὴν ἀναφοράν, λέγεται δὲ καὶ ἀμφότερα ἐπὶ ἡλικίας κυρίως, οἷον τηλικόσδε ἐστὶν, ἀντὶ τοῦ τοσοῦτος τὴν ἡλικίαν. καὶ ἀπὸ ῥυθμοῦ τοῦ μεγέθους ἁπλῶς. ἔστι δὲ αὐτὴ προκατάστασις καὶ διήγησις τῶν συμβάντων ἀορίστως ἐκ τοῦ λοιμοῦ.

Ἀλλ' ὦ γεραιὲ, φράζ', ἐπεὶ πρέπων ἔφυς
πρὸ τῶνδε φωνεῖν, τίνι τρόπῳ καθέστατε,
δείσαντες, ἢ στέρξαντες; ὡς θέλοντος ἂν
ἐμοῦ προσαρκεῖν πᾶν. δυσάλγητος γὰρ ἂν
εἴην, τοιάνδε μὴ οὐ κατοικτείρων ἕδραν.
Ἀλλ' ὦ κρατύνων Οἰδίπους χώρας ἐμῆς,
ὁρᾷς μὲν ἡμᾶς ἡλίκοι προσήμεθα
βωμοῖσι τοῖς σοῖς. οἱ μὲν, οὐδέπω μακρὰν
πτέσθαι σθένοντες. οἱ δὲ, σὺν γήρᾳ βαρεῖς
ἱερεῖς. ἐγὼ μὲν, Ζηνός. οἱ δέ τ' ἠιθέων
λεκτοί. τὸ δ' ἄλλο φῦλον ἐξεστεμμένον,

Βωμοῖσι. ναοῖσι. βωμὸς τὸ οἰκοδόμημα, ἐν ᾧ ἔθυον. ἀπὸ τούτου βωμὸς, καὶ ὁ περιέχων τοῦτον ναὸς, βωμὸς καὶ ἐν ᾧ τὰ ἅρματα ἐτίθετο, ὡς παρ' Ὁμήρῳ, Ἅρματα δ' ἂμ βωμοῖσι τίθει. ναὸς καὶ ἱερὸν πᾶν τὸ οἰκοδόμημα, ὑφ' οὗ περιέχεται ὁ βωμός. πρόναον, ἔμπροσθεν τοῦ ναοῦ. τέμενος, ἐν ᾧ καθίδρυτο τὸ ἄγαλμα. λέγεται τέμενος ἁπλῶς, καὶ ὁ ἀποκεκομμένος καὶ ἀνατεθειμένος τόπος τινί. ❡ Πτέσθαι. ἀντὶ τοῦ βαδίζειν. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν νεοττίων. τὸ δὲ, Σὺν γήρᾳ βαρεῖς. ἐφ' ἑαυτοῦ τῷ πληθυντικῷ ἐχρήσατο, καὶ τὸ ἱερεῖς ὁμοίως. βαρὺς δὲ ἐνίοτε μὲν λέγεται τῆς ψυχῆς, ὡς ἐν τῷ, τοιαῦτα ἀνὴρ δύσοργος ἐν γήρᾳ βαρύς. ἐνίοτε δὲ ἐπὶ τοῦ σώματος ὡς ἐνταῦθα. ❡ Λεκτοί. τὸ λεκτοί, τάχα μὲν εἰς σύστασιν τῶν παίδων. τάχα δὲ καὶ δημοσίαν ἐκφαίνει τὴν ἐκπομπήν. ὡς ἐπιλεχθέντων, καὶ πεμφθέντων παρὰ τοῦ κοινοῦ.

Πρός τε Παλλάδος διπλοῖς ναοῖς. δύο ἱερὰ ἐν ταῖς Θήβαις ἵδρυται τῇ Ἀθηνᾷ. τὸ μὲν Οἰκαίας. τὸ δὲ Ἰσμηνίας. οἱ δὲ οὕτως. τὸ μὲν Ἀλαλκομενείας. τὸ δὲ Καδμείας. τινὲς δὲ τὸ τῆς Ἀλαλκομενείας οὐκ ἐν Θήβαις, ἀλλ' ἐν κώμῃ εἶναί φασιν. ¶ Ἐπ' Ἰσμηνοῦ τε μαντείᾳ σποδῷ. καὶ γάρ ἐστι παρὰ τῷ Ἰσμηνῷ Ἀπόλλωνος ἱερόν. διό φησι μαντείᾳ σποδῷ. σποδὸν δὲ ἀντὶ τοῦ βωμοῦ. ὅτι διὰ τῶν ἐμπύρων ἐμαντεύοντο οἱ ἱερεῖς ὥς φησι Φιλόχορος.

ἀγοραῖσι θακεῖ, πρός τε Παλλάδος διπλοῖς
ναοῖς, ἐπ' Ἰσμηνοῦ τε μαντείᾳ σποδῷ,
πόλις γὰρ ὥσπερ καὐτὸς εἰσορᾷς, ἄγαν
ἤδη σαλεύει, κἀνακουφίσαι κάρα
βυθῶν, ἔτ' οὐχ οἵα τε φοινίου σάλου.
φθίνουσα μὲν κάλυξιν ἐγκάρποις χθονός,
φθίνουσα δ' ἀγέλαις βουνόμοις, τόκοισί τε
ἀγόνοις γυναικῶν, ἐν δ' ὁ πυρφόρος θεὸς
σκήψας ἐλαύνει λοιμὸς ἔχθιστος πόλιν,
ὑφ' οὗ κενοῦται δῶμα Καδμείων. μέλας
δ' Ἅιδης στεναγμοῖς καὶ γόοις πλουτίζεται.
θεοῖσι μέν νυν οὐκ ἰσούμενόν σ' ἐγώ,
οὐδ' οἵδε παῖδες, ἑζόμεσθ' ἐφέστιοι,
ἀνδρῶν δὲ πρῶτον ἔν τε συμφοραῖς βίου
κρίνοντες, ἔν τε δαιμόνων συναλλαγαῖς.
ὅς γ' ἐξέλυσας ἄστυ Καδμείων μολών,
σκληρᾶς ἀοιδοῦ δασμὸν, ὃν παρείχομεν.
καὶ ταῦθ' ὑφ' ἡμῶν οὐδὲν ἐξειδὼς πλέον,

¶ Μαντείᾳ σποδῷ. μαντικῇ. χρησμὸς μὲν ὁ τῶν θεῶν, μαντεία δὲ καὶ μάντευμα, τὸ ἀπὸ μάντεων ἀνθρώπων. ἐνταῦθα δὲ τὸ ἁπλοῦν ἀντὶ τοῦ κτητικοῦ. ¶ Ἤδη σαλεύει. ἡ μεταφορὰ ἀπὸ τῶν χειμαζομένων νεῶν. ¶ Φθίνουσα μὲν κάλυξι. τοῖς βλαστήμασιν. οὐ μόνον ἀφορίαν φησὶν εἶναι τῆς γῆς. ἀλλὰ καὶ τοὺς πεφυκότας καρποὺς διαφθείρεσθαι ὑπὸ τοῦ λοιμοῦ. ¶ Ἀγόνοις. κακογόνοις. ¶ Πυρφόρος θεός. ὁ λοιμὸς ὁ πυρετοφόρος. τὸν γὰρ πυρετὸν, πῦρ καλοῦσι, καὶ τὸ ἐναντίον, ὡς Ὅμηρος, καί τε φέρει πολλὸν πυρετόν. ¶ Σκήψας. ἐπιβαλών. ¶ Δῶμα Καδμεῖον. περιφραστικῶς ἡ πόλις. ἢ ἀντὶ τοῦ τὰ δώματα πάντα τὰ τῆς πόλεως. ¶ Ἀνδρῶν δὲ πρῶτον. οὐ μόνον ὄντα ὡς βασιλέως δέονται, ἀλλὰ καὶ σοφοῦ. κατὰ βραχὺ δὲ παρεμβάλλει ἡμῖν ὁ ποιητὴς τὰ τῆς ἱστορίας τοῦ Οἰδίποδος. ¶ Συμφοραῖς. ταῖς βιωτικαῖς ἀτυχίαις. ¶ Ἔν τε δαιμόνων συναλλαγαῖς. καὶ ἐν ταῖς πρὸς τὸ θεῖον κοινωνίαις καὶ φιλίαις. τὸ στοχάζεσθαι τῆς τῶν θεῶν διανοίας. ἐκ τούτου δὲ παθητικωτέραν τὴν τραγῳδίαν ποιεῖ, ὅταν ὁ τοιοῦτος εἶναι νομιζόμενος, φανῇ κοινοῖς μίσεσιν ἔνοχος. ¶ Ὅς γ' ἐξέλυσας ἄστυ Καδμεῖον μολών. ὅστε μολὼν ἄστυ Καδμεῖον. ἵνα καὶ ἡ ἀπὸ ξένης αὐτοῦ ἄφιξις δηλωθῇ. ¶ Σκληρᾶς ἀοιδοῦ. ὅτι τὸ ἀοιδοῦ εὔφημόν ἐστι, προσέθηκε σκληρᾶς, ὅ ἐστι δυσκόλου. λέγει τὸ αἴνιγμα. ἢ φονικῆς. ¶ Οὐδὲν ἐξειδὼς πλέον. οὐδὲν πλέον εἰδώς, οὐδὲν εἰς προσθήκην τῆς γνώσεως. τὸ πλέον οὕτω τιθέμενον οὐ περισσὸν τίθεται, ἀλλ' ἔχον ἀεί τι ἀποδοθήσεται, οἷον σπουδάσας οὐδὲν πλέον ἤνυσε. ἀντὶ τοῦ οὐδὲν πλέον τῆς σπουδῆς, καὶ δενδρέσιν εὐκάρποις οὐδὲν πλέον, τῆς εὐκαρπίας δηλονότι, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

ΟΥ δ' ἐκδιδαχθείς. οἷον οὐ προακούσας παρ' ἡμῶν τὴν λύσιν τῶν αἰνιγμάτων. ὅπερ συνελάμβανέ τις σοὶ πρὸς τὴν λύσιν ὡς πρὸς θεοφιλῆ τὴν εὐτυχῆ ἁπαντῶσι. περιττεύει δὲ ἡ δὲ, ἢ ἡ ὑπό. ¶ Προσθήκῃ. συμβολῇ. ἐπικουρίᾳ. ¶ Ὀρθῶσαι βίον. ἀνορθῶσαι. ἀπὸ μεταφορᾶς τῶν κλινομένων, ὅταν αὐτά τις ἀνορθοῖ. ¶ Ὦ κράτιστον πᾶσιν Οἰδίπου κάρα. ἢ ὑπὲρ πάντων κράτιστος εἶναι ὑπολαμβανόμενος. ἢ πᾶσι τοῖς προειρημένοις. τύχῃ. συνέσει. θεοφιλίᾳ. ¶ Πρόστροποι. προσπεπτωκότες. προστετραμμένοι. ἴσως δὲ τοῦτο εἰπὼν ὁ ὑποκειτὴς προσπίπτει πρὸς τοὺς πόδας τοῦ ἄρχοντος. ¶ Φήμην. χρησμόν. ἐπεὶ μὲν θεῶν χρησμὸς ἀπαντᾷ οἰκείως. ἐπεὶ δὲ τοῦ ἀνδρὸς προσυπακούεται ἡ μαντεία κατ' ἀναλογίαν. ¶ Ὡς τοῖσιν ἐμπείροισιν. ἐν τοῖς συνετοῖς. τὰς συντυχίας. καὶ τὰς ἀποβάσεις τῶν βουλευμάτων ὁρῶ ζώσας καὶ οὐκ ἀπολλυμένας. οὐ σφάλλεται. ἀλλὰ τὸ ἀποβησόμενον στοχάζεται καλῶς. ζώσας. ἐνεργεστέρας. ¶ Ἴθ' ὦ βροτῶν ἄριστε. διεξελθὼν τὰ περὶ πόλεως κακά, καὶ ὅτι ἱκανός ἐστιν ἐπινοῆσαι ἀπαλλαγήν, ἐπάγει ὅτι, καὶ χρήσιμον σῶσαι τὴν πόλιν. μᾶλλον δὲ κινδυνῶδες εἶναι τὸ ἀμελῆσαι. ἴθι οὖν καὶ εὐλαβήθητι, μὴ τὴν ὑπάρχουσαν δόξαν ἐπὶ τῇ εὐποιΐᾳ ἀπολέσῃς. πάνυ δὲ εὐφήμως οὐκ εἶπεν ὅτι οὐκ ἔτι τιμήσει σε ἡ πόλις. ἀλλὰ σὺν τῇ εὐχῇ τὸ ὅλον κατέθηκεν. εἰώθαμεν δὲ καὶ τῶν ἀτυχημάτων, καὶ τῶν εὐημεριῶν μνημονεύειν καθὼς ἄρχοντες ἀποβῶσιν. ἕκαστον γάρ φησιν ἀκέραιον τὴν προγεγενημένην σοὶ δόξαν. ἵνα αὐτὸ τοῦτο λέγωμεν, ὅτι σὺ Οἰδίπους τῆς σφιγγὸς ἀπαλλάξαντες, εὖ διαγεγόναμεν. ¶ Ἀρχῆς δὲ τῆς σῆς. ὧν κατ' ἀρχὰς ἐποίησας οὐδαμῶς μεμνησόμεθα. ¶ Ἀλλ' ἀσφαλείᾳ. γνώμῃ ἀσφαλεῖ, καὶ ἐχυρᾷ εὐβουλίᾳ, τὸ ἐμπεσὸν κακὸν τῇ πόλει ἀνόρθωσον. ¶ Ὄρνιθι αἰσίῳ. μαντείᾳ εὐσυμβόλῳ. ὄρνιθες ἁπλῶς μὲν πάντα τὰ πετόμενα, ἰδίως δὲ οἱ εἰς μαντείαν συντείνοντες, ἀφ' οὗ ἔλεγον καὶ πᾶν τὸ εἰς μαντείαν συντεῖνον ὄρνιν, οἷον πταρμὸν ἢ παλμόν, ἢ τοιοῦτόν τι. οὐ μόνον δὲ τὰ εἰς μαντείαν συντείνοντα, ἀλλ' ἤδη καὶ αὐτὴν ἁπλῶς τὴν μαντείαν ὄρνιν καλοῦσι, καθ' ὃ λέγεται ἐνταῦθα. τὸ αἴσιον δὲ καὶ τὸ ἀπαίσιον ἐπὶ τῆς τῶν ὀρνίθων μαντείας κυρίως λέγεται. καὶ ἀπὸ τούτου καὶ ἐπ' ἄλλων οἷον ἀπαίσιοι ὄρνιθες οἱ δυσοιώνιστοι. αἴσιοι δὲ τὸ ἐναντίον, οἷον οἱ εὐσύμβολοι καὶ τὰ ἀγαθὰ σύμβολα δηλοῦντες.

οὐδ' ἐκδιδαχθείς, ἀλλὰ προσθήκῃ θεοῦ
λέγῃ, νομίζῃ θ' ἡμῖν ὀρθῶσαι βίον.
νῦν τ' ὦ κράτιστον πᾶσιν Οἰδίπου κάρα,
ἱκετεύομέν σε πάντες οἵδε πρόστροποι,
ἀλκήν τιν' εὑρεῖν ἡμῖν, εἴτε του θεῶν
φήμην ἀκούσας, εἴτ' ἀπ' ἀνδρὸς οἶσθά που.
ὡς τοῖσιν ἐμπείροισι, καὶ τὰς ξυμφορὰς
ζώσας ὁρῶ μάλιστα τῶν βουλευμάτων.
ἴθ' ὦ βροτῶν ἄριστ', ἀνόρθωσον πόλιν.
ἴθ', εὐλαβήθηθ', ὡς σὲ νῦν μὲν ἥδε γῆ,
σωτῆρα κλῄζει τῆς πάρος προθυμίας.
ἀρχῆς δὲ τῆς σῆς μηδαμῶς μεμνώμεθα,
στάντες τ' ἐς ὀρθὸν, καὶ πεσόντες ὕστερον.
ἀλλ' ἀσφαλείᾳ τήνδ' ἀνόρθωσον πόλιν.
ὄρνιθι γὰρ καὶ τὴν τότ' αἰσίῳ τύχην
παρέσχες ἡμῖν, καὶ τανῦν ἴσος γενοῦ.

ΩΣ εἴπερ ἄρξεις τῆσδε. τὸ πᾶν τοῦ κινδύνου φησὶν εἰς σὲ φθάνει. τίνος γὰρ ἄρξεις, ἢ τίνων ἕξεις πολιτείαν, ἀπολωλότων τῶν οἰκούντων. ¶ Ως οὐδέν ἐστι. καὶ Ἀλκαῖος φησίν, ἄνδρες πόλεως πύργοι ἀρήϊοι. καὶ Δημοσθένης, ἄνδρες γὰρ πόλεις, καὶ οὐ τείχη. ὅμοιον δὲ τὸ τῶν νεῶν ταῖς πόλεσιν. ὅθεν καὶ ποιητικοῖς τοῖς ὀνόμασιν ἀπὸ τῶν εἰωθότων χρῶνται ἐπὶ τῶν πόλεων, οἴακας νῦν ἀντὶ τοῦ ἄρχοντας λέγοντες, καὶ ὀρθοῦσθαι πλεῖν τὴν πόλιν φάσκοντες. ¶ Ω παῖδες οἰκτροί. οὐκ εἰς τὴν ἡλικίαν τοῦτο τὸ ὦ παῖδες, ὡς ἂν ἁρμόζον ἐστὶ τῷ φιλοφρονουμένῳ ἤθει. οἷον τὸ ὦ τέκνα ἐν ἀρχῇ. πρὸς τοὺς παῖδας δὲ δὴ λέγεται, ὡς οἰκτροτέρους, τοὺς μᾶλλον βοηθείας δεομένους. ἅμα δὲ καὶ διὰ τὸ πλῆθος ὡς ἐπικρατέστερον. ¶ Ως' οὐχ ὕπνῳ. ἀντὶ τοῦ οὐκ ἀμεριμνόν με ὄντα παρακαλεῖτε φροντίζειν, ἀλλὰ πρὸ πολλοῦ πεφροντικότα. ¶ Πολλὰς δ' ὁδοὺς ἐλθών. πολλὰς γνώμης ἐπιβολὰς ἐν τῇ σκέψει πλανώμενος ἦλθον, ἕως οὗ ἀρίστην εὗρον τὴν εἰς τὸν θεὸν καταφυγήν. ἀρσενικῶς δὲ ἐχρήσατο τῷ πλάνοις ἀντὶ θηλυκοῦ πλάναις. ¶ Κρέοντ' ἐμαυτοῦ. οὐ τὸν τυχόντα ἔπεμψα, ἀλλὰ τὸν ἀναγκαῖον. γαμβρόν. ἁπλοϊκῶς ἀντὶ τοῦ κηδεστήν. ¶ Λυπεῖ. τί πράσσει. λυπεῖ ἀποροῦντα δηλονότι τί πράττει. σχηματικός ἐστιν ὁ λόγος ἀπὸ τῶν ἑπομένων συνυπακούειν τοὺς προάγοντας πρότερον λέγεσθαι. ὡς ἐνταῦθα. ἀντὶ τοῦ, τί πράσσει ἀπειρίαν ἐμφαίνοντος γνώμης ζητούσης ὑπερείσει, συνυπακούεται τὸ ἀποροῦντα καὶ ἐν τοῖς. οὐ γὰρ κλύοντες ἐσμὲν αἰσχίστοις λόγοις ἄναξ Ὀδυσσεῦ τοῦδ' ὑπ' ἀνδρὸς ἀρτίως. ¶ Τοῦ γὰρ εἰκότος πέρα. οὐ πρέποντα χρόνον ἄπεστι πλέον τοῦ καθήκοντος χρόνου. ¶ Ἀλλ' εἰς καλόν. τὸ μὲν καλῶς τὸ κατὰ τὸν προσήκοντα χρόνον ἐμνήσθης, καὶ ἀνεζήτησας αὐτόν, τὸ ὅτι μηνύουσι καὶ τὰ ἑξῆς.

ὡς εἴπερ ἄρξεις τῆσδε γῆς ὥσπερ κρατεῖς,
ξὺν ἀνδράσιν κάλλιον ἢ κενῆς κρατεῖν.
» Ως οὐδέν ἐστιν οὔτε πύργος οὔτε ναῦς
» Ἔρημος ἀνδρῶν μὴ ξυνοικούντων ἔσω.
ΟΙ. ὦ παῖδες οἰκτροί, γνωτά, κοὐκ ἄγνωτά μοι
προσήλθεθ' ἱμείροντες. εὖ γὰρ οἶδ' ὅτι
νοσεῖτε πάντες, καὶ νοσοῦντες, ὡς ἐγὼ
οὐκ ἔστιν ὑμῶν ὅστις ἐξ ἴσου νοσεῖ.
τὸ μὲν γὰρ ὑμῶν ἄλγος εἰς ἕν' ἔρχεται
μόνον καθ' αὑτόν κοὐδέν' ἄλλον. ἡ δ' ἐμὴ
ψυχὴ, πόλιν τε, κἀμέ, καὶ σ' ὁμοῦ στένει.
ὥστ' οὐχ ὕπνῳ γ' εὕδοντά μ' ἐξεγείρετε,
ἀλλ' ἴστε πολλὰ μέν με δακρύσαντα δή,
πολλὰς δ' ὁδοὺς ἐλθόντα φροντίδος πλάνοις.
ἣν δ' εὖ σκοπῶν εὕρισκον ἴασιν μόνην,
ταύτην ἔπραξα. παῖδα γὰρ Μενοικέως
Κρέοντ', ἐμαυτοῦ γαμβρόν, ἐς τὰ πυθικὰ
ἔπεμψα Φοίβου δώμαθ', ὡς πύθοιθ' ὅ, τι
δρῶν, ἢ τί φωνῶν, τήνδε ῥυσαίμην πόλιν.
καί μ' ἦμαρ ἤδη ξυμμετρούμενον χρόνῳ,
λυπεῖ, τί πράσσει. τοῦ γὰρ εἰκότως πέρα,
ἄπεστι πλείω τοῦ καθήκοντος χρόνου.
ὅταν δ' ἵκηται, τηνικαῦτ' ἐγὼ κακὸς
μὴ δρῶν ἂν εἴην, πάνθ' ὅσ' ἂν δηλοῖ θεός.
ΙΕΡ. ἀλλ' εἰς καλὸν σύ τ' εἶπας, οἵδε τ' ἀρτίως

Ὁ ἱερεὺς τ' ἀρτίως. οἱ ἠΐθεοι πρὸς τοὺς αὐτοῦ φασὶν ὅτι παρέξεστι Κρέων, ὡς ὀξυωπέστεροι. δι' αὐτῶν δὲ τοὺς λόγους πληρωτικώτερον. ὁ δὲ ἱερεὺς ἅμα μὲν ὡς πρεσβύτης οὐχ ὁρᾷ, ἅμα δὲ κατὰ νοῦν ἔχων τὸν λόγον τοῦ βασιλέως. ¶ Ὦναξ Ἄπολλον. εἰκότως πρὸς Ἀπόλλωνα ἀναβοήσας. ἐν γὰρ τῷ ἀπὸ θεοῦ ῥηθησομένῳ χρησμῷ, κεῖται τὸ τῆς ἀπαλλαγῆς. εἴθε οὖν παραγένοιτο Κρέων ἐπί τινι σωτηρίῳ τύχῃ λαμπρὸς, ἐκ τοῦ περὶ τὸ πρόσωπον καταστάσεως φαιδρός ἐστι. λεληθότως δὲ δεικνύων ἡμῖν τὸ σχῆμα τοῦ ἀποκειμένου ὁποῖον εἰσῆλθε. ¶ Εἰ γὰρ ἐν τύχῃ γέ τῳ. εἴθε γὰρ ἐν τύχῃ τινὶ, ὥσπερ παρὰ τοῖς αἰολεῦσι τὸ ὄν τινα κοινόν ἐστι κατὰ γένος. οὕτω καὶ παρὰ τοῖς ἀττικοῖς τὸ τοῦ. καὶ τὸ τῷ. κοινῶς λέγεται, οὔτε του κλύων σάλπιγγος, ἀντὶ τῆς χρείας. καὶ ἐν τύχῃ γέ τῳ. ¶ Κάρα πολυστεφής. οἱ γὰρ ἐπί τινι αἰσίῳ παραγινόμενοι ἐκ Δελφῶν, ἐστεμμένοι ἐπανῄεσαν. ὡς καὶ Ἀριστοφάνης ἐν Πλούτῳ φησί. ¶ Ξύμμετρος γὰρ ὡς κλύειν. οὐκ ἔστι φησὶ μακρὰν, ἀλλ' ἐγγύς. καὶ σύμμετρον ἔχων τοῦ ἀκούειν διὰ τὸ πλησίον γενέσθαι. Ἄλλως. ἀντὶ τοῦ διαστήματος ὤφειλε θεῖναι τὸ σύμμετρον, ὁ δὲ ἀντὶ τοῦ προσώπου τίθησιν ἀντιστρόφως. τὸ σχῆμα δὲ ἀπὸ τοῦ λόγου καὶ τῷ πεζῷ λόγῳ σύνηθες, ὥσπερ καὶ τό, ταχὺς ἦλθεν. ¶ Ἄναξ ἐμὸν κήδευμα. ἴδιον τῶν ἐν χρείᾳ καθεστώτων φιλοφρονεῖσθαι μείζοσιν ὀνόμασι τοὺς ταπεινοτέρους. ¶ Ἐσθλήν. λέγω τί. ὁ μὲν Οἰδίπους τίς ἐστιν ὁ χρησμὸς ἐπυνθάνετο. ὁ δὲ οὐκ εὐθὺς αὐτὸ τὸ ῥητὸν θέλων εἰπεῖν, ἀπὸ τῶν εὐφήμων ἄρξασθαι θέλει. ὁ δὲ νοῦς. λέγω τί πάντα ἂν εὐτυχεῖν τὴν πόλιν, εἰ καὶ τὰ δύσφημα τύχοι ἂν κατ' ὀρθὸν ἐξελθόντα. τουτέστιν, εἰ τὰ ἄγνωστα γνωσθείη, τίς ἐστιν ὁ φονεὺς Λαΐου. οὐδὲν γὰρ τί χαλεπὸν ἔνι ἐν τῷ χρησμῷ, ἀλλ' ἀγνοεῖται μόνον τὸ ὑπ' αὐτοῦ ῥηθέν. ¶ Καὶ τὰ δύσφορ' εἰ τύχοι. καὶ τὰ χαλεπὰ εἰ τύχοι κατ' ὀρθὸν προϊόντα, πάντα εὐτυχεῖν ἡμᾶς λέγω. ἔστι δὲ ποῖον τοὔπος; ὅτι ἀσαφῆ τὸν λόγον εἶπεν, ἔτι ἀξιοῖ αὐτὸν τὸ ῥητὸν ἀκοῦσαι. μέχρι γὰρ νῦν οὔτε θαρσήσας, οὔτε ἔμφοβός εἰμι τῶν ὑπὸ σοῦ ἀκούσας. ¶ Πλέον φέρω τὸ πένθος. περὶ τούτων πλέον ἀγωνίζομαι, ἢ περὶ τῆς ἐμαυτοῦ ψυχῆς. ¶ Ἐς πάντας αὔδα. ἀξίως τοῦ βασιλικοῦ ἤθους δημοσίᾳ φράζειν κελεύει. ἅμα μὲν ἐπεὶ μηδὲν ὑποπτεύων περὶ ἑαυτοῦ, οἴεται καὶ θεοφιλὴς εἶναι. ἅμα δὲ καὶ ὑπὲρ τοῦ, ἐν μέσῳ ῥηθέντων αἰσθῆναι

κρέοντα προστείχοντα σημαίνουσί μοι.
Οἰ. ὦναξ Ἄπολλον, εἰ γὰρ ἐν τύχῃ γέ τῳ
σωτῆρι βαίη λαμπρὸς ὥσπερ ὄμματι.
Ἱερ. ἀλλ' εἰκάσαι μὲν, ἡδύς. οὐ γὰρ ἂν κάρα
πολυστεφὴς ὧδ' εἷρπε παγκάρπου δάφνης.
Οἰ. τάχ' εἰσόμεσθα. ξύμμετρος γὰρ ὡς κλύειν,
ἄναξ, ἐμὸν κήδευμα, παῖ Μενοικέως,
τίν' ἡμῖν ἥκεις τοῦ θεοῦ φήμην φέρων.
Κρέ. ἐσθλήν. λέγω γὰρ καὶ τὰ δύσφορ', εἰ τύχοι
κατ' ὀρθὸν ἐξελθόντα, πάντ' ἂν εὐτυχεῖν.
Οἰ. ἔστιν δὲ ποῖον τοὔπος; οὔτε γὰρ θρασὺς,
οὔτ' οὖν προδείσας εἰμὶ τῷ γε νῦν λόγῳ.
Κρέ. εἰ τῶνδε χρῄζεις πλησιαζόντων κλύειν,
ἕτοιμος εἰπεῖν, εἴτε καὶ στείχειν ἔσω.
Οἰ. ἐς πάντας αὔδα. τῶνδε γὰρ πλέον φέρω
τὸ πένθος, ἢ καὶ τῆς ἐμῆς ψυχῆς πέρι.

τὰ περὶ ἀναζητήσεως. αὔξει δὲ ὁ ποιητὴς τὸ ὡς εὐνοϊκὸν ἦθος τοῦ Οἰδίποδος, ὅπως αὔξοιεν τὰ περὶ τραγῳδίας, ὕστερον αἴτιος αὐτοῦ τῶν κακῶν ἀναφαινομένου. ¶ Λέγοιμ' ἂν οἷ' ἤκουσα. ὅτι πολλάκις ἐκπίπτουσι λοξοὶ χρησμοί. ¶ Ἐμφανῶς. ἵνα μὴ γένηται ἀφορμὴ τοῦ παραπέμψασθαι τοὺς χρησμοὺς οὕτως εἶπεν.

ΩΣ τόδ' αἷμα χειμάζον. ἀττικῶς ἀντὶ τοῦ αἵματος χειμάζοντος τὴν πόλιν τοῦ Λαΐου.

Κρέ. Λέγοιμ' ἂν οἷ' ἤκουσα τοῦ θεοῦ πάρα.
ἄνωγεν ἡμᾶς Φοῖβος ἐμφανῶς ἄναξ,
μίασμα χώρας ὡς τεθραμμένον χθονὶ
ἐν τῇδ' ἐλαύνειν, μηδ' ἀνήκεστον τρέφειν.
Οἰ. Ποίῳ καθαρμῷ; τίς ὁ τρόπος τῆς ξυμφορᾶς;
Κρέ. Ἀνδρηλατοῦντας, ἢ φόνῳ φόνον πάλιν
λύοντας, ὡς τόδ' αἷμα χειμάζον πόλιν.
Οἰ. Ποίου γὰρ ἀνδρὸς τήνδε μηνύει τύχην;
Κρ. Ἦν ἡμῖν ὦ 'ναξ, Λάϊός ποθ' ἡγεμὼν
γῆς τῆσδε, πρὶν σε τήνδ' ἀπευθύνειν πόλιν.
Οἰ. Ἔξοιδ' ἀκούων. οὐ γὰρ εἰσεῖδόν γέ πω.
Κρέ. Τούτου θανόντος, νῦν ἐπιστέλλει σαφῶς
τοὺς αὐτοέντας χειρὶ τιμωρεῖν τινάς.
Οἰ. Οἳ δ' εἰσὶ ποῦ γῆς; ποῦ τόδ' εὑρεθήσεται
ἴχνος παλαιᾶς δυστέκμαρτον αἰτίας;
Κρέ. Ἐν τῇδ' ἔφασκε γῇ. τὸ δὲ ζητούμενον,
ἁλωτόν. ἐκφεύγει δὲ τἀμελούμενον.
Οἰ. Πότερα δ' ἐν οἴκοις, ἢ 'ν ἀγροῖς ὁ Λάϊος,
ἢ γῆς ἐπ' ἄλλης τῷδε συμπίπτει φόνῳ;
Κρέ. Θεωρὸς ὡς ἔφασκεν ἐκδημῶν, πάλιν
πρὸς οἶκον οὐκέθ' ἵκεθ' ὡς ἀπεστάλη.
Οἰ. Οὐδ' ἄγγελός τις, οὐδὲ συμπράκτωρ ὁδοῦ
κατεῖδ', ὅτου τις ἐκμαθὼν ἐχρήσατ' ἄν.

¶ Πρὶν σε τήνδ' ἀπευθύνειν. πρὸ τοῦ κυβερνᾶν σε τήνδε τὴν πόλιν, τὸ εὐθύνειν καὶ τὸ ἀπευθύνειν ἐπὶ τῶν ὀρθουμένων λοξῶν λέγεται καὶ ἐπὶ τῶν κυβερνωμένων νεῶν, καὶ ἀπὸ τούτων κατὰ μεταφορὰν καὶ ἐπὶ τοῦ κολάζειν, καὶ ἐπὶ τῶν ἄλλως διοικουμένων, καθ' ὃ λέγεται ἐνταῦθα. ¶ Ἐπιστέλλει. ἐντέλλεται. ὑποτίθεται. ℂ Τοὺς αὐτοέντας. τοὺς φονέας τούτου τιμωρεῖσθαι.

¶ Δυστέκμαρτον. δυσκατέργαστον. δυσεύρετον. δυσκατάληπτον. εἴρηται δὲ ἀπὸ τῶν κυνῶν τῶν τὸ ἴχνος σκοπούντων.

¶ Ἁλωτόν. ὥστε καὶ εὐχερῶς μὴ εἰς πολλὰ πλανωμένους ἐξευρεῖν. ἀπὸ κοινοῦ δὲ τὸ ἔφασκε· λέγει δὲ τὸ πρᾶγμα. ℂ Ἐκφεύγει. λανθάνει. καὶ ταῦτα ἀπὸ τῶν θηρείων λέγεται τῶν ἁλισκομένων, ἢ ἐκφευγόντων. ℂ Πότερα δ' ἐν οἴκοις. ὡς συνετὸς ὁ Οἰδίπους ζητεῖ τὰ καθέκαστα, εἶτα οὕτως ποιεῖ τὴν ἀναζήτησιν ἐξεῖσι μεταπεμψάμενος τοὺς πολίτας. ἵνα καὶ ἀφορμὴ περὶ εἰσόδου γένηται. Θεωρὸς δὲ, ὁ πρὸς τοὺς θεοὺς διὰ χρησμὸν ἀπερχόμενος. ℂ Ἐκδημῶν πάλιν πρὸς οἶκον. οὐκέτι πάλιν ἀφίκετο, ἀντὶ τοῦ ἐπανέστρεψε πρὸς οἶκον. ¶ Ὡς ἀπεστάλη. καθὰ ἀπεδήμησεν. ἀπεστάλη τις ὑπό τινος, ἀντὶ τοῦ ἐπέμφθη. ἐνταῦθα δὲ ἀντὶ τοῦ ἀπῆλθε καὶ ἀπεδήμησεν. ¶ Οὐδ' ἄγγελός τις, οὐδὲ συμπράκτωρ. οἷον, οὐδὲ ἀκόλουθος, παρ' οὗ τις ἂν μάθοι καὶ χρήσαιτο πρὸς ζήτησιν.

Θνήσκουσι γάρ. οἷον πάντες οἱ ἀκολουθοῦντες αὐτῷ ἀνῃρέθησαν. δηλονότι ὑπεραγωνιζόμενοι τοῦ δεσπότου, πλὴν ἑνός. ὃς διὰ δειλίαν ἐκφυγὼν οὐδὲν ἀκριβὲς εἶχεν εἰπεῖν, πλὴν ὅτι ὑπὸ λῃστῶν ἀνῃρέθη. ἄκρως δὲ ἀπέγραψε τὸ ἦθος τῶν δειλῶν. ἅμα μὲν γὰρ ἐπαίρουσι τὰ πεπραγμένα. ἵνα μὴ δόξωσι διὰ δειλίαν φυγεῖν. ἅμα δὲ καὶ ἐν παραφρονήσει ὄντες, τὰ βραχέα μείζω δοξάζουσι, καλῶς δὲ ᾠκονόμηται, ἵνα τέως μὴ ἐλέγχοιτο ὁ κατὰ τὸν Οἰδίποδα. ¶ Οὐ μιᾷ ῥώμῃ. ἀντὶ τοῦ οὐχ ἕνα μόνον, ἀλλὰ καὶ πολλούς. Εἴ τι μὴ ξὺν ἀργύρῳ. ἀντὶ τοῦ εἰ μὴ ὑπὸ κέρδει. τείνει δὲ τοῦτο εἰς Κρέοντα, ὡς αὐτοῦ συνθεμένου τῷ τοῦ Λαΐου φόνῳ, διὰ τὴν βασιλείαν. Ἐνθένδε οὖν. ἐκ τῆς πόλεως ταύτης. ¶ Δοκοῦντα ταῦτ' ἦν. καὶ τότε φησὶ ταῦτα ὑπενοεῖτο, ὅτι ἐπιβεβούλευται. ¶ Ἡ ποικιλῳδός. ἠνάγκαζεν ἡμᾶς ἡ σφίγξ, μεθέντας τὰ ἀφανῆ τὰ κατὰ τὸν φόνον τοῦ βασιλέως. τοῦτ' ἔστι τὰ ἀφανές, τὸ παρὰ ποσὶ κακὸν σκοπεῖν. ἢ οὕτως. ἡ σφίγξ ἠνάγκαζεν ἡμᾶς μεθέντας τὸ σκοπεῖν τὰ κατὰ τὸν φόνον τὰ πρὸς ποσὶν ἀφανῆ ζητεῖν. τουτέστι, τὰ ἀφανῆ αἰνίγματα. ¶ Ἀλλ' ἐξ ὑπαρχῆς. αὖθις ζητεῖν τὰ παρακείμενα ἡμῖν, οἷον ἀναδραμοῦμαι ἐπὶ τὴν ἀρχὴν τοῦ πράγματος. καὶ εἰς φῶς ἄξω. ἴσως δὲ λεληθότως, τὸ ἕτερον ἐμφαίνεται ἐν τῷ ἐγὼ φανῶ, ὅπερ οὐ φησὶ μὲν ὁ Οἰδίπους, μανθάνει δὲ ὁ ἀκροατής, ἐπεὶ τὸ πᾶν ἐν αὐτῷ φανήσεται. Τήνδ' ἔθεσθ' ἐπιστροφήν. γράφεται τήνδε θεσπίζει γραφήν. ¶ Τιμωροῦντα. προσβοηθοῦντα. ¶ Ὑπὲρ γὰρ οὐχὶ τῶν ἀπωτέρω φίλων. οὐ μόνον ὑπὲρ τοῦ ἀνῃρημένου βασιλέως ἄξιον ποιήσασθαι τὴν ἀναζήτησιν. ἀλλὰ καὶ ὑπὲρ αὐτοῦ ἐμοῦ. ὁ γὰρ ἐκείνῳ ἐπιχειρήσας, ἴσως κἀμοὶ ἐπιβουλεύσει. πεπλάνασται δὲ πάλιν ὁ λόγος καὶ τὴν ἀλήθειαν αἰνίττεται τῷ θεάτρῳ, ὅτι αὐτὸς δράσας τὸν φόνον ὁ Οἰδίπους καὶ ἑαυτὸν τιμωρήσεται. ¶ Κείνῳ προσαρκῶν. καὶ τοῦτο κινητικὸν τοῦ θεάτρου. τὰ γὰρ ἐναντία ἀποβήσεται.

Κρέ. θνήσκουσι γάρ. πλὴν εἷς τις, ὃς φόβῳ φυγὼν
ὧν εἶδε, πλὴν ἕν, οὐδὲν εἶχ' εἰδὼς φράσαι.
Οἰ. τὸ ποῖον; ἓν γάρ, πόλλ' ἂν ἐξεύροι μαθεῖν,
ἀρχὴν βραχεῖαν εἰ λάβοιμεν ἐλπίδος.
Κρέ. λῃστὰς ἔφασκε συντυχόντας, οὐ μιᾷ
ῥώμῃ κτανεῖν νιν, ἀλλὰ σὺν πλήθει χερῶν.
Οἰ. πῶς οὖν ὁ λῃστής, εἴ τι μὴ ξὺν ἀργύρῳ
ἐπράσσετ' ἐνθένδ', ἐς τόδ' ἂν τόλμης ἔβη;
Κρέ. δοκοῦντα ταῦτ' ἦν. Λαΐου δ' ὀλωλότος,
οὐδεὶς ἀρωγὸς ἐμ κακοῖς ἐγίγνετο.
Οἰ. κακὸν δὲ ποῖον ἐμποδών, τυραννίδος
οὕτω πεσούσης, εἶργε τοῦτ' ἐξειδέναι.
Κρέ. ἡ ποικιλῳδὸς σφὶγξ τὰ πρὸς ποσὶ σκοπεῖν
μεθέντας ἡμᾶς τἀφανῆ προσήγετο.
Οἰ. ἀλλ' ἐξ ὑπαρχῆς αὖθις αὔτ' ἐγὼ φανῶ.
ἐπαξίως γὰρ Φοῖβος, ἀξίως δὲ σὺ
πρὸ τοῦ θανόντος τήνδ' ἔθεσθ' ἐπιστροφήν,
ὥστ' ἐνδίκως ὄψεσθε κἀμὲ σύμμαχον,
γῇ τῇδε τιμωροῦντα, τῷ θεῷ θ' ἅμα.
ὑπὲρ γὰρ οὐχὶ τῶν ἀπωτέρω φίλων,
ἀλλ' αὐτὸς αὑτοῦ τοῦτ' ἀποσκεδῶ μύσος.
ὅστις γὰρ ἦν ἐκεῖνον ὁ κτανών, τάχ' ἂν
κἄμ' ἂν τοιαύτῃ χειρὶ τιμωρεῖν θέλοι.
κείνῳ προσαρκῶν οὖν, ἐμαυτὸν ὠφελῶ.
ἀλλ' ὡς τάχιστα παῖδες, ὑμεῖς μὲν βάθρων

Ἱκτῆρας. τοὺς ἱκετευτικούς. ¶ Ἄλλος δὲ Καδμείων λαόν. πιθανὴ ἡ εἴσοδος τοῦ χοροῦ. σκέπτεσθαι γάρ φησι δεῖν μετὰ τοῦ δήμου περὶ τῶν πρακτέων. ¶ Ὦ παῖδες. ἔξεισιν ὁ ἱερεὺς πράξας δι' ὅπερ ἦλθεν. ἅμα δὲ καὶ ὑπὲρ τοῦ χώραν εἶναι ἑτέρῳ ὑποκεῖσθαι. Ἐξαγγέλλεται. ἐξαγγέλλει. ἡ δὲ χρῆσις ἀττική. ¶ Ὦ Διὸς ἁδυεπής. κατὰ τὴν πρόσταξιν τοῦ βασιλέως πάρεισι πρεσβῦταί τινες, ἐξ ὧν ὁ χορὸς συμπληροῦται. Διὸς δὲ ἡδυεπῆ φάτιν τὴν μαντείαν φησίν. ὁ γὰρ Ἀπόλλων ὑποφήτης δοκεῖ εἶναι τοῦ πατρὸς, καὶ παρ' ἐκείνου λαμβάνειν τὰς μαντείας, καὶ τοῖς ἀνθρώποις ἐκφέρειν. καὶ Ὅμηρος, Διὸς ἄγγελος ὄσσα δεδήει. λείπει δὲ ἡ ἀπὸ, ἵν' ᾖ ἀπὸ τοῦ Πυθῶνος. ἡ δ' ἁβρὸς δὲ ἀδιδομένη. ¶ Τίς ποτε τᾶς πολυχρύσου. εἴ τις ποτέ ἐστιν. ὅτι μὲν γὰρ πάρεισι λόγιον ἀπὸ τοῦ Πυθῶνος ἀκηκόασι. τὸ δὲ ῥηθὲν αὐτὸ ζητοῦσιν. ¶ Ἐκτέταμαι. ἐκπέπληγμαι. ¶ Φοβερὰν φρένα. τὴν περίφοβον. καὶ Ἀλκαῖος, ἐλάφῳ δὲ βρόμος ἐν στήθεσι φύει φοβερός. ἀντὶ τοῦ περίφοβος. ¶ Δείματι πάλλων. γράφεται καὶ περὶ πάλλω, ἀντὶ τοῦ παλλόμενος φόβῳ. ἀγωνιῶν. τοῦτο δὲ τοῖς πρὸ αὐτοῦ σαφέστερον. ἀγωνιῶν τὴν φρένα ἐπὶ τοῖς ἀπὸ σοῦ χρησμοῖς, σεβόμενος τὰ ἀπὸ σοῦ εἰρημένα. ¶ Ἰήιε δάλιε παιάν. διὰ μέσου τοῦτο. τὸ δὲ τῶν παιάνων λέγεται, τὸ ἰήιος, ἐπεὶ τοιούτῳ μέλει ᾖδον τοὺς παιᾶνας, ἐπεὶ δὲ πρὸς τὸν Ἀπόλλωνα ᾖδον οἱ παιᾶνες, ἐλέγετο καὶ ὁ Ἀπόλλων ἰήιος ὡς ὑπὸ τοιούτου μέλους ὑμνούμενος, ὥσπερ εὔιος ὁ Διόνυσος, καὶ ἐπὶ τοῦ παιᾶνος τὸ αὐτὸ τοῦτο συμβαίνει. λέγεται γὰρ παιὰν ὁ εἰς τὸν Ἀπόλλωνα ὕμνος, καὶ ἀπὸ τούτου καὶ ὁ Ἀπόλλων καθ' ὃ καὶ ἐνταῦθα. δείκνυται δὲ καὶ ἐν τούτοις τοῦτο σαφέστερον· ὑμνείω παιᾶνα μέγαν θεὸν Ἀπόλλωνα. ¶ Ἢ περιτελλομέναις ὥραις. εἰς τὸν ἑξῆς χρόνον περιιούσης τῆς ὥρας. ὁ δὲ νοῦς. τί μοι, ἢ νῦν ἢ μετὰ χρόνον ἀνύσεις. ¶ Ἐλπίδος ἄμβροτε φάμα. καλῶς, παρ' ὅσον ἐν ἐλπίδι τινὶ γενόμενοι οἱ ἄνθρωποι οὕτω φημίζουσι πρὸς τὸ λόγιον. παρ' ὅσον ὑπὸ ἐλπίδος καὶ χρησμοὺς αἰτοῦσιν ἀπὸ θεῶν.

ἵστασθε, τούσδ' ἄραντες ἱκτῆρας κλάδους.
ἄλλος δὲ Κάδμου λαὸν ὧδ' ἀθροιζέτω.
ὡς πᾶν ἐμοῦ δράσοντος, ἢ γὰρ εὐτυχεῖς
σὺν τῷ θεῷ φανούμεθ', ἢ πεπτωκότες.
Ἱερ. ὦ παῖδες, ἱστώμεσθα. τῶνδε γὰρ χάριν
καὶ δεῦρ' ἔβημεν, ὧν ὅδ' ἐξαγγέλλεται.
Φοῖβος δ' ὁ πέμψας τάσδε μαντείας, ἅμα
σωτήρ θ' ἵκοιτο, καὶ νόσου παυστήριος.
Χο. Ὦ Διὸς ἁδυεπὲς φάτι, τίς ποτε
τᾶς πολυχρύσου Πυθῶνος,
ἀγλαὰς ἔβας Θήβας,
ἐκτέταμαι φοβερὰν φρένα,
δείματι πάλλων,
ἰήιε δάλιε παιὰν
ἀμφὶ σοὶ ἁζόμενος,
τί μοι ἢ νέον, ἢ περιτελλομέναις
ὥραις πάλιν ἐξανύσεις χρέος.
εἰπέ μοι ὦ χρυσέας τέκνον
ἐλπίδος ἄμβροτε φάμα
πρῶτά σε κεκλόμενος

Θύγατερ Διός. μεταβαίνει λοιπὸν εἰς τὸ ἐπικαλέσασθαι τινὰς τῶν θεῶν. ¶ Πρῶτά σε. γράφεται πρώταν γε. ¶ Γαιάοχόν τε. ἐπειδὴ ἡ αὐτή ἐστι τῇ ἑκάτῃ. ἡ δὲ θεὸς αὕτη ἐν ταῖς ἀγοραῖς εἵλεται καὶ τιμᾶται ἐν ταῖς τριόδοις. ἢ ἀντὶ τοῦ, τὴν πολιοῦχον. ὥστε τὴν γῆν ἀντὶ τῆς πόλεως εἴληφεν. ¶ Εὐκλεᾶ θάσσει. εὔκλεια Ἄρτεμις. οὕτως παρὰ βοιωτοῖς τιμᾶται. ¶ Καὶ Φοῖβον. τάχα μὲν δὴ τὸ τοῦ λοιμοῦ τὴν εὐχὴν γενέσθαι, ὧν αἴτιος εἶναι δοκεῖ. τάχα δὲ δὴ τὴν μαντείαν.

Καὶ προτέρας ἄτας. τῆς ἀπὸ τῆς σφιγγός. τὸ δὲ ἠνύσατε, ἀντὶ τοῦ ἐφθείρατε. καὶ ὅμηρος,
» Ἠ θήν σ' ἐξανύω γε καὶ ὕστερον ἀντιβολήσας.

Ἐκτοπίαν. ξένην, καὶ ἀλλόκοτον. ἢ ἠνύσατε αὐτὴν ἐκτοπίαν γενέσθαι. ὅ ἐστιν ἐκτὸς, καὶ ἀπὸ τῶν τόπων τῆς πόλεως. ℭ Φλόγα πήματος. περιφραστικῶς τὴν πημονὴν τὴν διάπυρον. ℭ Πρόπας στόλος. ἡ πᾶσα δύναμις. ὁ πᾶς λαός.

Φροντίδος ἔγχος. ἀλληγορικῶς ἡ βοήθεια παρὰ τὸ ἔγχος, οἷον οὐκ ἔνεστι τῷ νῷ τῆς φροντίδος ἔγχος. τοῦτο δὲ, οἷον τὸ δὴ ἀπὸ βουλῆς καὶ προμηθείας γινόμενον ἀλέξημα καὶ ἀμυντήριον. ¶ Ἔκγονα χθονός. ἢ τὰ δένδρα, ἢ τοὺς παῖδας φησίν. ¶ Οὔτε τόκοισιν. αἵ τε γυναῖκες τῶν καμάτων ἐν τοῖς τόκοις οὐκ ἀνέχουσι. τουτέστιν οὔ τε ἐπιγίνονται τῶν πόνων. τὸ δὲ ἀνέχουσιν, ἤγουν ἐλευθεροῦνται ἄνω ἑαυτὰς ἔχουσιν, ἢ ἄγουσιν. ἐκ μεταφορᾶς τῶν ἄνω νευόντων μόγις ἐν τῷ νήχεσθαι, ἢ ἄνεσιν ἔχουσιν.

θύγατερ Διὸς ἄμβροτ' Ἀθάνα,
γαιάοχόν τ' ἀδελφεὰν
Ἄρτεμιν, ἃ κυκλόεντ' ἀγορᾶς
θρόνον εὐκλεᾶ θάσσει,
καὶ Φοῖβον ἑκαβόλον. ἰὼ, ἰώ,
τρισσοὶ ἀλεξίμοροι προφάνητέ μοι,
εἴ ποτε καὶ προτέρας ἄτας ὕπερ
ὀρνυμένας πόλει, ἠνύσατε
ἐκτοπίαν φλόγα πήματος,
ἔλθετε καὶ νῦν, ὦ πόποι.
ἀνάριθμα γὰρ φέρω πήματα.
νοσεῖ δέ μοι πρόπας στόλος.
οὐδ' ἔνι φροντίδος ἔγχος,
ᾧ τις ἀλέξεται. οὔτε γὰρ
ἔκγονα κλυτᾶς χθονὸς
αὔξεται, οὔτε τόκοισιν
ἰηΐων καμάτων ἀνέχουσι
γυναῖκες. ἄλλον δὲ ἂν
ἄλλῳ προσίδοις
ἅπερ εὔπτερον ὄρνιν
κρεῖσσον ἀμαιμακέτου πυρὸς

Ἰηΐων. ἤγουν τῶν μετ' εὐχῆς γινομένων. ἢ τῶν λοιμικῶν. ἰήϊος γὰρ ὁ ἀπόλλων, εἰς ὃν ἡ ἀγνεία τοῦ λοιμοῦ ἀναφέρεται. ἢ ὅτι ἐπίφθεγμα κοινόν ἐστι καὶ ἀρτέμιδος. αἱ δὲ γυναῖκες ἐν ταῖς ἀνάγκαις τὰς τοιαύτας ἀφιᾶσι φωνάς. οἱ δὲ ἀκούουσι τῶν θρηνητικῶν. ℭ Ἑσπέρου θεοῦ. τοῦ ᾅδου. ℭ Ἄλλον δ' ἂν ἄλλῳ. ἄλλον ἐπ' ἄλλῳ ἴδοις ἀποθνήσκοντα. ὡς ὄρνιθες ἐν τῇ πτήσει ἄλλος ἐπ' ἄλλῳ πέτεται. ¶ Κρεῖσσον ἀμαιμακέτου πυρός. ἢ οἷον ὀξυτέρου πυρὸς εἰς τὸ σπεύδειν εἰς ᾅδην, ἢ κρεῖσσον πυρὸς, ὡς μὴ καταλαμβάνειν τὸ πῦρ τὸ τῶν ἀποθνησκόντων πλῆθος κατακαίειν. καὶ γὰρ ὑπερβολὴ καὶ ἐπίτασις τοῦ πάθους. Ἄλλως. εὐτονώτερον τοῦ πυρὸς τῆς μεγάλης φλογὸς, καὶ πρὸς ἣν οὐκ ἔστι μῆκος παραβαλεῖν.

Ὁρμενον. κινούμενον πρὸς τὴν παραλίαν τοῦ ἑσπέρου θεοῦ, ἤγουν σκοτεινοῦ. περιφραστικῶς δὲ τοῦ ᾅδου, πρὸς ὃν ἔλεγον διὰ τῆς ἀχερουσίας λίμνης κατιέναι τὰς ψυχάς. ¶ Νηλέα δὲ γένεθλα. νηλέα, τὰ μὴ τυχόντα ἐλέους. τὸ αὐτὸ λέγει καὶ τὸ ἀνοίκτως. οὐκ ἠλέουν δὲ ἀλλήλους, ἴσως ὑπὸ τῆς συνηθείας τοῦ κακοῦ, ἢ ὑπὸ φόβου καὶ προσδοκίας τῶν ὁμοίων. ¶ Ἀκτὰν παραβώμιον. ἀντὶ τοῦ παραχωρεῖται, ὅπου οἱ βωμοὶ τῶν ναῶν εἰσιν. ἐκ τούτου δῆλον ὅτι καὶ τέλφοι ἀπέθνησκον. Ἄλλως. ἐπ' ἀκτὰν παραβώμιον, ἤγουν τὴν παρὰ τοῖς βωμοῖς ἐξοχήν. ἄλλοθεν ἄλλαι, ἤγουν ἀπ' ἄλλου μέρους ἄλλαι κείμεναι. ¶ Ἱκτῆρες. ἱκέτιδες ἐπιστενάχουσιν ἕνεκα τῶν χαλεπῶν πόνων. ¶ Παιὰν δὲ λάμπει. ἀντὶ τοῦ ἀκμάζει λαμπρῶς τῇ φωνῇ. λέγεται πρὸς ἀποτροπὴν τῶν κακῶν. ¶ Ὧν ὕπερ ὦ χρυσέα θύγατερ. πρὸς τὴν φήμην πάλιν φησὶ τῆς μαντείας. ἐλπίζουσι γὰρ ἐπί τινι ἀγαθῷ τὸ μάντευμα ἀποβῆναι. χρυσέα δέ, τιμία. φασὶ γὰρ οὕτως τιμᾶσθαι χρυσῆν. ¶ Ὁμαυλος. ὁμόθροος. ὁμόφωνος. τοῦτο δὲ ὅμοιόν ἐστι τῷ, ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων. ¶ Ἀρεά τε τὸν μαλ. ἀντὶ τοῦ τὸν καταμαινόμενον. τάττει δὲ τοῦτο ἐπὶ τοῦ λοιμοῦ τοῦ δίκην ἀναιροῦντος πολέμου. ἀπὸ κοινοῦ δὲ τὸ πέμψον. ¶ Ὃς νῦν ἄχαλκος ἀσπίδων. οὐ χρώμενος ὅπλοις φλέγει ἡμᾶς. περιβόητος δέ, περὶ ὃν ἕκαστος βοᾷ μετὰ βοῆς καὶ οἰμωγῆς ἐπιών, ὡς ἐπὶ πολέμου πάλιν.

ὅρμενον ἀκτὰν πρὸς ἑσπέρου
θεοῦ, ὧν πόλις ἀνάριθμος
ὄλλυται. νηλέα δὲ γενέθλα
πρὸς πέδῳ θανατηφόρῳ
κεῖται ἀνοίκτως. ἐν δ' ἄλοχοι
πολιαί τ' ἔπι ματέρες
ἀκτὰν παραβώμιον
ἄλλοθεν ἄλλαι λυγρῶν πόνων
ἱκτῆρες ἐπιστενάχουσι.
παιὰν δὲ λάμπει, στονόεσσά τε γῆρυς,
ὅμαυλος. ὧν ὕπερ, ὦ χρυσέα
θύγατερ Διός, εὐῶπα, πέμψον
ἀλκάν. Ἀρεά τε τὸν μαλερόν,
ὃς νῦν ἄχαλκος ἀσπίδων
φλέγει με περιβόητος ἀντιάζων,
παλίσσυτον δράμημα νωτίσαι
πάτρας ἄπουρον, εἴτ' ἐς μέγαν
θάλαμον Ἀμφιτρίτας,
εἴτ' ἐς τὸν ἀπόξενον ὅρμον.
Θρηΐκιον κλύδωνα.
τελεῖ γὰρ εἴ τι νὺξ ἀφῇ,
τοῦτ' ἐπ' ἦμαρ ἔρχεται.

¶ Πάτρας ἄπουρον. ἤτοι ἐπ' οὖρον, ὅ ἐστιν εἰς ἄνεμον. ὅμηρος, εἰς ὄρος, ἢ εἰς κῦμα. ἢ ἄπουρον, ἀπὸ τῶν ὅρων τῆς πόλεως. Νωτίσαι. ἀπελάσαι. ἀπὸ μεταφορᾶς τῶν τὰ νῶτα διδόντων ἐν ταῖς φυγαῖς. ἢ οὕτως, πέμψον ἀλκὴν ὥστε παλινόρμητον αὐτὸν γενέσθαι, τὰ νῶτα τῇ πόλει δόντα. λείπει δὲ τὸ δός, ¶ Εἴτ' ἐς μέγαν θάλ. κατὰ τοῦ βυθοῦ. τοῦτο γάρ ἐστι θάλαμος Ἀμφιτρίτης. ἤγουν ἔνθα αἱ συμπληγάδες πέτραι εἰσίν. ¶ Εἴτ' ἐς τὸν ἀπόξενον. ἴσως τὸν ἁλμυδησσόν φησι, περὶ ὃν ἱστορεῖται πολλὰ ναυάγια γίνεσθαι ὥστε μὴ μόνον ἐξ ἀπάσης γῆς ἐξεληλάσθαι, ἀλλὰ μηδ' ἐν κοινῇ θαλάσσῃ εἶναι. ἀπόξενον δέ, δυσχείμερον. Τέλει γὰρ εἴ τι νὺξ ἀφῇ. ἀντὶ τοῦ εἴ τι ἡ νὺξ ἀγαθὸν καταλείπεται, τοῦτ' ἐν ἡμέρᾳ ἀναιρεῖται. βούλεται δὲ λέγειν ὅτι τὰ κακὰ ἀδιάλειπτον ἔχει. εἰ γάρ τι ἡ νὺξ ἀφῇ τῶν καθ' ἑαυτὴν τέλει ἀβλαβὲς μὴ φθάσασα αὐτὸ ἀπολέσαι, τοῦτο μεθ' ἡμέραν ἀνήρπασται.

Τὸν, ὦ πυρφόρων. τὸν αὐτὶ τοῦ ὅν, τὸν μαραντικὸν ἄρεα κεραύνωσον ὦ Ζεῦ. Ἄλλως. ὦ νέμων ἤγουν διοικῶν τὰ κράτη τῶν πυρφόρων ἀστραπῶν. ἢ οὕτως. ὦ νέμων τῷ κράτει τῷ σῷ κατὰ δὲ τὸ σῆς ἰσχύος τὴν πυρφόρον ἀστραπήν. ¶ Λύκει' ἄναξ. βουλοίμην δὲ καὶ τὰ σὰ βέλη ὦ Ἄπολλον τὰ ἀδάμαστα καταμερίζεσθαι εἰς αὐτὸν, καὶ τὰς λαμπάδας Ἀρτέμιδος. ¶ Ἐνδατεῖσθαι. ἐν μερισμῷ δίδοσθαι καὶ διατρίβειν. μετῆκται δὲ ἀπὸ τῶν διανεμομένων. ¶ Τὸν χρυσομίτραν. τὸν Θηβαῖον Διόνυσον, τὸν ταῖς βάκχαις συνοικοῦντα. ¶ Μονόστολον. γράφεται ὁμόστολον.

Ἐπὶ τὸν ἀπότιμον θεόν. λέγει τὸν λοιμὸν, τὸν μὴ μετέχοντα τῆς τιμῆς τῶν θεῶν. θεῶν γάρ ἐστι τὸ εὐεργετεῖν τοὺς ἀνθρώπους. Αἰτεῖς. ὧν δ' αἰτεῖς ἀλκὴν λάβοις ἂν κἀνακούφισιν κακῶν. ἐὰν θέλῃς τὰ ἐμὰ ἔπη δέχεσθαι, ἃ λέξω ἔπη ἐξερῶ ξένος ὢν τοῦ πράγματος καὶ τοῦ λόγου. οἷον οὐκ ἀκηκοὼς πρότερον περὶ τοῦ φόνου τοῦ Λαΐου, οὐδὲ μὴν καθ' ὃν χρόνον ἐπράχθη ὁ φόνος παρών. ¶ Ὑπηρετεῖν. ἐπικουρεῖν καὶ συμπράττειν. ¶ Τοῦ λόγου. τοῦ λεχθέντος ὑπὸ Ἀπόλλωνος. ¶ Τοῦ πραχθέντος. τοῦ φόνου. ¶ Οὐ γὰρ ἂν μακράν. οὐ γὰρ ἄν φησι πόρρω ὄντος τοῦ χρόνου μεταξὺ ἀνεζήτουν τὸ πρᾶγμα, εἰ μὴ ἤλπιζον καταληψόμενος. ἐλπίδα δὲ αὐτοῖς ὑποβάλλει ὅτι δύναται ἀνευρεῖν τὸν φονέα, ἵνα προθυμότερον συλλάβωνται αὐτῷ. ¶ Σύμβολον. τῆς γνώσεως. ¶ Νῦν δ' ὕστερος γὰρ ἀστός. μεταφέρει ἀπὸ τῶν ἐν ταῖς πόλεσι ξένων τελούντων τὴν μετοικίαν. ἀντὶ τοῦ πολιτογράφημαι καὶ ἄρτι ἀστὸς ἐνομίσθην ξένος ὤν, καὶ ἐβασίλευσα. Ἄλλως. νῦν δὲ εἰς ἀστοὺς τελῶ. οὐκοῦν εἰ ἔτι ξένος, τῆς βασιλείας τετύχηκα, ἐπεὶ δή φησι συντελῶ εἰς τὴν πολιτείαν, καὶ μέλει μοι τῶν κοινῶν, ταῦτα ὑμῖν προφωνῶ. μετῆκται δὲ ἀπὸ τῶν συντελούντων ἐν ταῖς πόλεσι, καὶ τὴν ἰδίαν δύναμιν εἰς τὸ κοινὸν φερόντων.

τόν, ὦ πυρφόρων ἀστραπᾶν
κράτη νέμων, ὦ Ζεῦ πάτερ,
ὑπὸ σῷ φθίσον κεραυνῷ,
Λύκει' ἄναξ, τά τε σὰ χρυσοστρόφων
ἀπ' ἀγκυλῶν βέλεα θέλοιμ' ἂν
ἀδάμαστ' ἐνδατεῖσθαι,
ἀρωγὰ προσταθέντα.
τάς τε πυρφόρους Ἀρτέμιδος
αἴγλας, ξὺν αἷς Λύκει' ὄρεα
διᾴσσει. τὸν χρυσομίτραν
τε κικλήσκω τᾶσδ' ἐπώνυμον
γᾶς οἰνῶπα Βάκχον εὔιον
μαινάδων μονόστολον
πελασθῆναι φλέγοντ' ἀγλαῶπι πεύκᾳ
ἐπὶ τὸν ἀπότιμον ἐν θεοῖς θεόν.

Οἰ. αἰτεῖς, ἃ δ' αἰτεῖς, τἄμ' ἐὰν θέλῃς ἔπη
κλύων δέχεσθαι, τῇ νόσῳ θ' ὑπηρετεῖν,
ἀλκὴν λάβοις, κἀνακούφισιν κακῶν.
ἁγὼ ξένος μὲν τοῦ λόγου τοῦδ' ἐξερῶ,
ξένος δὲ τοῦ πραχθέντος. οὐ γὰρ ἂν μακρὰν
ἴχνευον αὐτὸς μὴ οὐκ ἔχων τι σύμβολον.
νῦν δ' ὕστερος γὰρ ἀστὸς εἰς ἀστοὺς τελῶ.
ὑμῖν προφωνῶ πᾶσι Καδμείοις τάδε,
ὅστις ποθ' ὑμῶν Λάϊον τὸν Λαβδάκου
κάτοιδεν, ἀνδρὸς ἐκ τίνος διώλετο,

τοῦτον κελεύω πάντα σημαίνειν ἐμοί.
κεἰ μὲν φοβεῖται, τοὐπίκλημ', ὑπεξελὼν
αὐτὸς καθ' αὑτοῦ. πείσεται γὰρ ἄλλο μὲν
ἀστεργὲς οὐδὲν, γῆς δ' ἄπεισιν ἀβλαβής.
εἰ δ' αὖ τις ἄλλον οἶδεν ἐξ ἄλλης χθονὸς
τὸν αὐτόχειρα, μὴ σιωπάτω. τὸ γὰρ
κέρδος τελῶ 'γὼ, χ' ἡ χάρις προσκείσεται.
εἰ δ' αὖ σιωπήσεσθε, καί τις ἢ φίλου
δείσας ἀπώσει τοὔπος, ἢ χ' αὑτοῦ τόδε,
ἃ 'κ τῶνδε δράσω, ταῦτα χρὴ κλύειν ἐμοῦ.
τὸν ἄνδρ' ἀπαυδῶ τοῦτον, ὅστις ἐστὶ γῆς
τῆσδ', ἧς ἐγὼ κράτη τε καὶ θρόνους νέμω,
μήτ' εἰσδέχεσθαι, μήτε προσφωνεῖν τινὰ,
μήτ' ἐν θεῶν εὐχαῖσι, μήτε θύμασι
κοινὸν ποιεῖσθαι, μήτε χέρνιβας νέμειν.
ὠθεῖν δ' ἀπ' οἴκων πάντας, ὡς μιάσματος
τοῦδ' ἡμὶν ὄντος. ὡς τὸ πυθικὸν θεοῦ
μαντεῖον ἐξέφηνεν ἀρτίως ἐμοί.
ἐγὼ μὲν οὖν τοιόσδε τῷ τε δαίμονι,
τῷ τ' ἀνδρὶ τῷ θανόντι σύμμαχος πέλω.
κατεύχομαι δὲ τὸν δεδρακότ', εἴτε τις
εἷς ὢν λέληθεν, εἴτε πλειόνων μέτα,
κακὸν κακῶς νιν ἄμοιρον ἐκτρῖψαι βίον.
ἐπεύχομαι δ' οἴκοισιν εἰ ξυνέστιος
ἐν τοῖς ἐμοῖς γένοιτ' ἐμοῦ συνειδότος,
παθεῖν ἅπερ τοῖσδ' ἀρτίως ἠρασάμην.
ὑμῖν δὲ ταῦτα πάντ' ἐπισκήπτω τελεῖν,
ὑπέρ τ' ἐμαυτοῦ, τοῦ θεοῦ τε, τῆσδέ τε
γῆς, ὧδ' ἀκάρπως κἀθέως ἐφθαρμένης.
οὐδ' εἰ γὰρ ἦν τὸ πρᾶγμα μὴ θεήλατον,
ἀκάθαρτον ὑμᾶς εἰκὸς ἦν οὕτως ἐᾶν,
ἀνδρός γ' ἀρίστου βασιλέως τ' ὀλωλότος,
ἀλλ' ἐξερευνᾶν. νῦν δ' ἐπικυρῶ τ' ἐγὼ,
ἔχων μὲν ἀρχὰς, ἃς ἐκεῖνος εἶχε πρὶν,
ἔχων δὲ λέκτρα, καὶ γυναῖχ' ὁμόσπορον,

¶ Πάντα σημαίνειν ἐμοί. τὰ πραχθέντα δηλονότι. ¶ Κεἰ μὲν φοβεῖται. καὶ εἰ μὲν αὐτὸς εἴη πράξας, καὶ φοβεῖται λέγειν αὐτὸς καθ' αὑτοῦ, τὸν φόβον ὑπεξελὼν λεγέτω. οὐδὲν γὰρ δεινὸν πείσεται, εἰ μὴ ὅτι τῆσδε τῆς γῆς ἀπαλλάξεται. εἰ δὲ ξένον τις οἶδε τὸν φονέα, μηνυσάτω. καὶ εὐθὺς μὲν παρέξω κέρδος, καὶ εἰς ἀεὶ χάριν ἕξω. πανταχόθεν τοὺς προτρέπεται τοὺς μηνύοντας. ¶ Τὸν ἄνδρ' ἀπαυδῶ. πολὺν ἔλεον ἐργάζεται ὁ λόγος, ὅτι κατηγορεῖ ἑαυτοῦ ἀγνοῶν. πρότερον δὲ τὰ φιλάνθρωπα εἰρηκὼς, τελευταῖα ἐπήνεγκε τὰ σκληρότερα. ¶ Ἃ 'κ τῶνδε. οἷον ἀπὸ αὐτῶν ἀναγκασθεὶς τῶν πραγμάτων. ¶ Τῷδε δαίμονι. τῷ ταῦτα μαντευομένῳ Ἀπόλλωνι, κατεύχομαι. καταρῶμαι τὸν φονέα. ¶ Ἄμοιρον. ἤτοι κακόμοιρον. ἢ μηδενὸς τῶν νενομισμένων μετειληφότα. ἀλλ' ἄταφον ἐκβληθῆναι. ἀγνοῶν δὲ ἐπαρᾶται ἑαυτῷ, εἰ ξύνοιδε τὸν φονέα δίς. καὶ ποιητικὸς σφοδρὸς γίνεται ὁ λόγος. ¶ Ὑμῖν δὲ ταῦτα πάντα ἐπισκήπτω. ἐνόρκως ἐντέλλομαι τὸ ἀγγεῖλαι τὸν φονέα ἢ ἀπωθεῖσθαι τῶν οἰκιῶν καὶ τῶν ἱερῶν, πρὸς τὸ ἐγὼ μὲν τοιόσδε. ἀπέδειξα τὸ ὑμῖν δέ. ¶ Ὑπὲρ ἐμαυτοῦ. ἐπισκήπτω ταῦτα ἐπεὶ εὑρημένου τοῦ φονέως καὶ δίκην δεδωκότος ἀπαλλαξέσθαι μὲν φροντίδος, ἀσφαλέστερον δὲ αὐτῷ καὶ τὰ πράγματα ἕξειν τῆς κατὰ τῶν βασιλέων τόλμης ὑπεσταλμένης τῷ τὸν ἄπαξ τετολμηκότα κεκολάσθαι. ¶ Τοῦ θεοῦ τε. τοῦ Ἀπόλλωνος. ¶ Οὐ

δ' εἰ γὰρ ἦν. καὶ γὰρ εἰ μὴ ἦν ὅλως τὸ ἄγος ὑπὸ θεῶν ἐλαυνόμενον, ἢ οἱονεὶ πολυπραγμονούμενον, ὑμᾶς ἔδει κινουμένους οἴκοθεν, καὶ μὴ ἀναμείναντας τὴν ἐκ θεῶν πρᾶξιν ἀναζητεῖν. ¶ Μὴ θεήλατον. οἷον χωρὶς θείας βοηθείας.

ΚΟΙΝΩΝ τε παίδων κοίν' ἄν. κοινὰ ἀδελφὰ τοῖς ἐξ ἡμῶν. οἷον καὶ ἡμῖν ἂν ἐγένετο εἰ ἦν τέκνα παρὰ Λαΐῳ γενόμενα. ¶ Μὴ 'δυστύχησεν. ὥστε μὴ παιδοποιήσασθαι. Τὸ ἐκείνου κρᾶτα. τὴν ἐκείνου κεφαλήν. ¶ Ἀνθ' ὧν ἐγώ. αἱ τοιαῦται ἔννοιαι οὐκ ἔχονται μὲν τοῦ σεμνοῦ, κινητικαὶ δέ εἰσι τοῦ θεάτρου. αἷς καὶ πλεονάζει Εὐριπίδης. ὁ δὲ Σοφοκλῆς πρὸς βραχὺ μὲν αὐτῶν ἅπτεται, πρὸς δὲ κίνησιν τὸ θέατρον. ¶ Τοῖς μὴ δρῶσι. τοῖς μὴ δεικνῦσί μοι τὸν φονέα. ¶ Ἀνιέναι. τουτέστι καρπόν.

Ὧδ' ἄναξ ἐρῶ. οὕτως ἐρῶ καὶ αὐτὸς ἐπομνύμενος καὶ κατὰ τὰς ἀρὰς ἐπαρώμενος. μήτε δρᾶσαι τὸν φόνον, μήτε τοὺς δράσαντας ἐπίστασθαι. ¶ Τὸ δὲ ζήτημα. ἀπορῶν ὁ χορὸς ἐπὶ τὸ θεῖον πάλιν ἀναφέρει. ¶ Δίκαι' ἔλεξας. τὸ τόφησιν, ἵνα μὴ πάλιν πέμψωσιν εἰς θεοῦ. καὶ γένηται διατριβὴ ἐν τῷ δράματι, ὅπερ ὑπόψυχρον.

Τὰ δεύτερ' ἐκ τῶνδ' ἄν. τὰ ἐκ τῶνδε δεύτερα, ἤγουν τὰ ἐν δευτέρᾳ τάξει μετὰ ταῦτα λέγοιμι ἄν, ἅμοι δοκεῖ ἤγουν φαίνεται δεύτερα.

Ἄνακτ' ἄνακτι. ἀποκλειομένου τοῦ πέμψειν εἰς θεὸν, καταφεύγουσιν εἰς τὴν ὁμοίαν μαντικήν. παρὰ τὸ αὐτοῦ δὲ ὀνόματι προσαγορεύει τὸν Τειρεσίαν, ὥσπερ τὸν θεὸν, καὶ τὰ αὐτὰ ὁρᾶν ἐκείνῳ φησίν. Ἀλ-

κοινῶν τε παίδων κοίν' ἄν, εἰ κείνῳ γένος
μὴ 'δυστύχησεν, ἦν ἂν ἐκπεφυκότα.
νῦν δ' ἐς τὸ κείνου κρᾶτ' ἐνήλαθ' ἡ τύχη.
ἀνθ' ὧν ἐγὼ τάδ' ὡσπερεὶ τοὐμοῦ πατρὸς
ὑπερμαχοῦμαι, κἀπὶ πάντ' ἀφίξομαι
ζητῶν τὸν αὐτόχειρα τοῦ φόνου λαβεῖν,
τῷ Λαβδακείῳ παιδὶ, Πολυδώρου τε, καὶ
τοῦ πρόσθε Κάδμου, τοῦ πάλαι τ' Ἀγήνορος.
καὶ ταῦτα τοῖς μὴ δρῶσιν, εὔχομαι θεοὺς,
μήτ' ἄροτον αὐτοῖς γῆν ἀνιέναι τινὰ,
μήτ' οὖν γυναικῶν παῖδας. ἀλλὰ τῷ πότμῳ
τῷ νῦν φθερεῖσθαι, κἄτι τοῦδ' ἐχθίονι. (ὑμ
ἡμῖν δὲ τοῖς ἄλλοισι Καδμείοις, ὅσοις
τάδ' ἔστ' ἀρέσκονθ', ἥ τε σύμμαχος δίκη,
χ' οἱ πάντες εὖ ξυνεῖεν εἰσαεὶ θεοί.

Χο. ὥσπερ μ' ἀραῖον ἔλαβες, ὧδ' ἄναξ ἐρῶ.
οὔτ' ἔκτανον γὰρ, οὔτε τὸν κτανόντ' ἔχω
δεῖξαι. τὸ δὲ ζήτημα, τοῦ πέμψαντος ἦν
Φοίβου τόδ' εἰπεῖν, ὅστις εἴργασταί ποτε.

Οἰ. δίκαι' ἔλεξας. ἀλλ' ἀναγκάσαι θεοὺς,
ἂν μὴ θέλωσιν, οὐδ' ἂν εἷς δύναιτ' ἀνήρ.

Χο. τὰ δεύτερ' ἐκ τῶνδ' ἂν λέγοιμ' ἅμοι δοκεῖ.

Οἰ. εἰ καὶ τρίτ' ἐστὶ, μὴ παρῇς τὸ μὴ οὐ φράσαι.

Χο. ἄνακτ' ἄνακτι ταὔθ' ὁρῶντ' ἐπίσταμαι
μάλιστα Φοίβῳ Τειρεσίαν, παρ' οὗ τις ἂν
σκοπῶν τάδ' ὦναξ, ἐκμάθοι σαφέστατα.

Οἰ. ἀλλ' οὐκ ἐν ἀργοῖς οὐδὲ τοῦτ' ἐπραξάμην.
ἔπεμψα γὰρ Κρέοντος εἰπόντος, διπλοῦς
πομπούς. πάλαι δὲ μὴ παρὼν, θαυμάζεται.

Χο. καὶ μὴν τά γ' ἄλλα κωφὰ καὶ παλαί' ἔπη.

Οἰ. τὰ ποῖα ταῦτα; πάντα γὰρ σκοπῶ λόγον.

Χο. θανεῖν ἐλέχθη πρός τινων ὁδοιπόρων.

Οἰ. ἤκουσα κἀγώ. τὸν δ' ἰδόντ', οὐδεὶς ὁρᾷ.

Χο. ἀλλ' εἴ τι μὲν δὴ δείματός τ' ἔχει μέρος,

λως.

λῶς. ἄνακτα λέγει τὸν Ἀπόλλωνα καὶ τὸν Τειρεσίαν, τὸν μὲν ὡς φύσει ἀνάσσοντα, τὸν δὲ Τειρεσίαν ὡς ὑπὸ τῶν ἀνθρώπων οὕτω τιμώμενον διὰ τὸ κράτος τῆς μαντικῆς.
Α ἀλλ' οὐκ ἐν ἀργοῖς. κἀνταῦθα τὸ κηδεμονικὸν τοῦ ἤθους διετήρησε. τὸ μὲν τῶν διπλοῦς πομποὺς, τῆς σπουδῆς ἐστι τεκμήριον.

τὰς σὰς ἀκούων, οὐ μενεῖ τοιάσδ' ἀράς.
Οἰ. ᾧ μή 'στι δρῶντι τάρβος, οὐδ' ἔπος φοβεῖ.
Χο. ἀλλ' οὐξελέγξων αὐτόν ἐστιν. οἵδε γὰρ
τὸν θεῖον ἤδη μάντιν ὧδ' ἄγουσιν, ᾧ
τἀληθὲς ἐμπέφυκεν ἀνθρώπων μόνῳ.
Οἰ. ὦ πάντα νωμῶν Τειρεσία, διδακτά τε,
ἄρρητά τ', οὐράνιά τε, καὶ χθονοστιβῆ.
πόλιν μὲν, εἰ καὶ μὴ βλέπεις, φονεῖς δ' ὅμως
οἵᾳ νόσῳ σύνεστιν. ἧς σε προστάτην
σωτῆρά τ' ὦναξ μοῦνον ἐξευρίσκομεν.
Φοῖβος γὰρ, εἰ καὶ μὴ κλύεις τῶν ἀγγέλων,
πέμψασιν ἡμῖν, ἀντέπεμψεν ἔκλυσιν
μόνην ἂν ἐλθεῖν τοῦδε τοῦ νοσήματος,
εἰ τοὺς κτανόντας Λάϊον μαθόντες εὖ
κτείναιμεν, ἢ γῆς φυγάδας ἐκπεμψαίμεθα.
Σύ δ' οὖν φθονήσας μήτ' ἀπ' οἰωνῶν φάτιν,
μήτ' εἴ τιν' ἄλλην μαντικῆς ἔχεις ὁδὸν,
ῥῦσαι σεαυτὸν, καὶ πόλιν, ῥῦσαι δ' ἐμέ.
ῥῦσαι δὲ πᾶν μίασμα τοῦ τεθνηκότος.
„ ἐν σοὶ γάρ ἐσμεν. ἄνδρα δ' ὠφελεῖν ἀφ' ὧν
„ ἔχοι τε καὶ δύναιτο, κάλλιστος πόνων.
Τει. φεῦ, φεῦ. φρονεῖν ὡς δεινὸν, ἔνθα μὴ τέλη
λύει φονοῦντι. ταῦτα γὰρ καλῶς ἐγὼ
εἰδὼς, διώλεσ'. οὐ γὰρ ἂν δεῦρ' ἱκόμην.
Οἰ. τί δ' ἔστιν, ὡς ἄθυμος εἰσελήλυθας;
Τει. ἄφες μ' ἐς οἴκους. ῥᾷστα γὰρ τὸ σόν τε σὺ,
κἀγὼ διοίσω τοὐμὸν, ἢν ἐμοὶ πίθῃ.
Οἰ. οὔτ' ἔννομ' εἶπας, οὔτε προσφιλὲς πόλει
τῇδ', ἥ σ' ἔθρεψε, τήνδ' ἀποστερῶν φάτιν.

τὸ δὲ, Κρέοντος εἰπόντος, πιθανὸν εἰς τὰ ἑξῆς, ἵνα ἡ ὑπόνοια αὐτοῦ πίστιν ἔχοι, τὸ πεπεισμένον ὑπὸ τοῦ Κρέοντος τὸν Τειρεσίαν, μαντεύεσθαι κατὰ τοῦ Οἰδίποδος τὰ ψευδῆ. ¶ Κωφά. ψογερά, καὶ οὐδὲν σαφὲς ἔχοντα τὰ ψιθυριζόμενα.

ᾯ ΜΗ 'στι. ὁ μὴ τὸ ἔργον δεδιὼς, οὐδὲ τὸν λόγον φοβεῖται. ἢ οὐδὲ ὁ λόγος φόβον αὐτῷ ἐντίθεται. ¶ Ἀλλ' οὐξελέγξων. ἤγουν ταῦτα εἰς σύστασιν τῶν προσώπων, ἵνα μηδὲ ὕστερον δυνηθείη ἀρνήσασθαι. ¶ Χθονοστιβῆ. τὰ ἐν τῇ γῇ, τὰ ἐπίγεια. ¶ Ῥῦσαι δ' ἐμέ. ὅρα τὸ τοῦ κηδεμόνος, ὅτι τελευταῖον ἑαυτὸν ἔταξεν, ὅπως ἀφέλοιτο τὸ φορτικὸν τῆς ἐξουσίας. ¶ Ἄνδρα δ' ὠφελεῖν. παιδευτικὸς ὁ λόγος. ἔδει ἅπαντας ἀφ' ὧν δύναιντο ὠφελεῖν τοὺς πέλας. ¶ Φρονεῖν ὡς δεινόν. ὡς δεινόν φησι τὸ φρονεῖν, ὅταν τὸ φρονούμενον τῷ φρονοῦντι μὴ λυσιτελῇ. σχετλιάζει δὲ μὴ βουλόμενος εἰς φῶς ἄγειν τὰ τοῦ Οἰδίποδος. διαλελυμένως δὲ εἶπε. ¶ Τέλη λύῃ. ἀντὶ τοῦ λυσιτελῇ. Ταῦτα γὰρ καλῶς ἐγώ. τὰ συμβησόμενά μοι ἀναγκασθήσομαι λέγειν, ἃ μὴ βούλομαι, τὸ ἐξελέγχειν τὸν Οἰδίποδα. ταῦτα εἰδὼς διώλεσα αὐτά. οὐ γὰρ ἂν δεῦρο ἠρχόμην.
Η ν ἐμοὶ πίθῃ. ἐὰν με ἀπελθεῖν ἐάσῃς. ¶ Τήνδ' ἀποστερῶν φάτιν. μὴ λέγων τὸν χρησμόν. τὸ δὲ ἀποστερῶ ἐνίοτε μὲν ἀπὸ αἰτιατικῆς εἰς γενικὴν ἔχει τὴν σύνταξιν, ἐνίοτε δὲ καὶ ἀπὸ αἰτιατικῆς εἰς αἰτιατικήν, ὡς ἐνταῦθα.

Ὁρῶ γὰρ οὐδὲ σοὶ τὸ σὸν φώνημ' ἰόν. οὐ γὰρ σύμφορός σοι οὐδὲ κατὰ καιρὸν ἡ ζήτησις γίνεται. ἵνα οὖν μὴ ἐκ τούτου μέμψις ἀκολουθήσῃ, σιωπῶ. τὸ μὲν κατὰ λόγον ἐλλιπές ἐστι. τὸ δὲ κατὰ διάνοιαν πλῆρες. ὃ δὲ βούλεται λέγειν, ὁρῶ τὸ σὸν φώνημα μὴ πρὸς καιρὸν ἐξιόν. κἀγὼ οὖν φωνὴν μὴ πρὸς καιρὸν ἀφιέναι φυλάσσομαι. Μὴ πρὸς θεῶν. ὑπερβαλόντος τοῦ Τειρεσίου ἀρχὴν ὅτι ἐπίσταται, ὁ χορὸς καταλιπαρεῖ εἰπεῖν. εἶτα ἀρνουμένου ἐξαχθεὶς εἰς λοιδορίαν πρὸς αὐτὸν ὁ Οἰδίπους. ὅθεν παροξυνθεὶς λέγει. ἔχει οὖν τὰ τῆς ὑποθέσεως ἄεισα. Ἐγὼ δ' οὐ μή ποτε. οὐκ ἐμφανῶ τὰ ἐμὰ ἔπη, ἵνα μὴ τὰ σὰ εἴπω κακά. ἤδη δὲ σαφέστερόν φησιν, ὅτι τὰ αὐτοῦ κακὰ ἀποκρύπτεται. Ἐγώ τ' ἐμαυτόν. ἐὰν τὸν ἀλγύνειν ἔφη, ἴσως ὑφιστάμενος ὅτι κακῶς ἀκούσεται ὑπ' αὐτοῦ ἀπιστούμενος. τάχα δὲ καὶ βουλόμενος ἀποκρύπτειν συμπεριέλαβεν ἑαυτόν, ὡς καὶ ἔμπροσθεν τἄμ' ὡς ἂν εἴπω μὴ τὰ σ' ἐκφήνω κακά. Οὐκ ὦ κακῶν κάκιστε. ἐν ὑπερβατῷ ὁ λόγος. οὐ λέξεις ὦ κακῶν κάκιστε. Ἀλλ' ὧδ' ἄτεγκτος κἀτελεύτητος φανῇ. K Καὶ γὰρ ἂν πέτρου φύσιν σύ γ' ὀργάνειας. ὅ ἐστι παροξύνειας, καὶ εἰς ὀργὴν ἐκβάλλειας. ἀπολείπεται δὲ περὶ τῆς ὕβρεως λέγον ὅτι καὶ πέτρου φύσιν σύ γ' ὀργάνειας. Ἄτεγκτος δέ, ἀντὶ τοῦ ἀσυμπαθής. καὶ ἀδάκρυτος. τέγγειν γὰρ τὸ βρέχειν. A Ἀτελεύτητος. δυσεξίωτος. δυσπαράκλητος. ἀμείλιχος. Ἥξει γὰρ αὐτά. ἥξουσιν αὐτόματα. Πρὸς τάδ' εἰ θέλεις θυμοῦ. τὸ θυμοῦ, οὐκ ἔστι γενικόν, ἀλλὰ ῥῆμα προστακτικόν. Καὶ μὴν παρήσω γ' οὐδέν. ὀργιζόμενος οὐδὲν σιωπήσομαι, ὧν πέπεισμαι καὶ ὑπονοῶ. Εἰργάσθαι θ' ὅσον μὴ χερσί. εἰργάσθαι τὰ ἄλλα τοῦ φόνου χωρὶς τῆς ἀπὸ τῶν χειρῶν ἐνεργείας. εἰ δὲ ἔβλεπες, ἐκάλουν ἄν σε καὶ φονέα αὐτόχειρα.

Τει. ὁρῶ γὰρ οὐδὲ σοὶ τὸ σὸν φώνημ' ἰὸν
πρὸς καιρόν, ὡς οὖν μηδ' ἐγὼ ταυτὸν πάθω.
Χο. μὴ πρὸς θεῶν, φρονῶν γ' ἀποστραφῇς, ἐπεὶ
πάντες σε προσκυνοῦμεν οἵδ' ἱκτήριοι.
Τει. πάντες γὰρ οὐ φρονεῖτ'. ἐγὼ δ' οὐ μή ποτε
τἄμ' ὡς ἂν εἴπω, μὴ τὰ σ' ἐκφήνω κακά.
Οι. τί φής; ξυνειδὼς οὐ φράσεις; ἀλλ' ἐννοεῖς
ἡμᾶς προδοῦναι, καὶ καταφθεῖραι πόλιν;
Τει. Ἐγώ τ' ἐμαυτόν, οὔτε σ' ἀλγυνῶ. τί ταῦτ'
ἄλλως ἐλέγχεις; οὐ γὰρ ἂν πύθοιό μου.
Οι. οὐκ ὦ κακῶν κάκιστε (καὶ γὰρ ἂν πέτρου
φύσιν σύ γ' ὀργάνειας) ἐξερεῖς ποτέ;
ἀλλ' ὧδ' ἄτεγκτος, κἀτελεύτητος φανῇ;
Τει. ὀργὴν ἐμέμψω τὴν ἐμήν. τὴν σὴν δ' ὁμοῦ
ναίουσαν, οὐ κατεῖδες, ἀλλ' ἐμὲ ψέγεις.
Οι. τίς γὰρ τοιαῦτ' ἂν οὐκ ἂν ὀργίζοιτ' ἔπη
κλύων, ἃ νῦν σὺ τήνδ' ἀτιμάζεις πόλιν;
Τει. ἥξει γὰρ αὐτά, κἂν ἐγὼ σιγῇ στέγω.
Οι. οὐκοῦν ἅγ' ἥξει, καὶ σὲ χρὴ λέγειν ἐμοί.
Τει. οὐκ ἂν πέρα φράσαιμι. πρὸς τάδ' εἰ θέλεις
θυμοῦ, δι' ὀργῆς, ἥτις ἀγριωτάτη.
Οι. καὶ μὴν παρήσω γ' οὐδέν, ὡς ὀργῆς ἔχω,
ἅπερ ξυνίημ'. ἴσθι γὰρ δοκῶν ἐμοὶ
καὶ ξυμφυτεῦσαι τοὔργον, εἰργάσθαι θ' ὅσον
μὴ χερσὶ καίνων. εἰ δ' ἐτύγχανες βλέπων
καὶ τοὔργον ἂν σοῦ τοῦτ' ἔφην εἶναι μόνου.

Ἄληθες ἐννέπω. λέγω σε τῷ κηρύγματι ὑπεύθυνον εἶναι τῷ ὑπὸ σοῦ εἰρημένῳ. ¶ Οὕτως ἀναιδῶς ἐξεκίνησας. οἴει γὰρ αὐτὸν πλασάμενον ψεύδεσθαι. εἰκότως δὲ ἀπιστεῖται ὡς δι' ὀργὴν εἰρηκώς. εἰ δὲ ἐπιστεύθη κατ' ἀρχὴν ὁ μάντις, τὰ ἑξῆς τοῦ δράματος ἀνῄρητο τοῦ ἀναγνωρισμοῦ, ἐν οἷς καταπεπόνηκε μάλιστα ὁ ποιητής. ¶ Οὐ γὰρ ἔκ γε τῆς τέχνης. φανερῶς εἰς Κρέοντα ἡ ἀπότασίς ἐστι. ¶ Λεληθέναι σέ φημι σὺν τοῖς φιλτάτοις. εὐσχημόνως ἀπήγγειλε τὸ περὶ τῆς μητρός. ¶ Ἀλλ' ἔστι πλὴν σοί. δέον εἰπεῖν σοῦ πρὸς τὸ πλὴν, πρὸς τὴν ὄπισθεν ἔξωθεν νοουμένην εἰς τὸ ἔστι δοτικὴν ἐπήνεγκε τὸ σοί. ¶ Σοὶ δὲ τοῦτ' οὐκ ἔστ', ἐπεί. ἴσον ἐστὶν ὁ Οἰδίπους παραβαλλόμενος, ὡς ὁ Ἀγαμέμνων πρὸς τὸν Κάλχαντα.

¶ Ἃ σοὶ οὐδείς. οὐδείς ἐστιν ὃς ταῦτα ὀνειδίσει, ἅπερ μοι ὠνείδισας. τὸ δὲ τάχα, ἀντὶ τοῦ ταχέως. οἷον καὶ σὲ μετ' ὀλίγον ἐροῦσι τυφλόν. καὶ περὶ τῆς πηρώσεως δέ, λεληθότως αὐτῷ μαντεύεται.

¶ Μιᾶς τρέφῃ πρὸς νυκτός. διπλοῦν τὸ διανόημα. ἤτοι γὰρ οὕτως. ὑπὸ μιᾶς νυκτὸς τῆς ἀορασίας τῆς διηνεκῶς κατεχούσης σε τρέφῃ μηδὲν ὡς δύνασθαι κακὸν τοὺς ὁρῶντας. ἢ οὕτως. διὰ τὸ πηρὸν εἶναι ἐλεοῦσί σε πάντες. ἀπόχρη γὰρ καὶ τὸ τῆς πηρώσεως.

¶ Μιᾶς νυκτός. συνεχοῦς τυφλώσεως.

¶ Ἱκανὸς Ἀπόλλων. ᾧ τάδε ἐκπρᾶξαι μέλει. ἀντὶ τοῦ, τὰ κατὰ ἐμὲ ἐκδικῆσαι. λείπει, ἐάν με φονεύσῃς.

Τε. Ἄληθες. ἐννέπω σε τῷ κηρύγματι,
ᾧπερ προεῖπας ἐμμένειν. κἀφ' ἡμέρας
τῆς νῦν, προσαυδᾶν μήτε τούσδε, μήτ' ἐμέ,
ὡς ὄντι γῆς τῆσδ' ἀνοσίῳ μιάστορι.
Οἰ. οὕτως ἀναιδῶς ἐξεκίνησας τόδε
τὸ ῥῆμα; καὶ ποῦ τοῦτο φεύξεσθαι δοκεῖς;
Τε. πέφευγα. τἀληθὲς γὰρ ἰσχῦον τρέφω.
Οἰ. πρὸς τοῦ διδαχθείς; οὐ γὰρ ἔκ γε τῆς τέχνης.
Τε. πρὸς σοῦ. σὺ γάρ μ' ἄκοντα προὐτρέψω λέγειν.
Οἰ. ποῖον λόγον; λέγ' αὖθις, ὡς μᾶλλον μάθω.
Τε. οὐχὶ ξυνῆκας πρόσθεν; ἢ 'κπειρᾷ λέγειν;
Οἰ. οὐχ ὥστε γ' εἰπεῖν γνωστόν, ἀλλ' αὖθις φράσον.
Τε. φονέα σε φημὶ τἀνδρὸς, οὗ ζητεῖς κυρεῖν.
Οἰ. ἀλλ' οὔ τι χαίρων, δίς γε πημονὰς ἐρεῖς.
Τε. εἴπω τι δῆτα κἄλλ', ἵν' ὀργίζῃ πλέον;
Οἰ. ὅσον γε χρῄζεις, ὡς μάτην εἰρήσεται.
Τε. λεληθέναι σε φημὶ σὺν τοῖς φιλτάτοις
αἴσχισθ' ὁμιλοῦντ', οὐδ' ὁρᾶν ἵν' εἶ κακοῦ.
Οἰ. ἦ καὶ γεγηθὼς ταῦτ' ἀεὶ λέξειν δοκεῖς;
Τε. εἴπερ τί γ' ἐστὶ τῆς ἀληθείας σθένος.
Οἰ. ἀλλ' ἔστι, πλὴν σοί. σοὶ δὲ τοῦτ' οὐκ ἔστ', ἐπεὶ
τυφλὸς τά τ' ὦτα, τόν τε νοῦν, τά τ' ὄμματ' εἶ.
Τε. σὺ δ' ἄθλιός γε ταῦτ' ὀνειδίζων, ἃ σοὶ
οὐδεὶς, ὃς οὐχὶ τῶνδ' ὀνειδιεῖ τάχα.
Οἰ. μιᾶς τρέφῃ πρὸς νυκτός. ὥστε μήτ' ἐμὲ,
μήτ' ἄλλον, ὅστις φῶς ὁρᾷ, βλέψαι πότ' ἄν.
Τε. οὐ γάρ με μοῖρα πρός γε σοῦ πεσεῖν, ἐπεὶ
ἱκανὸς Ἀπόλλων, ᾧ τάδ' ἐκπρᾶξαι μέλει.
Οἰ. Κρέοντος, ἢ σοῦ ταῦτα τἀξευρήματα;
Τε. Κρέων δέ σοι πῆμ' οὐδὲν, ἀλλ' αὐτὸς σὺ σοί.

Ὦ ΠΛΟΥΤΕ. περιήκει δὲ νῦν Οἰδίπους ὑπονοεῖν ὅτι ὑποβολῆς Κρέοντος ταῦτα εἴρηται, ἵνα ζητοῦντος αὐτοῦ, ἀφορμὴν εὔλογον ἔχῃ τὰ λοιπὰ τοῦ δράματος. ¶ Οὑξ ἀρχῆς φίλος. ἐν εἰρωνείᾳ. ¶ Ὑπελθών. ὑπέρχομαι δὲ ὑποκάτω τινὸς ἔρχομαι· καὶ ἀπὸ τούτου δὲ κολακεύω. οἱ γὰρ κολακεύοντες ὑπὸ τὴν γῆν χαματίζονται. ἐνταῦθα δὲ τὸ ὑπελθὼν ἀπὸ μεταφορᾶς τῶν παλαιόντων λέγεται, ὅταν τοὺς ἀντιπάλοις ὑπέρχονται λαθόντες, ἵνα εὐχειρώτους αὐτοὺς ποιήσαντες καταστρέψωσι. ¶ Μηχανορράφον. τὰ φαῦλα μηχανώμενον. μάγους δὲ ἐκάλουν τοὺς ψευδεῖς φαντασίας περιτιθέντας. ἀπὸ τούτου δὲ καὶ τοὺς φαρμακεῖς μάγους ἔλεγον. ¶ Ἀγύρτην. πτωχόν. ὀχλαγωγόν. Δέδορκεν. ἐνταῦθα ἀντὶ τοῦ δύναμιν ἔχει τοῦ ὁρᾶν λαμβάνεται. καὶ ἔστιν ἀμετάβατον. εἰ γὰρ ἐλέγετο μεταβατικῶς διὰ τῆς εἰς προθέσεως μετέβαινεν ἂν τῆς δηλούσης κίνησιν, καὶ εἶχεν ἂν ὁ λόγος οὕτως. ὅστις εἰς τὰ κέρδη δέδορκε μόνον, ὁ δὲ παρακείμενος ἀεὶ στάσεως ἐστὶ δηλωτικόν. Ῥαψῳδός. ἡ σφίγξ ἡ γράφουσα τὰς ᾠδάς. τὸ δὲ ὄνομα τοῦ ῥαψῳδοῦ καθ' Ὅμηρον, ἢ μεθ' Ὅμηρον ἦν. κύνα δὲ αὐτὴν καλεῖ, διὰ τὸ ἁρπακτικόν. ¶ Οὐχὶ τοὐπιόντος ἦν. τοῦ τυχόντος. ἀντὶ τοῦ οὐ τοῦ τυχόντος ἦν σαφηνίσαι. διὰ τούτων δὲ αὔξει τὸ ἴδιον κατόρθωμα μεῖζον καὶ μαντικῆς καὶ πάσης ἀνθρωπίνης συνέσεως. ¶ Παραστατήσειν πέλας. ἐκ παραλλήλου. τὸ γὰρ παραστατήσειν τὸ πέλας [illegible] δηλοῖ. ¶ Ἀγηλατήσειν. ἐὰν δασέως, τὸ ἄγος ἀπελάσειν τὸ περὶ τὸν Λάϊον, ἐὰν δὲ ψιλῶς, ἀντὶ τοῦ βασιλεύσειν. ¶ Ἐξισωτέον. λείπει ἐμοί. ¶ Τοῦ-

Οι. ὦ πλοῦτε, καὶ τυραννί, καὶ τέχνη τέχνης
ὑπερφέρουσα τῷ πολυζήλῳ βίῳ,
ὅσος παρ' ὑμῖν ὁ φθόνος φυλάσσεται,
εἰ τῆσδέ γ' ἀρχῆς οὕνεχ', ἣν ἐμοὶ πόλις
δωρητὸν οὐκ αἰτητὸν εἰσεχείρισεν,
ταύτης Κρέων ὁ πιστός, οὑξ ἀρχῆς φίλος,
λάθρᾳ μ' ὑπελθὼν ἐκβαλεῖν ἱμείρεται,
ὑφεὶς μάγον τοιόνδε μηχανορράφον,
δόλιον, ἀγύρτην, ὅστις ἐν τοῖς κέρδεσι
μόνον δέδορκε, τὴν τέχνην δ' ἔφυ τυφλός.
ἐπεί, φέρ', εἰπέ, ποῦ σὺ μάντις εἶ σαφής;
πῶς οὐχ ὅθ' ἡ ῥαψῳδὸς ἐνθάδ' ἦν κύων,
ηὔδας τι τοῖσδ' ἀστοῖσιν ἐκλυτήριον;
καίτοι τό γ' αἴνιγμ', οὐχὶ τοὐπιόντος ἦν
ἀνδρὸς διειπεῖν, ἀλλὰ μαντείας ἔδει.
ἣν οὔτ' ἀπ' οἰωνῶν σὺ προὐφάνης ἔχων,
οὔτ' ἐκ θεῶν του γνωτόν. ἀλλ' ἐγὼ μολὼν
ὁ μηδὲν εἰδὼς Οἰδίπους, ἔπαυσά νιν
γνώμῃ κυρήσας, οὐδ' ἀπ' οἰωνῶν μαθών.
ὃν δὴ σὺ πειρᾷς ἐκβαλεῖν, δοκῶν θρόνοις
παραστατήσειν τοῖς Κρεοντείοις πέλας.
κλαίων δοκεῖς μοι καὶ σύ, χὠ συνθεὶς τάδε
ἀγηλατήσειν. εἰ δὲ μὴ 'δόκεις γέρων
εἶν, παθὼν ἔγνως ἂν οἷάπερ φρονεῖς.

Χο. ἡμῖν μὲν εἰκάζουσι, καὶ τὰ τοῦδ' ἔπη
ὀργῇ λελέχθαι, καὶ τὰ σ' Οἰδίπου δοκεῖ.
δεῖ δ' οὐ τοιούτων, ἀλλ' ὅπως τὰ τοῦ θεοῦ
μαντεῖ' ἄριστα λύσομεν, τόδε σκοπεῖν.

Τι. εἰ καὶ τυραννεῖς, ἐξισωτέον τὸ γοῦν
ἴσ' ἀντιλέξαι. τοῦδε γὰρ κἀγὼ κρατῶ.
οὐ γάρ τι σοὶ ζῶ δοῦλος, ἀλλὰ Λοξίᾳ,

δὴ γὰρ κἀγὼ κρατῶ. τοῦ ἐξίσου λέγειν. ¶ Ὥστ' οὐ Κρέοντος προστάτου γεγράψομαι. δηλώσομαι. ὅρα δὲ καὶ τὴν διαφορὰν τοῦ ὀνόματος. τῷ μὲν γὰρ ἐπιφθονωτέρῳ τοῦ οἰκέτου ἐχρήσατο, τῷ δοῦλος. τῷ δὲ εὐπρεπεστέρῳ ἐπὶ τοῦ Κρέοντος.

¶ Προστάτου. προστάτης λέγεται ὁ ἐν πολέμῳ ἔμπροσθεν ἱστάμενος καὶ βοηθὸς τῷ ὄπισθεν. καὶ ὁ τῷ ἀξιώματι προέχων τῶν ἄλλων. ¶ Ἀμφιπλήξ. ἡ ἐξ ἀμφοτέρων ἐλασία. ἡ ἑκατέρωθεν πλήττουσα, ἔκ τε πατρὸς καὶ μητρός. ¶ Δεινόπους. ἡ διὰ τῶν ποδῶν δέος ποιοῦσα. ¶ Βλέποντα νῦν μὲν ὄρθ', ἔπειτα δὲ σκότον. καινότερον εἶπε βλέποντα σκότον ὥσπερ εἴποις εἶπε σιωπὴν λέγοντα.

¶ Ποῖος οὐκ ἔσται λιμήν. τὸν λιμένα τίθησιν ἀεὶ ἀντὶ τοῦ τόπου. φρονικῶς δέ, ἀντὶ τοῦ ποῦ οὐκ ἐλεύσῃ βοῶν. ¶ Ὅταν καταίσθῃ. ὅταν αἰσθανθῇς, καὶ νοήσῃς. ¶ Ἐκτριβήσεται. ἀντὶ τοῦ διατρίψει ἐν τοῖς κακοῖς. ἢ ἀπαλειφθήσεται. ἡ μεταφορὰ ἀπὸ τῶν σμηχομένων ἀργυρῶν, ἢ χαλκῶν, ἢ ἄλλων τοιούτων ἅπερ ἐν τῷ πλύνεσθαι σφόδρα ξυόμενα ἐλαττοῦται. ¶ Σχολῇ σ' ἄν. ἀντὶ τοῦ βραδέως, οὐδαμῶς. ¶ Ἥδ' ἡμέρα φύσει σε. ἀντὶ τοῦ οἵων εἶ γονέων δείκνυσι. ¶ Διαφθερεῖ δέ. διὰ τὴν πήρωσιν. καὶ τὴν λοιπὴν τοῦ βίου ἀναστροφήν. ¶ Αἰνικτά. ἀσαφῆ, καὶ κεκρυμμένα. ¶ Οὔκουν ταῦτ' ἄριστος. ὥσπερ εἰρωνευόμενός φησιν, αἰνιγματώδη. σὺ βέλτιον νοεῖς, ὅτι καὶ τὸ τῆς σφιγγὸς αἴνιγμα πρῶτος ἐξεῦρες. ὃ δὲ ἔχεται εἰς ἔπαινον.

ὥστ' οὐ Κρέοντος προστάτου γεγράψομαι.
λέγω δ', ἐπειδὴ καὶ τυφλόν μ' ὠνείδισας,
σὺ καὶ δέδορκας, κοὐ βλέπεις ἵν' εἶ κακοῦ,
οὐδ' ἔνθα ναίεις, οὐδ' ὅτων οἰκεῖς μέτα.
ἆρ' οἶσθ' ἀφ' ὧν εἶ; καὶ λέληθας ἐχθρὸς ὢν
τοῖς σοῖσιν αὐτοῦ νέρθε, κἀπὶ γῆς ἄνω;
καί σ' ἀμφιπλὴξ μητρός τε καὶ τοῦ σοῦ πατρὸς
ἐλᾷ ποτ' ἐκ γῆς τῆσδε δεινόπους ἀρά,
βλέποντα νῦν μὲν ὄρθ', ἔπειτα δὲ σκότον.
βοῆς δὲ τῆς σῆς, ποῖος οὐκ ἔσται λιμήν;
ποῖος Κιθαιρὼν οὐχὶ σύμφωνος τάχα,
ὅταν καταίσθῃ τὸν ὑμέναιον, ὃν δόμοις
ἄνορμον εἰσέπλευσας εὐπλοίας τυχών;
ἄλλων δὲ πλῆθος οὐκ ἐπαισθάνῃ κακῶν,
ἅ σ' ἐξισώσει σοί τε καὶ τοῖς σοῖς τέκνοις.
πρὸς ταῦτα καὶ Κρέοντα καὶ τοὐμὸν στόμα
προπηλάκιζε, σοῦ γὰρ οὐκ ἔστι βροτῶν
κάκιον, ὅστις ἐκτριβήσεταί ποτε.

**ΟΙ.** ἦ ταῦτα δῆτ' ἀνεκτὰ πρὸς τούτου κλύειν;
οὐκ εἰς ὄλεθρον; οὐχὶ θᾶσσον; οὐ πάλιν
ἄψορρος οἴκων τῶνδ' ἀποστραφεὶς ἄπει;

**ΤΕ.** οὐδ' ἱκόμην ἔγωγ' ἄν, εἰ σὺ μὴ 'κάλεις.

**ΟΙ.** οὐ γάρ τί σ' ᾔδειν μῶρα φωνήσοντ', ἐπεὶ
σχολῇ σ' ἂν οἴκους τοὺς ἐμοὺς ἐστειλάμην.

**ΤΕ.** ἡμεῖς τοιοίδ' ἔφυμεν, ὡς μὲν σοὶ δοκεῖ,
μῶροι, γονεῦσι δ', οἵ σ' ἔφυσαν, ἔμφρονες.

**ΟΙ.** ποίοισι; μεῖνον. τίς δέ μ' ἐκφύει βροτῶν;

**ΤΕ.** ἥδ' ἡμέρα φύσει σε καὶ διαφθερεῖ.

**ΟΙ.** ὡς πάντ' ἄγαν αἰνικτὰ κἀσαφῆ λέγεις.

**ΤΕ.** οὔκουν σὺ ταῦτ' ἄριστος εὑρίσκειν ἔφυς;

**ΟΙ.** τοιαῦτ' ὀνείδιζ', οἷς ἔμ' εὑρήσεις μέγαν.

Αυ. τήν γε μέντοι σ' ἡ τύχη διώλεσεν. τὸ δὲ διαγνῶναι τὸ αἴνιγμα. ¶ Ἀλλ' εἰ πόλιν τήνδε. πάνυ ἐστὶ προσεργὸν τοῦ πλήθους. ¶ Εἰπὼν ἄπειμι. ἐνταῦθα παρ' ἐξηστικώτερον ὅλον τὸ πρᾶγμα παραινίττεται, ἀμφοτέρων τῷ κριτῷ στοχαζομένου. τοῦ τε γὰρ δράματι συμφέροντος, ὅπως μὴ ἀνακαλύπτηται ἡ ὑπόθεσις. διὸ αἰνιγματωδῶς πάντα φησί. τοῦ τε γὰρ προσώπῳ πρέποντος. ἔδει γὰρ εἰπεῖν τὸν μάντιν τὰ μετ' ὀλίγον φανησόμενα. ¶ Τὸν ἄνδρα τοῦτον. ὡς περὶ ἑτέρου λέγων αὐτὸν αἰνίττεται.

Τῇ ξυμφορᾷ. τῇ δυστυχίᾳ. ¶ Σκήπτρῳ προδεικνύς. τὸ σκῆπτρον δεικνὺς σύμβολον τοῦ ἑαυτοῦ δυστυχείας, ὅτι ἐκ βασιλέως πτωχὸς ἐγένετο. ¶ Καὶ τοῦ πατρὸς ὁμόσπορος. τὴν αὐτὴν σπείρων γυναῖκα.

Τίς ὅντιν' ἁ θεσπιέπεια. ἀκόλουθά εἰσι τὰ τοῦ χοροῦ πρὸς τὰ προειρημένα. νῦν δὲ οὐκ ἔστιν αὐτοῖς τὸ πρόσωπον ἀναλογίζεσθαι περὶ ὧν εἶπεν ὁ μάντις, διὸ ἐπιτρέχει τὸ μάντευμα τοῦ θεοῦ. ὁ δὲ νοῦς. τίς ἐστιν οὗτος, ὅν τινα ἐμφανίζει τὸ μαντεῖον. ἢ οὕτως. τίς ἐστιν οὗτος, ὃν κατώπτευσεν ἡ Δελφὶς πέτρα. οἷον, ὁ μὴ λαθὼν τὸ μαντεῖον τοῦ Ἀπόλλωνος.

Α. ἄρρητ' ἀρρήτων. ὑπερβολικῶς ὡς τὸ δείλαια δειλαίων. ¶ Ὥρα νιν. καιρός ἐστι κινεῖν αὐτὸν πόδα σθεναρώτερον ἀνέμοις ἰσοταχῶν ἵππων. ¶ Κῆρες ἀναμπλάκητοι. αἳ εἰς μηδὲν ἁμαρτάνουσαι. ἀλλὰ πάντων κρατοῦσαι. κῆρες δὲ τοῦ τελευτήσαντος Λαΐου. ἢ οὕτως. ἄφυκτοι. ἀπλάνητοι. ἀπροσπέλαστοι. ἀφανεῖς. ἃς οὐκ ἔστιν ἀποφυγεῖν.

Τει. αὕτη γε μέντοι σ' ἡ τύχη διώλεσεν.
Οἰ. ἀλλ' εἰ πόλιν τήνδ' ἐξέσωσ', οὔ μοι μέλει.
Τει. ἄπειμι τοίνυν. καὶ σύ παῖ κόμιζέ με.
Οἰ. κομιζέτω δῆθ', ὡς παρὼν σύ γ' ἐμποδὼν,
ὀχλεῖς, συθείς τ' ἂν, οὐκ ἂν ἀλγύναις πλέον.
Τει. εἰπὼν ἄπειμ', ὧν οὕνεκ' ἦλθον, οὐ τὸ σὸν
δείσας πρόσωπον. οὐ γάρ ἐσθ' ὅπου μ' ὀλεῖς.
λέγω δέ σοι τὸν ἄνδρα τοῦτον, ὃν πάλαι
ζητεῖς, ἀπειλῶν, κἀνακηρύσσων φόνον
τὸν Λαΐειον, οὗτός ἐστιν ἐνθάδε,
ξένος λόγῳ μέτοικος, εἶτα δ' ἐγγενὴς
φανήσεται Θηβαῖος, οὐδ' ἡσθήσεται
τῇ ξυμφορᾷ. τυφλὸς γὰρ ἐκ δεδορκότος,
καὶ πτωχὸς ἀντὶ πλουσίου, ξένην ἔπι
σκήπτρῳ προδεικνὺς γαῖαν ἐμπορεύσεται.
φανήσεται δὲ παισὶ τοῖς αὑτοῦ ξυνὼν
ἀδελφὸς αὑτός, καὶ πατήρ, κἀξ ἧς ἔφυ
γυναικὸς, υἱὸς, καὶ πόσις, καὶ τοῦ πατρὸς
ὁμόσπορός τε, καὶ φονεύς, καὶ ταῦτ' ἰὼν
εἴσω, λογίζου, κἂν λάβῃς μ' ἐψευσμένον,
φάσκειν ἔμ' ἤδη μαντικῇ μηδὲν φρονεῖν.
Χο. τίς, ὅντιν' ἁ θεσπιέπεια
Δελφὶς εἶπε πέτρα
ἄρρητ' ἀρρήτων τελέσαντα,
φοινίαισι χερσίν.
ὥρα νιν ἀελλοπόδων ἵππων
σθεναρώτερον, φυγᾷ πόδα νωμᾶν.
ἔνοπλος γὰρ ἐπ' αὐτὸν
ἐπενθρώσκει
πυρὶ καὶ στεροπαῖς
ὁ Διὸς γενέτας. δειναὶ
δ' ἅμ' ἕπονται κῆρες ἀναμπλάκητοι.

Ἔλαμψε γάρ. ὁ χρησμὸς ὁ τοῦ Παρνασοῦ τοῦ χιονώδους ὁ φανεὶς ἀρτίως, ἐδήλωσε πάντα Θηβαῖον ζητεῖν τὸν κρυπτόμενον ἄνδρα ἤγουν τὸν φονέα. ¶ Φοιτᾷ γὰρ ὑπ' ἀγρίαν ὕλαν. ἐκεῖνος ὁ πεφονευκώς, πάντα χοῦ κρυπτόμενος οὐ βούλεται ἑαυτὸν ἐμφανίζειν. Ἐξιχνεύειν. ἀπὸ ἐπακτῆρος. καὶ τὰ ἄλλα ὀνόματα τροπικῶς, ὡς τοὺς ἀγρίους ταύρους τῶν ὑπὸ πάντων ζητουμένων, καὶ ὥσπερ ἐν ὕλῃ κεκρυμμένων. οἰκεῖα δὲ ταῦτα τὰ ὀνόματα ἄντρα καὶ πέτραι.

ἔλαμψε γὰρ τοῦ νιφόεντος
ἀρτίως φανεῖσα φάμα Παρνασοῦ,
τὸν ἄδηλον ἄνδρα πάντ' ἰχνεύειν.
φοιτᾷ γὰρ ὑπ' ἀγρίαν ὕλαν,
ἀνά τ' ἄντρα, καὶ πέτρας ὡς ταῦρος,
μέλεος μελέῳ ποδὶ χηρεύων,
τὰ μεσόμφαλα γᾶς ἀπονοσφίζων
μαντεῖα. τὰ δ' ἀεὶ ζῶντα περιποτᾶται.
δεινὰ μὲν οὖν, δεινὰ ταράσσει
σοφὸς οἰωνοθέτας·
οὔτε δοκοῦντ', οὔτ' ἀποφάσκον
θ'. ὅ,τι λέξω δ' ἀπορῶ.
πέτομαι δ' ἐλπίσιν,
οὔτ' ἐνθάδ' ὁρῶν, οὔτ' ὀπίσω.
τί γὰρ ἢ Λαβδακίδαις, ἢ τῷ
Πολύβου νεῖκος ἔκειτ',
τ' οὔτε πάροιθέν ποτ' ἔγωγε,
οὔτε τανῦν πω ἔμαθον
πρὸς ὅτου δὴ
βασάνῳ, ἐπὶ τὰν ἐπίδαμον
φάτιν εἶμ' Οἰδιπόδα,
Λαβδακίδαις ἐπίκουρος
ἀδήλων θανάτων.
ἀλλ' ὁ μὲν οὖν Ζεύς, ὅ,τ' Ἀπόλλων,
ξυνετοί, καὶ τὰ βροτῶν εἰδότες.

¶ Μέλεος ποδὶ χηρεύων. ἀντὶ τοῦ μηδενὶ γινωσκόμενος τῇ φυγῇ μονάζων. ἢ καὶ αὐτὸ οἰκεῖον τῇ θηριώδει διαίτῃ. ¶ Τὰ μεσόμφαλα γᾶς ἀπονοσφίζων. ἀντὶ τοῦ φυγών. τὸν τόπον ἤγουν ἀντὶ τῶν χρησμῶν. οἷον, τοὺς χρησμοὺς διαφεύγει μέχρι νῦν ὁ μηνυθεὶς ὑπὸ τοῦ θεοῦ. ὅτι δὲ ἡ Πυθὼ μεσόμφαλος, δηλοῖ καὶ ἡ περὶ τοὺς ἀετοὺς ἱστορία, καὶ ὅτι χρύσεοι ἀετοὶ δύο τοῦ τόπου ἀνάκεινται. καὶ ὅτι τούτου χάριν ἐκεῖσε ὁ Ζεὺς τὸ μαντεῖον ἱδρύσατο. ¶ Μαντεῖα δ' ἀεὶ ζῶντα. ἀλλ' οὐδὲν ἧττον τὰ μαντεύματα περιποτᾶται ζῶντα καὶ ἰσχύοντα τῇ ἀληθείᾳ. ¶ Δεινὰ μὲν οὖν δεινά. μεταβαίνουσιν ἐπὶ τὰ εἰρημένα ὑπὸ Τειρεσίου. σοφὸν μὲν οὖν αὐτὸν ὁμολογοῦσιν. ¶ Σοφὸς οἰωνοθέτας. Τειρεσίας ὁ τὰς πτήσεις τῶν οἰωνῶν διατιθείς.

¶ Οὔτε δοκοῦντα. οὔτε πιστά, οὐ πάντα πιστά. ¶ Δεινὰ ταράσσει. τούτῳ ἐχρήσατο, ἐπεὶ ἔδοξε δι' ἐχθρῶς ἐνεχθῆναι πρὸς τὸν ἄρχοντα. ¶ Τί γὰρ ἢ Λαβδακίδαις. εἰκότως ἀποροῦσι ποῖον τὸ νεῖκος ἐγένετο τοῖς ὑπὸ Λαβδάκου πρὸς τὸν Πόλυβον. ἔτι γὰρ νομίζουσιν αὐτὸν τοῦ Πολύβου. ¶ Λαβδακίδαις. τῷ Λαΐῳ. ¶ Τῷ Πολύβου. τῷ Οἰδίποδι. ¶ Πρὸς ὅρον δὴ βασάνῳ. ἀντὶ τοῦ ποίῳ λογισμῷ. τίνος πράγματος κρίσει χρησάμενος τοῖς λεγομένοις πιστεύσω Οἰδίποδα ἤγουν κατὰ Οἰδίποδος. ¶ Φάτιν εἶμ'. τὴν κατὰ τοῦ Οἰδίποδος γινομένην παρὰ Τειρεσίου. ¶ Ἀλλ' ὁ μὲν οὖν Ζεύς. θέλουσιν ἀνα

ῥηθέντα ὑπὸ τοῦ Τειρεσίου εἰρημένα. καί φασιν ὅτι οἱ μὲν θεοὶ σοφοὶ καὶ μόνοι τὰ τῶν ἀνθρώπων εἰδότες. ὅτι δὲ οἱ μάντεις μᾶλλον τῶν λοιπῶν ἀνθρώπων τι ἐπίστανται οὐ φημί. καὶ οὐδὲ ἡ κρίσις αὕτη ἀληθής ἐστι. γένοιτο μὲν γάρ τις κατὰ σύνεσιν ἕτερος ἑτέρου προέχων. οὐ μὴν αὕτη γε ἡ ἐπιστήμη ἐκ μαντικῆς ἐστιν. ἀλλ᾽ ἐκ φύσεως καὶ ἐντρεχείας ἑκάστῳ παρέστιν. ¶ ΑΝΔΡΩΝ δ᾽ ὅτι μάντις. οὔπω πιστεύω ὅτι οἱ μάντεις πλέον ἐμοῦ φρονοῦσιν. ¶ Σοφίᾳ δ᾽ ἂν σοφίαν. σοφίαν νῦν φησὶ τὸν στοχασμόν. ὃ γὰρ λέγει τοῦτό ἐστιν, ὅτι ἐν τῷ στοχάζεσθαι ἄλλος ἄλλον παρέλθοι καὶ νικήσειεν. Ἀλλ᾽ οὔποτ᾽ ἔγωγ᾽ ἄν. ἐγὼ δὲ οὐκ ἄν ποτε ἐπαινέσοιμι τοὺς μεμφομένους τὸν βασιλέα, οὐδ᾽ ὀρθὸν ἂν αὐτῶν τὸ ἔπος φαίην, πρὶν ἴδοιμι σαφῆ τὰ ἔργα καὶ τὴν ἀπόβασιν. ¶ Φανερὰ γάρ. ἃ μὲν ἐγκαλοῦσιν, αὐτῷ ἄδηλα καὶ οὐ πάντως ἀληθῆ. ἃ δὲ κατώρθωσε φανερά, ὅτε ἐπελθούσης αὐτῷ τῆς σφιγγὸς ὤφθη σοφός. ¶ Βασάνῳ θ᾽ ἡδύπολις. κρίσει τε ἡδὺς ὤφθη τῇ πόλει. ἢ οὕτως. ὑπὸ τῆς βασάνου δὲ τῆς σφιγγὸς ἡδέως διετέθη ἡ πόλις πρὸς τὸν Οἰδίποδα. ¶ Ἄνδρες πολῖται. ἔρχεται ὁ Κρέων ἐπὶ τῇ κατ᾽ αὐτοῦ ὑπονοίᾳ ἀγανακτῶν, καὶ ἀπολογήσασθαι βουλόμενος. πολίτης δὲ ἐμός ἐστιν ὁ δεῖνα, οὐ δέ ποτε δὲ μετὰ τῶν ὧν. ἤγουν ἀπὸ τῆς αὐτῆς ἐστὶν ἐμοὶ πόλεως. συμπολιτεύεται δέ μοι τὶς μετὰ τῶν ὧν. ἤγουν τὴν αὐτήν ἐμοὶ πόλιν οἰκεῖ. ¶ Ἀτλητῶν. μὴ καρτερῶν, μὴ φέρων, δυσανασχετῶν. Εἰ γὰρ ἐν ταῖς ξυμφοραῖς. ἐν ταῖς δυστυχίαις ταῖς νῦν νομίζει τι πεπονθέναι παρ᾽ ἐμοῦ εἰς βλάβην φέρον, εἴτε διὰ λόγων, εἴτε διὰ ἔργων, οὐδαμῶς ἐστὶν ἐμοὶ ἐπιθυμία τοῦ εἰς πολὺν χρόνον παρεκτεινομένης ζωῆς φέροντι τήνδε τὴν κατηγορίαν. ¶ Οὐ γὰρ εἰς ἁπλοῦν. τὸ ἁπλοῦν ἐνίοτε δηλοῖ τὸ ἀποίκιλον, ὅθεν ἁπλοῦν ἦθος, καὶ ἁπλοῦς λόγος. ἐνίοτε δὲ τὸ ἀσύνθετον. ἐνταῦθα δὲ τὸ ἓν δηλοῖ κατὰ ποιητικὴν ἐξουσίαν, ἀλλ᾽ εἰς πολλὰ ὀφείλων εἰπεῖν

ἀνδρῶν δ᾽ ὅτι μάντις
πλέον ἢ 'γὼ φέρεται,
κρίσις οὐκ ἔστιν ἀληθής·
σοφίᾳ δ᾽ ἂν σοφίαν
παραμείψειεν ἀνήρ.
ἀλλ᾽ οὔποτ᾽ ἔγωγ᾽ ἂν πρὶν ἴδοι-
μ᾽ ὀρθὸν ἔπος, μεμφομένων
ἂν καταφαίην. φανερὰ γὰρ
ἐπ᾽ αὐτῷ πτερόεσσ᾽ ἦλθε κόρα
ποτὲ, καὶ σοφὸς ὤφθη,
βασάνῳ θ᾽ ἡδύπολις. τῷ,
ἀπ᾽ ἐμᾶς φρενὸς, οὔποτ᾽ ὀφλήσει κακίαν.

Κρέ. Ἄνδρες πολῖται, δείν᾽ ἔπη πεπυσμένος
κατηγορεῖν μου τὸν τύραννον Οἰδίπουν,
πάρειμ᾽ ἀτλητῶν. εἰ γὰρ ἐν ταῖς ξυμφοραῖς
ταῖς νῦν νομίζει πρός τ᾽ ἐμοῦ πεπονθέναι,
λόγοισιν εἴτ᾽ ἔργοισιν εἰς βλάβην φέρον,
οὔτοι βίου μοι τοῦ μακραίωνος πόθος,
φέροντι τήνδε βάξιν. οὐ γὰρ εἰς ἁπλοῦν
ἡ ζημία μοι τοῦ λόγου τούτου φέρει,
ἀλλ᾽ ἐς μέγιστον, εἰ κακὸς μὲν ἐν πόλει,
κακὸς δὲ πρὸς σοῦ, καὶ φίλων κεκλήσομαι.

πρὸς

πρὸς τό, οὐ γὰρ εἰς ἁπλοῦν ἡ ζημία μοι τοῦ λόγου τούτου φέρει. ὁ δὲ εἰς μέγιστον ἀποδίδωσι συνάγων τὰ πολλὰ μετὰ ἐπιτάσεως εἰς τὴν τοῦ μεγίστου ὑπέρθεσιν.

Αλ λ' ἦλθε μὲν δή. ἐπειδὴ τὸ τοῦ χοροῦ πρόσωπον ἰσόῤῥοπον δεῖ ἐν ταῖς διαίταις εἶναι, διὰ τοῦτο καὶ νῦν παραμυθεῖται τὸν Κρέοντα, ὅτι ἴσως κατ' ὀργὴν τοῦτο εἶπεν ἐρεθισθεὶς ὑπὸ τοῦ μάντεως.

Χο ἀλλ' ἦλθε μὲν δὴ τοῦτο τοὔνειδος τάχ' ἂν
ὀργῇ βιασθὲν μᾶλλον, ἢ γνώμῃ φρενῶν.
Κρέ τοῦ πρὸς δ' ἐφάνθη, ταῖς ἐμαῖς γνώμαις ὅτι
πεισθεὶς ὁ μάντις, τοὺς λόγους ψευδεῖς λέγοι;
Χο ηὐδᾶτο μὲν τάδ'. οἶδα δ' οὐ γνώμῃ τίνι.
Κρέ ἐξ ὀμμάτων ὀρθῶν δὲ κἀξ ὀρθῆς φρενὸς
κατηγορεῖτο τοὐπίκλημα τοῦτό μου;
Χο οὐκ οἶδ'. ἃ γὰρ δρῶσ' οἱ κρατοῦντες οὐχ ὁρῶ.
αὐτὸς δ' ὅδ' ἤδη δωμάτων ἔξω περᾷ.
Οἰ οὗτος σύ, πῶς δεῦρ' ἦλθες; ἢ τοσόνδ' ἔχεις
τόλμης πρόσωπον, ὥστε τὰς ἐμὰς στέγας
ἵκου, φονεὺς ὢν τοῦδε τἀνδρὸς ἐμφανῶς,
λῃστής τ' ἐναργὴς τῆς ἐμῆς τυραννίδος;
φέρ' εἰπὲ πρὸς θεῶν, δειλίαν ἢ μωρίαν
ἰδών τιν' ἐν ἐμοί, ταῦτ' ἐβουλεύσω ποεῖν;
ἢ τοὔργον ὡς οὐ γνωρίσοιμί σου τόδε,
δόλῳ προσέρπον κοὐκ ἀλεξοίμην μαθών;
ἆρ' οὐχὶ μωρόν ἐστι τοὐγχείρημά σου,
ἄνευ τε πλήθους καὶ φίλων τυραννίδα
θηρᾶν, ὃ πλήθει χρήμασίν θ' ἁλίσκεται;
Κρέ οἶσθ' ὡς ποίησον; ἀντὶ τῶν εἰρημένων
ἴσ' ἀντάκουσον, κᾆτα κρῖν' αὐτὸς μαθών.
Οἰ λέγειν σὺ δεινός, μανθάνειν δ' ἐγὼ κακὸς
σοῦ. δυσμενῆ γὰρ καὶ βαρύν σ' εὕρηκ' ἐμοί.
Κρέ τοῦτ' αὐτὸ νῦν μου πρῶτ' ἄκουσον, ὡς ἐρῶ.
Οἰ τοῦτ' αὐτὸ μή μοι φράζ', ὅπως οὐκ εἶ κακός.
Κρέ εἴ τοι νομίζεις, κτῆμα τὴν αὐθαδίαν
εἶναί τι τοῦ νοῦ χωρίς, οὐκ ὀρθῶς φρονεῖς.
Οἰ εἴ τοι νομίζεις ἄνδρα συγγενῆ κακῶς
δρῶν, οὐχ ὑφέξειν τὴν δίκην, οὐκ εὖ φρονεῖς.
Κρέ ξύμφημί σοι ταῦτ' ἔνδικ' εἰρῆσθαι. τὸ δὲ
πάθημ' ὁποῖον φῂς παθεῖν, δίδασκέ με.
Οἰ ἔπειθες, ἢ οὐκ ἔπειθες; ὡς χρεία μ' ἐπὶ
τὸν σεμνόμαντιν ἄνδρα πέμψασθαί τινα.

¶ Πρὸς τοῦ δ' ἐφάνθη. κατ' ἐρώτησιν ὁ λόγος. ¶ Ἐξ ὀμμάτων ὀρθῶν δέ. τοῦ χοροῦ οὐκ ἔχοντος λέγειν τίνι γνώμῃ ταῦτα ἐλέγετο, ἀπὸ τῶν ἔξωθεν συμβάλλειν βουλόμενος ὁ Κρέων, ἀπὸ τοῦ βλέμματος καὶ τοῦ σχήματος ἐν ᾧ ταῦτα ἔλεγεν ὁ Οἰδίπους πυνθάνεται.

¶ Τοῦδε τ' ἀνδρός. ἀντὶ τοῦ ἐμοῦ, καὶ τοῦ Λαΐου. ¶ Οἶσθ' ὡς ποίησον. ἀντὶ τοῦ ποιήσεις. ἔστι δὲ ἀττικισμός. ¶ Λέγειν σὺ δεινός. σὺ μὲν δεινὸς εἶ ἐν τῷ λέγειν. ἐγὼ δὲ οὐ μετ' εὐνοίας σου ἀκούσω διὰ τὴν δυσμένειαν. ¶ Οὐχ ὑφέξειν τὴν δίκην. οὐκ ἐκτίσειν τὴν τιμωρίαν. ὑπέχει τὰ νῶτα ἡ θάλασσα τῷ Διονύσῳ ἤγουν ὑποκείμενα ἔχει. καὶ ὑπέχει τίς τινι δίκην, ὑποκείμενον ἔχει ἑαυτὸν εἰς δίκην. ὅτε δὲ ἄνευ δίκης ἐστὶν συνυπακούεται.

¶ Τὸν σεμνόμαντιν. ἐν εἰρωνείᾳ. δηλονότι θέλει λέγειν τὸν Τειρεσίαν.

¶ Οὐ γὰρ ἐννοῶ. ἐπεὶ κατὰ παράληψιν εἶπε, λέγει, τί με ἐρωτᾷς ἀγνοῶ.

¶ Ἀλλ' οὐκ ἔρευναν. ζήτησιν. δοκιμασίαν.

¶ Ὁθ' οὕνεκ' εἰ μή σοι ξυνῆλθε. ὁ μάντις εἰ μὴ ἐλάμβανέ σε κοινωνὸν τοῦ βουλεύματος, οὐκ ἄν με ἔφη τοῦ Λαΐου φονέα. ¶ Ἂν. τὸ τέλειον, ἃ ἄν, ἀντὶ τοῦ ἅτινα ἄν.

Κρέ. ὁ νῦν ἔτ' αὐτός εἰμι τῷ βουλεύματι.
Οἰ. πόσον τιν' ἤδη δῆθ' ὁ Λάϊος χρόνον;
Κρέ. δέδρακε ποῖον ἔργον; οὐ γὰρ ἐννοῶ.
Οἰ. ἄφαντος ἔρρει θανασίμῳ χειρώματι.
Κρέ. μακροὶ παλαιοί τ' ἂν μετρηθεῖεν χρόνοι.
Οἰ. τότ' οὖν ὁ μάντις οὗτος ἦν ἐν τῇ τέχνῃ;
Κρέ. σοφός γ' ὁμοίως, κἀξ ἴσου τιμώμενος.
Οἰ. ἐμνήσατ' οὖν ἐμοῦ τι τῷ τότ' ἐν χρόνῳ;
Κρέ. οὔκουν ἐμοῦ γ' ἑστῶτος οὐδαμοῦ πέλας.
Οἰ. ἀλλ' οὐκ ἔρευναν τοῦ θανόντος ἔσχετε;
Κρέ. παρέσχομεν. πῶς δ' οὐχί; κοὐκ ἠκούσαμεν.
Οἰ. πῶς οὖν τόθ' οὗτος ὁ σοφὸς οὐκ ηὔδα τάδε;
Κρέ. οὐκ οἶδ'. ἐφ' οἷς γὰρ μὴ φρονῶ, σιγᾶν φιλῶ.
Οἰ. τοσόνδε γ' οἶσθα. καὶ λέγοις ἂν εὖ φρονῶν.
Κρέ. ποῖον τόδ'; εἰ γὰρ οἶδά γ', οὐκ ἀρνήσομαι.
Οἰ. ὁθούνεκ' εἰ μὴ σοὶ ξυνῆλθε, τὰς ἐμὰς
οὐκ ἄν ποτ' εἶπε Λαΐου διαφθοράς.
Κρέ. εἰ μὲν λέγει τάδ', αὐτὸς οἶσθ'. ἐγὼ δὲ σοῦ
μαθεῖν δικαιῶ ταῦθ', ἅπερ κἀμοῦ σὺ νῦν.
Οἰ. ἐκμάνθαν'. οὐ γὰρ δὴ φονεὺς ἁλώσομαι.
Κρέ. τί δῆτ'. ἀδελφὴν τὴν ἐμὴν γήμας ἔχεις;
Οἰ. ἄρνησις οὐκ ἔνεστιν, ὧν ἀνιστορεῖς.
Κρέ. ἄρχεις δ' ἐκείνῃ ταὐτά, γῆς ἴσον νέμων;
Οἰ. ἃν ἡ θέλουσα, πάντ' ἐμοῦ κομίζεται.
Κρέ. οὔκουν ἰσοῦμαι σφῷν ἐγὼ δυοῖν τρίτος.
Οἰ. ἐνταῦθα γὰρ δὴ καὶ κακὸς φαίνῃ φίλος.
Κρέ. οὐκ εἰ διδοίης γ', ὡς ἐγώ, σαυτῷ λόγον.
σκέψαι δὲ τοῦτο πρῶτον, εἴ τιν' ἂν δοκεῖς
ἄρχειν ἑλέσθαι ξὺν φόβοισι μᾶλλον, ἢ
ἄτρεστον εὕδοντ', εἰ τάγ' αὔθ' ἕξει κράτη.
ἐγὼ μὲν οὖν οὔτ' αὐτὸς ἱμείρων ἔφυν
τύραννος εἶναι μᾶλλον, ἢ τύραννα δρᾶν,
οὔτ' ἄλλος ὅστις σωφρονεῖν ἐπίσταται.
νῦν μὲν γὰρ ἐκ σοῦ πάντ' ἄνευ φόβου φέρω.
εἰ δ' αὐτὸς ἦρχον, πολλὰ κἂν ἄκων ἔδρων.
πῶς δῆτ' ἐμοὶ τυραννὶς ἡδίων ἔχειν
ἀρχῆς ἀλύπου καὶ δυναστείας ἔφυ;
οὔπω τοσοῦτον ἠπατημένος κυρῶ,

ὥσ τ' ἄλλα χρῄζειν, ἢ τὰ σὺν κέρδει καλά.
νῦν πᾶσι χαίρω. νῦν με πᾶσ ἀσπάζεται.
νῦν οἱ σέθεν χρῄζοντεσ, ἐκκαλοῦσί με.
τὸ γὰρ τυχεῖν αὐτοῖσ' ἅπαντ' ἐνταῦθ' ἔνι.
πῶς δῆτ' ἐγὼ κεῖν' ἂν λάβοιμ' ἀφεὶσ τάδε;
οὐκ ἂν γένοιτο νοῦσ κακὸς, καλῶσ φρονῶν.
ἀλλ' οὔτ' ἐραστὴς τῆσδε τῆς γνώμης ἔφυν,
οὔτ' ἂν μετ' ἄλλου δρῶντος ἂν τλαίην ποτέ.
καὶ τῶνδ' ἔλεγχον, τοῦτο μὲν πυθώδ' ἰὼν,
πεύθου τὰ χρησθέντ' εἰ σαφῶς ἤγγειλά σοι
ταῦτ'. ἀλλ' ἐάν με τῷ τερασκόπῳ λάβῃς
κοινῇ τι βουλεύσαντα, μή μ' ἁπλῇ κτάνῃς
ψήφῳ, διπλῇ δὲ, τῇ τ' ἐμῇ καὶ σῇ λαβών.
γνώμῃ δ' ἀδήλῳ μή με χωρὶσ, αἰτιῶ.
,, Οὐ γὰρ δίκαιον οὔτε τοὺς κακοὺς μάτην
,, Χρηστοὺς νομίζειν, οὔτε τοὺς χρηστοὺς κακούσ.
,, Φίλον γὰρ ἐσθλὸν ἐκβαλεῖν, ἴσον λέγω,
,, Καὶ τὸν παρ' αὑτῷ βίοτον, ὃν πλεῖστον φιλεῖ.
ἀλλ' ἐν χρόνῳ γνώσῃ τάδ' ἀσφαλῶς. ἐπεὶ
,, Χρόνος δίκαιον ἄνδρα δείκνυσιν μόνος.
,, Κακὸν δὲ κἂν ἐν ἡμέρᾳ γνοίησ μιᾷ.
Χο. Καλῶσ ἔλεξεν εὐλαβουμένῳ πεσεῖν
,, ἄναξ. φρονεῖν γὰρ οἱ ταχεῖς, οὐκ ἀσφαλεῖς.
Οἰ. Ὅταν ταχύς τισ οὑπιβουλεύων λάθρᾳ
χωρῇ, ταχὺν δεῖ κἀμὲ βουλεύειν πάλιν.
εἰ δ' ἡσυχάζων προσμενῶ, τὰ τοῦδε μὲν
πεπραγμέν' ἔσται, τἀμὰ δ' ἡμαρτημένα.
Κρέ. Τί δῆτα χρῄζεις, ἤ με γῆς ἔξω βαλεῖν;
Οἰ. ἥκιστα. θνῄσκειν, οὐ φυγεῖν σε βούλομαι.
Κρέ. ὅταν προδείξῃς, οἷόν ἐστι τὸ φθονεῖν.
Οἰ. ὡς οὐχ ὑπείξων, οὐδὲ πιστεύσων λέγεισ;
Κρέ. οὐ γὰρ φρονοῦντά σ' εὖ βλέπω.

ΠΩΣ δῆτ' ἐγὼ κεῖν' ἄν. πῶς κατασκευάσεις ὡς ἄμεινόν ἐστιν αὐτῷ τὸ τυραννεῖν, ἢ ἀφόβωσ κοινωνεῖν τῆς τυραννίδος, τοῦτο ἐπήνεγκεν. ὁ γὰρ νοῦς. ὁ ταῦτα τὰ συμφέροντα ἐνθυμούμενος, οὐκ ἂν γένοιτο κακόσ. ὥστε ἑτέρῳ τινὶ ἀσυμφόρῳ ἐπιχειρῆσαι. ¶ Φρονῶν. αὐτὶ τοῦ φρονοῦντος. ἢ οὕτως. ὁ καλῶς φρονῶν νοῦς, οὐκ ἂν κακὸσ γένοιτο. ¶ Καὶ τῶνδ' ἔλεγχον, τοῦτο μὲν πυθώδ' ἰών. ζήτησόν φησιν, εἰ τὸν χρησμὸν ὑγιῶς ἀφῖγμαί σοι φέρων. εἶτα εἰ κατεκοινώνησα τῷ μάντει τῷ τερεσίᾳ. ¶ Διπλῇ δὲ τῇ τ' ἐμῇ καὶ σῇ. ὅτι καὶ αὐτὸς τὸν ἐμαυτοῦ καταψηφίζομαι θάνατον. ¶ Χρηστοὺς νομίζειν. ἀγαθούς. τῷ χρηστῷ ἐναντίον ὁ φαῦλος. ἔστι δὲ χρηστὸς, οὗ ἡ ὁμιλία ὠφέλειαν ἐμποιεῖ. φαῦλος δὲ οὗ ὁ βίος ἄτακτος καὶ ἀκόλαστος, ὡς καὶ ἄλλους βλάπτεσθαι ἀπὸ τῆς αὐτοῦ ὁμιλίασ. τῷ ἀγαθῷ δὲ ἐναντίον ὁ κακόσ. τῷ καλῷ δὲ ὁ αἰσχρὸς, καὶ ὁ δυσειδής. ¶ Φίλον γὰρ ἐσθλὸν ἐκβαλεῖν. ἴσον γάρ ἐστι κακὸν, ἀπωθῆσαι ἐσθλὸν φίλον, καὶ τὸν ἑαυτοῦ βίον.

¶ Καλῶσ ἔλεξεν. σοὶ εὐλαβουμένῳ πεσεῖν, καὶ ἐπιβουλευθήσεσθαι ὑπ' αὐτοῦ, καλῶσ ἔλεξεν ὁ Κρέων ὅτι ἐν χρόνῳ γνώσῃ τάδ' ἀσφαλῶς, ὁποῖός εἰμι περὶ σέ. ὁ γὰρ ταχὺ βουλευόμενος, καὶ μὴ πολλάκισ βασανίζων τὴν γνώμην, σφάλλεται. πρὸς ὃ ὁ οἰδίπους φησὶν, ὅτι πρὸς τὰς ταχείας ἐπιβουλὰς δεῖ ταχεῖαν καὶ τὴν ἄμυναν εἶναι. ¶ Τὰ τοῦδε μέν. τὰ τοῦ Κρέοντος τὰ ἐμοὶ ἐπιβουλευσάμενα. ¶ Τἀμὰ δ' ἡμαρτημένα. ἡ ἄμυνα. ¶ Ὡς οὐκ ὑπείξων. οὕτωσ λέγεισ, ὡσ μὴ πεισθησόμενός μοι ἀλλ' ἀντιλέξων τῇ κελεύσει.

Τὸ γοῦν ἐμόν. ὅσον ἧκεν εἰς ἐμὲ, καλῶς βουλεύομαι. ἢ οὕτως. τὸ γοῦν ἐμαυτῷ σύμφορον ποιῶ. πρὸς ὅ φησιν ὁ Κρέων, ὅτι καὶ τὸ ἐμὸν συμφέρον δεῖ σε σκοπεῖν, ὅτι οὐ δεῖ με ἀκαίρως ὑπονοεῖσθαι. ¶ Εἰ δὲ ξυνίεις μηδέν. ὧν ὑπονοεῖς. ¶ Ἀρκτέον γ' ὅμως. ἀλλὰ χρὴ βασιλεύειν. ¶ Ἴδια κινοῦντες κακά. φιλονεικοῦντες. ¶ Οὐκ εἶ σύ τ' οἴκους. ἀντὶ τοῦ οὐκ ἐλεύσῃ. καλῶς δὲ οὐ πυνθάνεται τὴν αἰτίαν τῆς ἔριδος, ἐκ παντὸς ἀπαλλαγῆναι αὐτῶν βουλομένη. ἅμα δὲ καὶ ἵνα μὴ διαλογίσηται. ¶ Δυοῖν ἀποκρίνας. ἐν τῶν δύο κρίνας. ¶ Μὴ νῦν ὀναίμην. τοῦ βίου δηλονότι.

Τοὺς δέ θ' οἳ. τοὺς τοῦ χοροῦ. Πιθοῦ θελήσας. φρονήσας τ' ἄναξ. οἷον μὴ τῇ ὀργῇ εἴκων, ἀλλὰ τὰ δέοντα διασκεψάμενος. καλῶς τὸ θελήσας. πολλάκις γὰρ ἐν ταῖς ὀργαῖς μεταγνῶναί τις ὀφείλων, αἰδούμενος ἐμμένει τοῖς ἁμαρτήμασι. ¶ Τὸν οὔτε πρὶν νήπιον. ἢ τὸν ἐν τῷ πρὶν χρόνῳ. ἢ τὸν ἐν τῷ εἰρημένῳ λόγῳ, ἀπελογίσατο, νῦν δὲ μεγάλην πίστιν ἐπαγόμενον ἀπὸ τοῦ ὅρκου αἰδέσθητι. ¶ Τὸν ἐναγῆ φίλον. γράφεται φίλον ἐναγῆ. ἐναγές ἐστι, τὸ σεβάσμιον καὶ ἁγνόν. ἄγος γὰρ τὸ ἱερὸν σέβας. ὅθεν καὶ τὸ, ἁγνή μ' ἔχει, καὶ ὡς σε γύναι ἄγαμαι. κατ' εὐφημισμὸν δὲ καὶ τὰ μιάσματα ἄγη λέγεται. καὶ οἱ μιαροὶ ἐναγεῖς καλοῦνται. ὁ δὲ νοῦς. τὸν μηδέποτε ὑπὸ φίλων ἐν ἀφανεῖ αἰ-

Οἰ. τὸ γοῦν ἐμόν.
Κρέ. ἀλλ' ἐξ ἴσου δεῖ κἀμόν.
Οἰ. ἀλλ' ἔφυς κακός.
Κρέ. εἰ δὲ ξυνίεις μηδέν;
Οἰ. ἀρκτέον γ' ὅμως.
Κρέ. οὔτοι κακῶς γ' ἄρχοντος.
Οἰ. ὦ πόλις πόλις.
Κρέ. κἀμοὶ πόλεως μέτεστι τῆσδ', οὐ σοὶ μόνῳ.
Χο. παύσασθ' ἄνακτες. καιρίαν δ' ὑμῖν ὁρῶ
τήνδ' ἐκ δόμων στείχουσαν Ἰοκάστην, μεθ' ἧς
τὸ νῦν παρεστὼς νεῖκος εὖ θέσθαι χρεών.
Ιο. τί τὴν ἄβουλον ὦ ταλαίπωροι στάσιν
γλώσσης ἐπήρατ', οὐδ' ἐπαισχύνεσθε γῆς
οὕτω νοσούσης, ἴδια κινοῦντες κακά;
οὐκ εἶ σύ τ' οἴκους, σύ τε Κρέων κατὰ στέγας;
καὶ μὴ τὸ μηδὲν ἄλγος εἰς μέγ' οἴσετε;
Κρέ. ὅμαιμε, δεινά μ' Οἰδίπους ὁ σὸς πόσις
δρᾶσαι δικαιοῖ, δυοῖν ἀποκρίνας κακοῖν.
ἢ γῆς ἀπῶσαι πατρίδος, ἢ κτεῖναι λαβών.
Οἰ. ξύμφημι. δρῶντα γάρ νιν ὦ γύναι κακῶς
εἴληφα τοὐμὸν σῶμα σὺν τέχνῃ κακῇ.
Κρέ. μὴ νῦν ὀναίμην, ἀλλ' ἀραῖος, εἴ σέ τι
δέδρακ', ὀλοίμην, ὧν ἐπαιτιᾷ με δρᾶν.
Ιο. ὦ πρὸς θεῶν πίστευσον Οἰδίπους τάδε,
μάλιστα μὲν τόνδ' ὅρκον αἰδεσθεὶς θεῶν.
ἔπειτα κἀμὲ, τούς δέ θ' οἳ πάρεισί σοι.
Χο. πιθοῦ θελήσας, φρονήσας
τ' ἄναξ λίσσομαι.
Οἰ. τί σοι θέλεις δῆτ' εἰκάθω;
Χο. τὸν οὔτε πρὶν νήπιον,
νῦν τ' ἐν ὅρκῳ μέγαν,
καταίδεσαι.
Οἰ. οἶσθ' οὖν ἃ χρῄζεις;
Χο. οἶδα.
Οἰ. φράζε δὴ τί φής.
Χο. τὸν ἐναγῆ φίλον
μήποτ' ἐν αἰτίᾳ
σὺν ἀφανεῖ λόγῳ

τίᾳ πνούμενον, ἀλλὰ καθαρὸν ὄντα, δεόμεθα μὴ λόγον ἄτιμον ἐκβαλεῖν, ἀλλὰ προσδέξασθαι αὐτῷ τὴν ἀπολογίαν. ἢ ἐναγῆ τὸν ἐνεχόμενον μίσει, οὕτως. δεόμεθα τῷ μηδέποτε ἐναγοῦς γενομένου εἰς φίλους, μὴ ἐν ἀφανεῖ αἰτίᾳ ἄτιμον ποιήσῃς τὸν λόγον. ἢ τὸν ἐναγῆ, τὸν σοὶ νομιζόμενον ἐναγῆ.

ἄτιμον ἐκβαλεῖν.

Οἰ. Εὖ νῦν ἐπίστω, ταῦθ' ὅταν ζητῇς, ἐμοὶ
ζητῶν ὄλεθρον ἢ φυγὴν ἐκ τῆσδε γῆς.

Χο. οὐ τὸν πάντων θεῶν
πρόμον ἅλιον.
ἐπεὶ ἄθεος, ἄφιλος,
ὅ,τι πύματον ὀλοίμαν,
φρόνησιν εἰ τάνδ' ἔχω.
ἀλλά μοι δυσμόρῳ
γᾶ φθίνουσα, τρύχει ψυχάν.
τάδ' εἰ κακοῖς κακὰ
προσάψει τοῖς πάλαι τὰ πρὸς σφῷν.

Οἰ. ὁ δ' οὖν ἴτω, κεἰ χρή με παντελῶς θανεῖν,
ἢ γῆς ἄτιμον τῆσδ' ἀπωσθῆναι βίᾳ.
τὸ γὰρ σόν, οὐ τὸ τοῦδ' ἐποικτείρω στόμα
ἐλεεινόν. οὗτος δ' ἔνθ' ἂν ᾖ, στυγήσεται.

Κρέ. στυγνὸς μὲν εἴκων, δῆλος εἶ. βαρὺς δ', ὅταν
θυμοῦ περάσῃς. αἱ δὲ τοιαῦται φύσεις
αὑταῖς δικαίως εἰσὶν ἄλγισται φέρειν.

Οἰ. οὔκουν μ' ἐάσεις, κἀκτὸς εἶ;

Κρέ. πορεύσομαι,
σοῦ μὲν τυχὼν ἀγνῶτος. ἐν δὲ τοῖς δ' ἴσος.

Χο. γύναι, τί μέλλεις κομίζειν
δόμων τόνδ' ἔσω;

Ιο. μαθοῦσά γ' ἥτις ἡ τύχη.

Χο. δόκησις ἀγνὼς λόγων
ἦλθε. δάπτει δὲ καὶ

¶ Εὖ νῦν ἐπίστω. γίνωσκε ὅτι τούτῳ συνηγορῶν ἐμὲ ἀδικεῖς. οὐδὲν γὰρ ἄλλο, ἢ ὄλεθρόν μοι ἐπαλγεῖς, εἰ προστίθεμαι τὸν ὑποβεβουλευκότα. ¶ Οὐ τὸν πάντων θεῶν. ὑπὸ ὅρκον καταπέφευγεν. ὑπὸ οὗ μάλιστα ἐδόκει περὶ τὸν βασιλέα. ἥλιον δὲ ὀμνύων, ὃ καὶ πάντα ἑωρακὼς ἀόρατος συνήδει τὸ πᾶν. ¶ Ὅ, τι πύματον ὀλοίμαν. αὐτὶ τοῦ ἔσχατος ἀπολοίμην. ¶ Ὁ δ' οὖν ἴτω. ὁ φιλόκοινον αὐτῷ κἀνταῦθα δείκνυσιν ὡς οὐ δι' ἑαυτὸν παρακεχωρηκότος. ἀλλὰ διὰ τὴν πόλιν κἂν δέῃ αὐτὸν πεισθέντα κινδυνεύσειν.

¶ Στυγνὸς μὲν εἴκων. δῆλος εἶ ἀηδῶς εἴκων. ὅταν δὲ ὑπὸ τὸ πέρας ἔλθῃς τῆς ὀργῆς, τότε βαρέως οἴσεις τὸ πρᾶγμα, οἷον μετανοήσεις, καὶ ἄδικα ἐνθυμηθήσῃ. ἔτι δὲ ἐμμελῶς ὁ Κρέων τῇ αὐτῇ παρρησίᾳ, ὑποσταλμένος ὡς οὐδὲν ἐσκαιώρησεν. ¶ Σοῦ μὲν τυχὼν ἀγνῶτος. σοῦ μὲν μὴ ἐπισταμένου τὴν ἐμὴν προαίρεσιν. οἷον ἠγνοηκότος με. παρὰ δὲ τούτοις τῆς ὁμοίας δόξης, ἧς καὶ πρώην εἶχον περὶ ἐμέ. ¶ Γύναι τί μέλλεις. ὡς κατέγνωκεν ὁ χορὸς τοῦ οἰδίποδος, παρακελεύεται τῇ γυναικὶ εἰσάγειν αὐτόν. ¶ Μαθοῦσά γ' ἥτις ἡ τύχη. πιθανῶς μὲν τὸ διηλλάχθαι αὐτοὺς, ὑπὸ ζητεῖ τὴν αἰτίαν. ἅμα δὲ καὶ ἵνα ἀρχὴ γένηται τοῦ ἀναγνωρισμοῦ. ¶ Δόκησις ἀγνὼς λόγων. ὁ χορὸς ὑπὲρ ἀμφοτέρων ἀπολογεῖται· ὑπὲρ μὲν τοῦ Κρέοντος, ὅτι ἀπ' ἀλλήλοις ἐγκέκληται. ὑπὲρ δὲ τοῦ οἰδίποδος, ὅτι εἰκότως ὠργίσθη, ὑπὸ τοιούτοις διαβληθείς.

Ἀμφοῖν ἀπ' αὐτοῖν. οἷον ἀμφότεροι τῆς διαφορᾶς αἴτιοί εἰσι. ¶ Ἅλις ἔμοιγ' ἅλις. αὐταρκές μοι φαίνεται στῆσαι τὸν λόγον ἔνθα ἔληξεν. ἀντὶ τοῦ ἱκανὰ λέλεκται· ἢ αὐταρκές ἐστιν ἀναπεπαῦσθαι τὰ τοῦ λόγου, ἔνθα ἔληξεν ἡ στάσις. ¶ Ὁρᾷς ἵν' ἥκεις ἀγαθός. τοῦτό φησιν ὁ Οἰδίπους ἀγανακτῶν· διά τι πρὸς ἕτερον ἀποφεύγεις, καίτοι ἀγαθὸς ὢν ἀνὴρ καὶ οὐχ ὁμολογεῖς τὰ λυπήσαντά με τῇ Ἰοκάστῃ. δηλονότι τί ἐστι οὐ συνοργίζῃ μοι. ἀλλὰ πραΰνεις με ὑπὲρ τοῦ Κρέοντος. ¶ Εἶπον μὲν οὐχ ἅπαξ μόνον. πολλάκις φησὶ τὰ ἐπελθόντα κατὰ τὴν ἐμὴν διάνοιαν εἴπομέν σοι, οἷα καὶ ἐν τοῖς ἀνωτέρω ὤμνυον. ¶ Ἴσθι δὲ παραφρόνιμον. ἴσθι πεφάνθαι με παραφρόνιμον. ἀντὶ τοῦ παράφρονα καὶ ἀνόητον, καὶ ἄπορον εἰς τὰ φρόνιμα. διὸ δὲ τὸ αὐτὸ εἶπεν, ἀντὶ τοῦ μωρὸν κατὰ διάνοιαν καὶ ἄπορον. ¶ Εἴ σε νοσφίζομαι. εἰ ἀλλότριόν σε καὶ οὐκ οἰκεῖον νενόμικα. ἢ οὕτως, εἴ σε ἀποκρύπτομαι, ἢ ἐκτρέπομαι, καὶ οὐ συγγίνομαί σοι. ἢ οὕτως. εἰ βούλομαί σε ἐκβαλεῖν τὸν τοιοῦτον ἡμᾶς εὐεργετήσαντα. ¶ Κατ' ὀρθὸν οὔρισας. ἔστησας. ἔσωσας.

Λέγ' εἰ σαφῶς. λέγε εἰ σαφῶς ἐστιν, ἃ μέλλεις ἐγκαλεῖν, οἷον ὡμολογημένα. ¶ Τό γ' εἰς ἑαυτόν. ὅσον κατὰ τὸν εἰς ἑαυτὸν ἥκον μέρος. ἤγουν κατὰ τὴν ἑαυτοῦ δύναμιν.

Φανῶ δέ σοι σημεῖα. τοῦτο ἅμα παρακαλοῦσα ἐκτίθεται τὰ εἰς τὴν ὑπόνοιαν αὐτὸν ἐμβαλοῦντα.

τὸ μὴ 'νδικον.  
Ιο ἀμφοῖν ἀπ' αὐτοῖν;  
Χο ναίχι.  
Ιο καὶ τίς ἦν ὁ λόγος;  
Χο ἅλις ἔμοιγ' ἅλις γᾶς προπονουμένας  
φαίνεται, ἔνθ' ἔληξεν αὐτοῦ μένειν.  
Οἰ ὁρᾷς ἵν' ἥκεις ἀγαθὸς ὢν γνώμην ἀνήρ,  
τοὐμὸν παριεὶς, καὶ καταμβλύνων κέαρ;  
Χο Ἄναξ, εἶπον μὲν οὐχ ἅ-  
παξ μόνον, ἴσθι δὲ  
παραφρόνιμον ἄπορον  
ἐπὶ φρόνιμα πεφάνθαι  
μ' ἂν εἴ σε νοσφίζομαι.  
ὅς τ' ἐμὰν γᾶν φίλαν  
ἐν πόνοισιν ἀλύουσαν,  
κατ' ὀρθὸν οὔρισας.  
τανῦν τ' εὔπομπος εἰ δύναιο, γενοῦ.  
Ιο πρὸς θεῶν δίδαξον κἄμ', ἄναξ, ὅτου ποτὲ  
μῆνιν τοσήνδε πράγματος στήσας ἔχεις.  
Οἰ Ἐρῶ. σὲ γὰρ τῶνδ' ἐς πλέον γύναι σέβω.  
Κρέοντος, οἷά μοι βεβουλευκὼς ἔχει;  
Ιο λέγ', εἰ σαφῶς τὸ νεῖκος ἐγκαλῶν ἐρεῖς.  
Οἰ Φονέα με φησὶ Λαΐου καθεστάναι.  
Ιο αὐτὸς ξυνειδώς, ἢ μαθὼν ἄλλου πάρα;  
Οἰ μάντιν μὲν οὖν κακοῦργον εἰσπέμψας, ἐπεὶ  
τό γ' εἰς ἑαυτόν, πᾶν ἐλευθεροῖ στόμα.  
Ιο Σύ νυν ἀφεὶς σεαυτόν, ὧν λέγεις πέρι,  
ἐμοῦ 'πάκουσον, καὶ μάθ' οὕνεκ' ἐστί σοι  
βρότειον οὐδὲν μαντικῆς ἔχον τέχνης.  
φανῶ δέ σοι σημεῖα τῶνδε σύντομα.  
χρησμὸς γὰρ ἦλθε Λαΐῳ ποτ', οὐκ ἐρῶ  
Φοίβου γ' ἀπ' αὐτοῦ, τῶν δ' ὑπηρετῶν ἄπο,  
ὡς αὐτὸν ἕξοι μοῖρα πρὸς παιδὸς θανεῖν,  
ὅστις γένοιτ' ἐμοῦ τε, κἀκείνου πάρα.  
καὶ τὸν μέν, ὥσπερ γ' ἡ φάτις, ξένοι ποτὲ  
λῃσταὶ φονεύουσ' ἐν τριπλαῖς ἀμαξιτοῖς.

παιδὸς δὲ βλάστας, οὐ διέχον ἡμέραι
τρεῖς. καί νιν ἄρθρα κεῖνος ἐνζεύξας ποδοῖν,
ἔρριψεν ἄλλων χερσὶν εἰς ἄβατον ὄρος.
κἀνταῦθ' Ἀπόλλων οὔτ' ἐκεῖνον ἤνυσεν
φονέα γενέσθαι πατρὸς, οὔτε Λάϊον
τὸ δεινὸν οὑφοβεῖτο πρὸς παιδὸς, θανεῖν.
τοιαῦτα φῆμαι μαντικαὶ διώρισαν.
ὧν ἐντρέπου σὺ μηδέν. ὧν γὰρ ἂν θεὸς
χρείαν ἐρευνᾷ, ῥᾳδίως αὐτὸς φανεῖ.
Οἰ. οἷόν μ' ἀκούσαντ' ἀρτίως ἔχει γύναι,
ψυχῆς πλάνημα κἀνακίνησις φρενῶν.
Ιο. ποίας μερίμνης τοῦθ' ὑποστραφεὶς λέγεις;
Οἰ. ἔδοξ' ἀκοῦσαι σοῦ τόδ', ὡς ὁ Λάϊος
κατασφαγείη πρὸς τριπλαῖς ἁμαξιτοῖς.
Ιο. ηὐδᾶτο γὰρ ταῦτ', οὐδέπω λήξαντ' ἔχει.
Οἰ. καὶ ποῦ 'σθ' ὁ χῶρος οὗτος, οὗ τόδ' ἦν πάθος;
Ιο. Φωκὶς μὲν ἡ γῆ κλῄζεται. σχιστὴ δ' ὁδὸς
ἐς ταυτὸ Δελφῶν κἀπὸ Δαυλίας ἄγει.
Οἰ. καὶ τίς χρόνος τοῖσδ' ἐστὶν οὑξεληλυθώς;
Ιο. σχεδόν τι πρόσθεν, ἢ σὺ τῆσδ' ἔχων χθονὸς
ἀρχὴν ἐφαίνου, ταῦτ' ἐκηρύχθη πόλει.
Οἰ. ὦ Ζεῦ, τί μου δρᾶσαι βεβούλευσαι πέρι;
Ιο. τί δ' ἐστί σοι τοῦτ' οἰδίπους ἐνθύμιον;
Οἰ. μή πω μ' ἐρώτα. τὸν δὲ Λάϊον φύσιν
τίν' εἶχε φράζε. τίνα δ' ἀκμὴν ἥβης ἔχων.
Ιο. μέγας, χνοάζων ἄρτι λευκανθὲς κάρα.
μορφῆς δὲ τῆς σῆς οὐκ ἀπεστάτει πολύ.
Οἰ. οἴμοι τάλας. ἔοικ' ἐμαυτὸν εἰς ἀρὰς
δεινὰς προβάλλων ἀρτίως, οὐκ εἰδέναι.
Ιο. πῶς φής; ὀκνῶ τοι πρός σ' ἀποσκοποῦσ' ἄναξ.
οἰδ. Δεινῶς ἀθυμῶ, μὴ βλέπων ὁ μάντις ᾖ.
δείξεις δὲ μᾶλλον, ἢν ἓν ἐξείπῃς ἔτι.
Ιο. καὶ μὴν ὀκνῶ μέν. ἃ δ' ἂν ἔρῃ, μαθοῦσ' ἐρῶ.
Οἰ. πότερον ἐχώρει βαιὸς, ἢ πολλοὺς ἔχων
ἄνδρας λοχίτας, οἷ' ἀνὴρ ἀρχηγέτης;
Ιο. πέντ' ἦσαν οἱ ξύμπαντες. ἐν δ' αὐτοῖσιν ἦν
κῆρυξ. ἀπήνη δ' ἦγε Λάϊον μία.
Οἰ. αἰ, αἰ, τάδ' ἤδη διαφανῆ. τίς ἦν ποτὲ

¶ Παιδὸς δὲ βλάστας. καλῶς τὸν τόπον προσέθηκεν, ἵνα εἰς ὑπόμνησιν ἀγάγῃ τὸν οἰδίποδα.

¶ Φωκὶς μὲν ἡ γῆ κλῄζεται. σχιστὴ δ' ὁδός. περὶ δαυλίδα φησὶ τὴν σχιστὴν ὁδόν. ὁ δὲ αἰσχύλος περὶ ποτνίας, οὕτως, Ἐπῆειμεν τῆς ὁδοῦ τροχήλατον, σχιστῆς κελεύθου τρίοδον, ἔνθα συμβολὰς τριῶν κέλευθον ποτνιάδων ἠμείβομεν. τινὲς δὲ τὴν δαυλίδα ἀναχείδα λέγουσιν οὕτως, Κεῖσαι ἐπὶ ζαθέω τῇ ἀναχείδα τῇ πανοπηΐᾳ. ¶ Ὦ ζεῦ, τί μου δρᾶσαι. ἀναμιμνήσκεται ὁ οἰδίπους τοῦ χρόνου, καὶ τοῦ τόπου. καὶ πρὸς τὸν Δία φησί, τί μοι ποιήσεις. ¶ Τίνα δ' ἀκμὴν ἥβης. ἡλικίας. κυρίως δὲ ἡ ἀκμὴ τῆς ἀδικίας. Μέγας. χνοάζων. εὖ τὰ πρὸ φωνῆς ταῦτα σημεῖα εἶπεν. ¶ Οκνῶ. δέδοικα. καὶ ὅμηρος, ὀκνείω δ' ἵππων ἐπιβαινέμεν.

ὁ τούσδε λέξας τοὺς λόγους ὑμῖν γύναι;
Ιο. οἰκεύς τις, ὅσπερ ἵκετ᾽ ἐκσωθεὶς μόνος.
Οἰδ. ἦ κἀν δόμοισι τυγχάνει τανῦν παρών;
Ιο. οὐ δῆτ᾽. ἀφ᾽ οὗ γὰρ κεῖθεν ἦλθε, καὶ κράτη
σέ τ᾽ εἶδ᾽ ἔχοντα, Λάϊόν τ᾽ ὀλωλότα,
ἐξικέτευσε τῆς ἐμῆς χειρὸς θιγών,
ἀγρούς σφε πέμψαι, κἀπὶ ποιμνίων νομάς,
ὡς πλεῖστον εἴη τοῦδ᾽ ἄποπτος ἄστεως.
κἄπεμψ᾽ ἐγώ νιν. ἄξιος γὰρ ὥς γ᾽ ἀνὴρ
δοῦλος φέρειν ἦν τῆσδε καὶ μείζω χάριν.
Οι. πῶς ἂν μόλοι δῆθ᾽ ἡμὶν ἐν τάχει πάλιν;
Ιο. πάρεστιν. ἀλλὰ πρὸς τί τοῦτ᾽ ἐφίεσαι;
Οι. δέδοικ᾽ ἐμαυτὸν ὦ γύναι, μὴ πόλλ᾽ ἄγαν
εἰρημέν᾽ ᾖ μοι, δι᾽ ἅ νιν εἰσιδεῖν θέλω.
Ιο. ἀλλ᾽ ἵξεται μέν, ἀξία δέ που μαθεῖν
κἀγὼ, τά γ᾽ ἐν σοὶ δυσφόρως ἔχοντ᾽ ἄναξ.
Οι. κοὐ μὴ στερηθῇς γ᾽ ἐς τοσοῦτον ἐλπίδων,
ἐμοῦ βεβῶτος. τῷ γὰρ ἂν καὶ μείζονι
λέξαιμ᾽ ἂν, ἢ σοί, διὰ τύχης τοιᾶσδ᾽ ἰών.
Ἐμοὶ πατὴρ μὲν Πόλυβος ἦν Κορίνθιος,
μήτηρ δὲ Μερόπη Δωρίς. ἠγόμην δ᾽ ἀνὴρ
ἀστῶν μέγιστος τῶν ἐκεῖ, πρίν μοι τύχη
τοιάδ᾽ ἐπέστη. θαυμάσαι μὲν ἀξία,
σπουδῆς γε μέντοι τῆς ἐμῆς οὐκ ἀξία.
ἀνὴρ γὰρ ἐν δείπνοις μ᾽ ὑπερπλησθεὶς μέθης
καλεῖ παρ᾽ οἴνῳ πλαστὸς ὡς εἴην πατρί.
κἀγὼ βαρυνθεὶς, τὴν μὲν οὖσαν ἡμέραν
μόλις κατέσχον. θατέρᾳ δ᾽ ἰὼν πέλας
μητρὸς πατρός τ᾽, ἤλεγχον. οἱ δὲ δυσφόρως
τοὔνειδος ἦγον τῷ μεθέντι τὸν λόγον.
κἀγὼ τὰ μὲν κείνοιν, ἐτερπόμην, ὅμως
δ᾽ ἔκνιζέ μ᾽ αἰεὶ τοῦθ᾽. ὑφεῖρπε γὰρ πολύ.
λάθρᾳ δὲ μητρὸς καὶ πατρὸς πορεύομαι
Πυθώδε. καί μ᾽ ὁ Φοῖβος ὧν μὲν ἱκόμην,
ἄτιμον ἐξέπεμψεν. ἄλλα δ᾽ ἄθλια,
καὶ δεινὰ, καὶ δύστηνα προὔφηνε λέγων,
ὡς μητρὶ μὲν χρείη με μιχθῆναι, γένος
δ᾽ ἄτλητον ἀνθρώποισι δηλώσοιμ᾽ ὁρᾶν.

Οἰκεύς τις. οἰκέτης. ἐκ τοῦ αὐτοῦ οἴκου ὤν. ¶ Ἄξιος γὰρ ὥς γ᾽ ἀνήρ. οἷον τὸ αἴτημα οὐχ ὑπερέβαλε δοῦλον. ℂ Πάρεστιν. οἷον νόμιζε αὐτὸν παρεῖναι. ¶ Μήτηρ δὲ Μερόπη. Φερεκύδης φησὶ Μέδουσαν εἶναι τὴν Πολύβου γυναῖκα, θυγατέρα δὲ Ὀρσιλόχου τοῦ Ἀλφειοῦ. οἱ δὲ Ἀντιόχιδα τὴν Χάλκωνος. ℂ Δωρίς. Πελοποννησιακή.

Θαυμάσαι μὲν ἀξία. ἐπειδὴ γὰρ πρὸς τὸ ὀξὺ μὲν ἀκούσαντα, ὡς εἴη νόθος θαυμάζειν. οὐ μὴν τοσοῦτον φροντίσαι τοῦ πράγματος. ¶ Σπουδῆς γε μέντοι. διὰ ἀρετήν. Πλαστός. παρεισακτός, ἀλλότριος, νόθος. ¶ Θατέρᾳ. τῇ ἑτέρᾳ. τῇ ἑξῆς. ¶ Ἔκνιζε. ἐλύπει. κυρίως δὲ ἐρωτικῶς λυπεῖν. ¶ Ἄτιμον. ἀνήκουστον. περὶ ὧν γὰρ ἀπῆλθεν οὐκ εἶπεν. ¶ Ἄτλητον ὁρᾶν. τὸ μὴ δυνάμενον ὑπὸ ἀνθρώπων ὁρᾶσθαι.

φονεύς

φονεὺς δ' ἐσοίμην τοῦ φυτεύσαντος πατρός.
κἀγὼ 'πακούσας ταῦτα, τὴν Κορινθίαν
ἄστροις τὸ λοιπὸν ἐκμετρούμενος χθόνα,
ἔφευγον. ἔνθα μήποτ' ὀψοίμην κακῶν
χρησμῶν γ' ὀνείδη τῶν ἐμῶν τελούμενα.
στίχων δ', ἱκνοῦμαι τούσδε τοὺς χώρους, ἐν οἷς
σὺ τὸν τύραννον τοῦτον ὄλλυσθαι λέγεις.
καί σοι γύναι, τἀληθὲς ἐξερῶ, τριπλῆς
ὅτ' ἦν κελεύθου τῆσδ' ὁδοιπορῶν πέλας,
ἐνταῦθά μοι κῆρύξ τε κἀπὶ πωλικῆς
ἀνὴρ ἀπήνης ἐμβεβώς, οἷον σὺ φῄς,
ξυνηντίαζον, κἀξ ὁδοῦ μ' ὅθ' ἡγεμὼν
αὐτός θ' ὁ πρέσβυς πρὸς βίαν ἠλαυνέτην,
κἀγὼ τὸν ἐκτρέποντα, τὸν τροχηλάτην,
παίω δι' ὀργῆς. καί μ' ὁ πρέσβυς ὡς ὁρᾷ
ὄχου παραστείχοντα, τηρήσας μέσον
κάρα, διπλοῖς κέντροισί μου καθίκετο.
οὐ μὴν ἴσην γ' ἔτισεν. ἀλλὰ συντόμως
σκήπτρῳ τυπεὶς ἐκ τῆσδε χειρὸς, ὕπτιος
μέσης ἀπήνης εὐθὺς ἐκκυλίνδεται.
κτείνω δὲ τοὺς ξύμπαντας. εἰ δὲ τῷ ξένῳ
τούτῳ προσήκει Λαΐῳ τι συγγενὲς,
τίς τοῦδέ γ' ἀνδρός ἐστιν ἀθλιώτερος
τίς ἐχθροδαίμων μᾶλλον ἂν γένοιτ' ἀνήρ;
ᾧ μὴ ξένων ἔξεστι, μηδ' ἀστῶν τινὰ,
δόμοις δέχεσθαι, μηδὲ προσφωνεῖν τινὰ,
ὠθεῖν δ' ἀπ' οἴκων. καὶ τάδ' οὔτις ἄλλος ἦν
ἢ 'γὼ 'π' ἐμαυτῷ τάσδ' ἀρὰς ὁ προστιθείς.
λέχη δὲ τοῦ θανόντος ἐν χεροῖν ἐμαῖν
χραίνω, δι' ὧνπερ ὤλετ'. ἆρ' ἔφυν κακός;
ἆρ' οὐχὶ πᾶς ἄναγνος; εἴ με χρὴ φυγεῖν,
καί μοι φυγόντι, μήτε τοὺς ἐμοὺς ἰδεῖν,
μήτ' ἐμβατεύειν πατρίδος. ἢ γάμοις με δεῖ
μητρὸς ζυγῆναι, καὶ πατέρα κατακτανεῖν
Πόλυβον, ὃς ἐξέφυσε, κἀξέθρεψέ με.
ἆρ' οὐκ ἀπ' ὠμοῦ ταῦτα δαίμονος, τίς ἂν
κρίνων ἐπ' ἀνδρὶ τῷδ' ἂν ὀρθοίη λόγον;
μὴ δῆτα μὴ δῆτ' ὦ θεῶν ἁγνὸν σέβας,

¶ Ἄστροις τὸ λοιπὸν ἐκμετρούμενος. χρόνον τινά φησιν ἐπεὶ πρὸς τοὺς ἀστέρας ἠρίθμουν τὸν χρόνον. ἢ οὕτως. ἤδη τὰ ἄστρα ἐπερχόμενος. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν τὰ πελάγη μετρούντων. ὡς ἂν δι' ἄστρων τεκμαιρομένων τὸν πλοῦν.
Κἀπὶ πωλικῆς. ὑπὸ πώλων ἐζευγμένης.

¶ Κἀγὼ τὸν ἐκτρέποντα, τὸν τροχηλάτην, τὸν ἔμπροσθεν τῶν τροχῶν πορευόμενον. Ὄχου. ἅρματος. ¶ Διπλοῖς κέντροισι. πληγαῖς δὶς ἔπαισέ με τοῖς κέντροις, οἷς ἐκέντριζε τοὺς ἵππους. οὐκ ἐπίσης δὲ καὶ παρ' ἐμοῦ ἔλαβεν. Εἰ δὲ τῷ ξένῳ. τοῦ ὑπ' ἐμοῦ φονευθέντος εἰ ἦν τις πρὸς Λάϊον συγγένεια. ἢ οὕτως. εἰ δὲ οὗτος ὁ ξένος ὃν ἀπέκτεινα Λάϊός ἐστιν. οὔπω γὰρ οἶδεν εἰ αὐτός ἐστι. Τίς τοῦδέ γ' ἀνδρός. ἀντὶ τοῦ ἐμοῦ.

Δι' ὧνπερ ὤλετο. ὧν χειρῶν.
¶ Ἄναγνος. ἀντὶ τοῦ μιαρός.
¶ Ἐμβατεύειν. ἐπιβαίνειν.

Κηλῖδα συμφορᾶς. αὐτὶ περιφράσεως συμφορὰν κηλῖδος καὶ μολυσμοῦ.

Ἔχ' ἐλπίδα. ἀντὶ τοῦ μὴ ἀθύμει, πρὶν ἂν τὸ ἀληθὲς καταμάθῃς.

Πεφασμένου. φανεροῦ γενομένου. τοῦ ἐλθόντος τοῦ ποιμένος, τίνα ἕξεις γνώμην. ¶ Σοὶ ταὔτ'. σοὶ ὅμοια, καὶ τὰ αὐτά. ¶ Ἔφασκες αὐτόν. τὸν βοτῆρα. ¶ Οἰόζωνον. μονόζωνον. μόνον. ¶ Τοῦτό γ' ἐκβαλεῖν πάλιν. ἀποκρύπτεσθαι, ἢ ἀποστρέψαι. τουτέστιν οὐ δύναται ἀρνεῖσθαι ὁ βουκόλος.

Τόν γε Λαΐου φόνον φανεῖ. αὐτὸς ὁ θεράπων. ¶ Ὥστ' οὐχὶ μαντείας. ὅθεν ἐγὼ χάριν τῆς μαντείας οὔτε εἰς ἐκεῖνα τὰ ῥήματα, οὔτε ταῦτα βλέψαιμι. οὔτε ἑκατέροις πιστεύσαιμι, ἀλλ' ἀπορῶ. ¶ Εἴ μοι ξυνείη φέροντι. εἴθε μοι συνοικοίη τὴν ἄχραντον τῆς σεβασμίαν ἀλήθειαν διασώζοντι, οἷον, εἴθε μοι συνείη εὐτυχία, καὶ λόγων καὶ πραγμάτων ἁγνείαν φυλάττοντι. μοῖρα δέ, ἡ εὐτυχία. ὅ ἐστιν, εἰ ἀληθεύσω, γένοιτό μοι τοῦ εὐτυχεῖν τὸ ἀληθὲς διασώζοντι. ταῦτα δέ φησι τὴν Ἰοκάστην ἀποσπώμενος, ὅτι ἀσεβῶς ἔφη ψεύδεσθαι τὸν Ἀπόλλωνα. φέροντι οὖν τὴν εὔσεπτον ἁγνείαν τῶν λόγων, καὶ τῶν ἔργων τῶν περὶ τῶν θεῶν. περὶ ὧν νόμοι πρόκεινται ἔργων καὶ λόγων, τὴν περὶ τούτων λέγοντος ἀκρίβειαν. καὶ τῶν μαντειῶν, ὅτι οὐδὲν αὐτοῖς ὑγιές ἐστιν. ¶ Οὐρανίαν δι' αἰθέρα. ἀντὶ τοῦ ἐν οὐρανῷ τεχθέντι. ¶ Ὧν Ὄλυμπος. ὧν νόμων τὸ ὀρθὸν ἐχόντων.

ἴδοιμι ταύτην ἡμέραν, ἀλλ' ἐκ βροτῶν
βαίην ἄφαντος πρόσθεν, ἢ τοιάνδ' ἰδεῖν
κηλῖδ' ἐμαυτῷ συμφορᾶς ἀφιγμένην.
Χο ἡμῖν μὲν ὦναξ ταῦτ' ὀκνήρ'· ἕως δ' ἂν οὖν
πρὸς τοῦ παρόντος ἐκμάθῃς, ἔχ' ἐλπίδα.
Οἰ καὶ μὴν τοσοῦτόν γ' ἐστί μοι τῆς ἐλπίδος,
τὸν ἄνδρα τὸν βοτῆρα προσμεῖναι μόνον.
Ιο πεφασμένου δέ, τίς ποθ' ἡ προθυμία;
Οἰ Ἐγὼ διδάξω σ'. ἢν γὰρ εὑρεθῇ λέγων
σοὶ ταὔτ', ἔγωγ' ἂν ἐκπεφευγοίην πάθος.
Ιο ποῖον δέ μου περισσὸν ἤκουσας λόγον;
Οἰδ λῃστὰς ἔφασκες αὐτὸν ἄνδρας ἐννέπειν
ὥς νιν κατακτείνειαν. εἰ μὲν οὖν ἔτι
λέξει τὸν αὐτὸν ἀριθμόν, οὐκ ἐγὼ 'κτανον.
οὐ γὰρ γένοιτ' ἂν εἷς γε τοῖς πολλοῖς ἴσος.
εἰ δ' ἄνδρ' ἕν' οἰόζωνον αὐδήσει, σαφῶς
τοῦτ' ἐστὶν ἤδη τοὔργον εἰς ἐμὲ ῥέπον.
Ιο ἀλλ' ὡς φανέν γε τοὔπος ὧδ' ἐπίστασο,
κοὐκ ἔστιν αὐτῷ τοῦτό γ' ἐκβαλεῖν πάλιν.
πόλις γὰρ ἤκουσ', οὐκ ἐγὼ μόνη τάδε.
εἰ δ' οὖν τι κἀκτρέποιτο τοῦ πρόσθεν λόγου,
οὔτοι ποτ' ὦναξ τόν γε Λαΐου φόνον
φανεῖ δικαίως ὀρθόν, ὅν γε Λοξίας
διεῖπε χρῆναι παιδὸς ἐξ ἐμοῦ θανεῖν.
καίτοι νιν οὐ κεῖνός γ' ὁ δύστηνός ποτε
κατέκταν', ἀλλ' αὐτὸς πάροιθεν ὤλετο.
ὥστ' οὐχὶ μαντείας γ' ἂν, οὔτε τῇδ' ἐγὼ
βλέψαιμ' ἂν οὕνεκ', οὔτε τῇδ' ἂν ὕστερον.
Οἰ καλῶς νομίζεις. ἀλλ' ὅμως τὸν ἐργάτην
πέμψον τινὰ στελοῦντα, μηδὲ τοῦτ' ἀφῇς.
Ιο πέμψω ταχύνασ'. ἀλλ' ἴωμεν ἐς δόμους.
οὐδὲν γὰρ ἂν πράξαιμ' ἂν, ὧν οὐ σοὶ φίλον.
Χο Εἴ μοι ξυνείη φέροντι μοῖρα τὰν
εὔσεπτον ἁγνείαν λόγων
ἔργων τε πάντων, ὧν νόμοι
πρόκεινται ὑψίποδες οὐρανίαν
δι' αἰθέρα τεκνωθέντες, ὧν
Ὄλυμπος πατὴρ μόνος, οὐδέ νιν

ΟΥ δέ νιν θνατὰ φύσις. οὔτε ὑπὸ ἀνθρώπων εὕρηται ὁ περὶ θεῶν λόγος. ¶ Μέγας ἐν τούτοις θεός. ἐν τοῖς νόμοις μέγας ἐστὶν ὁ θεός, τουτέστι θεία δύναμις καὶ μεγάλη τοῖς νόμοις ἔνεστιν. ¶ Ὕβρις φυτεύει τύραννον, διὰ τῆς ὕβρεως φύεται καὶ ἀνανεοῦται ὁ τύραννος. ὅταν φησὶ πολλὰ διαπράξηται, τότε εἰς μεγάλα ἐμπίπτει δι' ὕβρεως ἐπαρθείς. ταῦτα μὲν φησι περὶ τῆς ἰοκάστης, ὅτι ἀνεπιτήδεια λέγει περὶ τῶν θείων νόμων. ἐν δὲ λόγον ποιοῦσι περὶ τῆς τυραννίδος, ἵνα μὴ δόξωσιν ἐμφανῶς αὐτὴν διαλέγειν. ὁ δὲ νοῦς. ὕβρις φυτεύει τύραννον, ὁπόταν πολλῶν ὑπερπλησθῇ μάτην. ἃ ἐστι μηδὲ ἐπίκαιρα, μηδὲ ἑαυτῷ ἐκείνῳ συμφέροντα. ἄλλως δέ πως δὲ εἶπεν. ὕβρις φησὶ μηδὲν καίριον διαπραττομένη, εἰς δυσβατὸν ἀκρώρειαν ἀναβιβάσκουσα τοὺς χρωμένους αὐτῇ, κατεκρήμνισεν. ἢ οὕτως. ἀπότομον ὤρουσεν εἰς ἀνάγκην γενέσθαι ὑφ' ἑτέρων κρατηθῆναι. ¶ Ἔνθ' οὐ ποδὶ χρησίμῳ. ἀντὶ τοῦ ἀχρήστως τὰς πορείας ποιεῖται. καὶ εἰ μὲν ἐστὶ τοῦ ὑπὸ ὕβρεως δυσσεβοῦντος ἔσται οὕτως. οὐ βαδίζει ὀρθὴν ὁδόν. οὐδὲ χρῆται τοῖς ποσὶ δεόντως. εἰ δὲ ἐστὶ τοῦ ὑπὸ ἀνάγκης βιαζομένου, οὐ χρῆται τοῖς αὐτοῖς ποσίν. ¶ Πάλαισμα. ζήτησιν τοῦ φόνου τοῦ Λαΐου. ¶ Δίκας ἀφόβητος. τὴν δίκην μὴ δεδοικώς. ¶ Μήποτε λῦσαι θεὸν αἰτοῦμαι. ἀξιῶ τὸν θεὸν μὴ λῦσαι τὸ συμφέρον τῇ πόλει. ἐστὶ οὐ κρατεῖ τῶν ἀντιπάλων. ¶ Δυσπότμου χάριν χλιδᾶς. ἕνεκα φησι τῆς ἀνοσίου τρυφῆς καὶ ὑπερηφανίας. ἀπὸ τρυφῆς γὰρ ὁ ἐστι τὰ αὐτὰ οἱ τύραννοι περιπίπτουσι.

θνατὰ φύσις ἀνέρων ἔτικτεν,
οὐδὲ μήν ποτε λάθα κατακοιμάσει.
μέγας ἐν τούτοις θεός,
οὐδὲ γηράσκει.
ὕβρις φυτεύει τύραννον. ὕβρις, εἰ
πολλῶν ὑπερπλησθῇ μάταν,
ἃ μὴ 'πίκαιρα μηδὲ συμφέρον-
τ' ἀκροτάταν εἰσαναβᾶσ' ἀπότομον,
ὤρουσεν εἰς ἀνάγκαν,
ἔνθ' οὐ ποδὶ χρησίμῳ χρῆται.
τὸ καλῶς δ' ἔχον πόλει πάλαισμα,
μή ποτε λῦσαι θεὸν αἰτοῦμαι.
θεὸν οὐ λήξω ποτὲ προστάταν ἴσχων.
εἰ δέ τις ὑπέροπτα χερσὶν ἢ λόγῳ
πορεύεται δίκας ἀφόβητος,
οὐδὲ δαιμόνων ἕδη σέβων,
κακά νιν ἕλοιτο μοῖρα,
δυσπότμου χάριν χλιδᾶς,
εἰ μὴ τὸ κέρδος κερδανεῖ δικαίως,
καὶ τῶν ἀσέπτων ἕρξεται,
ἢ τῶν ἀθίκτων ἕξεται ματάζων.
τίς ἔτι ποτ' ἐν τοῖσδ' ἀνὴρ
θυμῷ βέλη ἔρξεται,
ψυχᾶς ἀμύνειν. εἰ γὰρ
αἱ τοιαίδε πράξεις τίμιαι;
τί δεῖ με χορεύειν;

¶ Καὶ τῶν ἀσέπτων. ὁ τοιοῦτος κακὴ εἴη μοῖρα, ὃς μὴ ἀφέξεται τῶν ἀσέπτων. ἢ ἕξεται τῶν ἀθίκτων. ὅ ἐστιν ὧν οὐ χρὴ ἔχεσθαι. ¶ Ἕρξεται. παύσεται. ἐκτὸς ἔσται. ¶ Ματάζων. ματαιοφρονῶν. ¶ Ἕξεται δέ. ἀντὶ τοῦ ἐστὶ θυμώσει τῶν ἀσέπτων καὶ ἀθίκτων. ¶ Τίς ἔτι ποτέ. τίς ἔξω τῶν ἀδίκων ἀφέξεται τῷ θυμῷ αὐτοῦ τὰς τῆς ψυχῆς κακίας ἀπελαύνων. ἢ οὔ τις ἂν ἀπελάσειεν αὐτά.

τὴν τιμωρίαν τοιαῦτα πράττων. ¶ ΟΥΚΕΤΙ τὸν ἄθικτον εἶμι. οὐκέτι ἄπειμι πρὸς τὸν Ἀπόλλωνα, οὐδὲ πρὸς τὸν ἄθικτον, καὶ ἀπροσπέλαστον αὐτοῦ νεών. ¶ Ἀβαῖσι ναόν. Ἄβαι τόπος Λυκίας, ἔνθα ἱερόν ἐστιν Ἀπόλλωνος. ἢ διὰ τῶν Σαμίων, ὅτι καὶ ἐκεῖ μαντεύονται, ὡς καὶ Πίνδαρος. ἢ ἀπὸ τῶν πανηγύρεων, ὅτι καὶ τῶν τοιούτων ἀφέξομαι, εἰ μὴ ταῦτα φανερωθῶσιν.. ¶ Εἰ μὴ τάδε. εἰ μὴ ταῦτα τῶν χρησμῶν, τὰ λεχθέντα ὑπὸ Ἰοκάστης, φανερὰ καὶ κατάδηλα γένηται, οὐκέτι τιμήσω θεούς.

Φ θίνοντα. ἀντὶ τοῦ παλαιά, παρεληλυθότα. γράφεται φθίνων. ἵν' ᾖ μὴ λάθοι σε ὁ Λάιος φθίνων, ἀλλὰ δείξαις αὐτοῦ τὸν θάνατον. τὰ γὰρ περὶ Λαΐου μαντεύματα ἐκβάλλουσι. καὶ οὐ παραδέχονται τὰ παρὰ τῶν θεῶν εἰρημένα ὡς ἀληθῆ.

Ε ξαιροῦσιν. ἀφανίζουσι. τὰ γὰρ τῷ Λαΐῳ θεσπισθέντα ἐκφαυλίζεται ὑπὸ Ἰοκάστης, καὶ παραγράφεται, καὶ ψευδῆ νομίζεται. ¶ Χώρας ἄνακτες. ἄνακτας φησὶ τοὺς τοῦ χοροῦ, οἷον βασιλικοὺς καὶ ἐντίμους. ¶ Ὑψοῦ γὰρ αἴρει. ἀντὶ τοῦ μετεωρίζεται τὴν ψυχήν. καὶ ὑπερβαλλόντως ἄχθεται πάντα λογιζόμενος, αὐτὸν τὸν φόνον. τὸ τὴν γυναῖκα ἔχειν τοῦ ἀνῃρημένου. τὴν προσδοκωμένην φυγήν. τὸ μὴ δύνασθαι ἀναστρέψαι πρὸς τοὺς οἰκείους, τὸ δέος τῶν χρησμῶν. Οὐδ' ὁποῖ' ἀνὴρ ἔννους. οὐχ ὡς συνετὸς ἀνήρ. διὰ τῶν φθασάντων τὰ παρόντα γινώσκει. εἰ γὰρ ὑπὸ Ἀπόλλωνος δοθεὶς περὶ Λαΐῳ χρησμὸς ἠκύρωται, δῆλον ὅτι καὶ ἃ νῦν ἐμαντεύσατο ὁ Τειρεσίας, ψευδῆ ἐστιν. ¶ Ἀλλ' ἐστὶ τοῦ λέγοντος. μόνοις προσέχει τοῖς τὰ δεινὰ καὶ φοβερὰ ἀπαγγέλλουσι. τῶν δὲ παραμυθουμένων οὐκ ἀνέχεται. ¶ Πρός σ' ὦ Λύκει' Ἄπολλον. Λύκειον γυμνάσιόν ἐστιν Ἀθήνησιν, ἔνθα Ἀπόλλων τιμᾶται. καὶ Καλλίμαχος, Ἐγὼ δ' ἤντησα Λυκείου καλὸν ἀεὶ λιπόωντα κατὰ δρόμον Ἀπόλλωνος. ἄγχιστος δὲ ὤν, καθὸ οὐ πόρρω τῆς Ἀττικῆς αἱ Θῆβαι. ἢ καὶ ἐν Θήβαις ὁμώνυμον ἦν γυμνάσιον Λυκείου Ἀπόλλω

οὐκέτι τὸν ἄθικτον εἶμι
γᾶς ἐπ' ὀμφαλὸν σέβων,
οὐδ' ἐς τὸν Ἀβαῖσι ναόν,
οὐδὲ τὰν Ὀλυμπίαν, εἰ μὴ τάδε
χειρόδεικτα πᾶσιν ἁρμόσει βροτοῖς.
ἀλλ' ὦ κρατύνων, εἴπερ ὄρθ' ἀκούεις,
Ζεῦ πάντ' ἀνάσσων, μὴ λάθῃ σε τάν τε
ἀθάνατον αἰὲν ἀρχάν. (σὰν
φθίνοντα γὰρ Λαΐου παλαιὰ θέσφα-
τ' ἐξαιροῦσιν ἤδη, κοὐδαμοῦ
τιμαῖς Ἀπόλλων ἐμφανής.
ἔρρει δὲ τὰ θεῖα.
Ιο Χώρας ἄνακτες, δόξα μοι παρεστάθη
ναοὺς ἱκέσθαι δαιμόνων, τάδ' ἐν χεροῖν
στέφη λαβούσῃ, κἀπιθυμιάματα.
ὑψοῦ γὰρ αἴρει θυμὸν Οἰδίπους ἄγαν
λύπαισι παντοίαισιν, οὐδ' ὁποῖ' ἀνὴρ
ἔννους, τὰ καινὰ τοῖς πάλαι τεκμαίρεται.
ἀλλ' ἐστὶ τοῦ λέγοντος, ἢν φόβους λέγῃ.
ὅτ' οὖν παραινοῦσ' οὐδὲν ἐς πλέον ποιῶ,
πρός σ' ὦ Λύκει' Ἄπολλον, ἄγχιστος γὰρ εἶ,
ἱκέτις ἀφῖγμαι τοῖσδε σὺν κατεύγμασιν,
ὅπως λύσιν τιν' ἡμὶν εὐαγῆ πόρῃς.
ὡς νῦν ὀκνοῦμεν πάντες, ἐκπεπληγμένον
κεῖνον βλέποντες, ὡς κυβερνήτην νεώς.

Αγ ἆρ' ἂν παρ' ὑμῶν ὦ ξένοι μάθοιμ', ὅπου
τὰ τοῦ τυράννου δώματ' ἐστὶν Οἰδίπου;
μάλιστα δ' αὐτὸν εἴπατ', εἰ κάτισθ' ὅπου.
Χο στέγαι μὲν αἵδε, καὐτὸς ἔνδον ὦ ξένε.
γυνὴ δὲ μήτηρ ἥδε τῶν κείνου τέκνων.
Αγ ἀλλ' ὀλβία τε καὶ ξὺν ὀλβίοις ἀεὶ
γένοιτ' ἐκείνου γ' οὖσα παντελὴς δάμαρ.
Ιο αὔτως δὲ καὶ σύ γ' ὦ ξέν'. ἄξιος γὰρ εἶ
τῆς εὐεπείας οὕνεκ'. ἀλλὰ φράζ' ὅτου
χρῄζων ἀφῖξαι, χ' ὅ, τι σημῆναι θέλων.
Αγ ἀγαθὰ δόμοις τε καὶ πόσει τῷ σῷ γύναι.
Ιο τὰ ποῖα ταῦτα; παρὰ τίνος δ' ἀφιγμένος;
Αγ ἐκ τῆς Κορίνθου. τὸ δ' ἔπος οὐξερῶ τάχα,
ἥδοιο μέν. πῶς δ' οὐκ ἄν; ἀσχάλλοις δ' ἴσως.
Ιο τί δ' ἔστι; ποίαν δύναμιν ὧδ' ἔχει διπλῆν;
Αγ τύραννον αὐτὸν οὐπιχώριοι χθονὸς
τῆς ἰσθμίας στήσουσιν, ὡς ηὐδᾶτ' ἐκεῖ.
Ιο τί δ' οὐχ ὁ πρέσβυς Πόλυβος ἐγκρατὴς ἔτι;
Αγ οὐ δῆτ'. ἐπεί νιν θάνατος ἐν τάφοις ἔχει.
Ιο πῶς εἶπας; ἦ τέθνηκε Πόλυβος; Αγ εἰ δὲ μὴ
λέγω γ' ἐγὼ τἀληθές, ἀξιῶ θανεῖν.
Ιο ὦ πρόσπολ', οὐχὶ δεσπότῃ τάδ' ὡς τάχος
μολοῦσα λέξεις; ὦ θεῶν μαντεύματα
ἵν' ἐστέ; τοῦτον Οἰδίπους πάλαι τρέμων
τὸν ἄνδρ', ἔφευγε μὴ κτάνοι. καὶ νῦν ὅδε,
πρὸς τῆς τύχης ὄλωλεν, οὐδὲ τοῦδ' ὕπο.
Οι ὦ φίλτατον γυναικὸς Ἰοκάστης κάρα,
τί μ' ἐξεπέμψω δεῦρο τῶνδε δωμάτων;
Ιο ἄκουε τἀνδρὸς τοῦδε, καὶ σκόπει κλύων
τὰ σέμν' ἵν' ἥκει τοῦ θεοῦ μαντεύματα.
Οι οὗτος δὲ τίς ποτ' ἐστί, καὶ τί μοι λέγει;
Ιο ἐκ τῆς Κορίνθου, πατέρα τὸν σὸν ἀγγελῶν
ὡς οὐκέτ' ὄντα Πόλυβον, ἀλλ' ὀλωλότα.
Οι τί φῂς ξέν'; αὐτός μοι σὺ σημάντωρ γενοῦ.
Αγ εἰ τοῦτο πρῶτον δεῖ μ' ἀπαγγεῖλαι σαφῶς
εὖ ἴσθ' ἐκεῖνον θανάσιμον βεβηκότα.
Οι πότερα δόλοισιν, ἢ νόσου ξυναλλαγῇ;

νος. νῦν γὰρ οὐ τὸν ἐν Λοκίᾳ, ἀλλ' ἢ τὸν ἐν Θήβαις, ἢ ταῖς πλησιοχώροις Ἀθήναις τιμώμενον. Α Ρ' ἂν παρ' ὑμῶν. ἔρχεται ἄγγελος ἀπὸ Κορίνθου ἀπαγγέλλων τὸν θάνατον Πολύβου, καὶ ἀντ' αὐτοῦ τύραννον Οἰδίπουν αἱρεθῆναι, οὗτος δέ ἐστιν ὁ ἐκτεθέντα τὸν Οἰδίπουν εὑρὼν καὶ δοὺς Πολύβῳ. ¶ Γυνὴ δὲ μήτηρ. κἂν ταῦθ' ἔθηκε τὸ ἀμφίβολον, ὃ τέρπει τὸν ἀκροατήν. ¶ Ἐκείνου γ' οὖσα παντελὴς δάμαρ. τοῦτο πρὸς τὸ γυνὴ τε μήτηρ τε τῶν κείνου τέκνων. τοῦτο γὰρ τέλειον ἐν γάμῳ, ὅθεν καὶ ἐκ τοῦ ἐναντίου Ὅμηρός φησι Καὶ δόμος ἡμιτελής. ¶ Ἥδοιο μέν. δὴ μὲν τὸ εὖ πράσσειν, ἑτέρας ἀρχῆς ἀντιλαβέσθαι, ἀσχάλλοις δέ φησιν αὐτήν. ἀσχάλλειν δὲ διὰ τὸ ἀποθανεῖν Οἰδίπου τὰ οἰκεῖα. ¶ Τύραννον αὐτόν. παρὰ τὸ ὁ ἄγγελος τὰ ἡδέα πρῶτον ἀπαγγέλλει, πρὶν εἰπεῖν τὰ περὶ θανάτου ¶ Τῆς ἰσθμίας. τῆς κορινθίας. ἐκεῖ γάρ ὁ ἰσθμός. ¶ Ὦ πρόσπολ', θεραπαινίς. κελεύει γὰρ ἡ Ἰοκάστη. ἀσμένως γὰρ ἀκήκοε τὰ περὶ τοῦ θανάτου, ἵνα πάλιν ἀναζέψῃ τὰ μαντεύματα. οἶδε γὰρ τὸν Οἰδίπουν ποδὰ ταῦτα δεδοικότα. ¶ Ὦ θεῶν μαντεύματα ἵν' ἐστέ. ὅπου ἐστέ. καὶ ἔγκειται παιδευτικὸν τὸ δρᾶμα, ὡς οὐ δεῖ καταφρονεῖν τῶν θείων. οἱ γὰρ τοιαῦτα φθεγξάμενοι μετ' ὀλίγον φανήσονται οἷοί εἰσι. ¶ Σκόπει κλύων. δοκίμαζε. Εἰ τοῦτο πρῶτον δεῖ μ' ἀπαγγέλλειν. ἠθικῶς. ὁ ἄπλος οὐχ ὡς ἀπὸ τούτων θέλων ἄρξασθαι, ἀλλ' ἀπὸ τῶν ἡδέων. ¶ Ξυναλλαγῇ. κοινωνίᾳ νόσου. ἀντὶ τοῦ ὑπὸ νόσου.

Σμικρὰ παλαιά. ἡ τυχοῦσα πρόφασις ἐξαρκεῖ, ὥστε τὸ παλαιὸν σῶμα ἐξενεγκεῖν τοῦ βίου.

Εὐνάζει. κατακοιμίζει. ¶ Καὶ τῷ μακρῷ. ὅτι ὁ ἄγγελος φησὶν ὡς παραμυθούμενος, ὅτι μακραίων ἀπέθανε, καὶ οὐ δεῖ ἐπ' αὐτῷ ἀπολοφύρεσθαι. ¶ Ὧν ὑφηγητῶν. ὑφ' ὧν μαντείαν δεχόμενος. τῶν ὀρνεοσκόπων καὶ μαντέων. ¶ Κεύθει κάτω γῆς. ἀντὶ τοῦ κεύθεται κεκρύπτεται. καὶ ἐν Ἀντιγόνῃ, „Μητρὸς δ' ἐν ᾅδου καὶ πα„τρὸς κεκευθότοιν. ¶ Ἐγὼ δ' ὅδ' ἐνθάδε. ἐγὼ ὁ ἐνταῦθα ὤν, οὐκ ἔλαβον δόρυ, ἵνα αὐτὸν ἀποκτείνω. εἰ μή τις εἴποι, ὅτι τάχα διὰ τὸν ἐμὸν πόθον ἀπέθανεν. Οὕτω δ' ἂν θανών. ὅτι ὡς ἐν ἤθει μωκώμενός φησι. δῆλον δὲ ἐκ τοῦ ἑξῆς. ὁ γὰρ Πόλυβος τὰ παλαιὰ θεσπίσματά φησι παραλαβὼν μηδενὸς ἄξια, κεῖται παρὰ τῷ ᾅδῃ. ¶ Καὶ πῶς τὸ μητρός. περὶ τοῦ λείποντος εὐλαβεῖται, τοῦ μιχθῆναι τῇ μητρί. ¶ Ὧ τὰ τῆς τύχης. ᾧ ἡ τύχη δεξιῶς ἔχει, ἀντὶ τοῦ ὧν ἀπαθὴς τύχης ἐγκρατούσης. ¶ Πρόνοια. πρόγνωσις. ¶ Εἰκῆ κράτιστον. καλὸν τὸ ζῆν ἀλόγως. ¶ Καὶ μὴν μέγας ὀφθαλμός. ὄψις καὶ τεκμήριον τοῦ μὴ τὰ κατὰ τὴν μητέρα ἀποβήσεσθαι ἡ πατρὸς τελευτή.

Αγ. Σμικρὰ παλαιὰ σώματ' εὐνάζει ῥοπή.
Οἰ. νόσοις ὁ τλήμων ὡς ἔοικεν ἔφθιτο.
Αγ. καὶ τῷ μακρῷ γε συμμετρούμενος χρόνῳ.
Οἰ. Φεῦ, φεῦ. τί δῆτ' ἂν ὦ γύναι σκοποῖτό τις
τὴν πυθόμαντιν ἑστίαν, ἢ τοὺς ἄνω
κλάζοντας ὄρνις; ὧν ὑφηγητῶν, ἐγὼ
κτανεῖν ἔμελλον πατέρα τὸν ἐμόν. ὁ δὲ θανὼν
κεύθει κάτω δὴ γῆς. ἐγὼ δ' ὅδ' ἐνθάδε,
ἄψαυστος ἔγχους, εἴ τι μὴ τὠμῷ πόθῳ
κατέφθιθ'. οὕτω δ' ἂν θανὼν εἴη 'ξ ἐμοῦ.
τὰ δ' οὖν παρόντα συλλαβὼν θεσπίσματα,
κεῖται παρ' ἅδῃ Πόλυβος, ἄξιος οὐδενός.
Ιο. οὔκουν ἐγώ σοι ταῦτα προὔλεγον πάλαι;
Οἰ. ηὔδας. ἐγὼ δὲ τῷ φόβῳ παρηγόμην.
Ιο. μὴ νῦν ἔτ' αὐτῶν μηδὲν ἐς θυμὸν βάλῃς.
Οἰ. καὶ πῶς τὸ μητρὸς λέκτρον οὐκ ὀκνεῖν με δεῖ;
Ιο. τί δ' ἂν φοβοῖτ' ἄνθρωπος, ᾧ τὰ τῆς τύχης
κρατεῖ, πρόνοια δ' ἐστὶν οὐδενὸς σαφής.
εἰκῆ κράτιστον ζῆν, ὅπως δύναιτό τις.
σὺ δ' εἰς τὰ μητρὸς μὴ φοβοῦ νυμφεύματα.
πολλοὶ γὰρ ἤδη κἀν ὀνείρασι βροτῶν
μητρὶ ξυνηυνάσθησαν. ἀλλὰ ταῦθ' ὅτῳ
παρ' οὐδέν ἐστι, ῥᾷστα τὸν βίον φέρει.
Οἰ. καλῶς ἅπαντ' ταῦτ' ἂν ἐξείρητό σοι,
εἰ μὴ 'κύρει ζῶσ' ἡ τεκοῦσα. νῦν δ' ἐπεὶ
ζῇ, πᾶσ' ἀνάγκη, κεἰ καλῶς λέγεις, ὀκνεῖν.
Ιο. καὶ μὴν μέγας ὀφθαλμὸς οἱ πατρὸς τάφοι.
Οἰ. μέγας. ξυνίημ'. ἀλλὰ τῆς ζώσης φόβος.
Ιο. ποίας δὲ καὶ γυναικὸς ἐκφοβεῖσθ' ὕπερ;
Οἰ. Μερόπης γεραιέ, Πόλυβος ἧς ᾤκει μέτα.
Αγ. τί δ' ἔστ' ἐκείνης ὑμὶν ἐς φόβον φέρον;
Οἰ. θεήλατον μάντευμα δεινὸν ὦ ξένε.
Αγ. ἦ ῥητόν, ἢ οὐ θεμιστὸν ἄλλον εἰδέναι;
Οἰ. μάλιστά γ'. εἶπε γάρ με Λοξίας ποτὲ
χρῆναι μιγῆναι μητρὶ τῇ 'μαυτοῦ, τό τε
πατρῷον αἷμα, χερσὶ ταῖς ἐμαῖς ἑλεῖν.
ὧν οὕνεχ' ἡ Κόρινθος ἐξ ἐμοῦ πάλαι,
μακρὰν ἀπῳκεῖτ' εὐτυχῶς μέν, ἀλλ' ὅ

μως

τὰ τῶν τεκόντων ὄμμαθ' ἥδιστον βλέπειν.
Αγ ἦ γὰρ τάδ' ὀκνῶν, κεῖθεν ἦσθ' ἀπόπτολις;
Οἰ πατρός τε χρῄζων μὴ φονεὺς εἶναι γέρον.
Αγ τί δῆτ' ἔγωγ' οὐχὶ τοῦδε τοῦ φόβου σ' ἄναξ,
ἐπείπερ εὔνους ἦλθον, ἐξελυσάμην;
Οἰ καὶ μὴν χάριν γ' ἂν ἀξίαν λάβοις ἐμοῦ.
Αγ καὶ μὴν μάλιστα τοῦτ' ἀφικόμην, ὅπως
σοῦ πρὸς δόμους ἐλθόντος, εὖ πράξαιμί τι.
Οἰ ἀλλ' οὔποτ' εἶμι τοῖς φυτεύσασίν γ' ὁμοῦ.
Αγ ὦ παῖ, καλῶς εἶ δῆλος, οὐκ εἰδὼς τί δρᾷς.
Οἰ πῶς ὦ γεραιέ; πρὸς θεῶν δίδασκέ με.
Αγ εἰ τῶνδε φεύγεις οὕνεκ' εἰς οἴκους μολεῖν.
Οἰ ταρβῶ τε μή μοι Φοῖβος ἐξέλθῃ σαφής.
Αγ ἢ μὴ μίασμα τῶν φυτευσάντων λάβῃς;
Οἰ τοῦτ' αὐτὸ πρέσβυ, τοῦτό μ' εἰσαεὶ φοβεῖ.
Αγ ἆρ' οἶσθα δῆτα πρὸς δίκης οὐδὲν τρέμων;
Οἰ πῶς δ' οὐχί, παῖς γ' εἰ τῶνδε γεννητῶν ἔφυν;
Αγ ὁθούνεκ' ἦν σοι Πόλυβος οὐδὲν ἐν γένει.
Οἰ πῶς εἶπας; οὐ γὰρ Πόλυβος ἐξέφυσέ με;
Αγ οὐ μᾶλλον οὐδὲν τοῦδε τἀνδρός, ἀλλ' ἴσον.
Οἰ καὶ πῶς ὁ φύσας ἐξ ἴσου τῷ μηδενί;
Αγ ἀλλ' οὔ σ' ἐγείνατ', οὔτ' ἐκεῖνος, οὔτ' ἐγώ.
Οἰ ἀλλ' ἀντὶ τοῦ δὴ παῖδά μ' ὠνομάζετο;
Αγ δῶρόν ποτ' ἴσθι τῶν ἐμῶν χειρῶν λαβών.
Οἰ κᾆθ' ὧδ' ἀπ' ἄλλης χειρὸς ἔστερξεν μέγα;
Αγ ἡ γὰρ πρὶν αὐτὸν ἐξέπεισ' ἀπαιδία.
Οἰ σὺ δ' ἐμπολήσας, ἢ τεκών μ' αὐτῷ δίδως;
Αγ εὑρὼν ναπαίαις ἐν Κιθαιρῶνος πτυχαῖς.
Οἰ ὡδοιπόρεις δὲ πρὸς τί τούσδε τοὺς τόπους;
Αγ ἐνταῦθ' ὀρείοις ποιμνίοις ἐπεστάτουν.
Οἰ ποιμὴν γὰρ ἦσθα, κἀπὶ θητείᾳ πλάνης;
Αγ σοῦ γ' ὦ τέκνον σωτήρ τε τῷ τότ' ἐν χρόνῳ.
Οἰ τί δ' ἄλγος ἴσχοντ' ἐν κακοῖς με λαμβάνεις;
Αγ ποδῶν ἂν ἄρθρα μαρτυρήσειεν τὰ σά.
Οἰ οἴμοι, τί τοῦτ' ἀρχαῖον ἐννέπεις κακόν;
Αγ λύω σ' ἔχοντα διατόρους ποδοῖν ἀκμάς.
Οἰ δεινόν γ' ὄνειδος σπαργάνων ἀνειλόμην.

¶ ΚΑΙ μὴν μάλιστα τοῦτ' ἀφικόμην. ἤγουν δι' αὐτό. ¶ Σοῦ πρὸς δόμους ἐλθόντος. ἀντὶ τοῦ εἰς κόρινθον. ¶ Ω παῖ καλῶς. ἀντὶ τοῦ περιφανῶς. ¶ Αρ' οἶσθα δῆτα. ἆρα οἶσθα ὅτι ἀδίκως εὐλαβῇ. ¶ Τῶνδε γεννητῶν. τῶν γεγεννηκότων. ¶ Οθ' οὕνεκ' ἦν σοι Πόλυβος. ὅτι οὐδέν σοι διαφέρει κατὰ γένος ὁ Πόλυβος. ¶ Εξ ἴσου τῷ μηδενί. τῷ ἠλλοτριωμένῳ, καὶ μὴ οἰκείῳ. ἔτι γὰρ Πολύβου νομίζει ἑαυτόν. ¶ Αλλ' οὔ σε γείνατ' ἐκεῖνος οὔτ' ἐγώ. ὥσπερ οὐ γέγονας ἐξ ἐμοῦ, οὕτως οὐδὲ ἐκ Πολύβου. ¶ Κᾆθ' ὧδ' ἀπ' ἄλλης. ἴδιον τοῦτο ἐν παραδόξοις ἀκούσμασι, τὸ αὐτὸ πολλάκις ἐπερωτᾶν. ¶ Σὺ δ' ἐμπολήσας. ὅ ἐστιν ἀγοράσας. δηλοῖ δὲ ἡ λέξις καὶ τὸ, εὑρών. ¶ Κἀπὶ θητείᾳ πλάνης. ἤτοι μίσθιος. καὶ ἐπὶ μισθῷ πλάνης. ἔστι δὲ ἀρσενικόν. ¶ Τί δ' ἄλγος ἴσχοντ'. εἰπόντος τοῦ γέροντος ὅτι σωτήρ σοι γέγονα, ὅπερ κοινὸν ἐστὶ πάντων ἐκτεθειμένων, ἀναπυνθάνεται ὁ Οἰδίπους, ὅτι ἐν ποίῳ ἄρα κακῷ ὄντα κατὰ τὴν ἔκθεσιν, ἵνα ἐκεῖνος εἴπῃ τὸ περὶ τῶν ποδῶν, ὅπερ ἤδη γινώσκει ἡ Ιοκάστη. ¶ Δεινόν γ' ὄνειδος σπαρ

γμένων, ἐκ σπαργάνων χαλεπὴν αἰσχύνην, διὰ τὴν τῶν ἄρθρων βλάβην. ¶ Πρὸς μητρὸς ἢ πατρὸς φάσον. ὑπὸ μητρὸς ὠνομάσθην, ἢ ἀπὸ τοῦ πατρὸς οἰδίπου. ἢ πρὸς θεῶν τινος εἰμὶ μητρός, ἢ ποίου πατρός. ¶ Ὑμεῖς γ' ἄριστ' εἰδεῖτ' ἄν. ἀντὶ τοῦ εἰδείητε ἄν. Οἶμαι μὲν οὐδέν' ἄλλον. ἐστοχάζετο ὁ χορὸς ἐκεῖνον εἶναι τὸν τὴν ἔκθεσιν πεποιημένον τοῦ παιδός, διὰ τὸ ἤδη συνοικοῦντα τὸ πρόσωπον αὐτὸ στῆσαι τῷ οἴκῳ. ¶ Οὐχ ἥκιστα. ἀντὶ τοῦ πάνυ. αἱ γὰρ δύο ἀρνήσεις μίαν συγκατάθεσιν ποιοῦσι. μάλιστ' ἂν ταῦτα εἴποι ἡ Ἰοκάστη. ¶ Ὃν τιν' εἶπε. συνίησιν ἤδη τὸ πᾶν ἡ Ἰοκάστη. καὶ θέλει ἤδη ἑαυτὴν διαχειρίσασθαι, πρὶν ἔκπυστα γενέσθαι τὰ κακά. τοῦτο δὲ δηλοῖ διὰ τό, ἅλις νοσοῦσ' ἐγώ. ¶ Οὐδ' ἂν ἐκ τρίτης ἐγώ. τρίτον πεπραμένος καὶ ἀπὸ τοῦ τρίπρατος. οἴεται δὲ τὴν Ἰοκάστην δυσγένειαν αὐτοῦ συνειδυῖαν, ἀποκρύπτειν καὶ κωλύειν τὴν ζήτησιν. ¶ Πλουσίῳ χαίρειν γένει. ἤγουν τρυφᾶν καὶ ἐναβρύνεσθαι. ¶ Ἰοὺ δύστηνε. ἐννοουμένη τὰ περὶ ἀναιρέσεως, αὐτὴ μὲν ἀπήλλακται, ὁ δὲ οἰδίπους περιλέλειπται. τὸ γὰρ αὐτοῦ πρόσωπον ἐστὶ τὸ πολυπαθές, τοῦ δὲ ἀπαθὲς ἡ διάθεσις τοῦ δράματος.

Αγ ὥστ' ὠνομάσθης ἐκ τύχης ταύτης, ὃς εἶ.
Οἰ ὦ πρὸς θεῶν, πρὸς μητρός, ἢ πατρὸς φάσον.
Αγ οὐκ οἶδ'. ὁ δοὺς δὲ ταῦτ', ἐμοῦ λῷον φρονεῖ.
Οἰ ἦ γὰρ παρ' ἄλλου μ' ἔλαβες, οὐδ' αὐτὸς τυχών;
Αγ οὔκ. ἀλλὰ ποιμὴν ἄλλος ἐκδίδωσί μοι.
Οἰ τίς οὗτος; ἦ κάτοισθα δηλῶσαι λόγῳ;
Αγ τῶν Λαΐου δήπου τις ὠνομάζετο.
Οἰ ἦ τοῦ τυράννου τῆσδε γῆς πάλαι ποτέ;
Αγ μάλιστα· τούτου τἀνδρὸς οὗτος ἦν βοτήρ.
Οἰ ἦ κἄστ' ἔτι ζῶν οὗτος, ὥστ' ἰδεῖν ἐμέ;
Αγ ὑμεῖς γ' ἄριστ' εἰδεῖτ' ἂν οὑπιχώριοι.
Οἰ ἔστιν τις ὑμῶν τῶν παρεστώτων πέλας,
ὅστις κάτοιδε τὸν βοτῆρ', ὃν ἐννέπει,
εἴτ' οὖν ἐπ' ἀγρῶν, εἴτε κἀνθάδ' εἰσιδών;
σημήναθ', ὡς ὁ καιρὸς εὑρῆσθαι τάδε.
Χο οἶμαι μὲν οὐδέν' ἄλλον, ἢ τὸν ἐξ ἀγρῶν,
ὃν καὶ ματεύεις πρόσθεν εἰσιδεῖν. ἀτὰρ
ἥδ' ἂν τάδ' οὐχ ἥκιστ' ἂν Ἰοκάστη λέγοι.
Οἰ γύναι, νοεῖς ἐκεῖνον ὅν τιν' ἀρτίως
μολεῖν ἐφιέμεσθα, τόνθ' οὗτος λέγει;
Ιο τίς δ' ὅν τιν' εἶπε; μηδὲν ἐντραπῇς. τὰ δὲ
ῥηθέντα, βούλου μηδὲ μεμνῆσθαι μάτην.
Οἰ οὐκ ἂν γένοιτο τοῦθ', ὅπως ἐγὼ λαβὼν
σημεῖα τοιαῦτ', οὐ φανῶ τοὐμὸν γένος.
Ιο μὴ πρὸς θεῶν, εἴπερ τι τοῦ σαυτοῦ βίου
κήδῃ, ματεύσῃς τοῦθ'. ἅλις νοσοῦσ' ἐγώ.
Οἰ θάρσει. σὺ μὲν γὰρ οὐδ' ἂν ἐκ τρίτης ἐγὼ
μητρὸς φανῶ τρίδουλος, ἐκφανῇ κακή.
Ιο ὅμως πιθοῦ μοι λίσσομαι, μὴ δρᾶν τάδε.
Οἰ οὐκ ἂν πιθοίμην μὴ οὐ τάδ' ἐκμαθεῖν σαφῶς.
Ιο καὶ μὴν φρονοῦσά γ' εὖ, τὰ λῷστά σοι λέγω.
Οἰ τὰ λῷστα τοίνυν ταῦτά μ' ἀλγύνει πάλαι.
Ιο ὦ δύσποτμ', εἴθε μήποτε γνοίης ὃς εἶ.
Οἰ ἄξει τις ἐλθὼν δεῦρο τὸν βοτῆρά μοι;
ταύτην δ' ἐᾶτε πλουσίῳ χαίρειν γένει.
Ιο ἰοὺ, ἰοὺ δύστηνε. τοῦτο γάρ σ' ἔχω
μόνον προσειπεῖν, ἄλλο δ' οὔποθ' ὕστερον.

¶ Τί ποτε βέβηκεν οἰδίπους.
Χο τί ποτε βέβηκεν οἰδίπους ὑπ' ἀγρίας

ἀντὶ τοῦ, ὦ Οἰδίπου. ἔστι δὲ ἀττικόν. ¶ Ἐγὼ δ᾽ ἐμαυτὸν παῖδα τῆς τύχης νέμων. ἀντὶ τοῦ ἐμαυτὸν τῇ τύχῃ παραδιδοὺς, ἀτιμίαν ἐκφεύξομαι.

ἀΐξασα λύπης ἡ γυνή· δέδοιχ᾽ ὅπως
μὴ ᾽κ τῆς σιωπῆς τῆσδ᾽ ἀναῤῥήξῃ κακά.
Οἰ. ὁποῖα χρήζει ῥηγνύτω. τοὐμὸν δ᾽ ἐγὼ
κεἰ σμικρόν ἐστι σπέρμ᾽, ἰδεῖν βουλήσομαι.
αὕτη δ᾽ ἴσως, φρονεῖ γὰρ ἡ γυνὴ μέγα,
τὴν δυσγένειαν τὴν ἐμὴν αἰσχύνεται.
Ἐγὼ δ᾽ ἐμαυτὸν παῖδα τῆς τύχης νέμων
τῆς εὖ διδούσης, οὐκ ἀτιμασθήσομαι.
τῆς γὰρ πέφυκα μητρός· οἱ δὲ συγγενεῖς
μῆνές με μικρὸν καὶ μέγαν διώρισαν.
τοιόσδε δ᾽ ἐκφὺς, οὐκ ἂν ἐξέλθοιμ᾽ ἔτι
ποτ᾽ ἄλλος, ὥστε μὴ ᾽κμαθεῖν τοὐμὸν γένος.
Χο. Εἴπερ ἐγὼ μάντις εἰμὶ,
καὶ κατὰ γνώμην ἴδρις,
οὐ τὸν Ὄλυμπον, ἀπείρων
ὦ Κιθαιρὼν οὐκ ἔσῃ
τὰν αὔριον πανσέληνον,
μὴ οὐ σέ γε καὶ πατριώταν
Οἰδίπου, καὶ τροφὸν, καὶ
ματέρ᾽ αὔξειν, καὶ χορεύεσθαι
πρὸς ἡμῶν, ὡς ἐπίηρα
φέροντα τοῖς ἐμοῖς τυράννοις.
ἰήϊε Φοῖβε, σοὶ δὲ ταῦτ᾽ ἀρέστ᾽ εἴη.
τίς σε τέκνον, τίς σ᾽ ἔτικτε
τῶν μακραιώνων; ἆρα
Πανὸς ὀρεασιβάτα προσπελασθεῖσα;
ἢ σέ γε τις θυγάτηρ Λοξίου;
τῷ γὰρ πλάκες ἀγρόνομοι
πᾶσαι φίλαι. εἴθ᾽ ὁ Κυλλάνας
ἀνάσσων, εἴθ᾽ ὁ Βακχεῖος θεὸς
ναίων ἐπ᾽ ἄκρων ὀρέων,
εὕρημα δέξατ᾽ ἔκ του νυμφᾶν

¶ Τοιόσδ᾽ ἐκφύς. τοιοῦτος πεφυκὼς, οὐκ ὀκνήσω τὸ γένος ἐξερευνῆσαι τὸ ἡμέτερον. ¶ Εἴπερ ἐγὼ μάντις εἰμί. ὑπονοοῦσιν οἱ κατὰ τὸν χορὸν χρηστότερόν τι περὶ τοῦ Οἰδίποδος. ὅτι θειοτέρου γένους τυγχάνει ἀπό τινος τῶν ὀρείων νυμφῶν. ποιοῦνται δὲ τὸν λόγον πρὸς τὸν Κιθαιρῶνα. καί φασιν, οὐκ ἔσῃ ἐς τὴν αὔριον ἀπείρατος τοῦ ἡμᾶς αὔξειν σε, ὡς τροφὸν καὶ μητέρα τοῦ Οἰδίποδος. ¶ Καὶ κατὰ γνώμην ἴδρις. ἔμπειρος κατὰ τὴν γνώμην, ὅ ἐστι συνετός. ¶ Αὔξειν. μεγαλύνειν. λέγειν. ¶ Καὶ χορεύεσθαι. ἀντὶ τοῦ ὑμνεῖσθαι. τιμᾶσθαι. ¶ Ὡς ἐπίηρα φέροντα. ὥσπερ τὰ θυμήρη παρέχοντα τοῖς ἐμοῖς βασιλεῦσιν, ἐνόμιζε γὰρ ὁ χορὸς τὸν ἀναγνωρισμὸν ὑπὲρ Οἰδίποδος γενέσθαι. ¶ Ἰήϊε Φοῖβε. ἀναγκαίως πρὸς τὸν Ἀπόλλωνα ἀποτείνει, διὰ τὸ ἄρξαι τῶν χρησμῶν.

¶ Ἆρα Πανὸς ὀρεασιβάτα. ἆρά τις προσπελασθεῖσα τοῦ Πανὸς, ἢ τοῦ Ἀπόλλωνος θυγάτηρ. καὶ γὰρ οὗτος νόμιος. ¶ Τῷ γὰρ πλάκες ἀγρόνομοι. αἱ ἐξοχαί. αἱ ἀναπτάσεις τῶν ὀρῶν. ¶ Ἀγρόνομοι. ἔνθα τὰ ἄγρια νέμεται. ὅ ἐστι, τὰ μὴ ἥμερα θηρία.

¶ Εἴθ᾽ ὁ Κυλλάνας. εἴτε ὁ Ἑρμῆς. νόμιος γάρ. εἴτε ὁ Διόνυσος· ἀπό τινος νύμφης γεννηθέντα σε ἀνεδέξατο.

BIBLIOTECA DE LA FACULTAD DE LETRAS DE GRANADA

Μὴ συναλλάξαντά πω. μὴ κοινωνήσαντα. μὴ συναλλάξαντα. τουτέστι, μὴ συντυχόντα. μὴ εἰς ἀμοιβὴν καὶ ὁμιλίαν ἐλθόντα. θεασάμενος δὲ ὁ Οἰδίπους τὸν πρεσβύτην ἐρχόμενον, ὃν μετεπέμψατο, στοχάζεται μὲν εἶναι αὐτὸν ἐκ τοῦ γήρως, ἐκ τῶν ἀγόντων οἰκετῶν. τὴν δὲ ἐπιστήμην καὶ ἀκριβῆ γνῶσιν, τῷ χορῷ ἀνατίθησι. ¶ Τῷδέ τ' ἀνδρὶ ξύμμετρος. τῷ Κορινθίῳ. ὁμήλιξ καὶ ἴσος ἐστὶ κατὰ τὴν ἡλικίαν. ¶ Τῇ δ' ἐπιστήμῃ. τῇ γνώσει ὑπερβάλλεις. ὡς καὶ πρὶν αὐτὸν θεασάμενος. ℂ Δεῦρό μοι φώνει βλέπων. ἀντὶ τοῦ ἐγνωκώς. ℂ Ἦν δὲ πρόσχωρος τόπος. ἀντὶ τοῦ ἦσαν οἱ πλησιόχωροι. Οἶσθα τῇδέ που μαθών. ἀντὶ τοῦ, ἐκεῖ μαθών. ¶ Ὁ μὲν διπλοῖσι ποιμνίοις. δύο ἀγέλαις. ¶ Ἐπλησίαζον τῷδε. συνήμην φησὶ τούτῳ. ἔαρ. θέρος. φθινόπωρον. καὶ οὗτοι ἂν εἶεν οἱ τρεῖς χρόνοι. Ἐμμήνους δὲ, τοὺς ἐν μησὶν ὁριζομένους. οὐκ ἐνιαυτούς. ℂ Ἐξ ἦρος εἰς ἀρκτοῦρον. τὴν ἑώαν ἐπιτολὴν ποιούμενον. γίνεται δὲ ταύτην, ἡλίου ὄντος ἐν τῇ παρθένῳ. ¶ Λέγεις ἀληθῆ. συγκατατίθεται ὁ γέρων. ἔδει γὰρ ταῦτα πρῶτον ὁμολογῆσαι. εἶτα ἐπάγειν τὰ συνεκτικώτατα, ἵνα μὴ ᾖ ἔξαρνος.

¶ Ἱστορεῖς. ἐρωτᾷς. ζητεῖς.

ἑλικωνιάδων, αἷς πλεῖστα συμπαίζει;

Οἰ. Εἰ χρή τι κἀμὲ μὴ ξυναλλάξαντά πω
πρέσβεις σταθμᾶσθαι, τὸν βοτῆρ' ὁρᾶν δοκῶ
ὅνπερ πάλαι ζητοῦμεν. ἔν τε γὰρ μακρῷ
γήρᾳ ξυνᾴδει. τῷδέ τ' ἀνδρὶ ξύμμετρος.
ἄλλως τε, τοὺς ἄγοντας, ὥσπερ οἰκέτας
ἔγνωκ' ἐμαυτοῦ. τῇ δ' ἐπιστήμῃ σύ μου
προὔχοις, τάχ' ἄν που τὸν βοτῆρ' ἰδὼν πά-

Χο. Ἔγνωκα γάρ σάφ' ἴσθι. Λαΐου γὰρ ἦν (ρος.
εἴπερ τις ἄλλος πιστὸς, ὡς νομεὺς ἀνήρ.

Οἰ. Σὲ πρῶτ' ἐρωτῶ τὸν Κορίνθιον ξένον.
ἦ τόνδε φράζεις; Αγ. Τοῦτον, ὅνπερ εἰσορᾷς.

Οἰ. Οὗτος σὺ πρέσβυ, δεῦρό μοι φώνει βλέπων
ὅσ' ἄν σ' ἐρωτῶ. Λαΐου ποτ' ἦσθα σύ;

Θε. Ἦν δοῦλος, οὐκ ὠνητὸς, ἀλλ' οἴκοι τραφείς.

Οἰ. Ἔργον μεριμνῶν ποῖον, ἢ βίον τίνα;

Θε. Ποίμναις τὰ πλεῖστα τοῦ βίου ξυνειπόμην.

Οἰ. Χώροις μάλιστα πρὸς τίσι ξύναυλος ὤν;

Θε. Ἦν μὲν Κιθαιρών. ἦν δὲ πρόσχωρος τόπος.

Οἰ. Τὸν ἄνδρα τόνδ' οὖν οἶσθα τῇδέ που μαθών;

Θε. Τί χρῆμα δρῶντα; ποῖον ἄνδρα καὶ λέγεις;

Οἰ. Τόνδ', ὃς πάρεστιν. ἦ ξυναλλάξας τί πω;

Θε. Οὐχ ὥστε γ' εἰπεῖν ἐν τάχει μνήμης ὕπο.

Αγ. Κοὐδέν γε θαῦμα δέσποτ'. ἀλλ' ἐγὼ σα
ἀγνῶτ' ἀναμνήσω νιν. εὖ γὰρ οἶδ' ὅτι (φῶς
κάτοιδεν. ἦμος τὸν Κιθαιρῶνος τόπον
ὁ μὲν διπλοῖσι ποιμνίοις, ἐγὼ δ' ἑνὶ
ἐπλησίαζον τῷδε τἀνδρὶ τρεῖς ὅλους
ἐξ ἦρος εἰς ἀρκτοῦρον ἐμμήνους χρόνους.
χειμῶνι δ' ἤδη, τἀμά τ' εἰς ἔπαυλ' ἐγὼ
ἤλαυνον. οὗτός τ' εἰς τὰ Λαΐου σταθμά.
λέγω τι τούτων, ἢ οὐ λέγω πεπραγμένον;

Θε. Λέγεις ἀληθῆ, καίπερ ἐκ μακροῦ χρόνου.

Αγ. Φέρ' εἰπὲ νῦν, τότ' οἶσθα παῖδά μοί τινα
δοὺς, ὡς ἐμαυτῷ θρέμμα θρεψαίμην ἐγώ;

Θε. Τί δ' ἔστι; πρὸς τί τοῦτο τοὔπος ἱστορεῖς;

Αγ. Ὅδ' ἐστὶν ὦ τᾶν κεῖνος, ὃς τότ' ἦν νέ-
ος.

θερ. οὐκ εἰς ὄλεθρον; οὐ σιωπήσας ἔσῃ;
Οἰ. ἆ, μὴ κόλαζε πρέσβυ τόνδ᾽. ἐπεὶ τὰ σὰ
δεῖται κολαστοῦ μᾶλλον, ἢ τὰ τοῦδ᾽ ἔπη.
θερ. τί δ᾽ ὦ φέριστε δεσποτῶν ἁμαρτάνω;
Οἰ. οὐκ ἐννέπων τὸν παῖδ᾽, ὃν οὗτος ἱστορεῖ.
θερ. λέγει γὰρ εἰδὼς οὐδὲν, ἀλλ᾽ ἄλλως πονεῖ.
Οἰ. σὺ πρὸς χάριν μὲν οὐκ ἐρεῖς, κλαίων δ᾽ ἐρεῖς.
θερ. μὴ δῆτα πρὸς θεῶν τὸν γέροντά μ᾽ αἰκίσῃ.
Οἰ. οὐχ ὡς τάχος τις τοῦδ᾽ ἀποστρέψει χέρας;
θερ. δύστηνος, ἀντὶ τοῦ; τί προσχρῄζων μαθεῖν;
Οἰ. τὸν παῖδ᾽ ἔδωκας τῷδ᾽, ὃν οὗτος ἱστορεῖ;
θερ. ἔδωκ᾽. ὀλέσθαι δ᾽ ὤφελον τῇδ᾽ ἡμέρᾳ.
Οἰ. ἀλλ᾽ εἰς τόδ᾽ ἥξεις μὴ λέγων γε τοὔνδικον;
θερ. πολλῷ γε μᾶλλον ἢν φράσω, διόλλυμαι.
Οἰ. ἀνὴρ ὅδ᾽ ὡς ἔοικεν, ἐς τριβὰς ἐλᾷ.
θερ. οὐ δῆτ᾽ ἔγωγ᾽. ἀλλ᾽ εἶπον ὡς δοίην πάλαι.
Οἰ. πόθεν λαβών; οἰκεῖον, ἢ 'ξ ἄλλου τινός;
θερ. ἐμὸν μὲν, οὐκ ἔγωγ᾽ ἐδεξάμην δέ του.
Οἰ. τίνος πολιτῶν τόνδε, κἀκ ποίας στέγης;
θερ. μὴ πρὸς θεῶν, μὴ δέσποτ᾽, ἱστόρει πλέον.
Οἰ. ὄλωλας, εἴ σε ταῦτ᾽ ἐρήσομαι πάλιν.
θερ. τῶν Λαΐου τοίνυν τις ἦν γεννημάτων.
Οἰ. ἢ δοῦλος, ἢ κείνου τις ἐγγενὴς γεγώς;
θερ. οἴμοι. πρὸς αὐτῷ γ᾽ εἰμὶ τῷ δεινῷ λέγειν.
Οἰ. κἄγωγ᾽ ἀκούων. ἀλλ᾽ ὅμως ἀκουστέον.
θερ. κείνου γέ τοι δὴ παῖς ἐκλῄζεθ᾽. ἡ δ᾽ ἔσω
κάλλιστ᾽ ἂν εἴποι σὴ γυνὴ τάδ᾽ ὡς ἔχει.
Οἰ. ἦ γὰρ δίδωσιν ἥδε σοι; Θερ. μάλιστ᾽ ἄναξ.
Οἰ. ὡς πρὸς τί χρείας; Θερ. ὡς ἀναλώσαιμί νιν.
Οἰ. τεκοῦσα τλήμων; Θερ. θεσφάτων γ᾽ ὄκνῳ κακῶν.
Οἰ. ποίων; Θερ. κτενεῖν νιν τοὺς τεκόντας ἦν λόγος.
Οἰ. πῶς δῆτ᾽ ἀφῆκας τῷ γέροντι τῷδε σύ;
θερ. κατοικτίσας ὦ δέσποθ᾽, ὡς ἄλλην χθόνα
δοκῶν ἀποίσειν, αὐτὸς ἔνθεν ἦν. ὁ δὲ,
κάκ᾽ εἰς μέγιστ᾽ ἔσωσεν. εἰ γὰρ οὗτος εἶ,
ὅν φησιν οὗτος, ἴσθι δύσποτμος γεγώς.
Οἰ. ἰοὺ, ἰού. τὰ πάντ᾽ ἂν ἐξίκοι σαφῆ.

¶ Οὐκ εἰς ὄλεθρον. αἰσθηθεὶς ὁ γέρων τοῦ παντὸς, ἀρνήσασθαι βούλεται οὐχ ὡς εἰδὼς καὶ ἀποκρυπτόμενος. ¶ Ἀντὶ τοῦ. ἀντὶ τοῦ τίνος. ¶ Τί προσχρῄζων μαθεῖν. λείπει ταῦτά με διατιθεῖς. ℭ Ὀλέσθαι δ᾽ ὤφελον. τοῦτο πάλιν, οὐχ ὡς εἰδὼς ὅτι αὐτὸς εἴη ὁ ἐκτεθειμένος ἀλλ᾽ ὅτι διὰ τὴν ἔκθεσιν τοῦτο πάσχει. ¶ Ἀλλ᾽ εἰς τόδ᾽ ἥξεις. εἰς τὸ ἀποθανεῖν, μὴ λέγων τὸ ἀληθές. ℭ Ἐς τριβὰς ἐλᾷ. ἤγουν εἰς βραδύτητα, ἢ διατριβὰς, καὶ ἀναβολάς. ℭ Ὄλωλας εἴ σε ταῦτα. εἰ δευτέραν ἀναμείνοις ἐξέτασιν. ¶ Ὡς ἀναλώσαιμί νιν. ἀντὶ τοῦ ἀπολέσαιμι. ¶ Τεκοῦσα τλήμων. κατ᾽ ἐρώτησιν. ℭ Κτενεῖν νιν τοὺς τεκόντας. τοῦτο κατὰ σύλληψιν. οὐ γὰρ φονεύει τὴν μητέρα. ¶ Πῶς δῆτ᾽. παρατηρητέον, ὅτι τὸν γέροντα μετεπέμψατο ἐπὶ τὸ ἀνακρῖναι τὸν φόνον τοῦ Λαΐου. καὶ προβληθέντος ἑτέρου τινὸς ἐπὶ τὸ ἀναγκαιότερον τρέπεται.

ℭ Ἐξίκοι σαφῆ. ἀντὶ τοῦ ἀποβαίη.

Ω φῶς τελευταῖόν σε. εὖ πέπλασται ὁ λόγος, οὐχ ὡς τὴν ἀπόρρησιν αἰνιττομένου. ἀλλ' ὡς τὸν θάνατον αὐτοῦ ὁ λόγος. ἀπορήσας γὰρ ξίφους, ἑαυτὸν ἐτύφλωσεν.

ΩΣ ὑμᾶς ἴσα καὶ τὸ μηδέν. οὕτως καὶ
" ἐν Αἴαντι, ὁρῶ γὰρ ἡμᾶς οὐδὲν
" ὄντας ἄλλο, πλὴν εἴδωλ', ὅσοι-
" περ ζῶμεν, ἢ κούφην σκιάν. καὶ
" Πίνδαρος, τί δέ τις, τί δ' οὔ-
" τις; σκιᾶς ὄναρ ἄνθρωποι.

Ε ναριθμῶ. ἐναριθμοῦμαι, ἵν' ᾖ τὸ ῥῆμα πρώτου προσώπου. καὶ οὐ δοτικὴ ἀρσενικοῦ. ¶ Ὅσον δοκεῖν. ὅσον δόξαι εὐδαίμων εἶναι. κατὰ ἀλήθειαν δὲ τοῦτο ἀνθρώπῳ οὐκ ἔστι. τὸ γὰρ τῆς τύχης ῥεῦμα μεταπίπτει ταχύ. ¶ Ἀποκλῖναι. πεσεῖν ἢ ἀποβαλεῖν. ¶ Τὸ σόν τι παράδειγμ' ἔχων. τὸν σὸν βίον παράδειγμ' ἔχων οὐδένα μακαρίζω καὶ εὐδαιμονίζω. ¶ Τοξεύσας. ἐπιτυχών, εὐτυχήσας. ¶ Γαμψώνυχα παρθένον. τὴν σφίγγα. ¶ Θανάτων δ' ἐμᾷ χώρᾳ. θανάτων τῶν ὑπὸ τῆς σφιγγὸς γινομένων. πύργος δέ, αἴτιος τῆς ἀσφαλείας καὶ ἀπαλέξησις γέγονε. ¶ Τανῦν δ' ἀκούειν. εἰς τὸ ἀκούειν. ¶ Ξύνοικος ἀλλαγᾷ βίου. συνοικῶν τῇ τοῦ βίου μεταβολῇ. ¶ Ὦ μέγας λιμήν. ᾧ ὑποδοχὴ εἰς τὸ ἄμφω δέξασθαι, σὲ καὶ τὸν πατέρα. ἢ ὅτι μήτηρ ἦν καὶ γυνὴ ἡ Ἰοκάστη, ἣν λέγει λιμένα. Θαλαμηπόλῳ. νυμφίῳ. ¶ Ἄλοκες. ἀντὶ τοῦ αὔλακες, αἱ κοῖται, αἱ σποραί, οἱ γάμοι. ¶ Σῖγ' ἐδυνάθησαν. πῶς φησὶ φωνὴν οὐκ

ὦ φῶς, τελευταῖόν σε προσβλέψαιμι νῦν.
ὅστις πέφασμαι, φύς τ' ἀφ' ὧν οὐ χρῆν, ξὺν οἷς
τ' οὐ χρῆν μ' ὁμιλῶν, οὕς τέ μ' οὐκ ἔδει κτανών.
Χο. Ἰὼ γενεαὶ βροτῶν,
ὡς ὑμᾶς ἴσα καὶ τὸ μηδὲν
ζώσας ἐναριθμῶ.
Τίς γάρ, τίς ἀνὴρ πλέον
τᾶς εὐδαιμονίας φέρει,
ἢ τοσοῦτον, ὅσον δοκεῖν,
καὶ δόξαντ', ἀποκλῖναι,
τὸ σόν τοι παράδειγμ' ἔχων,
τὸν σὸν δαίμονα τὸν σὸν ὦ τλᾶμον,
Οἰδιπόδα, βροτῶν οὐδένα μακαρίζω,
ὅστις καθ' ὑπερβολὰν τοξεύσας, (βου.
ἐκράτησας τοῦ πάντ' εὐδαίμονος ὄλ-
ὦ Ζεῦ, κατὰ μὲν φθίσας τὰν γαμψώνυχα
παρθένον χρησμῳδόν. (χα
θανάτων δ' ἐμᾷ χώρᾳ πύργος ἀνέστας.
ἐξ οὗ καὶ βασιλεὺς καλῇ ἐμός.
καὶ τὰ μέγιστ' ἐτιμάθης,
ταῖς μεγάλαισιν ἐν Θήβαις ἀνάσσων.
τανῦν δ' ἀκούειν, τίς ἀθλιώτερος;
τίς ἐν πόνοις; τίς ἄταις ἀγρίαις
ξύνοικος ἀλλαγᾷ βίου;
ἰὼ κλεινὸν Οἰδίπου κάρα,
ᾧ μέγας λιμὴν αὐτὸς ἤρκεσεν
παιδὶ καὶ πατρὶ θαλαμηπόλῳ πεσεῖν.
πῶς ποτε πῶς ποθ' αἱ πατρῷαι
σ' ἄλοκες φέρειν τάλας
σῖγ' ἐδυνάθησαν ἐς τοσόνδε;
ἐφεῦρέ σ' ἄκονθ' ὁ πάνθ' ὁρῶν χρόνος.
δικάζει τὸν ἄγαμον γάμον πάλαι,
τεκνοῦντα καὶ τεκνούμενον.
ἰὼ λαΐειον τέκνον.
εἴθε σ' εἴθε μή ποτ' ἰδόμαν.
ὀδύρομαι γὰρ ὡς περίαλλα
ἰαχέων ἐκ στομάτων.

τὸ δ' ὀρθὸν εἰπεῖν, ἀνέπνευσά τ' ἐκ σέθεν, καὶ
κατεκοίμησα τοὐμὸν ὄμμα.

ΕΞ Ὦ γῆς μέγιστα τῆσδ' ἀεὶ τιμώμενοι,
οἷ' ἔργ' ἀκούσεσθ'. οἷα δ' εἰσόψεσθ'. ὅσον
δ' ἀρεῖσθε πένθος, εἴπερ ἐγγενῶς ἔτι
τῶν Λαβδακείων ἐντρέπεσθε δωμάτων.
οἶμαι γὰρ οὔτ' ἂν Ἴστρον, οὔτε Φᾶσιν ἂν
νίψαι καθαρμῷ τήνδε τὴν στέγην, ὅσα
κεύθει. τὰ δ' αὐτίκ' εἰς τὸ φῶς φανεῖ κακὰ
ἑκόντα κοὐκ ἄκοντα. τῶν δὲ πημονῶν
μάλιστα λυποῦσ' αἳ 'ν φανῶσ' αὐθαίρετοι.

Χο λείπει μὲν οὐδ' ἃ πρόσθεν ᾔδειμεν τὸ μὴ οὐ
βαρύστον' εἶναι, πρὸς δ' ἐκείνοισιν, τί φῄς;

Αγ ὁ μὲν τάχιστος τῶν λόγων εἰπεῖν τε καὶ
μαθεῖν, τέθνηκε θεῖον Ἰοκάστης κάρα.

Χο Ὦ δυστάλαινα, πρὸς τίνος ποτ' αἰτίας;

Αγ αὐτὴ πρὸς αὐτῆς. τῶν δὲ πραχθέντων, τὰ μὲν
ἄλγιστ', ἄπεστιν. ἡ γὰρ ὄψις οὐ πάρα.
ὅμως δ' ὅσον γε κἀν ἐμοὶ μνήμης ἔνι,
πεύσῃ τὰ κείνης ἀθλίας παθήματα.
ὅπως γὰρ ὀργῇ χρωμένη παρῆλθ' ἔσω
θυρῶνος, ἵκετ' εὐθὺ πρὸς τὰ νυμφικὰ
λέχη, κόμην σπῶσ' ἀμφιδεξίοις ἀκμαῖς.
πύλας δ' ὅπως εἰσῆλθ' ἐπιρρήξασ' ἔσω,
καλεῖ τὸν ἤδη Λάϊον πάλαι νεκρόν,
μνήμην παλαιῶν σπερμάτων ἔχουσ'. ὑφ' ὧν
θάνοι μὲν αὐτός, τὴν δὲ τίκτουσαν λίποι
τοῖς οἷσιν αὐτοῦ δύστεκνον παιδουργίαν.
γοᾶτο δ' εὐνάς, ἔνθα δύστηνος διπλοῦς
ἐξ ἀνδρὸς ἄνδρας, καὶ τέκν' ἐκ τέκνων τέκοι.
χὤπως μὲν ἐκ τῶνδ' οὐκέτ' οἶδ' ἀπόλλυται.
βοῶν γὰρ εἰσέπαισεν Οἰδίπους. ὑφ' οὗ
οὐκ ἦν τὸ κείνης ἐκθεάσασθαι κακόν.
ἀλλ' εἰς ἐκεῖνον περιπολοῦντ' ἐλεύσσομεν.
φοιτᾷ γὰρ ἡμᾶς ἔγχος ἐξαιτῶν πορεῖν.
γυναῖκά τ' οὐ γυναῖκα, μητρῴαν δ' ὅπου
κίχοι διπλῆν ἄρουραν, οὗ τε καὶ τέκνων.
λυσσῶντι δ' αὐτῷ, δαιμόνων δείκνυσί τις.

ἐξέρρηξαν. ¶ Ὡς πλεῖστα. περισσῶς. ὑπερβολικῶς. ℭ Ἀνέπνευσά τ' ἐκ σέθεν. ἤγουν ἀνέπνευσα διὰ σέ. καὶ νῦν κατέμυσα τὸ ὄμμα. ἐξ οὗ δηλοῖ, καὶ νῦν ἐπήρθημεν πολισθέντος.

ℭ Ὦ γῆς μέγιστα. ἐξάγγελος ἔρχεται ἀπαγγέλλων, ὅτι ἀγχόνῃ ἐτελεύτησεν ἡ Ἰοκάστη, καὶ ὁ Οἰδίπους ἑαυτὸν ἐτύφλωσεν.

¶ Ἀρεῖσθε πένθος. ἀντὶ τοῦ λήψεσθε. ℭ Ἐγγενῶς. γνησίως.

ℭ Αἳ 'ν φανῶσ' αὐθαίρετοι. ἑκουσίως γὰρ ἑαυτὸν καὶ ὁ Οἰδίπους ἐτύφλωσε, καὶ ἡ Ἰοκάστη ἀπήγξατο. μάλιστά φησι τῶν κακῶν λυπεῖ τὰ μὴ ἐκ τύχης συμβάντα, ἀλλ' ὥσπερ ἐπίσπαστα καὶ αὐθαίρετα γινόμενα. ¶ Πύλας δ' ὅπως εἰσῆλθ'. τὸ ἑξῆς, ὅπως εἰσῆλθεν ἔσω ἐπιρρήξασα τὰς πύλας, τουτέστι, κλείσασα. Ὅμηρος, Τὸν τρεῖς ἐπιρρήσσεσκον Ἀχαιοί, τρεῖς δ' ἀναοίγεσκον. καλῶς δὲ τοῖς λέκτροις ἐπεμπίπτει. δι' αὐτὰ γὰρ ἀπόλλυται. ¶ Τὴν δὲ τίκτουσαν λίποι. τὴν δὲ γυναῖκα λίποι τὴν ἑαυτοῦ. τουτέστι, τὴν ἑαυτῷ γυναῖκα παιδοποιόν. ¶ Περιπολοῦντα. περιερχόμενον, ὥσπερ ἐμμανῆ.

Ἐκ δὲ πυθμένων. ἀνέῳξε τὰς πύλας, καὶ κατέβαλεν ἐκ τῶν πυθμένων. ¶ Πλεκταῖς ἐώραις. ἐώρα λέγεται κρέμασις, ὕψωσις, μέταρσις. ¶ Ἀρτάνην. τὴν ἀναρτητικήν. κυρίως δὲ ἀρτάνη λέγεται ἡ ἐκ τῶν καλῳδίων ἀγχόνη. ¶ Ἀλλ' ἐν σκότῳ τὸ λοιπὸν, οὓς μὲν οὐκ ἔδει ὀψοίαθ'. οὓς δ' ἔχρῃζεν οὐ γνωσοίατο. τὸ συμβαῖνον πᾶσι τοῖς τυφλοῖς εἶπεν. οὐχ ὁρῶντες γὰρ πολλάκις συμπίπτουσιν οἷς οὐκ ἂν ἐβούλοντο. οὐχ ὁρῶσι δὲ, ὧν δέονται. ἐν σκότῳ δὲ ἔσται ἀγνωσίᾳ. ¶ Ἐφυμνῶν. ἀνοιμώζων. ¶ Ἤρασσ' ἐπαίρων βλέφαρα. ἀναπετάσας τοὺς ὀφθαλμοὺς ἔπαισεν. ἐν τίνι σχολῇ. οἷον ἐν τίνι διατριβῇ. ¶ Βοᾷ διοίγειν κλῇθρα. πιθανὴ ἡ αἰτία τοῦ ἐξιέναι αὐτὸν, ἵνα φησὶ δείξῃ τοῖς πολίταις, ὅτι ἀξίως ἑαυτὸν ἐτιμωρήσατο, τοῖς ἀκουσίοις παθήμασι. καὶ ὡς μέλλων ἑκοντὶ ἐξιέναι τῆς πόλεως διὰ τὰς ἀρὰς, ἃς ἔφθασεν ἐπαρασάμενος.

οὐδεὶς γὰρ ἀνδρῶν, οἳ παρῆμεν ἐγγύθεν.
δεινὸν δ' ἀΰσας, ὡς ὑφ' ἡγητοῦ τινος,
πύλαις διπλαῖς ἐνήλατ'. ἐκ δὲ πυθμένων
ἔκλινε κοῖλα κλῇθρα, κἀμπίπτει στέγῃ.
οὗ δὴ κρεμαστὴν τὴν γυναῖκ' ἐσείδομεν,
πλεκταῖς ἐώραις ἐμπεπλεγμένην. ὁ δὲ,
ὅπως ὁρᾷ νιν, δεινὰ βρυχηθεὶς τάλας,
χαλᾷ κρεμαστὴν ἀρτάνην. ἐπεὶ δὲ γῇ
ἔκειθ' ὁ τλήμων, δεινὰ δ' ἦν τἀνθένδ' ὁρᾶν.
ἀποσπάσας γὰρ εἱμάτων χρυσηλάτους
περόνας ἀπ' αὐτῆς, αἷσιν ἐξεστέλλετο,
ἄρας, ἔπαισεν ἄρθρα τῶν αὐτοῦ κύκλων,
αὐδῶν τοιαῦθ', ὁθούνεκ' οὐκ ὄψοιτό νιν,
οὔθ' οἷ' ἔπασχεν, οὔθ' ὁποῖ' ἔδρα κακά.
ἀλλ' ἐν σκότῳ τὸ λοιπὸν, οὓς μὲν οὐκ ἔδει
ὀψοίαθ', οὓς δ' ἔχρῃζεν, οὐ γνωσοίατο.
τοιαῦτ' ἐφυμνῶν πολλάκις τε κοὐχ ἅπαξ
ἤρασσ' ἐπαίρων βλέφαρα. φοίνιαι δ' ὁμοῦ
γλῆναι γένει' ἔτεγγον, οὐδ' ἀνίεσαν
φόνου μυδώσας σταγόνας. ἀλλ' ὁμοῦ μέλας
ὄμβρος χαλάζης αἱματοῦς ἐτέγγετο.
τάδ' ἐκ δυοῖν ἔρρωγεν, οὐ μόνου κακά,
ἀλλ' ἀνδρὶ καὶ γυναικὶ συμμιγῆ κακά.
ὁ πρὶν παλαιὸς δ' ὄλβος ἦν πάροιθε μὲν
ὄλβος δικαίως. νῦν δὲ τῇδε θ' ἡμέρᾳ,
στεναγμὸς, ἄτη, θάνατος, αἰσχύνη, κακῶν
ὅσ' ἐστὶ πάντων ὀνόματ', οὐδέν ἐστ' ἀπόν.
Χο. νῦν δ' ἔσθ' ὁ τλήμων ἔν τινι σχολῇ κακοῦ;
Αγ. βοᾷ διοίγειν κλῇθρα, καὶ δηλοῦν τινὰ
τοῖς πᾶσι Καδμείοισι, τὸν πατροκτόνον,
τὸν μητρὸς, αὐδῶν ἀνόσι', οὐδὲ ῥητά μοι.
ὡς ἐκ χθονὸς ῥίψων ἑαυτὸν, οὐδ' ἔτι
μενῶν δόμοις ἀραῖος, ὡς ἠράσατο.
ῥώμης γε μέντοι καὶ προηγητοῦ τινος
δεῖται. τὸ γὰρ νόσημα μεῖζον ἢ φέρειν.
δείξει δὲ καὶ σοί. κλῇθρα γὰρ πυλῶν τάδε,
διοίγεται. θέαμα δ' εἰσόψει τάχα
τοιοῦτον, οἷον καὶ στυγοῦντ' ἐποικτίσαι.

Χο. ὦ δεινὸν ἰδεῖν πάθος ἀνθρώποις.
ὦ δεινότατον πάντων, ὅσ' ἐγὼ
προσέκυρσ' ἤδη. τίς σ' ὦ τλῆμον
προσέβη μανία; τίς ὁ πηδήσας
μείζονα δαίμων τῶν μακίστων
πρὸς σῇ δυσδαίμονι μοίρᾳ;
φεῦ. φεῦ, δύστανος. ἀλλ' οὐδ' ἐσιδεῖν
δύναμαί σε, θέλων πόλλ' ἀνερέσθαι,
πολλὰ πυθέσθαι, πολλὰ δ' ἀθρῆσαι,
τοίαν φρίκην παρέχεις μοι.
Οἰ. αἶ. αἶ. αἶ. αἶ.
φεῦ. φεῦ. δύστανος ἐγώ. ποῖ γᾶς
φέρομαι τλάμων; πᾷ μοι φθογγὰ
διαπέταται φοράδην;
ἰὼ δαῖμον, ἵν' ἐξήλου.
Χο. Ες δεινὸν, οὐδ' ἀκουστὸν, οὐδ' ἐπόψιμον.
Οἰ. ἰὼ σκότου νέφος ἐμὸν ἀπότροπον,
ἐπιπλώμενον ἄφατον,
ἀδάμαστόν τε, καὶ δυσούριστον. οἴμοι.
οἴμοι μάλ' αὖθις. οἷον εἰσέδυ μ' ἅμα
κέντρων τε τῶνδ' οἴστρημα, καὶ μνήμη κακῶν.
Χο. καὶ θαῦμά γ' οὐδὲν ἐν τοσοῖσδε πήμασι,
διπλᾶ σε πενθεῖν, καὶ διπλᾶ φέρειν κακά.
Οἰ. ἰὼ φίλος, σὺ μὲν ἐμὸς
ἐπίπολος ἔτι μόνιμος.
ἔτι γὰρ ὑπομένεις ἐμὲ
τὸν τυφλὸν κηδεύων. φεῦ. φεῦ.
οὐ γάρ με λήθεις, ἀλλὰ γινώσκω σαφῶς
καίπερ σκοτεινὸς, τήν γε σὴν αὐδὴν ὅμως.
Χο. Ω δεινὰ δράσας, πῶς ἔτλης τοιαῦτα σὰς
ὄψεις μαρᾶναι; τίς σ' ἐπῆρε δαιμόνων;
Οἰ. Ἀπόλλων τάδ' ἦν Ἀπόλλων ὦ φίλοι,
ὁ κακὰ τελῶν,
ἐμὰ τάδ' ἐμὰ πάθεα.
ἔπαισε δ' αὐτόχειρ νιν
οὔτις, ἀλλ' ἐγὼ τλάμων,
τί γὰρ ἔδει μ' ὁρᾶν,
ὅτῳ γ' ὁρῶντι μηδὲν ἦν ἰδεῖν γλυκύ;

Ω ΔΕΙνὸν πάθος ἀνθρώποις. ἴσως οἱ κατὰ τὸν χορὸν ἰδόντες ἀπεστράφησαν, μὴ δυνάμενοι θεάσασθαι τὸ πάθος. ¶ Δύστανος ἐγώ. ποῖ γᾶς. ποῦ εἰμι. ἐν ποίῳ χωρίῳ ἡ φθογγή μου φέρεται. τίνος ἀκούω. ποῦ ἐστιν ἡ φθογγή. ἤγουν σφόδρα μοι διαπέταται. ἧς φερομένης ἀκούω. ἢ οὕτως, ἀντὶ τοῦ ἀπέπτη ἡ φωνή. ¶ Ιν' ἐξήλου. ἡ μεταφορὰ ἀπὸ τῶν ἀγωνιζομένων πένταθλον καὶ ἁλλομένων. ¶ Αποτρόπον. ὃ ἄν τις ἀποτρέψαιτο. ¶ Α'φατον. ἀφάτως ἐπεληλυθός. Δυσούριστον. ὅρον μὴ ἔχον, ἀλλ' ἀεὶ περαινόμενον, δυσαπειόδευτον. ¶ Αδάμαστον. ἀνίατον, ὃ οὐδεὶς δαμάσαι δυνήσεται. ἢ σκληρὸν καὶ τραχὺ, ἀπὸ τοῦ ἀδάμαντος. ¶ Οἷον εἰσέδυ μ' ἅμα. οἷον ὁμοῦ με εἰσέδυ, ἥ τε ἀπὸ τῆς πηρώσεως ἀλγηδὼν, καὶ ἡ τῶν κακῶν ὑπόμνησις. ¶ Κέντρων τε τῶνδε. εἴληφε γὰρ αὐτὸν ὀδύνη, ἐπεὶ νεωστὶ τοῖς κέντροις ἐπεπήρωτο. ¶ Επίπολος. περιπολῶν ἐμὲ καὶ παραμένων ἔτι. νῦν δὲ τὸν ἀπὸ τοῦ χοροῦ γνωρίζει, ἴσως διὰ τὸ τεταράχθαι ὑπὸ τοῦ τοσούτῳ προσφάτῳ κακῷ.

¶ Τίς σ' ἐπῆρε δαιμόνων. ἤγουν ἔπεισε. καὶ ἐνεπαίδησε, Οστις μ' ἐπάρας ἔργον ἀνοσιώτατον.

Δείλαιε τοῦ νοῦ. δείλαιε διὰ συνέσεως ἕνεκεν· καὶ διὰ συμφορᾶς χάριν. χαλεπὸν γὰρ συνετὸν αὐθεςώτῳ, τὰ τοιαῦτα συνενεχθῆναι.

Ὤλοιθ' ὅστις ἦν. ἀπόλοιτό φησιν, ὅστις ἀπὸ τῆς ἀγρίας πέδης τῆς διανεμομένης τοὺς πόδας μου, ἔλαβε καὶ διέσωσέ με. Νομάδος ἐπιποδίας. ἐν τῇ δημοσίᾳ ὁδῷ, τῇ ὑπὸ τῶν νομέων πατουμένῃ.

Οὐδὲν εἰς χάριν. εἰς οὐδενὸς χάριν τὴν ἐμὴν σωτηρίαν ἐργαζόμενος. ἀντὶ τοῦ, μηδὲν χρηστὸν ἐργασάμενος ἐν τῷ διασῶσαί με. ¶ Τότε γὰρ ἂν θανών. ἀντὶ τοῦ θανόντος. ἦ ὃ ἦν, ἀντὶ τοῦ ἤμην. Ἀφ' ὧν αὐτὸς ἔφυν τάλας. ἐξ ὧν ἐτέχθη, ἐξ αὐτῶν καὶ τέτοκα. ¶ Εἰ δέ τι πρεσβύτερον. εἴ τι κακοῦ κάκιον, τοῦτ' ἔλαχεν Οἰδίπους. ¶ Ὡς μὲν τάδε. τὰ τῆς τυφλώσεως. Ἐγὼ γὰρ οὐκ οἶδ' ὄμμασιν. φησὶ πρὸ τοῦ θανάτου ταῦτα διαθεῖναι, ὅπως ἂν τοῖς γονεῦσι καθ' ᾅδου μὴ συντυγχάνῃ ὁρῶν. ἐπεὶ ἦν τι αὐτῷ τοῦτο αἰσχρόν. ¶ Οἷν ἐμοὶ δυοῖν ἔργ' ἐστὶ κρείσσον' ἀγχόνης εἰργασμένα. ἀγχόνης ἐπικρατέστερα, ἅπερ οὐκ ἦν ἰᾶσθαι, οὐδὲ ἐν θανάτῳ. διὰ τοῦτο οὖν ἀπολογεῖται, ὅτι μεῖζον κακὸν διεπράξατο εἰς ἑαυτὸν ἢ εἰ πρότερον ἦν τελευτήσας. ¶ Ἀλλ' ἡ τέκνων δῆτ' ὄψις. ἐν ἐρωτήσει.

Χο. ἦν ταῦθ', ὅπως περ καὶ σὺ φής.
Οἰ. τί δῆτ' ἐμοὶ βλεπτὸν ἢ στερκτὸν, ἢ προσ-
ἔτ' ἔστ' ἀκούειν ἡδονᾷ φίλοι; (σήγορον
ἀπάγετ' ἐκτόπιον ὅτι τάχιστά με.
ἀπάγετ' ὦ φίλοι, τὸν ὄλεθρον μέγαν.
τὸν καταρατότατον. ἔτι δὲ
καὶ θεοῖς ἐχθρότατον βροτῶν.
Χο. δείλαιε τοῦ νοῦ, τῆς τε συμφορᾶς ἴσον,
ὥς σ' ἠθέλησα μηδ' ἀναγνῶναί ποτε.
Οἰ. Ὄλοιθ' ὅστις ἦν, ὃς ἀπ' ἀγρίας πέδας
νομάδος ἐπιποδίας
ἔλυσεν, ἀπό τε φόνου
ἔρρυτο, κἀνέσωσεν, οὐδὲν εἰς χάριν
πράσσων. τότε γὰρ ἂν θανὼν,
οὐκ ἦν φίλοισιν, οὐδ' ἐμοὶ τοσόνδ' ἄχος.
Χο. θέλοντι κἀμοὶ τοῦτ' ἂν ἦν.
Οἰ. Οὔκουν πατρός γ' ἂν φονεὺς ἦλθον,
οὐδὲ νυμφίος βροτοῖς ἐκλήθην, ὧν ἔφυν ἄπο.
νῦν δ' ἄθλιος μέν εἰμ', ἀνοσίων δὲ παῖς.
ὁμογενὴς δ' ἀφ' ὧν αὐτὸς ἔφυν τάλας.
εἰ δέ τι πρεσβύτερον ἔφυ κακοῦ κακὸν
τοῦτ' ἔλαχ' Οἰδίπους.
Χο. Οὐκ οἶδ' ὅπως σε φῶ βεβουλεῦσθαι καλῶς.
κρείσσων γὰρ ἦσθα μηκέτ' ὤν, ἢ ζῶν τυφλός.
Οἰ. ὡς μὲν τάδ' οὐχ ὧδ' ἔστ' ἄριστ' εἰργασμένα
μή μ' ἐκδίδασκε, μηδὲ συμβούλευ' ἔτι.
ἐγὼ γὰρ οὐκ οἶδ' ὄμμασιν ποίοις βλέπων,
πατέρα ποτ' ἂν προσεῖδον εἰς ᾅδου μολὼν
οὐδ' αὖ τάλαιναν μητέρ'. οἷν ἐμοὶ δυοῖν
ἔργ' ἐστὶ κρείσσον' ἀγχόνης εἰργασμένα.
ἀλλ' ἡ τέκνων δῆτ' ὄψις ἦν ἐφίμερος
βλαστοῦσ', ὅπως ἔβλαστε προσλεύσσειν ἐμοί;
οὐ δῆτα, τοῖς γ' ἐμοῖσιν ὀφθαλμοῖς ποτε.
οὐδ' ἄστυ γ', οὐδὲ πύργος, οὐδὲ δαιμόνων
ἀγάλμαθ' ἱερά, τῶν ὁ παντλήμων ἐγὼ
κάλλιστ' ἀνὴρ εἷς, ἔν γε ταῖς Θήβαις τραφεὶς
ἀπεστέρησ' ἐμαυτόν. αὐτὸς ἐννέπων
ὠθεῖν ἅπαντας, τὸν ἀσεβῆ, τὸν ἐκ θεῶν

φανέντα

φανέντ᾽ ἄναγνον, καὶ γένους τοῦ Λαΐου,
τοιάνδ᾽ ἐγὼ κηλῖδα μηνύσας ἐμὴν,
ὀρθοῖς ἔμελλον ὄμμασιν τούτους ὁρᾶν;
ἥκιστά γ᾽. ἀλλ᾽ εἰ τῆς ἀκουούσης ἔτ᾽ ἦν
πηγῆς δι᾽ ὤτων φραγμὸς, οὐκ ἂν ἐσχόμην
τὸ μὴ ἀποκλεῖσαι τοὐμὸν ἄθλιον δέμας,
,, ἵν᾽ ἦν τυφλός τε καὶ κλύων μηδέν. τὸ γὰρ
,, τὴν φροντίδ᾽ ἔξω τῶν κακῶν οἰκεῖν, γλυκύ.
ἰὼ Κιθαιρών. τί μ᾽ ἐδέχου; τί μ᾽ οὐ λαβὼν
ἔκτεινας εὐθὺς, ὡς ἔδειξα μήποτε
ἐμαυτὸν ἀνθρώποισιν ἔνθεν ἦν γεγώς;
ὦ Πόλυβε, καὶ Κόρινθε, καὶ τὰ πάτρια
λόγῳ παλαιὰ δώμαθ᾽, οἷον ἆρά με
κάλλος κακῶν ὕπουλον ἐξεθρέψατε;
Νῦν γὰρ κακός τ᾽ ὢν, κἀκ κακῶν εὑρίσκομαι.
ὦ τρεῖς κέλευθοι, καὶ κεκρυμμένη νάπη,
δρυμός τε, καὶ στενωπὸς ἐν τριπλαῖς ὁδοῖς,
αἳ τοὐμὸν αἷμα, τῶν ἐμῶν χειρῶν ἄπο
ἐπίετε πατρός. ἆρά μου μέμνησθ᾽, ὅτι
οἷ᾽ ἔργα δράσας ὑμὶν, εἶτα δεῦρ᾽ ἰὼν
ὁποῖ᾽ ἔπρασσον αὖθις; ὦ γάμοι, γάμοι,
ἐφύσαθ᾽ ἡμᾶς. καὶ φυτεύσαντες, πάλιν
ἀνεῖτε ταὐτὸν σπέρμα, κἀπεδείξατε
πατέρας, ἀδελφοὺς, παῖδας, αἷμ᾽ ἐμφύλιον,
νύμφας, γυναῖκας, μητέρας τε, χὠπόσα
αἴσχιστ᾽ ἐν ἀνθρώποισιν ἔργα γίνεται.
,, Ἀλλ᾽ οὐ γὰρ αὐδᾶν ἔσθ᾽ ἃ μηδὲ δρᾶν καλόν.
ὅπως τάχιστα πρὸς θεῶν ἔξω μέ που
καλύψατ᾽, ἢ φονεύσατ᾽, ἢ θαλάσσιον
ἐκείψατ᾽. ἔνθα μήποτ᾽ εἰσόψεσθ᾽ ἔτι.
ἴτ᾽. ἀξιώσατ᾽ ἀνδρὸς ἀθλίου θιγεῖν.
πείθεσθε, μὴ δείσητε. τἀμὰ γὰρ κακὰ,
οὐδεὶς οἷός τε πλὴν ἐμοῦ φέρειν βροτῶν.

Χο ἀλλ᾽ ὧν ἐπαιτεῖς, ἐς δέον πάρεσθ᾽ ὅδε
Κρέων, τὸ πράσσειν καὶ τὸ βουλεύειν, ἐπεὶ
χώρας λέλειπται μοῦνος ἀντὶ σοῦ φύλαξ.

Οἰ Οἴμοι. τί δῆτα λέξομεν πρὸς τόνδ᾽ ἔπος;
τίς μοι φανεῖται πίστις ἔνδικος; τὰ γὰρ

¶ Κακῶν ὕπουλον. ὕπουλον κρυπτόν. ὡς εἰ ἔλεγε, τὸ κράτιστον τῶν κακῶν.

¶ Ἀλλ᾽ ὧν ἐπαιτεῖς. ὧν χρείαν ἔχεις εἰς βοήθειαν.

πάρος πρὸς αὐτὸν, πάντ᾽ ἐφεύρημαι κακός;
Κρέ. οὐχ ὡς γελαστὴς, Οἰδίπους, ἐλήλυθα,
οὐδ᾽ ὡς ὀνειδιῶν τι τῶν πάρος κακῶν.
ἀλλ᾽ εἰ τὰ θνητῶν μὴ καταισχύνεσθ᾽ ἔτι
γένεθλα, τὴν γοῦν πάντα βόσκουσαν φλόγα
αἰδεῖσθ᾽ ἄνακτος ἡλίου. τοιόνδ᾽ ἄγος
ἀκάλυπτον οὕτω δεικνύναι, τὸ, μήτε γῆ,
μήτ᾽ ὄμβρος ἱερὸς, μήτε φῶς προσδέξεται.
ἀλλ᾽ ὡς τάχιστ᾽ ἐς οἶκον ἐσκομίζετε.
„ Τοῖς ἐν γένει γὰρ τἀγγενῆ μάλισθ᾽ ὁρᾶν
„ Μόνοις τ᾽ ἀκούειν εὐσεβῶς ἔχει κακά.
Οἰ. πρὸς θεῶν, ἐπείπερ ἐλπίδος μ᾽ ἀπέσπασας
ἄριστος ἐλθὼν πρὸς κάκιστον ἄνδρ᾽ ἐμὲ,
πιθοῦ τί μοι. πρὸς σοῦ γὰρ οὐδ᾽ ἐμοῦ φράσω.
Κρέ. καὶ τοῦ με χρείας ὧδε λιπαρεῖς τυχεῖν;
Οἰ. ῥῖψόν με γῆς ἐκ τῆσδ᾽ ὅσον τάχισθ᾽, ὅπου
θνητῶν φανοῦμαι μηδενὸς προσήγορος.
Κρέ. ἔδρασ᾽ ἂν εὖ τοῦτ᾽ ἴσθ᾽ ἂν, εἰ μὴ τοῦ θεοῦ
πρώτιστ᾽ ἔχρῃζον ἐκμαθεῖν τί πρακτέον.
Οἰ. ἀλλ᾽ ἥ γ᾽ ἐκείνου πᾶσ᾽ ἐδηλώθη φάτις,
τὸν πατροφόντην τὸν ἀσεβῆ μ᾽ ἀπολλύναι.
Κρέ. οὕτως ἐλέχθη ταῦθ᾽. ὅμως δ᾽ ἵν᾽ ἕσταμεν
χρείας, ἄμεινον ἐκμαθεῖν τί δραστέον.
Οἰ. οὕτως ἄρ᾽ ἀνδρὸς ἀθλίου πεύσεσθ᾽ ὕπερ;
Κρέ. καὶ γὰρ σὺ νῦν τἂν τῷ θεῷ πίστιν φέροις.
Οἰ. καὶ σοί γ᾽ ἐπισκήπτω τε καὶ προστρέψομαι.
τῆς μὲν κατ᾽ οἴκους, αὐτὸς ὃν θέλεις τάφον
θοῦ. καὶ γὰρ ὀρθῶς τῶν γε σῶν τελεῖς ὕπερ.
ἐμοῦ δὲ, μή ποτ᾽ ἀξιωθήτω τόδε
πατρῷον ἄστυ, ζῶντος οἰκητοῦ τυχεῖν.
ἀλλ᾽ ἔα με ναίειν ὄρεσιν, ἔνθα κλῄζεται
οὑμὸς Κιθαιρὼν οὗτος, ὃν μήτηρ τέ μοι
πατήρ τ᾽ ἐθέσθην ζῶντε, κύριον τάφον.
ἵν᾽ ἐξ ἐκείνων οἵ μ᾽ ἀπωλλύτην, θάνω.
καίτοι τοσοῦτόν γ᾽ οἶδα, μήτε μ᾽ ἂν νόσον,
μήτ᾽ ἄλλο πέρσαι μηδέν. οὐ γὰρ ἄν ποτε
θνῄσκων ἐσώθην, μὴ ᾽πί τῳ δεινῷ κακῷ.
ἀλλ᾽ ἡ μὲν ἡμῶν μοῖρ᾽, ὅπηπερ εἶσ᾽, ἴτω.

παίδων

Π ιθοῦ τί μοι. πρὸς σοῦ γάρ. ὑπὲρ σοῦ, καὶ οὐχ ὑπὲρ ἐμαυτοῦ λέξω.

ΟΥ τως ἐλέχθη ταῦθ᾽. ὅμως δ᾽ ἵν᾽ ἕσταμεν. ὁ μὲν τῷ προειρημένῳ χρησμῷ ἀξιοῖ ἀκολουθεῖν, ὅτι δεῖ ῥίπτειν αὐτὸν ἀπὸ τῆς χώρας. ὁ δὲ Κρέων ἐπανέρεσθαί φησι δεῖν, ὅτι καὶ Λαΐου παῖς, καὶ βασιλεὺς τυγχάνει. ¶ Ὅμως δ᾽ ἵν᾽ ἕσταμεν χρείας. ἡ χρεία ἡ κατέχουσα ἡμᾶς φησι, ταῦτα ἀπαιτεῖ.

Κ αὶ σὺ νῦν τ᾽ ἂν τῷ θεῷ πίστιν φέροις. ἵνα καὶ μετὰ γνώμης ᾖ, οὐ ἀπειλῆς.

Κ ύριον τάφον. ἴδιον, ἢ ὀφειλόμενον, καὶ κεκυρωμένον. ¶ Ἵν᾽ ἐξ ἐκείνων, οἵ μ᾽ ἀπωλλύτην θάνω. ἵνα δόξω νῦν ἀναιρεθῆ ἐν τῷ Κιθαιρῶνι, καθὼς τοῖς γονεῦσιν ἐδόκει. καὶ νῦν τῷ βουλήματι αὐ-

παίδων δὲ τῶν μὲν ἀρσένων, μή μοι, Κρέον
πρόσθῃ μέριμναν. ἄνδρές εἰσιν, ὥστε μὴ
σπάνιν ποτὲ σχεῖν, ἔνθ' ἂν ὦσι τοῦ βίου.
ταῖν δ' ἀθλίαιν οἰκτραῖν τε παρθένοιν ἐμαῖν,
αἷν οὔποθ' ἡ 'μὴ χωρὶς ἐστάθη βορᾶς
τράπεζ' ἄνευ τοῦδ' ἀνδρός. ἀλλ' ὅσων ἐγὼ
ψαύοιμι, πάντων τῶνδ' ἀεὶ μετειχέτην,
αἷν μοι μέλεσθαι. καὶ μάλιστα μὲν χεροῖν
ψαῦσαί μ' ἔασον, κἀποκλαύσασθαι κακά.
ἴθ' ὦναξ.
ἴθ' ὦ γονῇ γενναῖε. χερσί τ' ἂν θιγὼν
δοκοῖμ' ἔχειν σφᾶς, ὥσπερ ἡνίκ' ἔβλεπον,
τί φημι.
οὐ δὴ κλύω που πρὸς θεῶν τοῖν μοι φίλοιν
δακρυρροούντοιν; καί μ' ἐποικτείρας Κρέων,
ἔπεμψέ μοι τὰ φίλτατ' ἐγγόνοιν ἐμοῖν.
λέγω τί;
Κρέ. λέγεις. ἐγὼ γάρ εἰμ' ὁ πορσύνας τάδε,
γνοὺς τὴν παροῦσαν τέρψιν, ἥν εἶχες πάλαι.
Οἰ. Ἀλλ' εὐτυχοίης. καί σε τῆσδε τῆς ὁδοῦ
δαίμων ἄμεινον ἤ με φρουρήσας τύχοι.
Ὦ τέκνα, ποῦ ποτ' ἐστέ; δεῦρ' ἴτ', ἔλθετε
ὡς τὰς ἀδελφὰς τάσδε τὰς ἐμὰς χέρας.
αἳ τοῦ φυτουργοῦ πατρὸς ὑμῖν, ὧδ' ὁρᾶν,
τὰ πρόσθε λαμπρὰ προὐξένησαν ὄμματα.
ὃς ὑμὶν ὦ τέκν', οὔθ' ὁρῶν, οὔθ' ἱστορῶν,
πατὴρ ἐφάνθην, ἔνθεν αὐτὸς ἠρόθην.
καὶ σφὼ δακρύω. προσβλέπειν γὰρ οὐ σθένω,
νοούμενος τὰ λοιπὰ τοῦ πικροῦ βίου,
οἷον βιῶναι σφὼ πρὸς ἀνθρώπων χρεών.
ποίας γὰρ ἀστῶν ἥξετ' εἰς ὁμιλίας;
ποίας δ' ἑορτάς, ἔνθεν οὐ κεκλαυμέναι
πρὸς οἶκον ἵξεσθ' ἀντὶ τῆς θεωρίας;
ἀλλ' ἡνίκ' ἂν δὴ πρὸς γάμων ἥκητ' ἀκμάς,
τίς οὗτος ἔσται; τίς παραρρίψει τέκνα,
τοιαῦτ' ὀνείδη λαμβάνων, ἃ τοῖς ἐμοῖς
γονεῦσιν ἔσται σφῷν θ' ὁμοῦ δηλήματα;
τί γὰρ κακῶν ἄπεστι; τὸν πατέρα πατὴρ

τῶν ἀπολλῶμαι.

ΟΥ δὴ κλύω που πρὸς θεῶν. αἰσθάνεται τῶν θυγατέρων παρουσῶν. ¶ Τοῖν μοι φίλοιν δακρυρροούντοιν. ἀντὶ τοῦ τῶν ἐμῶν θυγατέρων. δέον δὲ εἰπεῖν δακρυρροούσαιν, ἀρσενικῶς ἐξήνεγκεν. ἔστι δὲ ἀττικώτερον. ὡς τὼ, μὰ τὼ θεώ. καὶ τὼ χεῖρε.

¶ Αἳ τοῦ φυτουργοῦ πατρός. αἵ τινες χεῖρες τὰ πρόσθεν λαμπρὰ ὄμματα τοῦ ὑμετέρου πατρός, ὧδ' ὁρᾶν προὐξένησαν.

¶ Οἷον βιῶναι. πῶς ὑμῖν βιῶναι ἐκ τῶν ἀνθρώπων ἀνάγκη. ἢ τὸ πρὸς ἀντὶ τῆς μετά. ἀντὶ τοῦ μετὰ ἀνθρώπων.

ὑμῶν ἔπεφυε. τὴν τεκοῦσαν ἤροσεν,
ὅθεν περ αὐτὸς ἐσπάρη. κἀκ τῶν ἴσων
ἐκτήσαθ' ὑμᾶς, ὧνπερ αὐτὸς ἐξέφυ.
τοιαῦτ' ὀνειδιεῖσθε. κᾆτα, τίς γαμεῖ;
οὐκ ἔστιν οὐδεὶς ὦ τέκν', ἀλλὰ δηλαδὴ,
χέρσους φθαρῆναι, κἀγάμους ὑμᾶς χρεών.
ὦ παῖ Μενοικέως, ἀλλ' ἐπεὶ μόνος πατὴρ
ταύταιν λέλειψαι, νὼ γὰρ, ὣ φυτεύσαμεν,
ὀλώλαμεν δύ' ὄντε, μή σφε περιίδῃς
πτωχὰς, ἀνάνδρους, ἐγγενεῖς ἀλωμένας.
μηδ' ἐξισώσῃς τάσδε τοῖς ἐμοῖς κακοῖς,
ἀλλ' οἴκτισαί σφας ὧδε τηλικάσδ' ὁρῶν,
πάντων ἐρήμους, πλὴν ὅσον τὸ σὸν μέρος.
ξύννευσον ὦ γενναῖε σῇ ψαύσας χερί.
σφῷν δ' ὦ τέκν', εἰ μὲν εἰχέτην ἤδη φρένας
πόλλ' ἂν παρῄνουν. νῦν δὲ τοῦτ' εὔχεσθέ μοι,
οὗ καιρὸς ἀεὶ ζῆν. βίου δὲ λῴονος
ὑμᾶς κυρῆσαι τοῦ φυτεύσαντος πατρός.

Κρέ. ἅλις ἵν' ἐξήκεις δακρύων,
ἀλλ' ἴθι στέγης ἔσω.

Οἰ. πειστέον, κεἰ μηδὲν ἡδύ.

Κρέ. πάντα γὰρ καιρῷ καλά.

Οἰ. οἶσθ' ἐφ' οἷς οὖν εἶμι;

Κρέ. λέξεις. καὶ τότ' εἴσομαι κλύων.

Οἰ. γῆς μ' ὅπως πέμψεις ἄποικον.

Κρέ. τοῦ θεοῦ μ' αἰτεῖς δόσιν.

Οἰ. ἀλλὰ θεοῖς γ' ἔχθιστος ἥκω.

Κρέ. τοιγαροῦν τεύξῃ τάχα.

Οἰ. φῂς τάδ' οὖν;

Κρέ. ἃ μὴ φρονῶ γὰρ, οὐ φιλῶ λέγειν μάτην.

Οἰ. ἄπαγέ νύν μ' ἐντεῦθεν ἤδη.

Κρέ. στεῖχε νῦν. τέκνων δ' ἀφοῦ.

Οἰ. μηδαμῶς ταύτας γ' ἕλῃ μου.

Κρέ. πάντα μὴ βούλου κρατεῖν.
καὶ γὰρ ἁκράτησας, οὔ σοι τῷ βίῳ ξυνέσπετο.

Χο. Ὦ πάτρας Θήβης ἔνοικοι, λεύσσετ' Οἰδίπους ὅδε,
ὃς τὰ κλείν' αἰνίγματ' ᾔδει, καὶ κράτιστος ἦν ἀνήρ,
ὅστις οὐ ζήλῳ πολιτῶν καὶ τύχαις ἐπιβλέπων

εἰς

Τοιαῦτ' ὀνειδιεῖσθε. ὑβρισθήσεσθε.

Τηλικάσδ' ὁρῶν. ἀντὶ τοῦ μικράς.

Τέκνων δ' ἀφοῦ. ἀφίστασο. τῆς προσφύσεως ἀφαιροῦ.

Καὶ γὰρ ἁκράτησας. ὅσα νενίκηκας, οὐ συνήνεγκέ σοι. καὶ αὐτάρκως ἔχει τὸ δρᾶμα. τέ.

εἰς ὅσον κλύδωνα δεινῆς συμφορᾶς ἐλήλυθεν.
„ Ὥστε θνητὸν ὄντ' ἐκείνην τὴν τελευταίαν ἰδεῖν
„ Ἡμέραν ἐπισκοποῦντα, μηδέν' ὀλβίζειν, πρὶν ἂν
„ Τέρμα τοῦ βίου περάσῃ, μηδὲν ἀλγεινὸν παθών.

γοῦ ἑξῆς, ἀνοίκεια γνωμολογοῦντος οἰδίποδος.

ΤΕΛΟΣ ΟΙΔΙΠΟΔΟΣ τυράννου.

# ΥΠΟΘΕΣΙΣ ΑΝΤΙΓΟΝΗΣ.

Ἀποθανόντα Πολυνείκην ἐν τῇ πρὸς τὸν ἀδελφὸν μονομαχίᾳ, Κρέων ἄταφον ἐκβαλὼν, κηρύττει μηδένα αὐτὸν θάπτειν, θάνατον τὴν ζημίαν ἀπειλήσας. τοῦτον ἡ ἀδελφὴ αὐτοῦ Ἀντιγόνη θάπτειν πειρᾶται, καὶ δὴ λαθοῦσα τοὺς φύλακας, ἐπιβάλλει χῶμα, οἷς ἐπαπειλεῖ θάνατον ὁ Κρέων, εἰ μὴ τὸν τοῦτο δράσαντα ἐξεύροιεν. οὗτοι τὴν κόνιν τὴν ἐπιβεβλημένην καθαίροντες, οὐδὲν ἧττον ἐφρούρουν. ἐπελθοῦσα δὲ ἡ Ἀντιγόνη, καὶ γυμνὸν εὑροῦσα τὸν νέκυν, ἀνοιμώξασα, ἑαυτὴν εἰσαγγέλλει. ταύτην ὑπὸ τῶν φυλάκων παραδιδομένην, Κρέων καταδικάζει, καὶ ζῶσαν εἰς τύμβον καθεῖρξεν. ἐπὶ τούτοις Αἵμων ὁ Κρέοντος υἱὸς, ὃς ἐμνᾶτο αὐτὴν, ἀγανακτήσας, ἑαυτὸν προσαποσφάζει τῇ κόρῃ ἀπολομένῃ ἀγχόνῃ, Τειρεσίου ταῦτα προθεσπίσαντος. ἐφ' ᾧ λυπηθεῖσα ἡ Κρέοντος γαμετὴ Εὐρυδίκη ἑαυτὴν κατασφάζει. καὶ τέλος θρηνεῖ Κρέων τὸν τοῦ παιδὸς καὶ τῆς γαμετῆς θάνατον.

## ΑΛΛΩΣ, ΑΡΙΣΤΟΦΑΝΟΥΣ τοῦ γραμματικοῦ.

Ἀντιγόνη παρὰ τὴν πρόσταξιν τῆς πόλεως θάψασα τὸν Πολυνείκην, ἐφωράθη. καὶ εἰς μνημεῖον κατάγειον ἐντεθεῖσα παρὰ τοῦ Κρέοντος, ἀνῄρηται, ἐφ' ᾗ καὶ Αἵμων δυσπαθήσας, διὰ τὸν εἰς αὐτὴν ἔρωτα, ξίφει ἑαυτὸν διεχειρίσατο. ἐπὶ δὲ τῷ τούτου θανάτῳ, καὶ ἡ μήτηρ Εὐρυδίκη ἑαυτὴν ἀνεῖλε. κεῖται ἡ μυθοποιία καὶ παρ' Εὐριπίδῃ ἐν Ἀντιγόνῃ. πλὴν ἐκεῖ φωραθεῖσα μετὰ τοῦ Αἵμονος, δίδοται πρὸς γάμου κοινωνίαν, καὶ τίκτει τὸν Μαίμονα.

Ἡ μὲν σκηνὴ τοῦ δράματος, ὑπόκειται ἐν Θήβαις ταῖς Βοιωτικαῖς. ὁ δὲ χορὸς συνέστηκεν ἐξ ἐπιχωρίων γερόντων. προλογίζει δὲ ἡ Ἀντιγόνη. ὑπόκειται δὲ τὰ πράγματα ἐπὶ τῶν Κρέοντος βασιλείων. τὸ δὲ κεφάλαιόν ἐστι, τάφος Πολυνείκους, καὶ Ἀντιγόνης ἀναίρεσις, καὶ μόρος Εὐρυδίκης τῆς τοῦ Αἵμονος μητρός. φασὶ δὲ τὸν Σοφοκλέα ἠξιῶσθαι τῆς ἐν Σάμῳ στρατηγίας, εὐδοκιμήσαντα ἐν τῇ διδασκαλίᾳ τῆς Ἀντιγόνης. λέλεκται δὲ τὸ δρᾶμα τοῦτο λβ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

Ἀντιγόνη.
Ἰσμήνη.
Χορὸς Θηβαίων γερόντων.
Κρέων.
Ἄγγελος.
Φύλαξ ἄγγελος.
Αἵμων.
Τειρεσίας.
Ἐξάγγελος.
Εὐρυδίκη.
Οἰκέτης.

Προλογίζει δὲ ἡ Ἀντιγόνη.

# ΣΟΦΟΚΛΕΟΥΣ

## ΑΝΤΙΓΟΝΗ.

Ὦ κοινὸν αὐτάδελφον Ἰσμήνης κάρα. περιφραστικῶς, ὦ ἀδελφὴ Ἰσμήνη. αὐτάδελφον δὲ εἶπεν, ὅτι ἐκ τῶν αὐτῶν γεγόνασι. πολλάκις δὲ ὁ Σοφοκλῆς ἐπὶ τοῦ ἀδελφοῦ τὸ κοινὸν τίθησιν, ὡς νῦν. ἐπειδὴ τὸ ἀδελφὸς κοινῶς λέγεται ἐπὶ τῶν ἐξ ἀμφοτέρων τῶν γονέων ὄντων ἀδελφῶν, ἐπήγαγε τὸ αὐτάδελφον, ὅπερ παρίστησι τοὺς ἐκ τοῦ αὐτοῦ πατρὸς καὶ μητρὸς γεγονότας. τὸ δὲ κοινὸν ὁ Σοφοκλῆς συνεχῶς ἐπὶ τοῦ ἀδελφοῦ τίθησιν. οἷον καὶ ἐν ταῖς ὑδροφόροις τέτακε, πολύκοινον ἀμφιτείταν. ἀντὶ τοῦ πολυάδελφον. ¶ Ἆρ' οἶσθ' ὅ, τι Ζεύς. τὸ ὅ, τι ἀντὶ τοῦ ὁποῖον. ὁ δὲ νοῦς. ἆρα γε οἶσθα τῶν ἀπ' Οἰδίποδος κακῶν ὁποῖον οὐχὶ ὁ Ζεὺς ζώσαις ἡμῖν ἐπιτελεῖ; ὡς εἰ ἔλεγεν, ἆρα ἔχει τι ὁ Ζεὺς τούτων τῶν κακῶν μεῖζον ἐπιθεῖναι εἰς ἡμᾶς. εἴρηται δὲ διττῶς. πρῶτον μὲν, ὅ, τι. ἔπειτα δὲ ὁποῖον, ἀρκοῦντος θατέρου. ¶ Οὔτ' ἄτης ἄτερ. Δίδυμός φησιν, ὅτι ἐν τούτοις τὸ ἄτης ἄτερ, ἐναντίως συντέτακται τοῖς συμφραζομένοις. λέγει γὰρ οὕτως. οὐδὲν γάρ ἐστιν οὔτε ἀλγεινὸν, οὔτε ἀτηρὸν, οὔτε αἰσχρὸν, ὃ οὐκ ἔχομεν ἡμεῖς. ἄτης ἄτερ δέ ἐστι τὸ ἀγαθόν. περισσὸν δέ ἐστι καὶ τὸ ἕτερον οὐ. ὥστε ὥσπερ ἀπόφασιν εἶναι. σύνηθες δὲ τοῖς τραγικοῖς. ¶ Καὶ νῦν τί τοῦτ' αὖ φασιν. ἐγκλιτικῶς προσενεκτέον τὸ τι. οὐ γάρ ἐστιν ἐν ἐρωτήσει ὁ λόγος, ἀλλ' ἐν ἀποφάσει ἀορίστως. ¶ Πανδήμῳ πόλει. πάσῃ τῇ πόλει. ¶ Ἤ σε λανθάνει. ἢ λανθάνει σε τὰ τῶν ἐχθρῶν μηχανήματα ἐπὶ τοὺς φίλους ἰόντα. τὰ ἀπὸ τῶν ἐχθρῶν κακὰ εἰς ἡμᾶς στείχοντα. ἡ δὲ πρὸς, ἀντὶ τῆς ἐπὶ ληπτέα. ¶ Ἀντιγόνη φίλων. λείπει ἡ περί. ἵν' ᾖ, περὶ φίλων.

Ὦ Κοινὸν αὐτάδελφον Ἰσμήνης κάρα.
ἆρ' οἶσθ' ὅ, τι Ζεὺς τῶν ἀπ' Οἰδίπου κακῶν
ὁποῖον οὐχὶ νῷν ἔτι ζώσαιν τελεῖ;
οὐδὲν γὰρ οὔτ' ἀλγεινὸν, οὔτ' ἄτης ἄτερ,
οὔτ' αἰσχρὸν, οὔτ' ἄτιμόν ἐσθ', ὁποῖον οὐ
τῶν σῶν τε κἀμῶν οὐκ ὄπωπ' ἐγὼ κακῶν.
καὶ νῦν, τί τοῦτ' αὖ φασι πανδήμῳ πόλει
κήρυγμα θεῖναι τὸν στρατηγὸν ἀρτίως.
ἔχεις τι, κεἰσήκουσας; ἤ σε λανθάνει
πρὸς τοὺς φίλους στείχοντα τῶν ἐχθρῶν κακά;
ΙΣ Ἐμοὶ μὲν οὐδεὶς μῦθος Ἀντιγόνη φίλων
οὔθ' ἡδὺς, οὔτ' ἀλγεινὸς ἵκετ', ἐξ ὅτου
δυοῖν ἀδελφοῖν ἐστερήθημεν δύο,

ΔΙπλῇ χερί. τῇ ὑπ' ἀλλήλων. ἔστι δὲ δηλοῖ τὸ διπλῇ, οἷον ὑπ' ἀλλήλων ἀναιρεθέντων τῶν ἀδελφῶν. ¶ Ἐπεὶ δὲ φροῦδα. ἀντὶ τοῦ ἀφ' οὗ. Ὅμηρος, ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον. τὸ δὲ φροῦδος, καθ' ὑπερβολὴν εἴρηται. ¶ Οὐδὲν εἶδ' ὑπέρτερον. ἀντὶ τοῦ πλέον, οἷον, οὐκ οἶδα ἐν τίσιν εἰμὶ, ἢ ἐν ἀγαθοῖς, ἢ ἐν κακοῖς.

Ατωμένη. ἄτῃ συνεχομένη. ¶ Ἤδειν καλῶς. ἀντὶ τοῦ ᾔδεα, καὶ ᾔδειν σε καλοῦσα τὰ τοιαῦτα μὴ πολυπραγμονοῦσαν.

¶ Τοῦδ' οὕνεκ' ἐξέπεμπον. ἀντὶ τοῦ, διὰ τοῦτό σε ἤγαγον ἐνταῦθα. τὸ δὲ ἐξέπεμπον, ἀντὶ τοῦ μετεπεμπόμην. ¶ Καλχαίνουσα. ἀντὶ τοῦ πορφύρουσα, καὶ τεταραγμένως φροντίζουσα. κάλχη γάρ ἐστιν ὁ κόλχος τῆς πορφύρας. ἢ τις ἐκ τοῦ βυθοῦ τῆς θαλάσσης ἀνιοῦσα, βάπτει τὴν καλλίστην πορφύραν, ἀφ' οὗ καὶ Κάλχας ὁ μάντις. Ἄλλως. ἐκ βάθους τι μεριμνῶσα, ὡς τὸ βυσσοδομεύων.

Οὐ γὰρ τάφου νῷν. ἀντὶ τοῦ ἡμῖν. ὁ δὲ λόγος κατ' ἐρώτησιν οὕτω πρὸς τὸ ἑξῆς. οὐ γὰρ τῶν κασιγνήτων ἡμῶν τὸν μὲν ἐτίμησε τάφῳ ὁ Κρέων, τὸν δὲ οὔ. ¶ Σὺν δίκῃ χρησθεὶς δικαίᾳ. ἀντὶ τοῦ δικαίᾳ κρίσει χρησάμενος. ¶ Πολυνείκους νέκυν. ἀντὶ τοῦ αὐτὸν τὸν Πολυνείκην. ¶ Γλυκὺν θησαυρόν. ἕρμαιον. εὕρημα. ¶ Πρὸς χάριν βορᾶς. πρὸς τέρψιν τροφῆς. ¶ Τοιαῦτά φασι. τὸ ἑξῆς. τοιαῦτά φασι τὸν ἀγαθὸν Κρέοντα σοὶ κἀμοὶ κεκηρυχέναι. τὸ δὲ,

μιᾷ θανόντων ἡμέρᾳ διπλῇ χερί.
ἐπειδὲ φροῦδός ἐστιν Ἀργείων στρατὸς
ἐν νυκτὶ τῇ νῦν, οὐδὲν οἶδ' ὑπέρτερον,
οὔτ' εὐτυχοῦσα μᾶλλον, οὔτ' ἀτωμένη.
ΑΝ ᾔδειν καλῶς, καί σ' ἐκτὸς αὐλείων πυλῶν
τοῦδ' οὕνεκ' ἐξέπεμπον, ὡς μόνη κλύοις.
ΙΣ τί δ' ἔστι; δηλοῖς γάρ τι καλχαίνουσ' ἔπος.
ΑΝ Οὐ γὰρ τάφου νῷν τὼ κασιγνήτω Κρέων,
τὸν μὲν προτίσας, τὸν δ' ἀτιμάσας ἔχει;
Ἐτεοκλέα μὲν ὡς λέγουσι, σὺν δίκῃ
χρησθεὶς δικαίᾳ, καὶ νόμῳ, κατὰ χθονὸς
ἔκρυψε, τοῖς ἔνερθεν ἔντιμον νεκροῖς.
τὸν δ' ἀθλίως θανόντα πολυνείκους νέκυν
ἀστοῖσι φασὶ ἐκκεκηρύχθαι τὸ μὴ
τάφῳ καλύψαι, μηδὲ κωκῦσαί τινα.
ἐᾶν δ' ἄκλαυστον, ἄταφον, οἰωνοῖς γλυκὺν
θησαυρὸν, εἰσορῶσι πρὸς χάριν βορᾶς.
τοιαῦτά φασι τὸν ἀγαθὸν Κρέοντά σοι,
κἀμοὶ, λέγω γὰρ κἀμὲ, κηρύξαντ' ἔχειν.
καὶ δεῦρο νεῖσθαι ταῦτα τοῖς μὴ εἰδόσι
σαφῆ προκηρύξοντα. καὶ τὸ πρᾶγμ' ἄγειν
οὐχ ὡς παρ' οὐδέν. ἀλλ' ὃς ἂν τούτων τι δρᾷ
φόνον προκεῖσθαι δημόλευστον ἐν πόλει.
οὕτως ἔχει σοὶ ταῦτα. καὶ δείξεις τάχα
εἴτ' εὐγενὴς πέφυκας, εἴτ' ἐσθλῶν κακή.

¶ Λέγω γὰρ κἀμέ. διὰ μέσου μετὰ πάθους ἀνεφώνησε. λέγω γάρ φησιν ὅτι κἀμὲ προσπεριείληφε τῷ κηρύγματι. ἔτι δὲ καὶ ἐμαυτὴν ἐν τοῖς ζῶσι καταριθμῶ. τὸ δὲ, ἀγαθόν, ἐν εἰρωνείᾳ. ¶ Κηρύξαντ' ἔχειν. ἀντὶ τοῦ κεκηρυχέναι· ὡς τὸ σιγήσας ἔχω, ἀντὶ τοῦ σιγῶ. λέγει δὲ, εἴπερ δέον κἀμὲ συγκαταριθμεῖσθαι ἐν τοῖς ζῶσι. ¶ Καὶ δεῦρο νεῖσθαι. ἀντὶ τοῦ ἥκεσθαι. ¶ Εἴτ' ἐσθλῶν κακή. λείπει γονέων, ἤγουν ἐσθλῶν γονέων.

Ει τάδ' ἐν τούτοις. ταῦτα Κρέων ἐκέλευσε. ℭ Προσθείμην. ἀντὶ τοῦ ποιήσαιμι. οὐχ ὡς πρὸς οὐδέν. οὐχ ὡς ἔτυχεν ἔχειν τὸ πρᾶγμα. ἀντὶ τοῦ οὐκ εὐτελές, καὶ ὡς
Ο πάρεργον. ἀλλ' ὡς μέγα. ἢ οὕτως, οὐχ ὡς οὐδέν, ἀλλὰ μέγα. ℭ Τί δ' ὦ ταλαῖφρον. τὸ ἑξῆς, τί δ' ἂν σοι ἐγὼ προσθείμην πλέον. ἀντὶ τοῦ, σοὶ γενοίμην χρήσιμος, εἰ ταῦτα οὕτως ἔχοι. λύουσα τὸν νόμον ἢ θάπτουσα τὸν ἀδελφόν. εἰ δὲ γράφεται ἢ θάπτουσα, ἀντὶ τοῦ λύουσα τὸν νόμον.

ΙΣ τί δ', ὦ ταλαῖφρον, εἰ τάδ' ἐν τούτοις, ἐγὼ
λύουσ' ἂν ἢ θάπτουσα προσθείμην πλέον;
Αν εἰ ξυμπονήσεις, καὶ ξυνεργάσῃ σκόπει.
ΙΣ ποῖόν τι κινδύνευμα; ποῦ γνώμης ποτ' εἶ;
Αν εἰ τὸν νεκρὸν ξὺν τῇδε κουφιεῖς χερί.
ΙΣ ἦ γὰρ νοεῖς θάπτειν σφ' ἀπόρρητον πόλει;
Αν τὸν γοῦν ἐμόν, καὶ τὸν σόν, ἢν σὺ μὴ θέλῃς,
ἀδελφόν. οὐ γὰρ δὴ προδοῦσ' ἁλώσομαι.
ΙΣ ὦ σχετλία. Κρέοντος ἀντειρηκότος;
Αν ἀλλ' οὐδὲν αὐτῷ τῶν ἐμῶν εἴργειν μέτα.
ΙΣ οἴμοι. φρόνησον ὦ κασιγνήτη, πατὴρ
ὡς νῷν ἀπεχθής, δυσκλεής τ' ἀπώλετο,
πρὸς αὐτοφώρων ἀμπλακημάτων διπλᾶς
ὄψεις ἀράξας αὐτὸς αὐτουργῷ χερί.
ἔπειτα μήτηρ καὶ γυνή διπλοῦν πάθος,
πλεκταῖσιν ἀρτάναισι λωβᾶται βίον.
τρίτον δ' ἀδελφὼ δύω μίαν καθ' ἡμέραν
αὐτοκτονοῦντε τὼ ταλαιπώρω, μόρον
κοινὸν κατειργάσαντ' ἐπ' ἀλλήλοιν χεροῖν.
νῦν δ' αὖ μόνα δὴ νὼ λελειμμένα, σκόπει
ὅσῳ κάκιστ' ὀλούμεθ', εἰ νόμου βίᾳ
ψῆφον τυράννων ἢ κράτη παρέξιμεν.

ἢ ἐπιβεβαιοῦσα αὐτόν. ¶ Ποῖόν τι κινδύνευμα. ἐκ τούτου ἤδη τὸ ἦθος ὅρα, κινδύνευμα καλούσης τὸ ἔργον. τὸ δέ, Ποῖ γνώμης ποτ' εἶ. ὡς ἀδυνάτοις ἐπιχειρούσης λέγει. ¶ Η γὰρ νοεῖς θάπτειν σφ' ἀπόρρητον πόλει. τὸν ἀπηγορευμένον, καὶ κεκωλυμένον ὑπὸ τῆς πόλεως τοῦ μὴ θάπτειν σύ. ℭ Τὸν γοῦν ἐμὸν καὶ τὸν σόν. εἰ μὴ σὺ θέλεις θάπτειν, ἐγὼ τοῦτο ποιήσω μόνη. ἢ οὕτως. κἂν μὴ προσποιῇ αὐτὸν εἶναι σὸν ἀδελφόν, ἀλλ' ἀλλοτριοῖς σεαυτὴν τῆς συγγενείας, ἐγὼ θάψω τὸν ἐμὸν καὶ σὸν ἀδελφόν. Δίδυμος δέ φησιν ὑπὸ τῶν ὑπομνηματιστῶν τὸν ἑξῆς στίχον νενοθεῦσθαι.
ℭ Ω σχετλία Κρέοντος, αἱ ἀντιλογίαι δῆλαί εἰσιν. ἡ μὲν τῷ πράγματι. ἡ δὲ τῇ οἰκειότητι ἀκολουθεῖ. ℭ Αλλ' οὐδὲν αὐτῷ τῶν ἐμῶν. οὐ μέτεστιν αὐτῷ εἴργειν με ἀπὸ τῶν ἐμῶν. ἢ οὕτως. οὐ μετῆν αὐτῷ τὰ ἡμέτερα βουλεύματα εἴργειν. ℭ Πατὴρ ὡς νῷν ἀπεχθής. τὰς συμφορὰς σκόπησον τοῦ παντὸς γένους. καὶ πῶς πατὴρ ἀκλεῶς ἀπώλετο. οὐ μόνον δὲ ἀκλεὴς ἀλλὰ καὶ ἀπεχθὴς διὰ τὸν γενόμενον λοιμόν. ¶ Πρὸς αὐτοφώρων. αὐτὸς γὰρ ἑαυτὸν ἐφώρασε, καὶ ἔγνω συνὼν τῇ μητρί. ἢ ὧν αὐτὸς ἐπόπτης ἐγένετο. ἢ τῶν φανερῶν καὶ πᾶσιν ἐγνωσμένων. Διπλοῦν ἔπος. διπλοῦν ὄνομα ἔχουσα μήτηρ τε καὶ γυνή. ¶ Αρτάναισιν. ἀγχόναις. Λωβᾶται. ἀφανίζει. ἀπόλλυσι. ℭ Μόνα δὴ νὼ λελειμμένα. μηδενὸς δηλονότι ἐπικουροῦντος ἡμῖν. Εἰ νόμου βίᾳ ψῆφον τυράννων. εἰ τὴν γενομένην ψῆφον τῶν τυράννων τῇ τοῦ νόμου ἀνάγκῃ παραβαίνομεν. τουτέστιν εἰ τὴν ἐξουσίαν τὴν ἐκ τῶν νόμων τοῖς τυράννοις ἑπομένην παραβαίνομεν. Κράτη. τὰς βασιλείας.

Α ἀλλ' ἐννοεῖν χρὴ τοῦτο. πρῶτον μὲν ὅτι ἀσθενεῖς ἐσμὲν ἐκ φύσεως καθὸ γυναῖκες. ἔπειτα καὶ ὑπὸ τῆς τύχης ἀσθενέστεραι, καθὸ ἀσθενέστεραι. παρὰ τὸ Εὐριπίδειον, γυνὴ γὰρ τἄλλα φόβου πλέα, κακὴ δ' ἐς ἀλκὴν, καὶ σίδηρον εἰσορᾶν. ¶ Κἄτι τῶνδ' ἀλγίονα. λυπηρότερα. λείπει δὲ τὸ ὥστε ἀκούειν ταῦτα, καὶ τὰ τούτων χείρονα. ¶ Τοὺς ὑπὸ χθονός. ἢ τὸν Πολυνείκην. ἢ τοὺς χθονίους δαίμονας. πιθανὸν δὲ τὸ ἔτι τὸν πρότερον ἐφρόντισε. Φησὶ δὲ ὅτι ἀπολογήσομαι τοῖς κατὰ χθονός. ¶ Ξύγγνοιαν ἴσχειν. συγγνώμην ἔχειν, ὅτι βίᾳ πράσσω ταῦτα. ¶ Τοῖς ἐν τέλει. τοῖς βασιλεῦσι. ¶ Τὸ γὰρ περισσὰ πράσσειν. γνωμολογικῶς ἀπαγγέλλεται. τὸ γὰρ παρὰ δύναμιν τι πράττειν, ἠλίθιον. ¶ Οὔτ' ἂν κελεύσαιμ', οὔτ' ἂν εἰ θέλοις ἔτι πράσσειν, ἐμοῦ γ' ἂν ἡδέως δρῴης μέτα. τὸ τέλειον, οὔτ' ἂν κελεύσαιμι τὸ ἑξῆς, οὔτε εἰ θέλοις πράττειν ἐμοῦ μέτα, ἡδέως ἂν δρῴης. δαιμόνιον δὲ τὸ ἦθος. φησὶν οὔτε σε ἀναγκάσω, ἀλλ' οὐδ' ἂν θέλοις, ἡδέως ἀνέξομαί σου τὴν συνεργείαν. ¶ Ἀλλ' ἴσθ' ὁποία σοι δοκεῖ. γίνωσκε ὁποία σὺ θέλεις. τὸ πείθεσθαι τοῖς τυράννοις. ἢ τοιαύτη γενοῦ, ὁποία καὶ βούλει.

Ἀλλ' ἐννοεῖν χρὴ τοῦτο μὲν, γυναῖχ' ὅτι
ἔφυμεν ὡς πρὸς ἄνδρας οὐ μαχουμένα.
ἔπειτα δ' οὕνεκ' ἀρχόμεσθ' ἐκ κρεισσόνων,
καὶ ταῦτ' ἀκούειν, κἄτι τῶνδ' ἀλγίονα.
Ἐγὼ μὲν οὖν αἰτοῦσα τοὺς ὑπὸ χθονὸς
ξύγγνοιαν ἴσχειν ὡς βιάζομαι τάδε,
,, τοῖς ἐν τέλει βεβῶσι πείσομαι. τὸ γὰρ
,, περισσὰ πράσσειν, οὐκ ἔχει νοῦν οὐδένα.
ΑΝ. Οὔτ' ἂν κελεύσαιμ', οὔτ' ἂν εἰ θέλοις ἔτι
πράσσειν, ἐμοῦ γ' ἂν ἡδέως δρῴης μέτα.
ἀλλ' ἴσθ' ὁποία σοι δοκεῖ. κεῖνον δ' ἐγὼ
θάψω. καλόν μοι τοῦτο ποιούσῃ, θανεῖν.
φίλη μετ' αὐτοῦ κείσομαι, φίλου μέτα,
ὅσια πανουργήσασ'. ἐπεὶ πλείων χρόνος
ὃν δεῖ μ' ἀρέσκειν τοῖς κάτω, τῶν ἐνθάδε.
ἐκεῖ γὰρ αἰεὶ κείσομαι. σοὶ δ' εἰ δοκεῖ,
τὰ τῶν θεῶν ἔντιμ', ἀτιμάσασ' ἔχε.
ΙΣ. Ἐγὼ μὲν οὐκ ἄτιμα ποιοῦμαι, τὸ δὲ
βίᾳ πολιτῶν δρᾶν, ἔφυν ἀμήχανος.

ΚΑ λόν μοι τοῦτο ποιούσῃ. θαπτούσῃ τὸν ἀδελφόν. ἀντὶ τοῦ καλός μοι ἔσται ὁ ὑπὲρ ἀδελφοῦ θάνατος. τουτέστιν, εὐκλεέστατος. ¶ Ὅσια πανουργήσασα. δίκαια μὲν πανουργίας ἐργασαμένη ὡς αὐτὴ λέγεις, ἐπεὶ προεῖπε, τὸ γὰρ περισσὰ πράσσειν οὐκ ἔχει νοῦν οὐδένα. ἢ οὕτως. ὅσια πανουργήσασα, ἀντὶ τοῦ εὐσεβῆ πάντα ἐργασαμένη. ¶ Τοῖς κάτω, τῶν ἐνθάδε. γενναῖον τοῦτο εἰς ὑποθήκας συντελοῦν τὸ μὲν ταῦτα ἐπιδημίας, ὅτι δεῖ εὐτίθεσθαι μεμνημένους ἐκείνου τοῦ χρόνου, καὶ ὅτι δεῖ λόγον ὑπέχειν κάτω. ἐπεμβέβληται δὲ ταῦτα τοῖς ποιήμασιν οὐκ ἀχρείως, εἰς εὐσέβειαν προξενούμενα. ¶ Τὰ τῶν θεῶν ἔντιμ' ἀτιμάσασ' ἔχε. τὰ παρὰ θεοῖς τίμια ἀτίμαζε. τετίμηται γὰρ παρὰ θεοῖς, καὶ ὅσια νενόμισται τὸ θάπτειν νεκρούς, οἷς μᾶλλον δεῖ πείθεσθαι, ἢ τοῖς τοῦ Κρέοντος κηρύγμασι.

ΣΥ μὲν τάδ' ἂν προὔχοιο. σὺ μὲν τοι ταῦτα προφασίζου. τὰς δὲ προφάσεις προχάνας ἐκάλουν, ὡς καὶ Καλλίμαχος, ,, Αγροδέτῳ πάσῃσιν ἐπὶ προχάνῃσιν ἐφοίτα, ἐν τῷ σίτῳ τῶν αἰτίων. ἢ σὺ ταῦτα προβάλλου. ἢ σὺ μὲν τούτοις ἂν συνθήκην σκεπάζοις.

Ἐγὼ δὲ δὴ τάφον χώσουσ' ἀδελφῷ φιλτάτῳ πορεύσομαι. τοῦτ' ἤδη τῆς προθυμίας αὔξη πλέον. ¶ Οἴμοι ταλαίνης. φιλόστοργον καὶ ταύτης τὸ ἦθος, ἀλλ' εὐλαβές. δέδοικεν οὖν καὶ περὶ τῇ ἀδελφῇ, καὶ ἀναβοᾷ περιπαθῶς. ¶ Πότμον. γράφεται βίον. ¶ Οἴμοι. καταύδα. διὰ τούτου δηλοῖ, ὅτι ἐφ' οἷς ποιῶ ἀγάλλομαι. πᾶσιν οὖν ἀπαγγέλλεται αὐτά. ἅμα δὲ καὶ ἐφυβρίζει ἐν οἷς δοκεῖ αὐτῇ προχαρίζεσθαι.

**Αν** σὺ μὲν τάδ' ἂν προὔχοι'· ἐγὼ δὲ δὴ τάφον
χώσουσ' ἀδελφῷ φιλτάτῳ πορεύσομαι.

**ΙΣ** οἴμοι ταλαίνης, ὡς ὑπερδέδοικά σου.

**Αν** μή μου προτάρβει· τὸν σὸν ἐξόρθου βίον.

**ΙΣ** ἀλλ' οὖν προμηνύσῃς γε τοῦτο μηδενὶ
τοὔργον, κρυφῇ δὲ κεῦθε, σὺν δ' αὔτως ἐγώ.

**Αν** οἴμοι, καταύδα· πολλὸν ἐχθίων ἔσῃ
σιγῶσ', ἐὰν μὴ πᾶσι κηρύξῃς τάδε.

**ΙΣ** θερμὴν ἐπὶ ψυχροῖσι καρδίαν ἔχεις.

**Αν** ἀλλ' οἶδ' ἀρέσκουσ' οἷς μάλιστ' ἀδεῖν με χρή.

**ΙΣ** εἰ καὶ δυνήσῃ γ', ἀλλ' ἀμηχάνων ἐρᾷς.

**Αν** οὐκοῦν ὅταν δὴ μὴ σθένω, πεπαύσομαι.

**ΙΣ** ἀρχὴν δὲ θηρᾶν οὐ πρέπει τἀμήχανα.

**Αν** εἰ ταῦτα λέξεις, ἐχθαρῇ μὲν ἐξ ἐμοῦ,
ἐχθρὰ δὲ τῷ θανόντι προσκείσῃ δίκῃ.
ἀλλ' ἔα με καὶ τὴν ἐξ ἐμοῦ δυσβουλίαν,
παθεῖν τὸ δεινὸν τοῦτο. πείσομαι γὰρ οὐ
τοσοῦτον οὐδὲν, ὥστε μὴ οὐ καλῶς θανεῖν.

**ΙΣ** ἀλλ' εἰ δοκεῖ σοι, στεῖχε. τοῦτο δ' ἴσθι ὅτι
ἄνους μὲν ἔρχῃ, τοῖς φίλοις δ' ὀρθῶς φίλη.

**Χο** ἀκτὶς ἀελίοιο, τὸ κάλ-

¶ Θερμὴν ἐπὶ ψυχροῖσιν. ἐπὶ ἀδυνάτοις νεανιεύῃ. καὶ ἐπὶ ἀνηλέσι τέρπῃ τὴν ψυχήν. ¶ Οἷς μάλισθ' ἀδεῖν με χρή. τῇ τῶν θεῶν ὁσίᾳ. διὰ τὸ θάπτειν τὸν νεκρόν, καὶ μάλιστα ἀδελφόν. ¶ Εἰ καὶ δυνήσῃ γ', ἀλλ' ἀμηχάνων. εἰ καὶ δυνήσῃ ἀρέσκειν. ἀλλ' ἀμηχάνων καὶ ἀδυνάτων ἐρᾷς. ¶ Οὐκοῦν ὅταν δὴ μὴ σθένω. ὅταν ἀδυνατήσω, τότε παύσομαι, νῦν δὲ ἀναγκαῖον ἐγχειρεῖν. ¶ Ἀρχὴν δὲ θηρᾶν. οὐδὲ ἐπιβάλλειν τοῖς ἀμηχάνοις καλόν ἐστι. ¶ Προσκείσῃ δίκῃ. ἀντὶ τοῦ δικαίως, ὡς καὶ ἡμεῖς ἔτι φαμὲν ἐν τῇ συνηθείᾳ. ¶ Βίᾳ. ἀντὶ τοῦ βιαίως. ἢ ἡ πρὸς, τοῦ τῇ δίκῃ ἐστίν. ἵν' ᾖ οὕτως, πρὸς τῇ δίκῃ ἀπεχθέσθῃ. καὶ τῷ θανόντι δυσμενὴς ἔσῃ. καλῶς δὲ τὸ κείσῃ, ἵνα τὴν μὲν θανάτου αὐτῇ προσγενησομένην τιμωρίαν αἰνίξηται. ¶ Πείσομαι γὰρ οὐ τοσοῦτον οὐδέν. οὐδὲν δεινόν φησι πείσομαι, ὅπερ με τῆς εὐκλείας τοῦ καλοῦ θανάτου ἀποστερήσει. ἀντὶ τοῦ οὐδὲν τηλικοῦτον κακὸν πείσομαι, ὥστε μὴ οὐ καλῶς ἀποθανεῖν. ¶ Ἄνους μὲν ἔρχῃ. ἀνοήτως μὲν καὶ φιλοκινδύνως πράττεις. εὐνοϊκῶς δὲ τῷ θανόντι. ¶ Ἀκτὶς ἀελίου. σύνοδος τινῶν Θηβαίων γερόντων, ἐξ ὧν ὁ χορὸς συνέστηκε. μετάπεμπτοι δὲ ἐοίκασιν οὗτοι ὑπὸ τοῦ Κρέοντος συνῆχθαι. ἐπεὶ καὶ τὰς προφάσεις τῆς εἰσόδου τῶν χορῶν πιθανὰς εἶναι δεῖ. καὶ ἐπειδὴ κατωρθώκασι τῇ προτεραίᾳ Θηβαῖοι, καὶ οἱ ἀριστεῖς πάντες τῶν Ἀργείων ἀνῄρηνται, εἰκότως περιχαρεῖς εἰσι καὶ τῇ παρούσῃ ἡμέρᾳ εὐχαριστοῦσιν. ὁ δὲ λόγος, ὦ φίλη ἡμέρα παρὰ τὰς πρόσθεν ἡμέρας ἡμῖν φανεῖσα. ¶ Τὸ κάλλιστον ἑπταπύλῳ. τὸ ρ, πρὸς τὸ φανέν. τὸ δὲ ἑξῆς, ὦ ἀκτὶς τοῦ ἡλίου

φῶς. τὸ φανὲν ἡμῖν κάλλιστον τῶν προτέρων ἡμερῶν. ὅτι πρὸς λῃπτέον. Ὦ χρυσέας ἁμέρας. ὦ ἀκτὶς τῆς ἡμέρας ὀφθαλμός. ὁ δὲ νοῦς, ὦ καλλίστη ἡμέρα, ἐφάνης ἐν Θήβαις. βάντα τὸν ἀργολικὸν στρατὸν τὸν λεύκασπιν πανσαγίᾳ. τουτέστι, πάσῃ σάλπιγγι, ἢ σκευῇ κεχρησαμένον. ὀξυτόρῳ κινήσασα χαλινῷ φυγάδα. Διρκαίων ὑπὲρ. Δίρκη, κρήνη ἢ ποταμὸς Θηβῶν. Λεύκασπιν. ἢ εὐειπίδης, λεύκασπιν εἰσορώμενοι ἀργείων στρατόν. Πανσαγίᾳ. σὺν πανοπλίᾳ. ἤτοι δὲ τὸν ἄδραστόν φησιν, ἢ ἐφ' ἑνὸς τὸ πλῆθος δηλοῖ.

Πρόδρομον. ὑπὲρ τὸ δέον δραμόντα, διὰ τὴν φυγήν. Κινήσασα χαλινῷ. οἷον παρασκευάσασα. τῶν χαλινῶν μὲν σπουδῆς ἐφαψάσθαι διὰ τὴν ὀξυτέραν φυγήν. Ὃν ἐφ' ἁμετέρᾳ γᾷ. ὅν τινα στρατὸν ἀργείων ἐξ ἀμφιλόγων νεικέων ἀρθεὶς, ἤγαγεν ὁ πολυνείκης. οἷον ἀμφιλογίᾳ χρησάμενος πρὸς τὸν ἀδελφόν. διὰ βραχέων δὲ εἴρηκεν αὐτό, ὡς γνωρίμου οὔσης τῆς ὑποθέσεως. Ἀρθεὶς νεικέων. ἐπαρθεὶς εἰς θυμὸν ἢ παροξυνθείς. Ἀμφιλόγων. ἢ τῶν ἀμφισβητησίμων, ἢ τῶν ἀμφιβολίας ἐμποιούντων. Αἰετὸς εἰς γᾶν ὥς. τὸ ἑξῆς, ὡς αἰετός. Λευκῆς χιόνος πτέρυγι. ὡς ἐκ χιόνος οὔσῃ πτέρυγι. ἀντὶ τοῦ λευκοτάτῃ.

Στεγανός. ἐστεγασμένος λευκοῖς ὅπλοις. ἀλληγορικῶς δὲ τοῦτό φησιν, ὡς περὶ ἀετοῦ. δηλοῖ δὲ ὅτι λεύκασπις ἦν ὁ τῶν ἀργείων στρατός. λείπει δὲ τὸ ὡς, ἵν' ᾖ, ὡς χιόνος. τὸ δὲ πτέρυγι, μεταφορικῶς ἀπὸ τῶν ὅπλων ἔλαβε. Στὰς δ' ὑπὲρ μελάθρων. ὡς ἀετὸς πολυνείκης κυκλώσας τὰς Θήβας, ταῖς τῶν φόνων ἐρώσαις λόγχαις ἀμφιχανὼν ἔβα. ἐνέμεινε δὲ τῇ μεταφορᾷ. Ἔβα. ἀντὶ τοῦ ἐστάθη. Αἱμάτων γένυσιν. παρήλλαξε τὸ ὄνομα τὰ χείλη τοῦ ἀετοῦ γένυς εἰπών. Πευκάεντ' Ἥφαιστον ἑλεῖν. τὸ ἐκ τῆς πεύ-

λιστον ἑπταπύλῳ φανὲν
Θήβᾳ τῶν προτέρων φάος,
ἐφάνθης ποτ' ὦ χρυσέας
ἁμέρας βλέφαρον,
Διρκαίων ὑπὲρ
ῥεέθρων μολοῦσα,
τὸν λεύκασπιν ἀργόθεν
φῶτα βάντα πανσαγίᾳ
φυγάδα πρόδρομον ὀξυτόρῳ
κινήσασα χαλινῷ.
ὃν ἐφ' ἁμετέρᾳ γᾷ Πολυνείκης
ἀρθεὶς νεικέων ἐξ ἀμφιλόγων
ὀξέα κλάζων αἰετὸς εἰς γᾶν
ὡς ὑπερέπτα,
λευκῆς χιόνος πτέρυγι στεγανὸς
πολλῶν μεθ' ὅπλων.
ξύν θ' ἱπποκόμοις κορύθεσσι.
στὰς δ' ὑπὲρ μελάθρων φονί-
αισιν ἀμφιχανὼν κύκλῳ
λόγχαις ἑπτάπυλον στόμα
ἔβα, πρίν ποθ' ἁμετέρων
αἱμάτων γένυσιν
πλησθῆναι. καὶ
στεφάνωμα πύργων
πευκάενθ' Ἥφαιστον ἑλεῖν.
τοῖος ἀμφὶ νῶτ' ἐτάθη
πάταγος Ἄρεος ἀντιπάλῳ

κης ἐγειρόμενον. ἢ τὸν πικρὸν τοῖς ἐναντίοις παρέχοντα. ¶ ΔΥΣχείρωμα δράκοντι. ἐπεγόνει ὁ δράκων ἐξ ἄρεως καὶ τιλφώσσης ἐρινύος. ἀπὸ δὲ τοῦ δράκοντος τοὺς θηβαίους δηλοῖ. ἐπεὶ δρακοντογενεῖς εἰσιν. ὁ δὲ λόγος, τοιοῦτος. πάταγος ἄρεος, περὶ τὰ νῶτα τοῦ ἀετοῦ ἐτάθη. τουτέστι δραπετεύειν, καὶ νῶτα αὐτὸν διδόναι πεποίηκεν ὑπὸ τοῦ ἀντιπάλου δράκοντος, ὃς ἐποίησεν αὐτὸν τὸν δράκοντα δυσχερῶς χειρωθῆναι. πολέμιον δὲ ζῶον ἐστὶν ὁ δράκων πρὸς τὸν ἀετόν, ὥς φησι νίκανδρος. τῷ δὲ ἀντιπάλῳ δράκοντι, ἀντὶ τοῦ ὑπὸ τοῦ ἀντιπάλου δράκοντος, ὡς ἀχιλλεῖ δαμασθείς. ἢ οὕτως, τῷ ἀντιπάλῳ δράκοντι συστάντι μάχῃ συνεστάθη. ἢ ἐποίησαν αὐτὸν μὴ δύνασθαι ἡμᾶς χειρώσασθαι. ἵνα δράκοντα λέγῃ τὸν τῶν ἀργείων στρατόν, ὡς θανατηφόρον. ἢ τὸν πολυνείκη, ὡς αὐτὸν θηβαῖον ὄντα. ¶ Ζεὺς γὰρ μεγάλης γλώσσης. τοῦτο κοινόν, ὡς πάντων τῶν ἐκείνων μεγαλαυχούντων. ἢ ἰδίᾳ κατὰ καπανέως. τὰ γὰρ ἑξῆς εἰς αὐτὸν μόνον τείνει. ¶ Καί σφας εἰσιδών. καὶ τὴν τοῦ χρυσοῦ φαντασίαν ὑπερβεβηκότας τῇ ἰδίᾳ ὑπεροψίᾳ. ὑπερήφανον γάρ τι ὁ χρυσός. οἱ δέ φασι λείπειν τὴν μετὰ. ἵν' ᾖ οὕτως. καὶ ἰδὼν αὐτοὺς προσνισσομένους μετὰ χρυσοῦ καναχῆς, καὶ ὑπεροψίας, οὐκ ἠνέσχετο, ἀλλ' ἐνεμέσησε τῷ κόμπῳ αὐτῶν. ἀεὶ γὰρ τοὺς κόμπους τῆς μεγάλης γλώσσης ὑπερεχθαίρει. ¶ Παλτῷ ῥιπτεῖ πυρί. τῷ κεραυνῷ τῷ ἄνωθεν παλθέντι. ¶ Βαλβίδων. μεταφορικῶς εἴρηται ἀπὸ τῶν δρομέων, ἀντὶ τῶν κρηπίδων τοῦ τείχους. Ἀλαλάξαι. παιωνίζειν. ἀλάλαγμα δέ ἐστιν ἐπινίκιος ᾠδή. ¶ Ἀντιτύπᾳ δ' ἐπὶ γᾷ πέσε. εἰς ἀντίτυπον δέ φησι πτῶμα ἔπεσε, διαρπαχθεὶς ἄνωθεν κάτω. οὐχὶ ἁπαλός. τὸ δὲ ἀντίτυπος, οὐκ ἀπὸ τοῦ τύπου, ἀλλ' ἀπὸ τοῦ τύπτεσθαι συντέθειται. αὐτὸς μὲν γὰρ τὴν ἄνω φορὰν ἐδίωκεν. ὁ δὲ κεραυνὸς τὴν κάτω. ὅτι δὲ τανταλωθεὶς σημαίνει τὸ διασεισθείς, μαρτυρεῖ καὶ ἀνακρέων, Μελαμφύλλῳ δάφνᾳ χλωρᾷ τ' ἐλαίᾳ τανταλίζει. Ἄλλως. ἄνωθεν τυπεὶς ὑπὸ τοῦ κεραυνοῦ, κάτωθεν δὲ ὑπὸ γῆς, ὑπὸ τὸν κεραυνὸν γενόμενος, ὅτι τῷ ταντάλῳ ἡ σίπυλος ἐπικατεστράφη. ¶ Πυρφόρος. πῦρ φέρων ἐν αὐτῷ. ὁ πῦρ τοῖς τείχεσι προσάγων. ἢ πεπυρακτωμένος ὑπὸ τοῦ κεραυνοῦ. ¶ Μαινομένᾳ ξὺν ὁρμᾷ. ὡς ἐπὶ τυφῶνος, καὶ καταιγιδώδους πνεύματος, ἐπέπνει τὴν πόλιν ῥιπαῖς ἀνέμων. ¶ Βακχεύων. ἐνθουσιῶν, καὶ μέγα φυσῶν καὶ πνέων ὀργήν. ὡς τὸ Μενάνδρου, ἀλλὰ καὶ τι.

δυσχείρωμα δράκοντι.
» Ζεὺς γὰρ μεγάλης γλώσσης κόμπους
» ὑπερεχθαίρει. καί σφας ἐσιδὼν
» πολλῷ ῥεύματι προσνισσομένους
» χρυσοῦ καναχῆς ὑπεροπτίας,
» παλτῷ ῥιπτεῖ πυρί. βαλβίδων
ἐπ' ἄκρων ἤδη
νίκην ὁρμῶντ' ἀλαλάξαι.
ἀντιτύπᾳ δ' ἐπὶ γᾷ πέσε τανταλωθείς,
πυρφόρος, ὃς τότε μαινομένᾳ ξὺν ὁρμᾷ
βακχεύων ἐπέπνει
ῥιπαῖς ἐχθίστων ἀνέμων.

Εἶχε δ' ἄλλα. τὸ εἶχεν, οὐκ ἔστιν ἐπὶ τοῦ καπανέως, ἀλλ' ἐπὶ τοῦ ἄρεως. ὅτι ἄρης βοηθῶν ἡμῖν, πανταχοῦ στροφὰς ἐποίει τῶν πολεμίων. τοῦτο δέ φησιν, ὥσπερ ἔλεγεν. οὐδεὶς τόπος ἀπήλλακτο ταραχῆς, ἀλλὰ πανταχοῦ ὁμοίως διελείπετο ὁ πόλεμος. ¶ Δεξιόσειρος. κατὰ τὸ δεξιὸν φερόμενος κέρας. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἵππων τῶν ἐν τοῖς ἅρμασι παρασειρόντων. ὅ ἐστι, δεξιὸς ἄρης ἡμῖν γενόμενος ὁ κεραυνὸς, καὶ ἀγαθὸς ἡμῖν φανείς. ἐὰν δὲ ἡ δεξιόχειρος, ἀντὶ τοῦ γενναῖος καὶ περιδέξιος. Ἄλλως. δεξιόσειρος ὁ γενναῖος. οἱ γὰρ ἰσχυροὶ ἵπποι εἰς τὴν δεξιὰν σειρὰν ζεύγνυνται τῶν ἁρμάτων.

Ζηνὶ τροπαίῳ πάγχαλκα τέλη. ὅ ἐστι τὰ ὅπλα ἀπέβαλον.

Πλὴν τοῖν στυγεροῖν. στυγερῶν φησι τῶν ἀτυχῶν. οἱ τοιοῦτοι γὰρ ἀεὶ στυγνοὶ καθεστήκασιν. οὗτοι δέ φησιν ἀλληλοκτονηθέντες, οὐ διέκειναν τὴν νίκην. ὥστε τοὺς ἡττηθέντας ἀνατεθῆναι τὰ ὅπλα. ¶ Καθ' αὑτοῖν. ἀντὶ τοῦ κατ' ἀλλήλων.

Δικρατεῖς λόγχας. ἀμφοτέρωθεν ἠκονημένας. ἢ ὅτι ἀλλήλους ἀπέκτειναν, καὶ ἡ ἑκατέρου λόγχη οὐκ εἰς κενὸν ἀπεπέμφθη, ἀλλ' ἐκράτησε τοῦ ἑτέρου. ¶ Ἁ μεγαλώνυμος. ἡ μεγάλην περιποιοῦσα δόξαν. ¶ Ἀντιχαρεῖσα θήβᾳ. ἀντὶ τοῦ ἴσον αὐτῇ χαρεῖσα ὡς ἀντίθεος. θέλει δὲ εἰπεῖν, ὅτι ὅσον ἐφίλει τὴν νίκην, καὶ ἡ νίκη αὐτὴν ἀντεφίλησε. πρὸς χαίρουσαν τὴν αὐτὴν, καὶ αὐτὴ χαρεῖσα ἦλθεν. ἢ ἀντὶ τῶν κακῶν χαρεῖσα. Ἐκ μὲν δὴ πολέμων. πάνυ πιθανῶς διὰ τῆς εὐχῆς. ἀπομνησθέντες τῶν δυσχερῶν, πάλιν ἐπὶ τὰ κατ' ἀρχὰς εὔφημα τρέπονται. ¶ Θήβας δ' ἐλελίζων. διάρχοι δὲ, ὁ διόνυσος ὁ τὰς θήβας ἐλελίζων καὶ κινῶν ταῖς βακχείαις. Ἄλλως. ὁ θήβας δ' ἐλελίχθων βακχεῖος. ὁ κινησίχθων. ἐλελίχθονα δὲ τὸν διόνυσόν φησι, διὰ τὰς ἐν ταῖς βακχείαις κινήσεις. ἢ τὸν τὴν γῆν σείοντα καὶ ἀναβακχεύοντα ταῖς χορείαις. ὁ δὲ νοῦς, ὁ θήβας βακχεῖος, ὁ θηβαγενὴς διόνυσος. ὁ τῆς θήβης πολίτης. ὁ ἐλελίχθων ἄρχοι τῆς χορείας. ¶ Ἀλλ' ὅδε γὰρ δὴ βασιλεὺς χώρας. ἄριστα καὶ μεγαλοφυῶς διεσκεύασται αὐτῷ ὁ χορός. ἕτερος γὰρ ἂν ταῦτα πρῶτον εἰσήγαγεν, ὅτι ἡμεῖς συνήχθημεν ὑπὸ Κρέοντος. χάριεν δὲ τὸ πρῶτον μὲν εὐχὴν αὐτοὺς ποιήσασθαι. ἔξω δὲ

εἶχε δ' ἄλλα.
τὰ μὲν ἄλλα, τὰ δ' ἐπ' ἄλλοις
ἐπενώμα στυφελίζων
μέγας Ἄρης δεξιόσειρος.
ἑπτὰ λοχαγοὶ γὰρ ἐφ' ἑπτὰ πύλαις
ταχθέντες ἴσοι πρὸς ἴσους, ἔλιπον
Ζηνὶ τροπαίῳ πάγχαλκα τέλη,
πλὴν τοῖν στυγεροῖν, ὢ πατρὸς ἑνὸς
μητρός τε μιᾶς φύντε, καθ' αὑτοῖν
δικρατεῖς λόγχας στήσαντ' ἔχετον
κοινοῦ θανάτου μέρος ἄμφω.
ἀλλὰ γὰρ ἁ μεγαλώνυμος ἦλθε νίκα,
τᾷ πολυαρμάτῳ ἀντιχαρεῖσα θήβᾳ.
ἐκ μὲν δὴ πολέμων
τῶν νῦν, θέσθε λησμοσύνην.
θεῶν δὲ ναοὺς χοροῖς παννύχοις πάν
τας ἐπέλθωμεν. ὁ θήβας δ'
ἐλελίζων βακχεῖος ἄρχοι.
ἀλλ' ὅδε γὰρ δὴ βασιλεὺς χώρας

δὲ δηλώσει ὑπό τινος συνηθροῖσθαι αὐτούς. παρατηρεῖ δὲ ὅτι πανταχοῦ ἐπιμελῶς διαγίνεται, δηλῶν ἡμῖν τὰ πράγματα ὁ ποιητής, ὥστε ἐπαίρεσθαι μὲν αὐτά. καὶ παρακεῖσθαι ἑτέροις προσώποις. πάντα δὲ δηλοῦσθαι. καὶ τὸ τοῦ βασιλέως ὄνομα εὐθὺς παρατηρεῖ. Κρέων ὁ Μενοικέως καὶ τὸ νεοχμὸς δὲ οὐκ ἔστιν ἀργόν. ¶ Νεοχμός. νεωστὶ κατασταθεὶς εἰς τὴν ἀρχὴν καὶ τυραννίδα. τὸ δὲ ἑξῆς, ἀλλ' ἰδοὺ ὅδε Κρέων ὁ νεωστὶ καινὸς βασιλεὺς τῆς χώρας γενόμενος, τῇ προσφάτῳ παρὰ θεῶν αὐτῷ δεδομένῃ εὐτυχίᾳ, ὧδε κατορθώσας.

Κρέων ὁ Μενοικέως, νεοχμὸς
νεαραῖσι θεῶν ἐπὶ συντυχίαις
χωρεῖ, τίνα δὴ μῆτιν ἐρέσσων,
ὅτι σύγκλητον τήνδε γερόντων
προὔθετο λέσχην,
κοινῷ κηρύγματι πέμψας.
Κρέ. ἄνδρες, τὰ μὲν δὴ πόλεος, ἀσφαλῶς θεοὶ
πολλῷ σάλῳ σείσαντες, ὤρθωσαν πάλιν.
ὑμᾶς δ' ἐγὼ πομποῖσιν ἐκ πάντων δίχα,
ἔστειλ' ἱκέσθαι. τοῦτο μὲν, τὰ Λαΐου
σέβοντας εἰδὼς εὖ θρόνων ἀεὶ κράτη,
τοῦτ' αὖθις, ἡνίκ' Οἰδίπους ὤρθου πόλιν,
κἀπεὶ διώλετ', ἀμφὶ τοὺς κείνων ἔτι
παῖδας, μένοντας ἐμπέδοις φρονήμασιν.
ὅτ' οὖν ἐκεῖνοι πρὸς διπλῆς μοίρας, μίαν
καθ' ἡμέραν ὤλοντο, παίσαντές τε, καὶ
πληγέντες αὐτόχειρι σὺν μιάσματι,
ἐγὼ κράτη δὴ πάντα καὶ θρόνους ἔχω
γένους κατ' ἀγχιστεῖα τῶν ὀλωλότων.
» Ἀμήχανον δὲ παντὸς ἀνδρὸς ἐκμαθεῖν
» Ψυχήν τε, καὶ φρόνημα, καὶ γνώμην, πρὶν ἂν
» Ἀρχαῖς τε καὶ νόμοισιν ἐντριβὴς φανῇ.
» Ἐμοὶ γὰρ ὅστις πᾶσαν εὐθύνων πόλιν,
» Μὴ τῶν ἀρίστων ἅπτεται βουλευμάτων,

¶ Συντυχίαις. συναντήσεσι. ¶ Τίνα δὴ μῆτιν ἐρέσσων. ἐν ἑαυτῷ κινῶν, ἢ μεριμνῶν. ἐκ μεταφορᾶς τῶν ἐρεσσόντων. ¶ Σύγκλητον λέσχην. τὴν συγκληθεῖσαν ἐξαίφνης ὁμιλίαν. ἐπειδὴ ἀπὸ μεταπεμψάμενος τοὺς ἐντίμους, εἰς ἐκκλησίαν συνήγαγε. ¶ Προὔθετο λέσχην. ὁμιλίαν συνεκρότησε. ¶ Πέμψας. μεταστειλάμενος. ¶ Πολλῷ σάλῳ. τροπικῶς, ὡς ἐπὶ νεώς. ¶ Ὑμᾶς δ' ἐγὼ πομποῖσιν. διὰ τῶν πομπῶν ὑμᾶς μετεκαλεσάμην. χωρὶς ἁπάντων, ἐξαιρέτως πρὸς ὑμᾶς μόνον ἀπεσταλμένων. ὁ δὲ λόγος, ἔστι μὲν ἢ σημαντικὸς τοῦ πράγματος. ἔστι δὲ καὶ τεχνικός. ἐγκωμιάζει γὰρ πρῶτον αὐτούς. ἀναγκαῖον δὲ τῷ παριόντι, πρῶτον ἐπὶ πολιτικὴν ἀρχὴν εὔνους ἑαυτῷ καταστῆσαι τοὺς ὑπηκόους. μετεπεμψάμην οὖν φησιν ὑμᾶς, εἰδὼς ὅτι ἄνωθεν πρὸς Λάϊον καὶ Οἰδίποδα εὐνοϊκῶς εἴχετε. ὡς δή που καὶ πρὸς αὐτὸν τοιούτων φανησομένων. δηλοῖ δὲ διὰ τούτων, καὶ τὴν ἡλικίαν τῶν κατὰ τὸν χορὸν γερόντων. ὡς ἔτι ἄνωθεν ἀπὸ Λαΐου ὄντων ἐν πολιτείᾳ. ¶ Κατ' ἀγχιστεῖα. οὐδετέρως κατ' οἰκειότητα. κατὰ συγγένειαν. ¶ Ἀμήχανον δέ. οἱ μὲν χίλωνι τιθέασι τὴν γνώμην, οἱ δὲ βίαντι, ὅτι ἀρχὴ ἄνδρα δείκνυσιν. ¶ Μὴ τῶν ἀρίστων. δέον γὰρ ἀρίστων βουλευμάτων ἅπτεσθαι καὶ παρρησιάζεσθαι ἐν αὐτοῖς. μὴ ἄ-

πολεμιῶντα. ¶ Νῦν τε καὶ πάλαι. καὶ πρὶν ἄρξω, καὶ νῦν ὅτε ἐπὶ τὴν ἀρχὴν ἐλήλυθα. ¶ Οὔτ' ἂν φίλον πότ'. οὐκ ἂν κτησαίμι φίλον τῆς ἐμῆς πόλεως δυσμενῆ. τοῦτο λέγεις πολυνείκη συντείνει. ¶ Ἡ δ' ἐστὶν ἡ σώζουσα. ἡ πόλις δηλονότι. ¶ Πλέοντες ὀρθῆς. πορευόμενοι. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν νεῶν. ¶ Καὶ νῦν ἀδελφά. ἴσα. ὅμοια. μέλλων δὲ πάνυ ἀπεχθοῦς κηρύγματος λέγειν, μακροτέρῳ χρῆται τῷ λόγῳ. καὶ πρῶτον μὲν ἐγκωμιάζει τὸν Ἐτεοκλέα. ὕστερον δὲ ἐλέγχει τὸν Πολυνείκη. καὶ δεικνύων αὐτὸν μίσους ἄξιον, καὶ τῆς τοιαύτης τιμωρίας. ¶ Αἵματος κοινοῦ. ἀντὶ τοῦ ἐμφυλίου. ἢ τοῦ ἀδελφικοῦ αἵματος. προξενητικὰ δὲ λίαν ταῦτα ἀκουόντων. ¶ Ἐδεστόν. βρωτόν. ¶ Τὸν τῇδε δύσνουν. λείπει τὸ, μὴ θάπτειν. ¶ Νόμῳ δὲ χρῆσθαι παντί που τ' ἔνεστί σοι. ἀντὶ τοῦ ἔξεστί σοι ὅπως θέλεις νομοθετεῖν. ¶ ὡς ἂν σκοποὶ νῦν. σκοποὶ φύλακες. ἀντὶ τοῦ μελέτω ὑμῖν ἡ φυλακὴ τῶν εἰρημένων.

Νεωτέρῳ τῳ τοῦτο βαστάζειν. τοῦτο τὸ φορτίον. τὸ δὲ, πρόθες, ἀντὶ τοῦ πρόσθες. χρῶνται γὰρ τῇ πρό, ἀντὶ τῆς πρός.

» Ἀλλ' ἐκ φόβου του γλῶσσαν ἐγκλείσας ἔχει,
» Κάκιστος εἶναι νῦν τε καὶ πάλαι δοκεῖ.
» Καὶ μείζον' ὅστις ἀντὶ τῆς αὑτοῦ πάτρας
» Φίλον νομίζει, τοῦτον οὐδαμοῦ λέγω.
ἐγὼ γὰρ, ἴστω Ζεὺς ὁ πάνθ' ὁρῶν ἀεὶ
οὔτ' ἂν σιωπήσαιμι τὴν ἄτην ὁρῶν
στείχουσαν ἀστοῖς ἀντὶ τῆς σωτηρίας,
οὔτ' ἂν φίλον ποτ' ἄνδρα δυσμενῆ χθονὸς
θείμην ἐμαυτῷ, τοῦτο γιγνώσκων, ὅτι
ἥδ' ἐστὶν ἡ σώζουσα, καὶ ταύτης ἔπι
πλέοντες ὀρθῆς, τοὺς φίλους ποιούμεθα.
τοιοῖσδ' ἐγὼ νόμοισι τήνδ' αὔξω πόλιν.
καὶ νῦν ἀδελφὰ τῶνδε κηρύξας ἔχω
ἀστοῖσι, παίδων τῶν ἀπ' Οἰδίπου πέρι.
Ἐτεοκλέα μὲν, ὃς πόλεως ὑπερμαχῶν
ὄλωλε τῆσδε, πάντ' ἀριστεύσας δορί,
τάφῳ τε κρύψαι, καὶ τὰ πάντ' ἀφανίσαι
ἃ τοῖς ἀρίστοις ἔρχεται κάτω νεκροῖς.
τὸν δ' αὖ ξύναιμον τοῦδε Πολυνείκην λέγω,
ὃς γῆν πατρῴαν καὶ θεοὺς τοὺς ἐγγενεῖς,
φυγὰς κατελθὼν, ἠθέλησε μὲν πυρὶ
πρῆσαι κατάκρας, ἠθέλησε δ' αἵματος
κοινοῦ πάσασθαι, τοὺς δὲ δουλώσας ἄγειν,
τοῦτον πόλει τῇδ' ἐκκεκηρῦχθαι, τάφῳ
μήτε κτερίζειν, μήτε κωκῦσαί τινα.
ἐᾶν δ' ἄθαπτον, καὶ πρὸς οἰωνῶν δέμας
καὶ πρὸς κυνῶν ἐδεστὸν αἰκισθέντ' ἰδεῖν.
τοιόνδ' ἐμὸν φρόνημα, κοὔποτ' ἔκ γ' ἐμοῦ
τιμὴν προέξουσ' οἱ κακοὶ τῶν ἐνδίκων.
ἀλλ' ὅστις εὔνους τῇδε τῇ πόλει θανὼν,
καὶ ζῶν, ὁμοίως ἐκ γ' ἐμοῦ τιμήσεται.
Χο Σοὶ ταῦτ' ἀρέσκει παῖ Μενοικέως Κρέον,
τὸν τῇδε δύσνουν, καὶ τὸν εὐμενῆ πόλει.
νόμῳ δὲ χρῆσθαι παντί που τ' ἔνεστί σοι,
καὶ τῶν θανόντων, χ' ὁπόσοι ζῶμεν πέρι.
Κρέ ὡς ἂν σκοποὶ νῦν ἦτε τῶν εἰρημένων.
Χο νεωτέρῳ τῳ τοῦτο βαστάζειν πρόθες.
Κρέ ἀλλ' εἴσ' ἕτοιμοι τοῦ νεκροῦ γ' ἐπίσκοποι.

Τὸ μὴ

Τ Τὸ μὴ 'πιχειρεῖν τοῖς ἀπιστοῦσι τάδε. λείπει ἡ διά. διὰ τὸ μὴ ἐπιτρέπειν, μηδὲ συγχωρεῖν τοῖς ἀπιθοῦσιν. ἔλεγον δὲ καὶ τὴν πειθώ, πίστιν. ¶ Καὶ μὴν ὁ μισθὸς οὗτος. ὁ θάνατος δηλονότι. ¶ Ἄνδρας τὸ κέρδος. ἕνεκα κέρδους, καὶ τοῦ θανάτου ἔνιοι καταπεφρονήκασιν.

Χο. τί δῆτ' ἂν ἄλλο τοῦτ' ἐπεντέλλοις ἔτι;
Κρέ. τὸ μὴ 'πιχειρεῖν τοῖς ἀπιστοῦσιν τάδε.
Χο. Οὐκ ἔστιν οὕτω μῶρος, ὃς θανεῖν ἐρᾷ.
Κρέ. Καὶ μὴν ὁ μισθός γ' οὗτος. ἀλλ' ὑπ' ἐλπίδων
» Ἄνδρας τὸ κέρδος πολλάκις διώλεσεν.
Αγ. ἄναξ, ἐρῶ μὲν οὐχ ὅπως τάχους ὕπο
δύσπνους ἱκάνω κοῦφον ἐξάρας πόδα.
πολλὰς γὰρ ἔσχον φροντίδων ἐπιστάσεις,
ὁδοῖς κυκλῶν ἐμαυτὸν εἰς ἀναστροφήν.
ψυχὴ γὰρ ηὔδα πολλά μοι μυθουμένη,
τάλας, τί χωρεῖς, οἷ μολὼν δώσεις δίκην;
τλήμων, μενεῖς αὖ; κεἰ τάδ' εἴσεται Κρέων,
ἄλλου παρ' ἀνδρός, πῶς σὺ δῆτ' οὐκ ἀλγυνῇ;
τοιαῦθ' ἑλίσσων, ἤνυτον σχολῇ βραδύς.
χοὔτως ὁδὸς βραχεῖα, γίγνεται μακρά.
τέλος γε μέντοι δεῦρ' ἐνίκησεν μολεῖν
σοί, κεἰ τὸ μηδὲν ἐξερῶ, φράσω δ' ὅμως.
τῆς ἐλπίδος γὰρ ἔρχομαι δεδραγμένος
τὸ μὴ παθεῖν ἂν ἄλλο, πλὴν τὸ μόρσιμον.
Κρέ. τί δ' ἐστιν, ἀνθ' οὗ τήνδ' ἔχεις ἀθυμίαν;
Αγ. φάσαι θέλω σοι πάντα τἀμαυτοῦ. τὸ γὰρ
πρᾶγμ' οὔτ' ἔδρασ', οὔτ' εἶδον ὅστις ἦν ὁ δρῶν,
οὐδ' ἂν δικαίως ἐς κακὸν πέσοιμί τι.
Κρέ. εὖ γε στοχάζῃ, κἀποφράγνυσαι κύκλῳ
τὸ πρᾶγμα, δηλοῖς δ' ὥς τι σημαίνων νέον.
Αγ. τὰ δεινὰ γάρ τοι προστίθησ' ὄκνον πολύν.
Κρέ. οὔκουν ἐρεῖς ποτ', εἶτ' ἀπαλλαχθεὶς ἄπει;

οἷον, ὑπὸ ἐλπίδων τοῦ διαφυγεῖν, καὶ τοῖς ἐπικινδύνοις ἔργοις ἐπιχειροῦσιν. οὐ γὰρ προσέδοκα τινὰ τῶν οἰκείων αὐτοῦ τιμήσειν. θήλει αὐτὸν ἦσαν. ¶ Ἐρῶ μὲν, οὐχ ὅπως τάχους ὕπο. οὐ τοῦτο λέγω, ὅτι μετὰ σπουδῆς ἀσθμαίνων πρὸς σὲ πεπόρευμαι. πολλάκις γὰρ ἐπιστὰς ἐλογισάμην, πότερον ἔλθω πρὸς σέ, ἢ μή. ¶ Ἐπιστάσεις. ἐνστάσεις. ¶ Ἀναστροφήν. ὑποστροφήν. ¶ Τάλας τί χωρεῖς. ταῦτα ἡ ψυχή μου πτήνει. ¶ Οἷ μολών. ἀντὶ τοῦ ὅποι. ¶ Οὐκ ἀλγυνῇ. οὐ τιμωρηθήσῃ. ¶ Ἤνυτον σχολῇ βραδύς. γράφεται ταχύς. καί τοι ταχὺς ὢν βραδέως ἤνυον τὴν ὁδόν. ¶ Κεἰ τὸ μηδὲν ἐξερῶ. καὶ εἰ μηδέν σοι περιττὸν λέξω. ἢ οὕτως. εἰ καὶ τὸ μηδέν σοι μέλλω λέγειν. τὸ γὰρ ἐκ τοῦ εἰπεῖν τὸ σιγῆσαι οὐδὲν ἄλλο λείπεται, ἢ θανάτῳ με κολάζεσθαι. ἀκόλουθον δὲ καὶ τὸ ἑξῆς διανόημα. ἐλπίζω τοῦ ὅτι οὐδὲν ἄλλο πάθοιμι, ἢ τὸ μόρσιμον. ὥστε οὐδέν μοι χεῖρον ἀποβήσεται ἐκ τοῦ εἰπεῖν.

¶ Τῆς ἐλπίδος γὰρ ἔρχομαι. ὑπὸ γὰρ τῆς ἐλπίδος νενικημένος ἐλήλυθα. ἢ οὕτως, ἀντειλημμένος τῆς ἐλπίδος ἐλήλυθα. ¶ Κἀποφράγνυσαι κύκλῳ. κύκλῳ σαυτὸν ἀσφαλίζῃ. ἢ αὐτὴν τὴν πρᾶξιν.

Οὔκουν ἐρεῖς ποτ'. τοῦ ἀγγέλου περιπλέκοντος τὸν λόγον, καὶ εὐλαβουμένου

ἀπαμῦναι τὸ πραχθὲν, ἐπιθυμῶν ὁ Κρέων ἀκοῦσαι, εὔελπιν αὐτὸν ποιεῖ, ὡς ὅτι οὐδὲν πείσεται. οὐ γὰρ ἀπειλεῖ κελεύων εἰπεῖν, ἀλλά φησιν δηλώσας τὸ πρᾶγμα, ἄπιθι ἀθῷος. λέγωσιν οὖν οἱ ἄγγελοι βασιλικοῖς τὸ ψεύσασθαι δοκεῖ τὸ χρήσιμον.
Διψίαν. ξηράν. ¶ Κόνιν παλύνας. βαλὼν, ἢ λεπτύνας τὴν λεγομένην χυτὴν γῆν. ¶ Δικέλλης. πελέκεως, ἀξίνης. ¶ Στύφλος. σκληρά. ℂ Οὐδ' ἐπημαξευμένη. ἐσκαμμένη. ¶ Ἀρρώξ. μὴ ἐσχισμένη. ¶ Ἀλλ' ἄσημος οὑργάτης τις ἦν. ὁ τοῦτο ἐργασάμενος, ἄγνωστος ἦν. ἐκπλῆξαι δὲ αὐτὸν βούλεται, ὡς ὅτι ἐκ θείου τινὸς τῶν κρειττόνων γέγονεν.
Τυμβήρης μὲν οὔ. λεπτὴ δ' ἄγος. οὐ κατὰ βάθος ἦν τεθαμμένος, ἀλλ' ὡς ἔχει ἐπιβεβλημένη ἦν ἡ ἄμμος. τοῦτο δὲ ἐποίησεν ὁ θάψας νόμου χάριν. οἱ γὰρ νεκρὸν ὁρῶντες ἄταφον καὶ μὴ ἐπαμησάμενοι κόνιν, ἐναγεῖς εἶναι ἐδόκουν. ὥσπερ οὖν τὸ τῆς ἀσεβείας τις ἔγκλημα φεύγων, λεπτὴν κόνιν ἐπιχεῖ τοῖς νεκροῖς, οὕτως ἦν καὶ ἐπάνω τοῦ Πολυνείκους. καὶ τοῦτο δὲ ἡ Ἀντιγόνη καθαρσίων ἕνεκα πεποίηκε. λόγος δὲ ὅτι Βουζύγης Ἀθήνησι κατηράσατο τοῖς περιορῶσιν ἄταφον σῶμα. ¶ Φύλαξ ἐλέγχων φύλακα. ἐπεὶ ἐκ διαδοχῆς αἱ φυλακαὶ γίγνονται, ἠπορούμην εἰς τὴν τίνος φυλακὴν ἐγεγόνει. ℂ Εἷς γάρ τις ἦν ἕκαστος. ἕκαστος μὲν γὰρ τὸν πλησίον ἐδόκει πεπραχέναι. ἀκριβῶς δὲ αὐτὸν κατελέγχειν οὐκ ἠδύναντο. ℂ Ἦμεν δ' ἕτοιμοι καὶ μύδρους. σίδηρον πεπυρακτωμένον. εἰώθασι γὰρ οἱ ὀμνύοντες ταῦτα ποιεῖν. μύδρους γὰρ αἴροντες ἐπαρῶνται μένειν τὰ ὅρκια, ἕως αὐτοὶ φανῶσι. καὶ ῥίπτουσιν αὐτοὺς εἰς θάλασσαν, ὅπως ἂν αἰώνια τὰ ὅρκια ὑπάρχῃ, ὡς καὶ Καλλίμαχος, Φωκαίων μέχρις κε μένῃ μέγας εἰν ἁλὶ μύδρος. καὶ τὸ πῦρ δὲ διερχόμενοι ὤμνυον. Ἄλλως. ἕτοιμοι ἦμεν πάσας βασάνους ὑπομένειν πρὸς ἔλεγχον. εἰώθασι δὲ ὀμνύοντες καὶ πίστεις διδόντες, μύδρους βαστάζειν, καὶ πῦρ ὑπερβαίνειν. τοὺς γὰρ μὴ ἐνόχους τῷ ἁμαρτήματι, ᾤοντο καὶ ἐν πυρὶ μὴ ἀλγεῖν. ℂ Μύδρος. πεπυρακτωμένος σίδηρος.

Αγ. Καὶ δὴ λέγω σοι, τὸν νεκρόν τις ἀρτίως
θάψας, βέβηκε, κἀπὶ χρωτὶ διψίαν
κόνιν παλύνας, κἀφαγιστεύσας ἃ χρή.
Κρέ. Τί φής; τίς ἀνδρῶν ἦν ὁ τολμήσας τάδε;
Αγ. Οὐκ οἶδ'. ἐκεῖ γὰρ οὔτε του γενῇδος ἦν
πλῆγμ', οὐ δικέλλης ἐκβολή. στύφλος δὲ γῆ
καὶ χέρσος ἀρρὼξ, οὐδ' ἐπημαξευμένη
τροχοῖσιν. ἀλλ' ἄσημος οὑργάτης τις ἦν.
ὅπως δ' ὁ πρῶτος ἡμὶν ἡμεροσκόπος
δείκνυσι, πᾶσι θαῦμα δυσχερὲς παρῆν.
οὐδὲν τι ἠφάνιστο. τυμβήρης μὲν οὔ.
λεπτὴ δ' ἄγος φεύγοντος ὣς, ἐπῆν κόνις.
σημεῖα δ' οὔτε θηρὸς, οὔτε του κυνῶν
ἐλθόντος, οὐ σπάσαντος ἐξεφαίνετο.
λόγοι δ' ἐν ἀλλήλοισιν ἐρρόθουν κακοί.
φύλαξ ἐλέγχων φύλακα, κἂν ἐγίνετο
πληγὴ τελευτῶσ'. οὐδ' ὁ κωλύσων παρῆν.
εἷς γάρ τις ἦν ἕκαστος οὑξειργασμένος.
κοὐδεὶς ἐναργὴς, ἀλλ' ἔφευγε τὸ μὴ εἰδέναι.
ἦμεν δ' ἕτοιμοι καὶ μύδρους αἴρειν χεροῖν,

καὶ πῦρ διέρπειν, καὶ θεοὺς ὁρκωμοτεῖν,
καὶ τὸ μήτε δρᾶσαι, μήτε τῳ ξυνειδέναι
τὸ πρᾶγμα βουλεύσαντι, μήτ᾽ εἰργασμένῳ.
τέλος δ᾽ ὅτ᾽ οὐδὲν ἦν ἐρευνῶσι πλέον,
λέγει τις εἷς, ὃς πάντας ἐς πέδον κάρα
νεῦσαι φόβῳ προὔτρεψεν. οὐ γὰρ εἴχομεν
οὔτ᾽ ἀντιφωνεῖν, οὔθ᾽ ὅπως δρῶντες, καλῶς
πράξαιμεν. ἦν δ᾽ ὁ μῦθος, ὡς ἀνοιστέον
σοὶ τοὔργον εἴη τοῦτο, κοὐχὶ κρυπτέον.
καὶ ταῦτ᾽ ἐνίκα. κἀμὲ τὸν δυσδαίμονα
πάλος καθαιρεῖ τοῦτο τἀγαθὸν λαβεῖν.
πάρειμι δ᾽ ἄκων οὐχ ἑκοῦσιν οἶδ᾽ ὅτι.
» Στέργει γὰρ οὐδεὶς ἄγγελον κακῶν ἐπῶν.
ἄναξ, ἐμοί τοι μή τι καὶ θεήλατον
τοὔργον τόδ᾽ ἡ ξύννοια βουλεύει πάλαι.
Κρέ. παῦσαι πρὶν ὀργῆς κἀμὲ μεστῶσαι λέγων,
μὴ ᾽φευρεθῇς ἄνους τε καὶ γέρων ἅμα.
λέγεις γὰρ οὐκ ἀνεκτὰ, δαίμονας λέγων
πρόνοιαν ἴσχειν τοῦδε τοῦ νεκροῦ πέρι.
πότερον ὑπερτιμῶντες ὡς εὐεργέτην
ἔκρυπτον αὐτὸν, ὅστις ἀμφικίονας
ναοὺς πυρώσων ἦλθε, κἀναθήματα,
καὶ γῆν ἐκείνων καὶ νόμους διασκεδῶν,
ἢ τοὺς κακοὺς τιμῶντας εἰσορᾷς θεούς;
οὐκ ἔστιν. ἀλλὰ ταῦτα καὶ πάλαι πόλεως
ἄνδρες μόλις φέροντες ἐρρόθουν ἐμοὶ
κρυφῇ κάρα σείοντες. οὐδ᾽ ὑπὸ ζυγῷ
λόφον δικαίως εἶχον ὡς στέργειν ἐμέ.
ἐκ τῶνδε τούτους ἐξεπίσταμαι καλῶς
παρηγμένους μισθοῖσιν εἰργάσθαι τάδε.
» Οὐδὲν γὰρ ἀνθρώποισιν οἷον ἄργυρος
» Κακὸν νόμισμ᾽ ἔβλαστε. τοῦτο καὶ πόλεις
» Πορθεῖ, τόδ᾽ ἄνδρας ἐξανίστησιν δόμων.
» Τόδ᾽ ἐκδιδάσκει, καὶ παραλλάσσει φρένας
» Χρηστὰς, πρὸς αἰσχρὰ πράγμαθ᾽ ἵστασθαι βροτῶν.
» Πανουργίας δ᾽ ἔδειξεν ἀνθρώποις ἔχειν,
» Καὶ παντὸς ἔργου δυσσέβειαν εἰδέναι.
» Ὅσοι δὲ μισθαρνοῦντες ἤνυσαν τάδε,

¶ Τέλος δ᾽ ὅτ᾽ οὐδέν. τὸ ἑξῆς· ὅτε δὲ ἐρευνῶσιν ἡμῖν, οὐδὲν πλέον τέλος ἐφαίνετο. ¶ Πάλος καθαιρεῖ. ἀντὶ τοῦ καταλαμβάνει, ὥστε ἀπαγγεῖλαί σοι. ἐπειδὴ εἰς τὰ ἀγαθὰ κλήρους βάλλουσιν, ἐν ἤθει τοῦτό φησι. ἢ εὔκληροι γὰρ τινὲς λέγονται. ¶ Ἡ σύννοια βουλεύει. πάλαι ἡ σύννοιά μοι βουλεύεται, καὶ οἴεται μὴ καὶ θεήλατόν ἐστι τὸ πρᾶγμα. ¶ Μεστῶσαι. πληρῶσαι. ¶ Ἄνους τε καὶ γέρων ἅμα. ἐναντίον γὰρ ἡ ἄνοια τῷ γήρᾳ. ¶ Ἀμφικίονας. τοὺς ἀμφοτέρωθεν ὑπὸ κιόνων βασταζομένους ναούς. ℭ Κρυφῇ κάρα σείοντες. οἷον μὴ πειθόμενοι τοῖς ἐμοῖς κηρύγμασι μόνον συνήνουν μοι οὐχ οὕτω διακείμενοι. ℭ Ἐρρόθουν ἐμοί. ἠρέμα ψιθυρίζοντες, ὕβριζόν με. ℭ Λόφον δικαίως εἶχον. ἡ μεταφορὰ ἀπὸ τῶν ὑποζυγίων, τῶν μὴ βουλομένων ὑπὸ τὸν ζυγὸν εἶναι, ταῦτά φησιν ὑπ᾽ ἐκείνων πράττεται τῶν μὴ βουλομένων λάθρα βασιλεῦσαι τὴν ἡμετέραν ἀρχήν.

¶ Ἐκ τῶνδε τούτους ἐξεπίσταμαι. ἀπὸ τούτων φησὶ τῶν δυσαρεστούντων μου τοῖς κηρύγμασιν, οἱ φύλακες μισθὸν λαβόντες, ἔθαψαν τὸν νεκρόν. ¶ Παρηγμένους. ἠπατημένους.

¶ Μισθαρνοῦντες. μισθὸν λαβόντες. ¶ Ἤνυσαν. ἀντὶ τοῦ ἐτιμωρήθησαν.

Χρόνῳ ποτ' ἐξέπραξαν. ἀντὶ τοῦ φανεροὶ ἔσονται καὶ τιμωρηθήσονται. ¶ Ἀλλ' εἴπερ ἴσχει Ζεύς. ὅ ἐστιν, εἰ τιμῶ καὶ σέβω τὸν Δία, καὶ μὴ ἐπιορκῶ αὐτόν. Οὐχ ὑμῖν ἅδης μοῦνος ἀρκέσει. οὐκ εὐθὺς ὑμᾶς τῷ ἅδῃ παραδώσω, ἀλλὰ τιμωρίαις κρεμασταῖς παραδοὺς, βαρύτερον τὸ ζῆν τοῦ θανεῖν ὑμῖν ἀπεργάσομαι. παρὰ τὸ Ὁμηρικὸν, Οὔ οἱ ἔπειτα ἄρκιον ἐσσεῖται φυγέειν κύνας ἠδ' οἰωνούς. Τήνδε δηλώσηθ' ὕβριν. ὁμολογήσητε ταύτην τὴν καταφρόνησιν. ¶ Ἵν' εἰδότες τὸ κερδαίνειν. ἵνα μαθόντες ὅθεν δεῖ κερδαίνειν, τὸ λοιπὸν ἐκεῖνα ἁρπάζητε. ¶ Εἰπεῖν δὲ δώσεις. ἐπιτρέψεις καὶ ἐμοὶ εἰπεῖν. ἢ ἀπέλθω. Οὐκ οἶσθα καὶ νῦν. ἄπιθι. καὶ γὰρ νῦν λέγων ἀνιαρός μοι εἶ. ℂ Ῥυθμίζεις. σχηματίζεις. διατυποῖς. ℂ Ὁ δρῶν σ' ἀνιᾷ. συνετῶς ὑπὲρ τῶν ἀγγελθέντων ἀπελογήσατο, ὡς οὐκ αἴτιος. ¶ Ὡς λάλημα δῆλον. λάλημα περίτριμμα τῆς ἀγορᾶς. ἴδιον πανούργου. ¶ Οὔκουν τόδ' ἔργον. ἀντὶ τοῦ οὐδέποτε ἐφλυάρηκα. ℂ Ἦ δεινὸν ᾧ δοκεῖ γε. δεινόν ἐστι τὸ ἐπὶ ψευδῆ ὑπονοεῖν. οὐκ ἔστι γὰρ δόξαν ἐκείνων μεταστρέψαι. Κόμψευε νῦν τὴν δόξαν. σεμνολόγει. τὴν δόκησιν περιλάλει. κομψοὺς γὰρ ἔλεγον, οὓς νῦν ἡμεῖς περιττοὺς καὶ πολυλάλους φαμέν. Εἰ δὲ ταῦτα μή. τὸ ἑξῆς, εἰ δὲ μὴ φανεῖτέ μοι τοὺς ταῦτα δρῶντας. Τὰ δειλὰ κέρδη. γράφεται τὰ δειλά. ἀντὶ τοῦ τὰ κακά. ἀπὸ τοῦ τοὺς δειλοὺς εἶναι ἀχρείους. ¶ Τοῦτο γὰρ τύχη κρινεῖ. ἀπιὼν ὁ θεράπων καθ' ἑαυτὸν ταῦτά φησιν. οὐ γὰρ δυνατὸν ὑπὸ τοῦ Κρέοντος ταῦτα λέγεσθαι, ὡς καὶ ἐν τοῖς κωμικοῖς.

» Χρόνῳ ποτ' ἐξέπραξαν ὡς δοῦναι δίκην.
ἀλλ' εἴπερ ἴσχει Ζεὺς, ἔτ' ἐξ ἐμοῦ σέβας,
εὖ τοῦτ' ἐπίστασ', ὅρκιος δέ σοι λέγω.
εἰ μὴ τὸν αὐτόχειρα τοῦδε τοῦ τάφου
εὑρόντες ἐκφανεῖτ' ἐς ὀφθαλμοὺς ἐμοὺς,
οὐχ ὑμῖν ἅδης μοῦνος ἀρκέσει, πρὶν ἂν
ζῶντες κρεμαστοὶ τήνδε δηλώσηθ' ὕβριν.
ἵν' εἰδότες τὸ κέρδος ἔνθεν οἰστέον,
τὸ λοιπὸν ἁρπάζητε, καὶ μάθηθ' ὅτι,
» Οὐκ ἐξ ἅπαντος δεῖ τὸ κερδαίνειν φιλεῖν.
» Ἐκ τῶν γὰρ αἰσχρῶν λημμάτων τοὺς πλείονας
» Ἀτωμένους ἴδοις ἂν, ἢ σεσωσμένους.
Αγ εἰπεῖν τι δώσεις, ἢ στραφεὶς οὕτως ἴω;
Κρέ οὐκ οἶσθα καὶ νῦν ὡς ἀνιαρῶς λέγεις.
Αγ ἐν τοῖσιν ὠσὶν, ἢ 'πὶ τῇ ψυχῇ δάκνῃ.
Κρέ τί δαὶ ῥυθμίζεις τὴν ἐμὴν λύπην ὅπου;
Αγ ὁ δρῶν, ἀνιᾷ τὰς φρένας, τὰ δ' ὦτ' ἐγώ.
Κρέ οἴμ', ὡς λάλημα δῆλον ἐκπεφυκὸς εἶ.
Αγ οὔκουν τόδ' ἔργον τοῦτο ποιήσας ποτέ.
Κρέ καὶ ταῦτ' ἐπ' ἀργύρῳ γε τὴν ψυχὴν προδούς.
Αγ φεῦ. ἦ δεινὸν ᾧ δοκεῖ γε, καὶ ψευδῆ δοκεῖν.
Κρέ κόμψευε νῦν τὴν δόξαν. εἰ δὲ ταῦτα μὴ
φανεῖτέ μοι τοὺς δρῶντας, ἐξερεῖθ' ὅτι
» Τὰ δειλὰ κέρδη, πημονὰς ἐργάζεται.
Αγ ἀλλ' εὑρεθείη μὲν μάλιστ'. ἐὰν δέ τοι
ληφθῇ τε καὶ μὴ, τοῦτο γὰρ τύχη κρινεῖ,
οὐκ ἔσθ' ὅπως ὄψει σὺ δεῦρ' ἐλθόντα με.
καὶ νῦν γὰρ ἐκτὸς ἐλπίδος, γνώμης τ' ἐμῆς
σωθεὶς, ὀφείλω τοῖς θεοῖς πολλὴν χάριν.
Χο πολλὰ τὰ δεινὰ, κοὐδὲν ἀν-

Πολλὰ

Πολλὰ τὰ δεινά. ἐν σχήματι εἶπεν, ἀντὶ τοῦ πολλῶν ὄντων τῶν δεινῶν, οὐδέν ἐστιν ἀνθρώπου δεινότερον. ¶ Τοῦτο καὶ πολιοῦ πέραν. τοῦτο τὸ γένος τῶν ἀνθρώπων.
Περιβρυχίοισι, τοῖς ἠχώδεσιν, ἢ τοῖς καλύπτουσι τὴν ναῦν. τοῖς γὰρ ἐν τοιαύτῃ ὥρᾳ τοῦ ἔτους πλέουσι, μονονουχὶ τὰ κύματα φέρεται ἡ ναῦς. ἢ τοῖς κοματίζουσι τὴν ναῦν. τὸ μὲν γὰρ καθόλου κεκρυμμένον ὑπὸ ὕδατος, ὑποβρύχιόν ἐστιν. Ὅμηρος, Τὸν δ' ἄρ' ὑποβρύχα θῆκε πολὺν χρόνον. τὸ δ' ἐλέττερον περιβρύχιον καλεῖται. ¶ Θεῶν τε τὰν ὑπερτάταν. τὴν ὡς ἐν πανηγυρίᾳ οὐ δεῖ ἀκούειν, ἀλλὰ διὰ τὴν ἐπίνοιαν αὐτῶν. εἰ γάρ τις καταμάθοι πῶς ἐπενόησαν τὸ ἀροτριᾶν, ἢ σπείρειν θαυμάσειεν. ¶ Ἀποτρύεται. γεωργεῖ. ἢ ἀποσχίζει τὴν γῆν, καθότι ἐν τῷ ἀροτριᾶν σχίζει καὶ δαμάζει τὴν γῆν. ¶ Παλλομένων. γράφεται ἰλλομένων ἤτοι περικυκλούντων τῶν ἀρότρων ἔτος ἐξ ἔτους. Ἱππείῳ γένει πολεύων. ταῖς ἡμιόνοις. ¶ Αἱ γάρ τε βοῶν προφερέστεραί εἰσιν ἑλκέμεναι νειοῖο βαθείης πηκτὸν ἄροτρον. τινὲς δὲ ἵπποις χρῶνται εἰς ἀροτριασμόν. ¶ Ἀμφιβαλὼν ἄγει. περιβαλὼν τοῖς δικτύοις ἀγρεύει. ¶ Εναλίαν φύσιν. τοὺς ἰχθύας. ¶ Σπείραισι δικτυοκλώστοις. τοῖς σχοινίοις τοῖς εἰς δίκτυον κεκλωσμένοις, οἳ συγκλείουσι τὰ δίκτυα. ἀπὸ κοινοῦ δὲ τὸ ἀμφιβαλὼν ἄγει.
Κρατεῖ δὲ μηχαναῖς. καθολικὸν τοῦτό φησιν, ὅτι ἐν ζώοις ὁ ἄνθρωπός ἐστι πολυμήχανος, καὶ ἔντεχνος. καὶ Θεόκριτος, Σοφόν τι χρῆμ' ἄνθρωπος· ἐπεὶ δὲ ἀνωτέρω εἶπεν ὅτι περιγίνεται πάντων τῶν ζώων ὁ ἄνθρωπος, ἐνταῦθα τὸ μηχαναῖς προσέθηκεν ἐπὶ τῶν τιθασευομένων. οὐ γὰρ μόνον κρατῆσαι δυνατός, ἀλλὰ καὶ τιθασεῦσαι. ¶ Ἀμφίλοφον ζυγόν. ἀντὶ τοῦ περιβαλὼν αὐτῷ ζυγόν, περὶ τὸν λόφον ὑπάγει. ἢ ἀμφίλοφον τὸν ἀμφιτράχηλον. τὸν ἀμφοτέρωθεν συνέχοντα τοὺς λόφους τῶν ὑποζυγίων. καὶ λείπει ἡ ὑπό. ὑπὸ ζυγὸν ἄγει.

θρώπου δεινότερον πέλει.
τοῦτο καὶ πολιοῦ πέραν
πόντου χειμερίῳ νότῳ
χωρεῖ περιβρυχίοισι
περῶν ὑπ' οἴδμασιν.
θεῶν τε τὰν ὑπερτάταν γᾶν
ἄφθιτον ἀκαμάταν
ἀποτρύεται, παλλομένων ἀρότρων
ἔτος εἰς ἔτος ἱππεί
ῳ γένει πολεύων
κουφονέων τε φῦλον ὀρ
νίθων ἀμφιβαλὼν, ἄγει,
καὶ θηρῶν ἀγρίων ἔθνη,
πόντου τ' ἐναλίαν φύσιν
σπείραισιν δικτυοκλώστοις
περιφραδὴς ἀνήρ.
κρατεῖ δὲ μηχαναῖς ἀγραύλου
θηρὸς ὀρεσιβάτα.
λασιαύχενα θ' ἵππον ἄξεται ἀμ
φίλοφον ζυγὸν οὔρει
όν τ' ἀδμῆτα ταῦρον,

Καὶ φθέγμα. τὴν ἀνθρωπίνην διάλεξιν, καὶ ἀστυνόμους ὀργάς. τὴν περὶ τῶν μετεώρων φιλοσοφίαν. τὴν τῶν νόμων ἐμπειρίαν. δι' ὧν τὰ ἄστεα νέμονται, ὅ ἐστι διοικοῦνται. ¶ Δυσαύλων. δυσχερῶν εἰς τὸν ἐπαυλισμὸν ποιούντων. ¶ Αἴθρεια. ψυχρά. ¶ Δύσομβρα φεύγειν βέλη. διὰ αἰσθητός ἐστι καὶ οἰκοδομημάτων. ¶ Παντοπόρος. εἰς πάντα μηχανὰς ἐξευρίσκων, καὶ ἐπ' οὐδὲν ἄπορος τῶν μελλόντων. θανάτου μόνου οὐχ εὗρεν ἴαμα. ¶ Νόσων δ' ἀμηχάνων. ὡς ἰατρικὴν δίαιταν, γυμναστικήν, καὶ τὰ ὅμοια. ταῦτα δὲ οὐκ ἂν ἕτερον ζῶον μηχανήσαιτο. ¶ Συμπέφρασται. ἐπινενόηκε. καὶ ἐπιγνώσκει. ¶ Σοφόν τι τὸ μηχανόεν. τὸ μηχανόεν τῆς τέχνης σοφὸν ἔχων. ὅ ἐστι τὸ μηχανικὸν τῆς ἐπιτεχνήσεως σοφὸν ἔχων, ὡς οὐκ ἄν τις προσδοκήσειεν, οὐ μίαν ὁδὸν βαδίζει τὴν ἐπὶ τὰ ἀμείνω, ἀλλὰ ποτὲ μὲν ἐπὶ τὰ ἀγαθὰ φέρεται. ποτὲ δὲ ἐπὶ τὰ χείρω. ¶ Νόμους παρείρων χθονός. ὁ πληρῶν δὲ τοὺς νόμους καὶ τὴν δικαιοσύνην, ὑψίπολις γίνεται. ὅ ἐστιν ἐν τῇ πόλει ὑψηλός. ¶ Ἄπολις, ὅτῳ τὸ μὴ καλόν. ἄπολις δὲ ἐκεῖνος καὶ ταπεινὸς τῇ πολιτείᾳ, ᾧ ἔνι μὴ τὸ καλὸν σύνεστι, καὶ ὅστις οὐ μετὰ τόλμης τὸ καλὸν ἐκπληροῖ.

Ὃς τάδ' ἔρδει. ὃς τοιοῦτον ἐπιτελῆ διῆγε βίον. ¶ Ἐς δαιμόνιον τέρας. ὁρῶντες ἑλκομένην τὴν Ἀντιγόνην ἐκπλήττονται, ὅτι γυνὴ ἦν ἡ παραβᾶσα τὸ κήρυγμα.

Ἀμφινοῶ. διανοῶ ἢ ἀμφιβ.

Ἀπιστοῦσαν. μὴ πειθαρχοῦσαν.

Προὔβην. ἐξέβην.

καὶ φθέγμα, καὶ ἀνεμόεν
φρόνημα, καὶ ἀστυνόμους
ὀργὰς ἐδιδάξατο, καὶ δυσαύλων
ψυχρὰ πάγων αἴθρεια, καὶ
» δύσομβρα φεύγειν βέλη. Παντοπόρος
» ἄπορος ἐπ' οὐδὲν ἔρχεται.
» τὸ μέλλον ᾅδα μόνον
» φεῦξιν οὐκ ἐπάξεται.
» Νόσων δ' ἀμηχάνων φυγὰς
» ξυμπέφρασται.
σοφόν τι τὸ μηχανόεν τέ-
χνας ὑπὲρ ἐλπίδ' ἔχων,
ποτὲ μὲν κακόν, ἄλλοτ' ἐπ' ἐσθλὸν ἕρπει.
νόμους παρείρων χθονός,
θεῶν τ' ἔνορκον δίκαν, ὑψίπολις,
ἄπολις, ὅτῳ τὸ μὴ καλὸν
ξύνεστι τόλμας χάριν.
μήτε μοι παρέστιος
γένοιτο, μήτ' ἴσον φρονῶν,
ὃς τάδ' ἔρδει.
ἐς δαιμόνιον τέρας ἀμφινοῶ
τόδε, πῶς εἰδὼς ἀντιλογήσω
τήνδ' οὐκ εἶναι παῖδ' Ἀντιγόνην.
ὦ δύστηνος, καὶ δυστήνου
πατρὸς Οἰδιπόδα, τί ποτ', οὐ δή που
σέ γ' ἀπιστοῦσαν,
τοῖς βασιλείοις ἄγουσι νόμοις
καὶ ἐν ἀφροσύνῃ καθελόντες;

Αγ. ἥδ' ἔστ' ἐκείνη τοὔργον ἡ 'ξειργασμένη·
τήνδ' εἵλομεν θάπτουσαν. ἀλλὰ ποῦ Κρέων;
Χο. ὅδ' ἐκ δόμων ἄψορρος εἰς δέον περᾷ.
Κρέ. τί δ' ἔστι; ποίᾳ ξύμμετρος προὔβην τύχῃ;

Ἀγ.

Ἀπώμοτον. ἀντὶ τοῦ ἀπηγορευμένον καὶ ἀπροσδόκητον. ἀντὶ τοῦ οὐκ ὀφείλει τις ἀπομόσασθαι περί τινος, ὅτι οὐκ ἂν αὐτὸ πράξειεν. ἡ γὰρ πρώτη δόκησις ἐκκρούεται ἀπὸ τῆς ἐπιγινομένης δόξης δευτέρας. τοῦτο δέ φησιν, ὅτι τοῦ Κρέοντος ἀπειλήσαντος, τότε ὤμοσε μηκέτι ἐμφανὴς ἔσεσθαι. νῦν δ' εὑρὼν τὴν Ἀντιγόνην, πάλιν ἐλήλυθε. ¶ Ψεύδει γὰρ ἡ 'πίνοια. ψευδῆ ποιεῖ. ἡ γὰρ ἐπίνοια, ὅ ἐστιν ἡ ὑστεροῦσα γνώμη, τὴν ἀπελπίσασαν γνώμην ψευδῆ ποιεῖ.

Αγ. ἄναξ, βροτοῖσιν οὐδέν ἐστ' ἀπώμοτον.
» ψεύδει γὰρ ἡ 'πίνοια τὴν γνώμην. ἐπεὶ
σχολῇ ποθ' ἥξειν δεῦρ' ἂν ἐξηύχουν ἐγὼ
ταῖς σαῖς ἀπειλαῖς, αἷς ἐχειμάσθην τότε.
ἀλλ' ἡ γὰρ ἐκτὸς καὶ παρ' ἐλπίδας χαρὰ
ἔοικεν ἄλλῃ μῆκος οὐδὲν ἡδονῇ.
ἥκω δι' ὅρκων, καίπερ ὢν ἀπώμοτος,
κόρην ἄγων τήνδ', ἣ καθηυρέθη τάφον
κοσμοῦσα. κλῆρος ἐνθάδ' οὐκ ἐπάλλετο,
ἀλλ' ἔστ' ἐμὸν θοὔρμαιον, οὐκ ἄλλου τόδε.
καὶ νῦν ἄναξ, τήνδ' αὐτὸς ὡς θέλεις λαβὼν,
καὶ κρῖνε, κἀξέλεγχ'. ἐγὼ δ' ἐλεύθερος
δίκαιός εἰμι τῶνδ' ἀπηλλάχθαι κακῶν.
Κρέ. ἄγεις δὲ τήνδε, τῷ τρόπῳ; πόθεν λαβών;
Αγ. αὕτη τὸν ἄνδρ' ἔθαπτε. πάντ' ἐπίστασαι.
Κρέ. ἦ καὶ ξυνίης καὶ λέγεις ὀρθῶς ἃ φῄς;
Αγ. ταύτην γ' ἰδὼν θάπτουσαν, ὃν σὺ τὸν νεκρὸν
ἀπεῖπας. ἆρ' ἔνδηλα καὶ σαφῆ λέγω;
Κρέ. καὶ πῶς ὁρᾶται, κἀπίληπτος ηὑρέθη;
Αγ. τοιοῦτον ἦν τὸ πρᾶγμ'. ὅπως γὰρ ἥκομεν
πρὸς σοῦ τὰ δείν' ἐκεῖν' ἐπηπειλημένοι,
πᾶσαν κόνιν σήραντες, ἣ κατεῖχε τὸν
νέκυν, μυδῶν τε σῶμα γυμνώσαντες εὖ,
καθήμεθ' ἄκρων ἐκ πάγων ὑπήνεμοι,
ὀσμὴν ἀπ' αὐτοῦ μὴ βάλῃ πεφευγότες,
ἐγερτὶ κινῶν ἄνδρ' ἀνὴρ ἐπιρρόθοις
κακοῖσιν, εἴ τις τοῦδ' ἀφειδήσοι πόνου.
χρόνον τάδ' ἦν τοσοῦτον, ἔστ' ἐν αἰθέρι
μέσῳ κατέστη λαμπρὸς ἡλίου κύκλος,
καὶ καῦμ' ἔθαλπε. καὶ τότ' ἐξαίφνης χθονὸς

¶ Ἀλλ' ἡ γὰρ ἐκτὸς καὶ παρ' ἐλπίδα. ἡ ἀπροσδόκητος χαρὰ οὐκ ἔοικεν εἰς τὸ μέγεθος τῇ ἄλλῃ ἡδονῇ. ὅ ἐστι πᾶσαν ἡδονὴν νικᾷ τὸ μέγεθος τῆς παρ' ἐλπίδα χαρᾶς. ¶ Καίπερ ὢν ἀπώμοτος. καίπερ ὀμωμοκὼς μὴ ἐλθεῖν. ¶ Κλῆρος ἐνθάδ' οὐκ ἐπάλλετο. ἄνω γὰρ εἶπεν ὅτι κληρωθεὶς ἦλθε. ¶ Θοὔρμαιον. τὸ ἕρμαιον. τὸ κέρδος. ¶ Δίκαιός εἰμι τῶνδ' ἀπηλλάχθαι. ἀντὶ τοῦ μὴ ὑπευθύνεσθαι. ¶ Ὃν σὺ τὸν νεκρὸν ἀπεῖπας. τὸ ἑξῆς, τὸν νεκρὸν ὃν σὺ ἀπεῖπας θάπτεσθαι. οὕτως δὲ χρῶνται οἱ παλαιοί, ὥστε δύο ἄρθρα προτακτικόν τε καὶ ὑποτακτικὸν κατὰ τοῦ αὐτοῦ ὀνόματος παραλαμβάνειν. Κρατῖνος, ὃν περ Φιλοκλέης τὸν λόγον διέφθορεν.

¶ Καὶ πῶς ὁρᾶται. ποίῳ τρόπῳ αὐτὴν συνελάβετε καὶ κατειλήφατε. ¶ Πᾶσαν κόνιν σήραντες. ἀποψήξαντες. ¶ Μυδῶν τε σῶμα. μυδῶν. ἰχῶρα ἀποπέμπον. τουτέστι, διαλελυμένον, καὶ δι' ὑγρὸν τὸν ἀπὸ σήψεως ἰχῶρα ἀποστάζον. ὡς τὸ δάκρυσι μυδαλέον. ¶ Ὑπήνεμοι. ἀντὶ τοῦ, ὑπὸ τὸν ἄνεμον. οὐκ ἐναντίον τοῦ ἀνέμου, ἀλλ' ἐστραμμένοι ἀπὸ τοῦ νεκροῦ, ὅπως μὴ φέρῃ πρὸς ἡμᾶς τὴν ὀσμήν. Ἐπιρρόθοις. λοιδόροις. ὑβριστικοῖς.

Τυφὼς ἀείρας. τυφὼς λέγεται ὁ καταιγιδώδης ἄνεμος. ἡσίοδος, Ἐκ δὲ τυφωέος ἔσ' ἀνέμων μένος ὑγρὸν ἀέντων. ¶ Σκηπτός. σκηπτὸς λέγεται πᾶν πνεῦμα θυελλῶδες ὅταν συρραγῇ τῇ γῇ, καὶ πάλιν ἄνω αἴρῃ. τὸ δὲ ἰδιοῦτον. καὶ στρόβιλόν τινες καλοῦσι παρὰ τὸ στροβεῖν, ¶ Οὐράνιον ἄχος. τὸ λυποῦν τὸν αἰθέρα, καθὸ ταράσσει αὐτόν. τὴν κόνιν, τὸν τυφώνιον ἄνεμον. ¶ Μύσαντες δ' εἴχομεν. ἀντὶ τοῦ ἀντείχομεν πρὸς τὴν κόνιν. ¶ Κἀνακωκύει πικρᾶς ὄρνιθος ὀξὺν φθόγγον. τὸ φιλόστοργον διὰ κόρης διὰ τούτων ὁρᾶται. διὰ ταῦτα γὰρ οὐκ ἠμέλησε δακρύων καὶ θρηνημάτων. ¶ Ψιλόν. γυμνὸν τῆς κόνεως. ¶ Διψίαν. ξηράν. γράφεται διψίαν φέρει. ¶ Πρόχου. προχόου. ¶ Τὸν νέκυν στέφει. κοσμεῖ. κύκλῳ περιρραίνει. ¶ Ἱέμεσθα. ἐπεσυόμεθα. ὡρμῶμεν. Οὐδὲν ἐκπεπληγμένην. οὐ περίφοβον γενομένην. Ἀλλ' ἡδέως ἔμοιγε. ὁμολογούσης αὐτῆς ἡδέως καὶ ἀλγεινῶς ἤκουον. ¶ Τοὺς φίλους ἄγειν. φίλους φησὶ, διὰ τὸ εἶναι τὴν ἀντιγόνην τοῦ βασιλικοῦ γένους. Ἀλλὰ πάντα ταῦθ' ἥσσω. ἀντὶ τοῦ, ἀλλ' οὐδὲν γὰρ προκρίνω τῆς ἐμῆς σωτηρίας. Σὺ μὲν κομίζοις ἄν. πρὸς τὸν ἄγγελόν φησιν ὁ κρέων. ¶ Ἡ θέλεις. ὅπη καὶ θέλεις.

τυφὼς ἀείρας σκηπτὸν οὐράνιον ἄχος,
πίμπλησι πεδίον, πᾶσαν αἰκίζων φόβην
ὕλης πεδιάδος. ἐν δ' ἐμεστώθη μέγας
αἰθήρ. μύσαντες δ' εἴχομεν θείαν νόσον.
καὶ τοῦδ' ἀπαλλαγέντος ἐν χρόνῳ μακρῷ,
ἡ παῖς ὁρᾶται, κἀνακωκύει πικρᾶς
ὄρνιθος ὀξὺν φθόγγον. ὡς ὅταν κενῆς
εὐνῆς νεοσσῶν ὀρφανὸν βλέψῃ λέχος.
οὕτω δὲ χαὕτη ψιλὸν ὡς ὁρᾷ νέκυν,
γόοισιν ἐξῴμωξεν. ἐκ δ' ἀρὰς κακὰς
ἠρᾶτο τοῖσι τοὔργον ἐξειργασμένοις.
καὶ χερσὶν εὐθὺς διψίαν φέρει κόνιν,
ἔκ τ' εὐκροτήτου χαλκέως ἄρδην πρόχου
χοαῖσι τρισπόνδοισι τὸν νέκυν στέφει.
χἠμεῖς δ' ἰδόντες, ἱέμεσθα. σὺν δέ νιν
θηρώμεθ' εὐθὺς οὐδὲν ἐκπεπληγμένην.
καὶ τάς τε πρόσθεν, τάς τε νῦν ἠλέγχομεν
πράξεις. ἄπαρνος δ' οὐδενὸς καθίστατο.
ἀλλ' ἡδέως ἔμοιγε κἀλγεινῶς ἅμα.
τὸ μὲν γὰρ αὐτὸν ἐκ κακῶν πεφευγέναι,
ἥδιστον. ἐς κακὸν δὲ τοὺς φίλους ἄγειν,
ἀλγεινόν. ἀλλὰ πάντα ταῦθ' ἥσσω λαβεῖν
ἐμοὶ πέφυκε τῆς ἐμῆς σωτηρίας.
Κρέ. σὲ δὴ, σὲ τὴν νεύουσαν ἐς πέδον κάρα
φὴς, ἢ καταρνῇ μὴ δεδρακέναι τάδε;
Αν. καὶ φημὶ δρᾶσαι, κοὐκ ἀπαρνοῦμαι τὸ μή.
Κρέ. σὺ μὲν κομίζοις ἂν σεαυτὸν ᾗ θέλεις
ἔξω βαρείας αἰτίας ἐλεύθερον.
σὺ δ' εἰπέ μοι μὴ μῆκος, ἀλλὰ σύντομα.
ᾔδεις τὰ κηρυχθέντα, μὴ πράσσειν τάδε;
Αν. ᾔδειν. τί δ' οὐκ ἔμελλον; ἐμφανῆ γὰρ ἦν.
Κρέ. καὶ δῆτ' ἐτόλμας τούσδ' ὑπερβαίνειν νόμους;

οὐ γὰρ

Αν. οὐ γάρ τί μοι Ζεὺς ἦν ὁ κηρύξας τάδε,
οὐδ' ἡ ξύνοικος τῶν κάτω θεῶν δίκη,
οἳ τούσδ' ἐν ἀνθρώποισιν ὥρισαν νόμους.
οὐδὲ σθένειν τοσοῦτον ᾠόμην τὰ σὰ
κηρύγμαθ', ὥστ' ἄγραπτα κἀσφαλῆ θεῶν
νόμιμα δύνασθαι θνητὸν ὄνθ' ὑπερδραμεῖν.
οὐ γάρ τι νῦν γε κἀχθὲς, ἀλλ' ἀεί ποτε
ζῇ ταῦτα, κοὐδεὶς οἶδεν ἐξ ὅτου φάνη.
τούτων ἐγὼ οὐκ ἔμελλον ἀνδρὸς οὐδενὸς
φρόνημα δείσασ', ἐν θεοῖσι τὴν δίκην
δώσειν. θανουμένη γὰρ ἐξῄδειν. τί δ' οὔ;
κεἰ μὴ σὺ προὐκήρυξας. εἰ δὲ τοῦ χρόνου
πρόσθεν θανοῦμαι, κέρδος αὔτ' ἐγὼ λέγω.
» Ὅστις γὰρ ἐν πολλοῖσιν ὡς ἐγὼ κακοῖς
» Ζῇ, πῶς ὅδ' οὐχὶ κατθανὼν κέρδος φέρει;
οὕτως ἔμοιγε τοῦδε τοῦ μόρου τυχεῖν,
παρ' οὐδὲν ἄλγος, ἀλλ' ἂν εἰ τὸν ἐξ ἐμῆς
μητρὸς θανόντ' ἄθαπτον ἠνσχόμην νέκυν,
κείνοις ἂν ἤλγουν, τοῖσδε δ' οὐκ ἀλγύνομαι.
σοὶ δ' εἰ δοκῶ νῦν μῶρα δρῶσα τυγχάνειν,
σχεδόν τι μώρῳ μωρίαν ὀφλισκάνω.
Χο. δηλοῖ τὸ γέννημ' ὠμὸν ἐξ ὠμοῦ πατρὸς
τῆς παιδός. εἴκειν δ' οὐκ ἐπίσταται κακοῖς.
Κρέ. ἀλλ' ἴσθι τοι τὰ σκλήρ' ἄγαν φρονήματα,
» Πίπτειν μάλιστα. καὶ τὸν ἐγκρατέστατον
» Σίδηρον ὀπτὸν ἐκ πυρὸς περισκελῆ,
» Θραυσθέντα καὶ ῥαγέντα πλεῖστ' ἂν εἰσίδοις.
» Σμικρῷ χαλινῷ δ' οἶδα τοὺς θυμουμένους
» Ἵππους καταρτυθέντας. οὐ γὰρ ἐκπέλει
» Φρονεῖν μέγ', ὅστις δοῦλός ἐστι τῶν πέλας.
αὕτη δ' ὑβρίζειν μὲν τότ' ἐξηπίστατο
νόμους ὑπερβαίνουσα τοὺς προκειμένους.
ὕβρις δ' ἐπεὶ δέδρακεν ἥδε δευτέρα,
τούτοις ἐπαυχεῖν, καὶ δεδρακυῖαν γελᾶν.
ἦ νῦν ἐγὼ μὲν οὐκ ἀνὴρ, αὕτη δ' ἀνὴρ,
εἰ ταῦτ' ἀνατεὶ τῇδε κείσεται κράτη.
ἀλλ' εἴτ' ἀδελφῆς, εἴθ' ὁμαιμονεστέρας

¶ Οὐ γάρ τι μοι Ζεὺς ἦν. ἡ δίκη φησὶ καὶ ὁ Ζεὺς ὥρισαν ὥστε θάπτεσθαι τοὺς νεκρούς. εἰ δὲ ἦσαν αὐτοὶ οὗτοι ἀποκηρύξαντες καὶ κελεύσαντες τὸν μὴ θάπτεσθαι τὸν νεκρὸν, ἐπείσθην ἂν αὐτοῖς. θέλει δὲ εἰπεῖν, ὅτι ἀπὸ τῆς φύσεως δίκαιον ἡγοῦμαι θάπτειν τὸν ἀδελφόν.

¶ Ὥστ' ἄγραπτα. τινὲς φασὶ τὰ γραπτά. οὐ γὰρ ἄγραφοι τῶν θεῶν οἱ νόμοι. ¶ Οὐ γάρ τι νῦν γε. οὐ γάρ τι σήμερόν φησι ταῦτα ἐπενοήθη, ἀλλ' ἔστιν ἀΐδια. καὶ ἀρχὴν αὐτῶν οὐδεὶς οἶδε. ¶ Τούτων ἐγώ. ἀντὶ τοῦ, ὑπὲρ τούτων ἐγώ. ¶ Εἰ μὴ σὺ προὐκήρυξας. τὸν θάνατον δηλαδή. ¶ Εἰ δὲ τοῦ χρόνου. τοῦ εἱμαρμένου δηλονότι. ¶ Παρ' οὐδὲν ἄλγος. οὐδεμία λύπη. ¶ Ἠνσχόμην. ἠνεσχόμην. ὑπερεῖδον. ¶ Σοὶ δ' εἰ δοκῶ νῦν μῶρα. εἰ δοκῶ παρὰ σοὶ εὐήθη πράττειν, οὐκ ἔστι περὶ ἐμὲ ἡ εὐήθεια, ἀλλὰ περὶ σέ. ὥστε δεῖ μὴ τὴν ἰδίαν πλάνην τοῖς πλησίον ἐπιφέρειν. ¶ Δηλοῖ τὸ γέννημ' ὠμόν. τὸ σκληρὸν αὐτῆς τοῦ φρονήματος, ὁμολογεῖ πατέρα τὸν Οἰδίποδα. ¶ Περισκελῆ. περιεσκληκότα, ἢ κεκαμμένα. ¶ Ἦ νῦν. ὄντως δή. ¶ Εἰ ταῦτ' ἀνατεί. εἰ ταῦτα τὰ τολμήματα, καὶ ἡ νίκη αὕτη χωρὶς βλάβης καὶ τιμωρίας. ¶ Ἀλλ' εἴτ' ἀδελφῆς, εἴθ' ὁμαιμονεστέρας. εἴτε ἐξ ἀδελφῆς ἐμῆς, εἴτε οἰκειοτέρα, καὶ συγγενικωτέρα πάντων τῶν οἰκείων. τοῦτο γὰρ δηλοῖ τό.

Τοῦ παντὸς ἡμῖν ζῶντος ἑρκίου κυρεῖ, ἀθῷος οὐκ ἄπεισιν. τοῦδε βουλεῦσαι τάφου. λείπει ἡ περί. Ἐπήβολον φρενῶν. κυρίαν τῶν φρενῶν, καὶ ἑστῶσαν ἐν αὐτῇ. Φιλεῖ δ' ὁ θυμός. εἴωθεν ἡ ψυχὴ τῶν λάθρα τι κακὸν τεχνωμένων, προαλίσκεσθαι, καὶ ἑαυτὴν καταφανῆ ποιεῖν πρὶν φωραθῆναι. Ἄλλως. τῶν λάθρα τι βουλομένων δρᾶν ὁ θυμὸς προκλέπτεται, καὶ περὶ τὴν κατάστασιν τοῦ σώματος ἔνδηλόν τι γίνεται τὸ κατηγοροῦν τῆς πράξεως αὐτῶν. Μισῶ γε μέντοι. μισῶ τὸν ἁμαρτάνοντα καὶ ἐπικοσμοῦντα τὴν ἁμαρτίαν αὐτοῦ. τοῦτο δέ φησιν, ὅτι ἁλοῦσα ἡ Ἀντιγόνη, ἔφασκε τῷ θείῳ νόμῳ ἐπαρκεῖν. Ὡς ἐμοὶ τῶν σῶν λόγων. τὸ κήρυγμα τοῦ Πολυνείκους αἰνίττεται. Κατέσχον. ἀντὶ τοῦ ἔσχον. Ἀλλ' ἡ τυραννίς. οὐκ ἐν ἐπαίνῳ τοῦτο τῆς τυραννίδος, ἀλλ' ἔχει τι εἰρωνείας ὁ λόγος. Σοὶ τοῦτο μούνη. σοὶ μόνῃ τοῦτο δοκεῖ δίκαιον εἶναι ταφῆναι τὸν Πολυνείκη. Σοὶ δ' ὑπίλλουσι στόμα. γινώσκουσι καὶ οὗτοι. διὰ δὲ σέ, τὸ στόμα συστέλλουσι, καὶ σιωπῶσιν. ἢ στρέφουσι τοὺς διὰ τοῦ στόματος λόγους. Τῶνδε χωρὶς εἰ φρονεῖς. ἀντὶ τοῦ παρὰ τούτους φρονοῦσα. Τιμᾷς χάριν. ἀντὶ τοῦ νέμεις. Οὐ γάρ τι δοῦλος, ἀλλ' ἀδελφός. οὐ τοιοῦτός ἐστιν ὁ ἀπολόμενος, ὥστε εἰς χάριν τοῦ Ἐτεοκλέους, ἐᾶσαι αὐτὸν ἄταφον. οὐ γὰρ τοσοῦτον αὐτὸν ὑπερβέβηκεν. οὐ δεῖ τοῦτο σκοπεῖν εἴ τι ἐκείνῳ ἀποθύμιον ποιῶ, ἀλλ' εἰ κοινῆς τῆς φύσεως ἔλαχον.

τοῦ παντὸς ἡμῖν ζῶντος ἑρκίου κυρεῖ  
αὐτή τε χἠ ξύναιμος οὐκ ἀλύξετον  
μόρου κακίστου. ἦ γὰρ οὖν κείνην ἴσον  
ἐπαιτιῶμαι τοῦδε βουλεῦσαι τάφου.  
καί νιν καλεῖτ'. ἔσω γὰρ εἶδον ἀρτίως  
λυσσῶσαν αὐτήν, οὐδ' ἐπήβολον φρενῶν.  
» φιλεῖ δ' ὁ θυμὸς πρόσθεν ᾑρῆσθαι κλοπεὺς  
» τῶν μηδὲν ὀρθῶς ἐν σκότῳ τεχνωμένων.  
» μισῶ γε μέντοι χ' ὅταν ἐν κακοῖσί τις  
» ἁλοὺς, ἔπειτα τοῦτο καλλύνειν θέλῃ.  
Αν. θέλεις τι μεῖζον ἢ κατακτεῖναί μ' ἑλών;  
Κρέ. ἐγὼ μὲν οὐδέν. τοῦτ' ἔχων, ἅπαντ' ἔχω.  
Αν. τί δῆτα μέλλεις; ὡς ἐμοὶ τῶν σῶν λόγων  
ἀρεστὸν οὐδέν, μηδ' ἀρεσθείη ποτέ.  
οὕτω δὲ καὶ σοὶ τἄμ' ἀφανδάνοντ' ἔφυ.  
καίτοι, πόθεν κλέος γ' ἂν εὐκλεέστερον  
κατέσχον, ἢ τὸν αὐτάδελφον ἐν τάφῳ  
τιθεῖσα; τούτοις τοῦτο πᾶσιν ἁνδάνειν  
λέγοιτ' ἄν, εἰ μὴ γλῶσσαν ἐγκλείοι φόβος.  
ἀλλ' ἡ τυραννὶς, πολλά τ' ἄλλ' εὐδαιμονεῖ,  
κἄξεστιν αὐτῇ δρᾶν, λέγειν θ' ἃ βούλεται.  
Κρέ. σὺ τοῦτο μούνη τῶνδε Καδμείων ὁρᾷς;  
Αν. ὁρῶσι χ' οὗτοι. σοὶ δ' ὑπίλλουσι στόμα.  
Κρέ. σὺ δ' οὐκ ἐπαιδῇ, τῶνδε χωρὶς εἰ φρονεῖς;  
Αν. οὐδὲν γὰρ αἰσχρὸν τοὺς ὁμοσπλάγχνους σέβειν.  
Κρέ. οὔκουν ὅμαιμος χ' ὠ κατ' ἀχθονὸς θανών;  
Αν. ὅμαιμος ἐκ μιᾶς καὶ ταὐτοῦ πατρός.  
Κρέ. πῶς δῆτ' ἐκείνῳ δυσσεβῆ τιμᾷς χάριν;  
Αν. οὐ μαρτυρήσει ταῦθ' ὁ κατθανὼν νέκυς.  
Κρέ. εἴ τοί σφε τιμᾷς ἐξ ἴσου τῷ δυσσεβεῖ.  
Αν. οὐ γάρ τι δοῦλος, ἀλλ' ἀδελφὸς ὤλετο.  
Κρέ. πορθῶν γε τήνδε γῆν. ὁ δ' ἀντιστὰς ὕπερ.

τοῖς

ΤΟΥΣ νόμους. γράφεται ἴσους. λέγει δὲ τὸ θάπτειν. ¶ Τίς δ᾽ οἶδεν εἰ κάτω ᾽στί. γράφεται κάτωθεν, ἀντὶ τοῦ κάτω, ὡς τὸ, αἶψα ἐγγύθεν ἦλθεν. ἀντὶ τοῦ, ἐγγύς. ὁ δὲ νοῦς, τίς οἶδεν εἰ καθ᾽ ᾅδου ἀλλήλοις διαλεχθέντες, ἤγουν εὐσεβῆ τάδε.

Οὔτοι συνέχθειν, ἀλλὰ συμφιλεῖν. τὰς φιλίας φησὶ κοινὰς ποιοῦμαι. ἀλλ᾽ οὐ τὰς ἔχθρας. ἐν δὲ τῷ ἔστιν οὕτως. εἰ καὶ ἐχθαίρουσιν ἀλλήλους οἱ ἀδελφοί, ἐγὼ οὐ τοιαύτη εἰμὶ τὴν φύσιν, ὥστε σὺν ἑτέρῳ αὐτοῦ ἐχθαίρειν τὸν ἕτερον, ἀλλὰ συμφιλεῖν τοῖς φιλοῦσι. ¶ Καὶ μὴν πρὸ πυλῶν. εἰκὸς μὲν τὴν Ἰσμήνην ὑπὲρ τῆς ἀδελφῆς ἀγωνιῶσαν, συνάζειν. οὐδὲν δὲ ἧττον καὶ διότι ὑποπτεύεται. ¶ Φιλάδελφα. ἀντὶ τοῦ φιλαδέλφως. ¶ Νεφέλη δ᾽ ὀφρύων ὕπερ. ἐὰν ἡ δοτικὴ τῇ νεφέλῃ, ἔσται ὁ λόγος τῇ νεφέλῃ, τουτέστι τῇ συννότητι τῇ ὑπεράνω τῶν ὀφρύων, τὸ αἱματόεν ῥέθος αἰσχύνει ἡ Ἰσμήνη, τέγγουσα εὐῶπα παρειάν. ἐὰν δὲ κατ᾽ ὀρθὴν ᾖ, ἡ νεφέλη ἔσται μεταξύ. ἡ νεφέλη δ᾽ ὀφρύων ὕπερ. ἵνα τὸ ἑξῆς τοῖς προτέροις συνάπτηται. καὶ μὴν πρὸ πυλῶν ἥδ᾽ Ἰσμήνη φιλάδελφα δάκρυα λειβομένη αἱματόεν ῥέθος αἰσχύνει, τέγγουσα εὐῶπα παρειάν. ¶ Νεφέλη δ᾽ ὀφρύων ὕπερ, αἱματόεν ῥέθος αἰσχύνει. τὸ ἐπὶ τῷ προσώπῳ ἐρύθημα. ἀλληγορικῶς δὲ εἶπε τὴν νεφέλην. ὡς γὰρ ἡ νεφέλη συννὴν καὶ ὁμιχλώδη τὴν ἡμέραν ποιεῖ, οὕτω καὶ ταύτην διάδηλόν φησι γίνεσθαι ταῖς ὀφρύσι συμφράζουσαν. καὶ τὸ πρόσωπον συννοῦν καὶ κατηφέστερον πεποιηκυῖαν.

Αν. ὅμως ὅ γ᾽ ᾅδης τοὺς νόμους τούτους ποθεῖ.
Κρέ. ἀλλ᾽ οὐχ ὁ χρηστὸς τῷ κακῷ λαχεῖν ἴσος.
Αν. τίς δ᾽ οἶδεν εἰ κάτω ᾽στὶν εὐαγῆ τάδε;
Κρέ. οὔτοι ποθ᾽ οὐχθρός, οὐδ᾽ ὅταν θάνῃ φίλος.
Αν. οὔτοι συνέχθειν, ἀλλὰ συμφιλεῖν ἔφυν.
Κρέ. κάτω νῦν ἐλθοῦσ᾽, εἰ φιλητέον, φίλει
κείνους, ἐμοῦ δὲ ζῶντος οὐκ ἄρξει γυνή.
Χο. καὶ μὴν πρὸ πυλῶν ἥδ᾽ Ἰσμήνη
φιλάδελφα κάτω δάκρυα λειβομένα.
νεφέλη δ᾽ ὀφρύων ὕπερ, αἱματόεν
ῥέθος αἰσχύνει,
τέγγουσ᾽ εὐῶπα παρειάν.
Κρέ. σὺ δ᾽ ἣ κατ᾽ οἴκους ὡς ἔχιδν᾽ ὑφειμένη
λήθουσά μ᾽ ἐξέπινες; οὐδ᾽ ἐμάνθανον
τρέφων δύ᾽ ἄτας, κἀπαναστάσεις θρόνων;
φέρ᾽ εἰπὲ δή μοι, καὶ σὺ τοῦδε τοῦ τάφου
φήσεις μετασχεῖν, ἢ ᾽ξομεῖ τὸ μὴ εἰδέναι;
Ισ. δέδρακα τοὔργον, εἴπερ ἥδ᾽ ὁμορροθεῖ,
καὶ ξυμμετίσχω, καὶ φέρω τῆς αἰτίας.
Αν. ἀλλ᾽ οὐκ ἐάσει τοῦτό γ᾽ ἡ δίκη σ᾽. ἐπεὶ
οὔτ᾽ ἠθέλησας, οὔτ᾽ ἐγὼ κοινωσάμην.
ἀλλ᾽ ἐν κακοῖς τοῖς σοῖσιν οὐκ αἰσχύνομαι,

¶ Ὡς ἔχιδν᾽. ἡ γὰρ ἔχιδνα λάθρα καθεζομένη τῶν ἀνθρώπων ἐκπίνει τὸ αἷμα.
Ὑφειμένη. ὑποχαλωμένη. καθεῖσα. ἀπλωθεῖσα. Ἐξομεῖ. ἢ ἀπαρνήσῃ. ἐνώμοτος.
Ὁμορροθεῖ. ὁμοφωνεῖ. ὅρα δὲ πῶς ἑαυτὴν πρόδηλον ὡς συκοφαντοῦσαν ποιεῖ. ὁμολογεῖ γὰρ πεπραχέναι, ταύτης συντιθεμένης, ὅπερ ἀδύνατον. ¶ Ἀλλ᾽ οὐκ ἐάσει τοῦτό γ᾽ ἡ δίκη. ἡ μὲν μὴ δράσασα ὁμολογεῖ πεπραχέναι, καὶ κεκοινωνηκέναι διὰ τὸν πόθον τῆς ἀδελφῆς. ἡ δὲ σπουδάζει ζῶσαν αὐτὴν διαφυλάξαι.
Ἀλλ᾽ ἐν κακοῖς τοῖς σοῖς. καὶ διὰ τούτων μὴ δεδρακέναι ὁμολογεῖ.

Ξύμπλουν. κοινωνόν. ¶ Ὧν τοὔργον. ἀντὶ τοῦ ὑφ' ὧν τὸ ἔργον πέπρακται καὶ τίνων. Τὸν θανόντα θ' ἁγνίσαι. ἀντὶ τοῦ τιμῆσαι. ℭ Τοῦδε γὰρ σὺ κηδεμών. ἢ τοῦ βίου. ἐπεὶ φιλοζωοῦσα οὐ συνέπραξας. ἢ τοῦ Κρέοντος. ἐπεὶ μὴ παρέβης αὐτοῦ τὰ ψηφίσματα. ¶ Ὠφελουμένη, ἀντὶ τοῦ ὠφελοῦσα. ℭ Εἰ γελῶ τ' ἐν σοὶ γελῶ. εἰ γελῶ φησιν, ἐπὶ σοὶ, ἀλγοῦσα γελῶ. οἷον καταγελῶ σοῦ ὅτι οὐκ ἠθέλησας μοι συμπονῆσαι. ℭ Ἀλλ' οὐκ ἐπ' ἀρρήτοις. ἀντὶ τοῦ προεῖπόν σοι τὰς ἐσομένας τιμωρίας ἐν τῇ παραβάσει. ἀλλ' οὔπω παρὰ γνώμην μου ταῦτα πέπραχας, ἀλλὰ κἀμοῦ συμβουλίας τὰ πραττόμενα. ¶ Καλῶς σὺ μὲν τοῖς δ' ἐγὼ 'δόκουν φρονεῖν. σαυτῇ καλῶς ἐδόκεις φρονεῖν, μὴ συμπράττουσά μοι. τούτοις δ' ἐγώ. ἢ τοῖς ἀνδράσιν. ἢ τοῖς ἐμοῖς δόγμασι. τινὲς δὲ τῷ νόμῳ καὶ τῷ δικαίῳ. ¶ Ὠφελουμένη. ἀντὶ τοῦ ὠφελοῦσα. ¶ Τί δῆτ' ἂν ὠφελοίμην. ἀντὶ τοῦ ποίαν μηχανὴν εὕροιμι. ℭ Ἴση νῷν ἐστὶν ἡ 'ξαμαρτία. ὅτι σὺ μὲν ἔπραξας, ἐγὼ δὲ συνῄδειν. ¶ Ἡ δ' ἐμὴ ψυχὴ πάλαι. οἷον προὔκαλμην τοῦ ζῆν βοηθῆσαι βουλομένη τῷ ἀδελφῷ. ¶ Τὴν μὲν ἀρτίως ἄνουν πεφάνθαι. τὴν Ἰσμήνην. ὅτι μὴ συνειργάσατο. καὶ ῥίπτει ἑαυτὴν εἰς κίνδυνον. ℭ Οὐ γάρ ποτ' ὦναξ. τοῦτό φησιν ὑπεραπολογουμένη περὶ Ἀντιγόνης, ὅτι εἰ καὶ κακῶς ποιεῖ μεταβληθήσεται.

ξύμπλουν ἐμαυτὴν τοῦ πάθους ποιουμένη.

Αν. ὧν τοὔργον ἅδης, χ' οἱ κάτω ξυνίστορες.
λόγοις δ' ἐγὼ φιλοῦσαν, οὐ στέργω φίλην.

ΙΣ. μή τοι κασιγνήτη μ' ἀτιμάσῃς τὸ μὴ οὐ
θανεῖν τε σὺν σοὶ, τὸν θανόντα θ' ἁγνίσαι.

Αν. μή μοι θάνῃς σὺ κοινά. μήθ' ἃ μὴ 'θιγες,
ποιοῦ σεαυτῆς. ἀρκέσω θνήσκουσ' ἐγώ.

ΙΣ. καὶ τίς βίος μοι, σοῦ λελειμμένῃ, φίλος;

Αν. Κρέοντ' ἐρώτα. τοῦδε γὰρ σὺ κηδεμών.

ΙΣ. τί ταῦτ' ἀνιᾷς μ', οὐδὲν ὠφελουμένη;

Αν. ἀλγοῦσα μὲν δῆτ', εἰ γελῶ τ' ἐν σοὶ γελῶ.

ΙΣ. τί δῆτ' ἂν ἀλλὰ νῦν σ' ἔτ' ὠφελοῖμ' ἐγώ;

Αν. σῶσον σεαυτήν. οὐ φθονῶ σ' ὑπεκφυγεῖν.

ΙΣ. οἴμοι τάλαινα, κἀμπλάκω τοῦ σοῦ μόρου;

Αν. σὺ μὲν γὰρ εἵλου ζῆν. ἐγὼ δὲ κατθανεῖν.

ΙΣ. ἀλλ' οὐκ ἐπ' ἀρρήτοις γε τοῖς ἐμοῖς λόγοις.

Αν. καλῶς σὺ μὲν τοῖς, τοῖς δ' ἐγὼ 'δόκουν φρονεῖν.

ΙΣ. καὶ μὴν ἴση νῷν ἐστὶν ἡ 'ξαμαρτία.

Αν. θάρσει. σὺ μὲν ζῇς, ἡ δ' ἐμὴ ψυχὴ πάλαι
τέθνηκεν. ὥστε τοῖς θανοῦσιν ὠφελεῖν.

Κρέ. τὼ παῖδε φημὶ τώδε, τὴν μὲν, ἀρτίως
ἄνουν πεφάνθαι. τὴν δ' ἀφ' οὗ τὰ πρῶτ' ἔφυ.

ΙΣ. οὐ γάρ ποτ' ὦναξ οὐδ' ὃς ἂν βλάστῃ μένει
νοῦς τοῖς κακῶς πράσσουσιν, ἀλλ' ἐξίσταται.

Κρέ. σοὶ γοῦν, ὅθ' εἵλου σὺν κακοῖς πράσσειν κακά.

ΙΣ. τί γὰρ μόνῃ μοι τῆσδ' ἄτερ βιώσιμον;

Κρέ. ἀλλ' ἥδε μέντοι μὴ λέγ'. οὐ γὰρ ἔστ' ἔτι.

ΙΣ. ἀλλὰ κτενεῖς νυμφεῖα τοῦ σαυτοῦ τέκνου;

οὐ μένει γὰρ οὐδ' ὁ ἐξ ἀρχῆς κακὸς νοῦς τοῖς κακῶς φρονήσασι. πρὸς ὅ φησι Κρέων, σοὶ γοῦν μένει κακὸς νοῦς, ὁπότε εἵλου τῶν κακῶν εἶναι κοινωνός. ¶ Μὴ λέγ'. οὐ γάρ ἐστ' ἔτι. ἀντὶ τοῦ μὴ φρόνει, ὅτι ἐν τοῖς ζῶσιν ἐστί. ¶ Νυμφεῖα. ἀντὶ τοῦ τὴν νύμφην.

Ἀρώσιμοι.

Ἀρέσομαι. ἀντὶ τοῦ ποιήσομαι. εὐχαρίστητ. Ἣν ἡρμοσμένα. τὰ τοῦ γάμου φησί. Καὶ σύ τε τὸ σὸν λέχος. τὸ σόν, τὸ ὑπὸ σοῦ ὀνομαζόμενον. οἷον τὸ ὄνομα τῆς νύμφης, ὃ σὺ περιβάλλῃ. Καὶ σοί τε κἀμοί. οὐ μόνον ταύτῃ ὥρισται τὸ ἀποθανεῖν, ἀλλὰ καὶ σοί. μηκέτι δὲ μοι τριβὰς ἐμβάλλετε. ἢ καὶ ἐμοὶ καὶ σοὶ δέδοκται μηκέτι διατρίβειν ἐν τοῖς λόγοις. Ἡρμοσμένα. τὰ τοῦ γάμου φησί. Γυναῖκας υἱάσι στυγῶ. τὸ συναπτέον δηλονότι.

Κρέ. ἀρέσομαι γὰρ χἀτέρων εἰσὶν γύαι.
ΙΣ. οὐχ ὥς γ' ἐκείνῳ τῇδέ τ' ἦν ἡρμοσμένα.
Κρέ. κακὰς ἐγὼ γυναῖκας υἱάσι στυγῶ.
Αν. ὦ φίλταθ' Αἷμον, ὥς σ' ἀτιμάζει πατήρ.
Κρέ. ἄγαν γε λυπεῖς καὶ σὺ, καὶ τὸ σὸν λέχος.
ΙΣ. ἦ γὰρ στερήσεις τῆσδε τὸν σαυτοῦ γόνον;
Κρέ. ᾍδης ὁ παύσων τούσδε τοὺς γάμους ἔφυ.
ΙΣ. δεδογμέν' ὡς ἔοικε τήνδε κατθανεῖν;
Κρέ. καὶ σοί γε κἀμοί. μὴ τριβὰς ἔτ', ἀλλά νιν
κομίζετ' εἴσω δμῶες. ἐκ δὲ τοῦδε χρὴ
γυναῖκας εἶναι τάσδε, μηδ' ἀνειμένας.
» Φεύγουσι γάρ τοι χοἰ θρασεῖς, ὅταν πέλας
» Ἤδη τὸν ᾍδην εἰσορῶσι τοῦ βίου.
Χο. Εὐδαίμονες, οἷσι κακῶν ἄγευστος αἰών.
» Οἷς γὰρ ἂν σεισθῇ θεόθεν δόμος, ἄτας
» Οὐδὲν ἐλλείπει, γενεᾶς
» Ἐπὶ πλῆθος ἕρπον.
» Ὅμοιον ὥστε ποντίας ἁλὸς
» Οἶδμα δυσπνόοις ὅταν
» Θρῄσσῃσιν ἔρεβος ὕφαλον
» Ἐπιδράμῃ πνοαῖς,
» Κυλίνδει βυσσόθεν κελαινὰν
» Θῖνα, καὶ δυσάνεμον,
» Στόνῳ βρέμουσι δ' ἀντιπλῆγες ἀκταί.
ἀρχαῖα τὰ Λαβδακιδᾶν οἴκων ὁρῶμαι
πήματα φθιμένων ἐπὶ πήμασι πίπτον-
τ'. οὐδ' ἀπαλλάσσει γενεὰν
γένος, ἀλλ' ἐρείπει
θεῶν τις, οὐδ' ἔχει λύσιν.

Ἐκ δὲ τοῦδε χρή. ὃ δὲ περιττεύει. λέγει δὲ ὅτι χρὴ λοιπὸν μὴ ἀνειμένας εἶναι. ἤγουν αὐτεξουσίους ταύτας τὰς γυναῖκας, ἀλλὰ φρουρεῖσθαι. φεύγειν γὰρ εἰώθασι καὶ οἱ τολμηροί, πλησιάζοντα ὁρῶντες τὸν θάνατον. Εὐδαίμονες οἷσι κακῶν. ἀπὸ κοινοῦ τὸ αἰών. οἷς γὰρ ἂν σεισθῇ δόμος, τούτοις ὁ αἰὼν οὐδὲν ἄτης ἐλλείπει, ἕρπων ἐπὶ τὸ πλῆθος τῆς γενεᾶς. ἀλλὰ πάντα ἐπιφέρει τὰ δεινά, ὥστε ὅμοιον εἶναι τὸ οἴκων κίνημα, τῷ ἐκ σεισθέντι κύματι ταῖς τοῦ βορέου πνοαῖς. οἷον γαλήνης οὐ ῥᾳδίως τυγχάνουσιν, ὅσοι ἐν κλύδωνι γίγνονται. ἀλλ' οὐδὲ δυστυχίᾳ περιπίπτων οἶκος, εὐχερῶς ἀνανεύει. Ὅμοιον ὥστε ποντίας ἁλός. τὸ ἑξῆς, ὅμοιον, ὡς ὅταν θρῄσσῃσι ποντίαις δυσπνόοις πνοαῖς οἶδμα ἔρεβος ὕφαλον ἐπιδράμῃ. ἀντὶ τοῦ ἐκ βάθους κινήσῃ τὴν θάλασσαν. τὰ γὰρ βαθέα μέλανα ἐκάλουν. Ὅμηρος, Δνοφερὸν χέει ὕδωρ. καὶ ὁ Ποσειδῶν κυανοχαίτης. Ἔρεβος. μέλαν. Ὕφαλον. ἐκ βάθους. Δυσάνεμον. τὴν ὑπὸ ἀνέμων ταραχθεῖσαν. Στόνῳ. λείπει τῷ, σὺν στόνῳ. Ἀντιπλῆγες. ἀντιπλησσόμεναι. Ἀπαλλάσσει. καταβάλλει. καταφέρει. Γενεάν. τὸ γένος. τὸ ἐπιγινόμενον οὐκ ἀπαλλάσσει τὴν γενεάν, ἀλλ' ἀεὶ ἐν συμφορᾷ ἐστί.

Νῦν γὰρ ἐσχάτας ὑπὲρ. λείπει ἄρθρον τὸ ο. τὸ δὲ λεγόμενόν ἐστι τοιοῦτο. νῦν γὰρ ὅπερ ἐτέτατο φῶς ἤγουν σωτηρία ἦν τοῖς οἴκοις τοῦ οἰδίποδος. ἐσχάτης ὑπὲρ ῥίζης. αὐτὶ τοῦ, ὅπερ ἔβλαστεν ἄνω τῆς ῥίζης, θάνατος καταλαμβάνει. νῦν γάρ φησιν ὅπερ ἦν λείψανον γενεᾶς, τοῦτο μέλλει καλύπτειν ἡ κόνις. τὸ κατελείφθην φησιν ἀπὸ Οἰδίποδος βλάστημα. ¶ Κάτ' αὖ νιν. αὐτὴν τὴν ῥίζαν. ἐὰν δὲ συζεύξωμεν κάτ' αὖ νιν, οὐδὲν λείπει τοῦ λόγου. ¶ Ἀμᾷ κόνις. θερίζει, ἢ ἐκκόπτει, ἢ καλύπτει. ¶ Λόγου τ' ἄνοια. ἁμαρτία, ὅτι οἰστρηθεῖσα ὑπὸ τῶν ἐριννύων ἀντιγόνη, τοῦτο τετόλμηκε. ¶ Τεὰν Ζεῦ δύναμιν. τοῦτό φησιν, ὅτι προαιρέσει τοῦ διὸς πάντα γίνεται. ¶ Κατάσχοι. εὐκτικῶς, ὡς κρίνει τις, ἡ τοῦ ἀνθρώπου ὑπερηφανία κρατῆσαι δύναται. ¶ Ὁ παγγήρως. ὁ ἀσθενείας ποιητικός, τὸ γὰρ γῆρας ἀσθενές ἐστιν. ἀσθενούμενοι δὲ τῇ γλυκείᾳ προσβολῇ τοῦ ὕπνου κατεχόμενοι. ἢ παντογήρως ὁ αἰώνιος, ἢ ἀεὶ γήρως τοῖς ἀνθρώποις καὶ πᾶσι τοῖς ζώοις παραμένων. ¶ Οὔτ' ἀκάματοι θεῶν μῆνες. αὐτὶ τοῦ ἡ τοῦ χρόνου περίοδος. ¶ Ἀγήρῳ δὲ χρόνῳ δυνάστης. αὐτὶ τοῦ δυναστεύων, καὶ ἄρχων τοῦ ἀγηράτου χρόνου κατέχεις τὸν ὄλυμπον. ἀγήρων δὲ τὸν τῶν θεῶν χρόνον φησίν. ἐπεὶ μήτε ὑπὸ δυστυχιῶν, μήτε ὑπὸ ὕπνου ἐλαττοῦται.

νῦν γὰρ ἐσχάτας ὑπὲρ
ῥίζας τέταρ φάος ἐν Οἰδίπου δόμοις.
κάτ' αὖ νιν φοινία θεῶν τῶν
νερτέρων ἀμᾷ κόνις
λόγου τ' ἄνοια, καὶ φρενῶν ἐριννύς.
τεὰν Ζεῦ δύνασιν, τίς ἀνδρῶν
ὑπερβασία κατάσχοι;
τὰν οὔθ' ὕπνος αἱρεῖ ποθ' ὁ παγγήρως,
οὔτ' ἀκάματοι θεῶν
μῆνες. ἀγήρῳ δὲ χρόνῳ δυνάστας
κατέχεις ὀλύμπου,
μαρμαρόεσσαν αἴγλαν.
τό, τ' ἔπειτα, καὶ τὸ μέλλον,
καὶ τὸ πρὶν ἐπαρκέσει.
νόμος ὅδ' οὐδὲν ἕρπει
θνατῶν βιότῳ πάμπο-
λις ἐκτὸς ἄτας.
ἁ γὰρ δὴ πολύπλαγκτος ἐλπὶς,

¶ Τό, τ' ἔπειτα. τὸ ἐσόμενον ἢ μετ' ἐκεῖνο μέλλον, ἢ πάλιν ἐσόμενον. τινὲς δὲ τὸ ἔπειτα, ἰδίως ἐπὶ ἐνεστῶτος λελέχθαι φασίν, ἀντὶ τοῦ νῦν. ¶ Καὶ τὸ πρὶν ἐπαρκέσει. ὅ ἐστιν ἀεὶ δυνάμενον βοηθεῖν.

Νόμος ὅδ' οὐδὲν ἕρπων. ὁ κατὰ πᾶσαν πόλιν ἕρπων νόμος. ὅ ἐστι πάντες ἄνθρωποι. Ἄλλως. οὐδείς φησιν ἐστὶ νόμος ἐν πάσαις ταῖς πόλεσιν, ὥστε φεύγειν τοὺς ἀνθρώπους τὸ συμβησόμενον. ἢ οὕτως. οὐδείς ἐστι νόμος, ὃς δύναται τῶν ἤδη τελεσθέντων κακῶν προσάγειν βοήθειαν. ἢ οὕτως. ὁ δὲ νόμος ὁ πάντων ἀνθρώπων κοινὸς τοῦτο ἔχει, μηδένα ζῆν ἄνευ λύπης. ¶ Θνατῶν βιότῳ πάμπολις ἐκτὸς ἄτας. ὁ λόγος. σὺ μὲν ὦ ζεῦ ἀγήρως τε ὢν δυνάστης εἰς ἅπαντα τὸν χρόνον εἶ. ἡ δὲ τῶν ἀνθρώπων πολιτεία, οὐδέποτε χωρὶς κακῶν ἐστιν. Ἁ γὰρ δὴ πολύπλαγκτος. οὐδέν φησι περὶ τῶν μελλόντων ἐπίστανται οἱ ἄνθρωποι, ὥσπερ ὁ ζεύς. ἠπάτησε γὰρ πολλοὺς ἡ ἐλπίς, κούφους ἔρωτας ἐμβάλλουσα, τὰ ἀδύνατα γὰρ ἐλπίζοντες ἐσφάλησαν.

ἔρωτας

ἔρωτας δὲ λέγει καὶ τὰς ἐπιθυμίας. ¶ Κουφονόων ἐρώτων. ἀντὶ τοῦ τῶν κούφων ἐπιθυμιῶν, ἐν αἷς πολλοὶ ἠπάτηνται, ἕτερα προσδοκήσαντες, ἑτέρων ἀποβάντων.
E Εἰδότι δ' οὐδὲν ἕρπει. τῷ ἀνθρώπῳ οὐδὲν εἰδότι ἐπέρχεται. ¶ Προσψαύσῃ. προσφέρῃ. πρὶν τοῖς δεινοῖς ἐπικύρσῃ καὶ εἰς αὐτὸν ἐμπέσῃ τὸν κίνδυνον. ¶ Σοφίᾳ

» Πολλοῖς μὲν θνητοῖς ἀνδρῶν.
» Πολλοῖς δ' ἀπάτα κουφονόων ἐρώτων.
εἰδότι δ' οὐδὲν, ἕρπει,
πρὶν πυρὶ θερμῷ πόδα τις προσψαύσῃ.
σοφίᾳ γὰρ ἔκ του
κλεινὸν ἔπος πέφανται,
» Τὸ κακὸν δοκεῖν ποτ' ἐσθλὸν
» Τῷδ' ἔμμεν', ὅτῳ φρένας
» Θεὸς ἄγει πρὸς ἄταν.
» Πράσσει δ' ὀλιγοστὸν
» Χρόνον, ἐκτὸς ἄτας.
ὅδε μὴν Αἵμων, παίδων τῶν σῶν
νέατον γέννημ'· ἆρ' ἀχνύμενος
τῆς μελλογάμου νύμφης
τάλιδος ἥκει μόρον Ἀντιγόνης
ἀπάτας λεχέων ὑπεραλγῶν.
Κρέ. τάχ' εἰσόμεσθα μάντεων ὑπέρτερον
ὦ παῖ, τελείαν ψῆφον ἆρα μὴ κλύων
τῆς μελλονύμφου πατρὶ λυσσαίνων πάρει;
ἢ σοὶ μὲν ἡμεῖς πανταχῇ δρῶντες φίλοι;
Αἵ. πάτερ, σός εἰμι. καὶ σύ μοι γνώμας ἔχων
χρηστὰς ἀπορθοῖς. αἷς ἔγωγ' ἐφέψομαι.
ἐμοὶ γὰρ οὐδεὶς ἀξίως ἔσται γάμος
μείζων φέρεσθαι, σοῦ καλῶς ἡγουμένου.
Κρέ. οὕτω γὰρ ὦ παῖ χρὴ διὰ στέρνων ἔχειν,
γνώμης πατρῴας πάντ' ὄπισθεν ἑστάναι.
τούτου γὰρ οὕνεκ' ἄνδρες εὔχονται γονὰς
κατηκόους φύσαντες ἐν δόμοις ἔχειν,

γὰρ ἔκ του κλεινὸν ἔπος. μετὰ σοφίας γὰρ ὑπό τινος ἀοίδιμον καὶ κλεινὸν ἔπος πέφανται. ὅταν δ' ὁ δαίμων ἀνδρὶ πορσύνῃ κακά, τὸν νοῦν ἔβλαψε πρῶτον ᾧ βουλεύεται. ¶ Πράσσει δ' ὀλιγοστόν. ἀντὶ τοῦ οὐδὲ ὀλίγον. ¶ Τάλιδος. τᾶλις λέγεται παρ' Αἰολεῦσιν ἡ ὀνομασθεῖσά τινι νύμφη. Καλλίμαχος, Αὐτίκα τὴν τᾶλιν παιδὶ σὺν ἀμφιθαλεῖ. ¶ Ἥκει μόρον. λείπει ἡ διά, διὰ τὸν μόρον. Ἀπάτας λεχέων ὑπεραλγῶν. ὑπὲρ τῆς τῶν λεχέων ἀπάτης, ὅ ἐστιν ἀποτυχίας ἀχθόμενος. ¶ Τάχ' εἰσόμεσθα. ὁ λόγος προοιμιακός, ὁπότε μὴ στοχασμῷ χρώμεθα, ἀλλ' αὐτόπται τῶν πραγμάτων γινόμεθα. προγινώσκει μὲν γὰρ καὶ ὁ μάντις, ἀλλὰ στοχασμῷ χρῆται. τάχα οὖν ἀκριβῶς γνώσομαι ταῦτα παρὰ τοῦ παιδὸς πυνθανόμενος. ¶ Διὰ στέρνων ἔχειν. ἀντὶ τοῦ ἐνθυμεῖσθαι. ¶ Τελείαν ψῆφον. τελείαν τὴν ἤδη τετελεσμένην. τοῦτο δέ φησιν ὡς μὴ μεταβουλευσάμενος. ἢ τὴν τέλος ἐπαγαγοῦσαν τῇ Ἀντιγόνῃ. Ἀπορθοῖς. ὀρθῶς καθηγῇ. Ἐμοὶ γὰρ οὐδεὶς ἀξίως. οὐδείς μοι προκριθήσεται γάμος τῆς σῆς ἀρχῆς, καλῶς σου ἄρχοντος. πανταχοῦ δὲ μὲν παρατηρήσεως. ¶ Μείζων φέρεσθαι. προκρίνεσθαι. ¶ Διὰ στέρνων ἔχειν. ἀντὶ τοῦ ἐνθυμεῖσθαι. ¶ Γνώμης πατρῴας πάντ' ὄπισθεν. τῆς γνώμης πάντα εἶναι δεύτερα. οἷον χρὴ τὸν τὴν πατρῴαν πρεσβεύοντα γνώμην, τῶν τῶν ἄλλων οὐδένα λόγον ἔχειν. ἀσφαλῶς δὲ προσέθηκε τὸ πάντα, μὴ ἄρα ἐκ τοῦ παιδὸς ὑποπτευθῇ, ὅτι πλὴν τῶν χρησίμων.

Πλὴν αὑτῷ πόνους. γράφεται πέδας, ἵν᾽ ᾖ ἐμπόδιον, δεσμούς. κώλυμα τοῦ πράττειν ἃ βούλεται.

Ψυχρὸν παραγκάλισμα. ἀηδὲς φίλημα. στέρηθρον. κοινώνημα. παρακοίμημα. περιπλοκή.

Πτύσας. ἐν οὐδενὶ λόγῳ θέμενος. καταφρονήσας. Εἰ γὰρ τά γ᾽ ἐγγενῆ φύσει. εἰ γὰρ τοὺς ἐμούς φησιν ἀκόσμως βιοῦντας μὴ τιμωρήσαιμι, οὐδὲ τῶν ξένων περιγενήσομαι. ἀπὸ κοινοῦ δὲ τὸ θρέψω. ἄν τι τῶν ἔξω. Ἐν τοῖς γὰρ οἰκείοισιν. εἰ τὸν τηροίην τὰ νόμιμα, καὶ τὰ δίκαια, ὥσπερ ἐπὶ ἐμαυτοῦ πρώτως οἰκίας, τηροίην ἂν αὐτὰ καὶ ὥσπερ τῆς πόλεως. Ὅστις δ᾽ ὑπερβάς. λείπει τὸ δίκαιον. Ἀλλ᾽ ὃν πόλις στήσειε. καταστήσειεν ἄρχοντα. Καὶ τἀναντία. τὰ ἐναντία τῶν δικαίων δηλονότι. Καὶ τοῦτον ἄν. τοῦτον τὸν τῷ βασιλεῖ πειθόμενον. Ἐν χειμῶνι. τῆς μάχης δηλονότι. Ἀναρχίας. ἀντὶ τοῦ ἀπειθείας. Τροπὰς καταρρήγνυσιν. ἐκ γὰρ διαρρήξεως στρατοῦ, τροπὴ γίνεται.

Τῶν δ᾽ ὀρθουμένων. τῶν ἀρχομένων.

Σώζει τὰ πολλὰ σώματα. Ὅμηρος, αἰδομένων δ᾽ ἀνδρῶν πλέονες σόοι ἠὲ πέφανται.

Τοῖς κοσμουμένοις. τοῖς ἄρχουσιν. Ὅμηρος, δύω κοσμήτορε λαῶν.

ὡς καὶ τὸν ἐχθρὸν ἀνταμύνωνται κακοῖς,
καὶ τὸν φίλον τιμῶσιν ἐξ ἴσου πατρί.
Ὅστις δ᾽ ἀνωφέλητα φιτύει τέκνα,
τί τόνδ᾽ ἂν εἴποις ἄλλο πλὴν αὑτῷ πόνους
φῦσαι, πολὺν δὲ τοῖσιν ἐχθροῖσιν γέλων;
μή νύν ποτ᾽ ὦ παῖ τὰς φρένας ὑφ᾽ ἡδονῆς
γυναικὸς οὕνεκ᾽ ἐκβάλῃς, εἰδὼς ὅτι
ψυχρὸν παραγκάλισμα τοῦτο γίνεται
γυνὴ κακὴ ξύνευνος ἐν δόμοισι. τί γὰρ
γένοιτ᾽ ἂν ἕλκος μεῖζον, ἢ φίλος κακός.
ἀλλὰ πτύσας ὡσεί τε δυσμενῆ μέθες
τὴν παῖδ᾽ ἐν ᾅδου τήνδε νυμφεύειν τινί.
ἐπεὶ γὰρ αὐτὴν εἷλον ἐμφανῶς ἐγὼ
πόλεως ἀπιστήσασαν ἐκ πάσης μόνην,
ψευδῆ γ᾽ ἐμαυτὸν οὐ καταστήσω πόλει,
ἀλλὰ κτενῶ. πρὸς ταῦτ᾽ ἐφυμνείτω Δία
ξύναιμον. εἰ γὰρ δὴ τά γ᾽ ἐγγενῆ φύσει
ἄκοσμα, θρέψω κάρτα τοὺς ἔξω γένους.
Ἐν τοῖς γὰρ οἰκείοισιν ὅστις ἐστ᾽ ἀνὴρ
Χρηστός, φανεῖται κἂν πόλει δίκαιος ὤν.
Ὅστις δ᾽ ὑπερβάς, ἢ νόμους βιάζεται,
Ἢ τοὐπιτάσσειν τοῖς κρατοῦσιν ἐννοεῖ,
Οὐκ ἔστ᾽ ἐπαίνου τοῦτον ἐξ ἐμοῦ τυχεῖν.
Ἀλλ᾽ ὃν πόλις στήσειε, τοῦδε χρὴ κλύειν
Καὶ σμικρὰ καὶ δίκαια, καὶ τἀναντία.
Καὶ τοῦτον ἂν τὸν ἄνδρα θαρσοίην ἐγὼ
Καλῶς μὲν ἄρχειν, εὖ δ᾽ ἄρχεσθαι θέλειν.
Δορός τ᾽ ἂν ἐν χειμῶνι προστεταγμένον,
Μένειν δίκαιον κἀγαθὸν παραστάτην.
Ἀναρχίας γὰρ, μεῖζον οὐκ ἔστιν κακόν.
Αὕτη πόλεις τ᾽ ὄλλυσιν. ἥδ᾽ ἀναστάτους
Οἴκους τίθησιν. ἥδε σὺν μάχῃ δορὸς
Τροπὰς καταρρήγνυσι. τῶν δ᾽ ὀρθουμένων,
Σώζει τὰ πολλὰ σώμαθ᾽ ἡ πειθαρχία.
Οὕτως ἀμυντέ᾽ ἐστὶ τοῖς κοσμουμένοις.
Κοὔτοι γυναικὸς οὐδαμῶς ἡσσητέα.
Κρεῖσσον γὰρ εἴπερ δεῖ πρὸς ἀνδρὸς ἐκπεσεῖν
Κοὐκ ἂν γυναικῶν ἥσσονες καλοίμεθ᾽ ἄν.

Χο. ἡμῖν μὲν, εἰ μὴ τῷ χρόνῳ κεκλέμμεθα,
λέγειν φρονούντως ὧν λέγεις δοκεῖς πέρι.

Αἱ. Πάτερ, θεοὶ φύουσιν ἀνθρώποις φρένας,
πάντων ὅσ' ἐστὶ χρημάτων ὑπέρτατον.
» ἐγὼ δ' ὅπως σὺ μὴ λέγεις ὀρθῶς τάδε,
οὔτ' ἂν δυναίμην, μήτ' ἐπισταίμην λέγειν.
γένοιτο μέντἂν χ' ἀτέρῳ καλῶς ἔχον.
σοὶ δ' οὖν πέφυκα πάντα προσκοπεῖν, ὅσα
λέγει τις, ἢ πράσσει τις, ἢ ψέγειν ἔχει.
τὸ γὰρ σὸν ὄμμα, δεινὸν ἀνδρὶ δημότῃ
λόγοις τοιούτοις οἷς σὺ μὴ τέρψῃ κλύων,
ἐμοὶ δ' ἀκούειν ἔσθ' ὑπὸ σκότου τάδε,
τὴν παῖδα ταύτην οἷ' ὀδύρεται πόλις.
πασῶν γυναικῶν ὡς ἀναξιωτάτη
κάκιστ' ἀπ' ἔργων εὐκλεεστάτων φθίνει.
ἥτις τὸν αὐτῆς αὐτάδελφον ἐν φοναῖς
πεπτῶτ' ἄθαπτον, μήθ' ὑπ' ὠμηστῶν κυνῶν
εἴασ' ὀλέσθαι, μήθ' ὑπ' οἰωνῶν τινός.
οὐχ ἥδε χρυσῆς ἀξία τιμῆς λαχεῖν;
τοιάδ' ἐρεμνὴ σῖγ' ἐπέρχεται φάτις.
» Ἐμοὶ δὲ, σοῦ πράσσοντος εὐτυχῶς πάτερ,
» Οὐκ ἔστιν οὐδὲν κτῆμα τιμιώτερον.
» Τί γὰρ πατρὸς θάλλοντος, εὐκλείας τέκνοις
» Ἄγαλμα μεῖζον, ἢ τί πρὸς παίδων πατρί;
μὴ νῦν ἓν ἦθος μοῦνον ἐν σαυτῷ φόρει.
ὡς φῂς σὺ, κοὐδὲν ἄλλο, τοῦτ' ὀρθῶς ἔχειν.
» Ὅστις γὰρ αὐτὸς ἢ φρονεῖν μόνος δοκεῖ,
Ἢ γλῶσσαν, ἣν οὐκ ἄλλος, ἢ ψυχὴν ἔχειν,
Οὗτοι διαπτυχθέντες, ὤφθησαν κενοί.
Ἀλλ' ἄνδρα κεἴ τις ᾖ σοφὸς, τὸ μανθάνειν
Πόλλ' αἰσχρὸν οὐδὲν, καὶ τὸ μὴ τείνειν ἄγαν.
Ὁρᾷς παρὰ ῥείθροισι χειμάρροις ὅσα
Δένδρων ὑπείκει, κλῶνας ὡς ἐκσώζεται,
Τὰ δ' ἀντιτείνοντ', αὐτόπρεμν' ἀπόλλυται.
Αὕτως δὲ, ναὸς ὅστις ἐγκρατὴς, πόδα

Εἰ μὴ τῷ χρόνῳ κεκλέμμεθα. εἰ μὴ τῆς φρονήσεως ὑπὸ τοῦ γήρως ἐσυλήμεθα, λέγειν φρονούντως δοκεῖς περὶ ὧν λέγεις. ὁ δὲ λόγος πάνυ πρεσβυτικῶς καὶ αἰδημόνως εἴρηται. ¶ Ἐγὼ δ' ὅπως σὺ μὴ λέγῃς. ἐγὼ δὲ οὐ δύναμαι ταῦτα ἀποδέξασθαι, ἐπειδὴ μὴ καλῶς ταῦτα λέγῃς. ℭ Γένοιτο μέντ' ἄν. δυνατόν τι καὶ ἑτέρως μεταβουλεύσασθαι. ℭ Σοῦ δ' οὖν πέφυκα. γράφεται, σὺ δ' οὖν πέφυκας. ¶ Τὸ γὰρ σὸν ὄμμα. τὸ σὸν ὄμμα φησὶ τοιοῦτόν ἐστιν, ὥστε μηδένα τῶν πολιτῶν ἀντικρὺ σοῦ λέγειν τοιαῦτα οἷς σὺ μὴ τέρψῃ. ἐμοὶ δὲ πάρεστιν ἀκούειν τῶν λάθρα κατὰ σοῦ λεγομένων. ¶ Λόγοις τοιούτοις. λείπει τὸ χρῆσθαι. ¶ Ὑπὸ σκότου. λαθραίως. ℭ Ἥ τις τὸν αὐτῆς αὐτάδελφον. δηλ. τούτων ὑποβραχυλογεῖται διὰ κόρης. ὑποδρῶν πρεπωδῶς τῇ πόλει περιθεὶς τὸν λόγον. Ἐρεμνή. σκοτεινή. λαθραία σοῦ. ¶ Διαπτυχθέντες. ἀνακαλυφθέντες. μετέβη δὲ ἀπὸ ἑνικοῦ ἀριθμοῦ τοῦ ὅστις, εἰς πληθυντικὸν τὸ, οὗτοι. ¶ Καὶ τὸ μὴ τείνειν ἄγαν. μὴ αὐθάδη εἶναι. ἀντιτείνοντα τοῖς συμβουλεύουσιν. τὸ γὰρ παρὰ Σόλωνος, γηράσκω δ' αἰεὶ πολλὰ διδασκόμενος. ℭ Αὐτόπρεμνα. αὐτόρριζα. ¶ Ὑπείκει μηδέν. τοῖς ἱστίοις μὴ ἐγχαλάσῃ.

Υ πτίοις κάτω. ἀντὶ τοῦ ὑπτίως.

Σ τρέψας τὸ λοιπόν. στρέψας τὴν ναῦν. ¶ Μετάστασιν. μετάνοιαν.

Γ νώμη γὰρ εἴ τις κἀπ' ἐμοῦ. ἀντὶ τοῦ εἰ οἷός τέ εἰμι λέγειν, κἀγὼ διὰ τὸ νέον. Πρεσβεύειν. ὑπερέχειν. ἐγώ φησι τοῦτο οἶμαι ὑπερέχειν τὸ τὸν ἄνθρωπον φῦναι πάντ' ἐπιστήμην. ἤτοι οὕτως. οὗτος μὲν πανάριστος, ὃς αὐτὸς πάντα νοήσει.

Ε ἰ δ' οὖν, φιλεῖ γὰρ τοῦτο μὴ ταύτῃ ῥέπειν. εἰ δέ τις ἀνόητος εὑρεθῇ.

Μ ηδὲν τὸ μὴ δίκαιον. μηδὲν διδάσκου, ὃ μὴ δίκαιόν ἐστι σοὶ μανθάνειν. ἢ μηδὲν ἔστω ὃ μὴ δίκαιον.

Τ οὺς ἀκοσμοῦντας. ἀπειθοῦντας καὶ ἄκοσμα διαπραττομένους.

Ο ὔ φησι Θήβης τῆσδε. οὐκ ἐγὼ ταῦτα λέγω, ἀλλὰ πάντες οἱ τὴν πόλιν οἰκοῦντες. χαριέντως δὲ τὴν δίκαιαν προσάπτει τῇ πόλει τὸ μὴ δοκεῖν βούλεσθαι ἀναστρέφειν τὰ τῷ πατρὶ βεβουλευμένα. ¶ Πόλις γὰρ ὑμῖν ἃ μὴ χρή. ἃ ἄν με χρὴ προστάσσειν τῇ πόλει, ἐκείνη μοι ἔχει κελεύειν. Ὁρᾷς τάδ' ὡς εἴρηκας. τὸ χ. ὅτι αὐστηρῶς προσηνέχθη τῷ πατρί. Εἴπερ γυνὴ σύ. εἴπερ τυγχάνεις. πάλιν δὲ τὸ χ. διὰ τὸ αὐστηρόν. Διὰ δίκης ἰών. δικασάμενος. διακαιολογούμενος. παῤῥησιαζόμενος. ¶ Καὶ γυναικὸς ὕστερον. ἀντὶ τοῦ ἡττηθεὶς ὑπὸ γυναικός.

Η δ' οὖν θανεῖται, καὶ θανοῦσ' ὀλεῖ τινά. δι' ἑαυτὸν ἔφη. ὁ δὲ Κρέων ὡς περὶ αὐτὸν λέγειν. ¶ Ἐπεξέρχῃ θρασύς. θρασύτερος χωρήσεις.

» Τείνας ὑπείκει μηδέν, ὑπτίοις κάτω
» Στρέψας τὸ λοιπὸν σέλμασιν ναυτίλλεται.
ἀλλ' εἶκε θυμῷ. καὶ μετάστασιν δίδου.
γνώμη γὰρ εἴ τις κἀπ' ἐμοῦ νεωτέρου
πρόσεστι, φήμ' ἔγωγε πρεσβεύειν πολὺ
φῦναι τὸν ἄνδρα, πάντ' ἐπιστήμης πλέα.
εἰ δ' οὖν, φιλεῖ γὰρ τοῦτο μὴ ταύτῃ ῥέπειν,
» Καὶ τῶν λεγόντων εὖ, καλὸν τὸ μανθάνειν.
Χο. ἄναξ, σέ τ' εἰκὸς εἴ τι καίριον λέγει,
μαθεῖν, σέ τ' αὖ τοῦδ'. εὖ γὰρ εἴρηται διπλᾶ.
Κρέ. οἱ τηλικοίδε καὶ διδαξόμεσθα δὴ
φρονεῖν πρὸς ἀνδρὸς τηλικοῦδε τὴν φύσιν;
Αἵ. μηδὲν τὸ μὴ δίκαιον. εἰ δ' ἐγὼ νέος,
» οὐ τὸν χρόνον χρὴ μᾶλλον, ἢ τἄργα σκοπεῖν.
Κρέ. ἔργον γάρ ἐστι τοὺς ἀκοσμοῦντας σέβειν;
Αἵ. οὐδ' ἂν κελεύσαιμ' εὐσεβεῖν εἰς τοὺς κακούς.
Κρέ. οὐχ ἥδε γὰρ τοιᾷδ' ἐπείληπται νόσῳ;
Αἵ. οὔ φησι Θήβης τῆσδ' ὁμόπτολις λεώς.
Κρέ. πόλις γὰρ ἡμῖν ἃ με χρὴ τάσσειν ἐρεῖ;
Αἵ. ὁρᾷς τόδ' ὡς εἴρηκας ὡς ἄγαν νέος;
Κρέ. ἄλλῳ γὰρ ἢ 'μοὶ χρή με τῆσδ' ἄρχειν χθονός;
Αἵ. Πόλις γὰρ οὐκ ἔσθ', ἥτις ἀνδρός ἐσθ' ἑνός.
Κρέ. οὐ τοῦ κρατοῦντος ἡ πόλις νομίζεται;
Αἵ. καλῶς ἐρήμης γ' ἂν σὺ γῆς ἄρχοις μόνος.
Κρέ. ὅδ' ὡς ἔοικε τῇ γυναικὶ ξυμμαχεῖ.
Αἵ. εἴπερ γυνὴ σύ. σοῦ γὰρ οὖν προκήδομαι.
Κρέ. ὦ παγκάκιστε διὰ δίκης ἰὼν πατρί.
Αἵ. οὐ γὰρ δίκαιά σ' ἐξαμαρτάνονθ' ὁρῶ.
Κρέ. ἁμαρτάνω γὰρ τὰς ἐμὰς ἀρχὰς σέβων;
Αἵ. οὐ γὰρ σέβεις, τιμάς γε τὰς θεῶν πατῶν.
Κρέ. ὦ μιαρὸν ἦθος, καὶ γυναικὸς ὕστερον.
Αἵ. οὐκ ἂν γ' ἕλοις ἥσσω γε τῶν αἰσχρῶν ἐμέ.
Κρέ. ὁ γοῦν λόγος σοι πᾶς ὑπὲρ κείνης ὅδε;
Αἵ. καὶ σοῦ γε, κἀμοῦ, καὶ θεῶν νερτέρων.
Κρέ. ταύτην ποτ' οὐκ ἔσθ' ὡς ἔτι ζῶσαν γαμεῖς.
Αἵ. ἥδ' οὖν θανεῖται, καὶ θανοῦσ' ὀλεῖ τινά.
Κρέ. ἦ κἀπαπειλῶν ὧδ' ἐπεξέρχῃ θρασύς;

Τίς δ' ἔστ' ἀπειλή. τίνα ὠφέλειαν ἔχει ἀπειλὴ πρὸς μωρὸν ἄνθρωπον λεγομένη. Ἀλλ' οὐ τόνδ' Ὄλυμπον. μὰ τὸν Ὄλυμπον. ¶ Δεννάσεις. λοιδορήσεις. ὑβρίσεις.

Αἵ. τί δ' ἔστ' ἀπειλὴ πρὸς κενὰς γνώμας λέγειν;
Κρέ. κλαίων φρενώσεις, ὢν φρενῶν αὐτὸς κενός.
Αἵ. εἰ μὴ πατὴρ ἦσθ', εἶπον ἄν σ' οὐκ εὖ φρονεῖν.
Κρέ. γυναικὸς ὢν δούλευμα, μὴ κώτιλλέ με.
Αἵ. βούλει λέγειν τι, καὶ λέγων μηδὲν κλύειν;
Κρέ. ἄληθες. ἀλλ' οὐ τόνδ' Ὄλυμπον, ἴσθ' ὅτι
χαίρων ἐπὶ ψόγοισι δεννάσεις ἐμέ.
ἄγετε τὸ μῖσος ὡς κατ' ὄμματ' αὐτίκα
παρόντι θνήσκῃ πλησία τῷ νυμφίῳ.
Αἵ. οὐ δῆτ' ἔμοιγε, τοῦτο μὴ δόξῃς ποτέ.
οὔθ' ἥδ' ὀλεῖται πλησία, σύ τ' οὐδαμὰ
τοὐμὸν προσόψει κρᾶτ' ἐν ὀφθαλμοῖς ὁρῶν.
ὡς τοῖς θέλουσι τῶν φίλων μαίνῃ ξυνών.
Χο. ἀνὴρ ἄναξ βέβηκεν ἐξ ὀργῆς ταχύς.
νοῦς δ' ἐστὶ τηλικοῦτος ἀλγήσας, βαρύς.
Κρέ. δράτω. φρονείτω μεῖζον, ἢ κατ' ἄνδρ' ἰών.
τὼ δ' οὖν κόρα τάδ', οὐκ ἀπαλλάξει μόρου.
Χο. ἄμφω γὰρ αὐτὰ καὶ κατακτεῖναι νοεῖς;
Κρέ. οὐ τήν γε μὴ θιγοῦσαν. εὖ γὰρ οὖν λέγεις.
Χο. μόρῳ δὲ ποίῳ καί σφε βουλεύῃ κτανεῖν;
Κρέ. ἄγων ἐρῆμος ἔνθ' ἂν ᾖ βροτῶν στίβος,
κρύψω πετρώδει ζῶσαν ἐν κατώρυχι
φορβῆς τοσοῦτον, ὡς ἄγος μόνον προθείς.
ὅπως μίασμα πᾶσ' ὑπεκφύγῃ πόλις.
κἀκεῖ τὸν ἅδην, ὃν μόνον σέβει θεῶν
αἰτουμένη που, τεύξεται, τὸ μὴ θανεῖν.
ἢ γνώσεται γοῦν ἀλλὰ τηνικαῦθ' ὅτι
πόνος περισσός ἐστι τὰν ἅδου σέβειν.
Χο. ἔρως ἀνίκατε μάχαν.
ἔρως, ὃς ἐν κτήμασι πίπτεις,
ὃς ἐν μαλακαῖς παρειαῖς

¶ Ἄγετε τὸ μῖσος. τὴν ἀντιγόνην φησίν. ¶ Ὡς κατ' ὄμματ'. ἀντὶ τοῦ ὑπ' ὀφθαλμούς. ¶ Ὡς τοῖς θέλουσι τῶν φίλων μαίνῃ ξυνών. γράφεται καὶ μαίνῃ. ¶ Ὡς μαίνῃ φησὶ παρὰ τοῖς φίλοις τοῖς θέλουσι ὑπομένειν τὴν σὴν μανίαν. ¶ Νοῦς δ' ἐστὶ τηλικοῦτος. ἤγουν ὁ τῶν νέων. ἢ ὁ φρόνιμος. ὁ γὰρ νοῦς, ὁ τηλικοῦτος φησὶ βαρύτατός ἐστιν ἀλγήσας. ¶ Ἄμφω γὰρ αὐτά. τὰς κόρας, δυϊκὸν γάρ ἐστι. ¶ Μόρῳ δὲ ποίῳ καί σφε. ἀντὶ τοῦ αὐτήν. ¶ Ἐν κατώρυχι. ἐν ὑπογείῳ σπηλαίῳ. ¶ Φορβῆς τοσοῦτον. ἔθος παλαιὸν, ὥστε τὸν βουλόμενον καθειργνύναι τινὰ ἀφοσιοῦσθαι βραχὺ τιθέντα τροφῆς. καὶ ὑπενόουν κάθαρσιν τὸ τοιοῦτο, ἵνα μὴ δοκῶσι λιμῷ ἀναιρεῖν. τοῦτο γὰρ ἀσεβές. ¶ Ὃν μόνον σέβει θεῶν. δεῖ τὸ προκεῖναι τῆς ἰδίας σωτηρίας, τὴν πρὸς τὸν κατοιχόμενον δίκην. ¶ Ὅτι πόνος περισσός ἐστι. πλήρης ὀργῆς καὶ ἀβουλίας ὁ λόγος. ὅτι καὶ εἰς θεοὺς θρασύνεται. ¶ Ἔρως ἀνίκατε μάχαν. λείπει ἡ κατά. διὰ τὸν αἵμονα τοῦ ἔρωτος μέμνηται. πάλαι γὰρ ὁμονόει τῷ πατρί. νῦν δὲ ἐχθρὸν πολέμιος γέγονε διὰ τὴν ἀντιγόνην. τὸ δὲ ἐρᾶν πλουσίοις, ἔχει καὶ ἡ παροιμία, Ἐν πλησμονῇ τοι κύπριος. ἐν πεινῶσι δ' οὔ. ¶ Ὃς ἐν κτήμασι πίπτεις. ἐπὶ καὶ κτήματα ἐρῶσι πολλοί.

ΕΝ νυχεύεις. διατρίβεις. ¶ Φοιτᾷς δ' ὑπερπόντιος. ὅτι καὶ τὰ θαλάσσια ζῶα ἐρᾷ. ἢ ὅτι καὶ τὰ πόῤῥω θηρεύει ὁ ἔρως, καὶ διὰ θαλάσσης ἄπεισι καὶ πανταχοῦ, ὥστε τοὺς ἐρῶντας ἐπιτυχεῖν· ἢ ὅτι πολλοὶ τῶν ἐν πόντῳ ἐρῶσιν. ℭ Ἀγρονόμοις αὐλαῖς. ταῖς ἐπαύλεσιν. ¶ Ὁ δ' ἔχων. τὸν ἔρωτα δηλονότι. ¶ Σὺ καὶ δικαίων ἀδίκους. σὺ καὶ δικαίους διαφθείρεις. ὥστε τὰς φρένας αὐτῶν ἀδίκους γίνεσθαι, ὡς Ἡρακλῆς ἐνεχόμενος τῷ ἔρωτι διὰ ἰόλης, τὰ ἐν οἰχαλίᾳ ἔπραξεν ἀφορμὴν τοῦ πολέμου μὴ ἔχων, ἢ τὸν ἔρωτα μόνον. ¶ Ξύναιμον ἔχεις. ξυγγενές. οὐ γὰρ ὁ υἱὸς πρὸς πατέρα γέγονε μάχη καὶ διαφορά. Νικᾷ δ' ἐναργὴς βλεφάρων. ὅτι ὁρῶν τὴν παῖδα ὁ αἵμων σπουδάζουσαν, καὶ πάντα πεπληρωκυῖαν ὑπὲρ τοῦ ἀδελφοῦ, ἥττων αὐτῆς γέγονε. νικᾷ οὖν φησιν ὁ ἔρως τῆς νύμφης, ὅς ἐστι πάρεδρος τῶν μεγάλων θεσμῶν ἐν ἀρχαῖς. ἀντὶ τοῦ δὲ εἰπεῖν, ὅτι θαυμαστή τις ἐστὶν ἡ τοῦ ἱμέρου ἀρχὴ καὶ ὥσπερ νομισθεῖσα ἄνωθεν. διὸ καὶ πάρεδρον αὐτὴν φησὶ τῶν θεσμῶν. ¶ Πάρεδρος ἐν ἀρχαῖς. τινὲς πάρεδρος δωρικῶς ἀναγινώσκουσι κατ' ἔλλειψιν τοῦ ν. ἵν' ᾖ, παρέδρους. λέγει δὲ τὸν κρέοντα. νικᾷ δὲ ὁ φανερὸς ἵμερος τῶν βλεφάρων διὰ εὐλέκτου νύμφης τὸν κρέοντα, τὸν ἐν ταῖς ἀρχαῖς τῶν μεγάλων θεσμῶν. ℭ Ἄμαχος. ἀκαταμάχητος. ℭ Ἐμπαίζει. ἀθλεῖ. χαίρει. ℭ Νῦν δ' ἤδη 'γὼ καὐτὸς θεσμῶν ἔξω φέρομαι. οἷον δύναμαι παρακούομεν τοῦ ἄρχοντος, δακρύοντες τὴν ἀντιγόνην ἣν αὐτὸς κατεδίκασε. ¶ Τὸν παγκοίταν. τὸν πάντας κοιμίζοντα. ℭ Ὁρῶ θάλαμον. τὸν θάλαμον τὸν εἰς τὸν τάφον. ¶ Τὴν δ' ἀντιγόνην ἀνύτουσαν. ἀνοίγουσαν, ἢ ξέχουσαν, καὶ πορευομένην.

νεάνιδος ἐννυχεύεις.
φοιτᾷς δ' ὑπερπόντιος, ἔν
τ' ἀγρονόμοις αὐλαῖς.
καί σ' οὔτ' ἀθανάτων φύξιμος οὐδεὶς,
οὔθ' ἁμερίων ἐπ' ἀν-
θρώπων. ὁ δ' ἔχων, μέμηνεν.
σὺ καὶ δικαίων ἀδίκους
φρένας παρασπᾷς ἐπὶ λώβᾳ.
σὺ καὶ τόδε νεῖκος ἀνδρῶν
ξύναιμον ἔχεις ταράξας.
νικᾷ δ' ἐναργὴς βλεφάρων
ἵμερος εὐλέκτου
νύμφας τῶν μεγάλων πάρεδρος ἐν ἀρχαῖς
θεσμῶν ἄμαχος γὰρ ἐμ-
παίζει θεὸς ἀφροδίτα.
νῦν δ' ἤδη 'γὼ καὐτὸς θεσμῶν
ἔξω φέρομαι τάδ' ὁρῶν. ἴσχειν
δ' οὐκέτι πηγὰς δύναμαι δακρύων,
τὸν παγκοίταν, ὅθ' ὁρῶ θάλαμον,
τὴν δ' ἀντιγόνην ἀνύτουσαν,

Αν ὁρᾶτέ μ', ὦ γᾶς πατρίας πολῖται,
τὰν νεάταν ὁδὸν
στείχουσαν, νέατον δὲ φέγγος
λεύσσουσαν ἀελίου,
κοὔποτ' αὖθις· ἀλλά μ' ὁ παγκοίτας
ἅιδας ζῶσαν ἄγει
τὰν ἀχέροντος ἀκτάν, οὔθ' ὑμεναίων

Ἐγ κλήρων. μέρος ἔχουσα. ¶ οὔτε ξιφέων ἐπίχειρα. οὐ διὰ ξιφῶν τὸν μισθὸν τῶν πλημμελημάτων λαχοῦσα καὶ τὴν τιμωρίαν. ἀλλὰ μετ' ἐλευθερίας τεθνήξῃ. ἰδίῳ γὰρ καὶ αὐτονόμῳ περὶ τὸ τέλος χρησαμένη. οἷον οὔτε νοσήσασα, οὔτε ἀναιρεθεῖσα ἐξελεύσῃ τοῦ βίου. ¶ Θνατῶν ἀΐδαν.

ἐγκλήρων, οὔτ' ἐπινυμφίδιός
πώ μέ τις ὕμνος
ὕμνησεν, ἀλλ' ἀχέροντι νυμφεύσω.

Χο οὐκοῦν κλεινὴ καὶ ἔπαινον ἔχουσ'
ἐς τόδ' ἀπέρχῃ κεῦθος νεκύων.
οὔτε φθινάσι πληγεῖσα νόσοις,
οὔτε ξιφέων ἐπίχειρα λαχοῦσ'
ἀλλ' αὐτόνομος ζῶσα μόνη δὴ
θνατῶν, ἀΐδαν καταβήσῃ.

Αν ἤκουσα δὴ λυγροτάταν ὀλέσθαι
τὰν φρυγίαν ξέναν
Ταντάλου, Σιπύλῳ πρὸς ἄκρῳ,
τὰν, κισσὸς ὡς ἀτενὴς
πετραία βλάστα δάμασεν. καί νιν
ὄμβροι τακομέναν
ὡς φάτις ἀνδρῶν, χιών τ' οὐδαμὰ λείπει.
τέγγει θ' ὑπ' ὀφρύσι παγκλαύτοις
δειράδας, ᾇ με
δαίμων ὁμοιοτάταν κατευνάζει.

Χο ἀλλὰ θεός τοι, καὶ θεογεννής.
ἡμεῖς δὲ βροτοὶ, καὶ θνηγενεῖς·
καί τοι φθιμένᾳ, μέγ' ἀκοῦσαι
τοῖς ἰσοθέοις ἔγκληρα λαχεῖν
ζῶσαν καὶ ἔπειτα θανοῦσαν.

Αν οἴμοι, γελῶμαι. τί με πρὸς
θεῶν πατρῴων
οὐκ ὀλομέναν ὑβρίζεις, ἀλλ' ἐπίφαντον.

λεύσῃ τοῦ βίου. ¶ Θνατῶν ἀΐδαν. ἤτοι πρὸς τὸν τόπον τοῦ θανάτου. ἢ πρὸς τὴν προαίρεσιν τοῦ ἐπιχειρήματος. ἢ ἀντὶ τοῦ ἰδίοις αὐτονόμοις χρησαμένη. ¶ Ἤκουσα δὴ λυγροτάταν. ἀντὶ τοῦ λυγροτάτης. ἢ τὴν λυγρὰν ὑπομείνασαν. ἢ λυγρὴν, καθὸ τὴν Λητὼ ὑβρίσαι τετόλμηκε. τοῦτο δὲ ἔλαβε πρὸς τὸ ὅμοιον τοῦ θανάτου. ὅτι οὐδὲ ἡ Νιόβη ὑπό τινος ἀνῃρέθη. ¶ Τὰν φρυγίαν ξέναν. τὴν Νιόβην. Σιπύλῳ πρὸς ἄκρῳ. Φρυγίας ὄρος ὁ Σίπυλος. ¶ Τὰν κισσὸς ὡς ἀτενής. ὁ μὴ διεστραμμένος, ἀλλ' εἰλιτενής. πολὺς καὶ ἐπιμήκης ἢ ὁ μὴ ἀνατείνων εἰς ὕψος. ἀλλ' ἀεὶ περιειλούμενος καὶ οὐχὶ ὑψηλός. ὁ δὲ νοῦς, ἣν ἐδάμασεν ἡ πέτρας βλάστησις, ὡς κισσὸς περιβάλλουσα αὐτήν. περιέφυσεν αὐτῇ φησὶ τὴν πέτραν, ὡς κισσὸς δένδρῳ. ¶ Πετραία βλάστα δάμασεν. ὅτι περιεκεκάλυπτο πανταχόθεν τῇ πέτρᾳ. ¶ Ἀλλὰ θεός τοι καὶ θεογεννής. παραμυθούμενος αὐτὴν θεόν φησι τὴν Νιόβην. ἤγουν κατωτέρων σε χρὴ, ὡς καὶ ἡ Νιόβη ἐκ τῶν τέρησι. καί τοι θειοτέρας γένους τυγχάνουσα. Ταντάλου γὰρ ἦν τοῦ Διός. ¶ Καί τοι φθιμένᾳ. καὶ γὰρ φθιμένῳ παντὶ μακαριστὸν ἂν εἴη τὸ αὐτὰς μοίρας τυχεῖν τοῖς ἰσοθέοις. οἷον, μακάριος ἂν εἴη, ὅστις τοῖς ἰσοθέοις ὁμοίως ἐτελεύτησεν.

¶ Ἔγκληρα λαχεῖν. ἤγουν, κοινὰ καὶ ὅμοια τοῦ αὐτοῦ κλήρου, καὶ τύχης. ¶ Οἴμοι γελῶμαι. ὑφ' ὑμῶν γελῶμαι, ὅτι θεοῖς ἴσον με λέγετε.

Ὑμμ' ἐπικτῶμαι. γράφεται ἐπιβοῶμαι. οἵα φίλων ἄκλαυτος. οἷον μὴ οἰκτειρομένη παρὰ τῶν φίλων ἀπόλλυμαι. ¶ Ἕργμα. ἕρμα. περίφραγμα. ℭ Τάφου ποταινίου. ἔστι μὲν προσφάτου. θέλει δ' εἰπεῖν καινοῦ, καὶ παρεξηλλαγμένου.

ὦ πόλις, ὦ πόλεως
πολυκτήμονες ἄνδρες.
ἰὼ Διρκαῖαι κρῆναι,
Θήβας τ' εὐαρμάτου ἄλσος, ἔμπας
ξυμμάρτυρας ὔμμ' ἐπικτῶμαι,
οἵα φίλων ἄκλαυτος, οἵοισιν νόμοις
πρὸς ἕργμα τυμβόχωστον ἔρ-
χομαι τάφου ποταινίου.
ἰὼ δύστανος.
οὔτ' ἐν βροτοῖσιν, οὔτ' ἐν νεκροῖσι.
Χο. Μέτοικος, οὐ ζῶσιν, οὐ θανοῦσιν,
προβᾶσ' ἐπ' ἔσχατον θράσους,
ὑψηλὸν ἐς δίκας βάθρον
προσέπεσες ὦ τέκνον πολύ.
πατρῷον δ' ἐκτίνεις τιν' ἆθλον.
Αν. ἔψαυσας ἀλγεινοτάτας
ἐμοὶ μερίμνας
πατρὸς τριπόλιστον οἶκτον.
τοῦ τε πρόπαντος
ἁμετέρου πότμου
κλεινοῖσι Λαβδακίδαισιν.
ἰὼ ματρῷαι λέκτρων
ἆται, κοιμήματ' αὐτογέννη-
τ' ἐμῷ πατρὶ δυσμόρου ματρὸς,
οἵων ἐγώ ποθ' ἁ ταλαίφρων ἔφυν.
πρὸς οὓς ἀραῖος ἄγαμος ἅ-
δ' ἐγὼ μέτοικος ἔρχομαι.

Οὔτ' ἐν βροτοῖσιν. οὔτε ἐν ζῶσι, διὰ τὸ εἶναι ἐν εἱρκτῇ. οὔτε ἐν θανοῦσι, διὰ τὸ ἔτι ἀναπνεῖν. ¶ Οὐ ζῶσιν, οὐ θανοῦσιν. λείπει σύνοικος.

Προβᾶσ' ἐπ' ἔσχατον θράσους. προβᾶσα ἐπὶ τὸ τῆς δικαιοσύνης ἔσχατον βάθρον μετὰ θράσους. βουλομένη τε ὅσιόν τι δρᾶσαι περὶ τὸν ἀδελφὸν, τὰ ἐναντία πέπονθας. ἔπεσες γὰρ εἰς κενοτάφιον. τὸ δὲ ἑξῆς, προβᾶσα ὑψηλὸν εἰς δίκας βάθρον, ἔπεσες ἐπ' ἔσχατον θράσους ἐν τῷ παρακοῦσαι τῶν τοῦ ἄρχοντος προσταγμάτων. ℭ Πατρῷον δ' ἐκτίνεις. ἢ τὰ ἡμαρτημένα τῷ Οἰδίποδι. ἢ ὑπὲρ τῆς κατάρας τοῦ Οἰδίποδος ταῦτα πάσχεις. αὐτὴ γὰρ τὰ δίκαια προέθου ποιεῖν. ℭ Τριπόλιστον οἶκτον. γράφεται οἶκον. πολλάκις ἀναπεπολημένον. ἢ διάσημον. καὶ πανταχοῦ ἀκουόμενον, ἢ πολούμενον. ἢ τὸν πολλάκις ἐπελθόντα τῷ ἐμῷ οἴκῳ, καὶ γένει. λείπει δὲ τὸ, εἰποῦσα. ¶ Τοῦ τε πρόπαντος ἁμετέρου πότμου. καὶ περὶ τῆς προτέρας ἡμῶν δυστυχίας.

Λαβδακίδαισιν. ἀντὶ τοῦ Λαβδακιδῶν. ¶ Κοιμήματ' αὐτογέννητα. καὶ συνουσίαι τοῦ πατρὸς αὐτογεννηθέντος, ἢ συγγενικαί. ἢ ὅτι ταύτῃ συνεκοιμήθη, ἐξ ἧς γέγονε. τὸ δὲ ἑξῆς, κοιμήματα αὐτογέννητα, κοιμήματα δυσμόρου ματρὸς. ἐμῷ πατρὶ αὐτογέννητα, ὅτι ὁ αὐτὸς, πατὴρ ἅμα καὶ παῖς ἦν.

ℭ Οἵων ἐγώ ποθ'. λείπει γονέων. ¶ Ἀραῖος. ἐπικατάρατος, διὰ τὰ ἐκείνων ἁμαρτήματα. ¶ Ἐγὼ μέτοικος ἔρχομαι. πρὸς τοὺς γονεῖς δηλονότι.

Δεσπότ

Δυσπότμων κασίγνητε γάμων κυρήσας. διὰ τὴν πρὸς Ἄδραστον ἐπιγαμίαν, ἥ τις αἰτία τοῦ πολέμου κατέστη. ¶ Σέβειν μὲν, εὐσέβειά τις. οἱ τοῦ χοροῦ τὸ μὲν ἔργον [illegible] ἐπαινοῦσιν. οὐ μὴν δὲ θαῤῥοῦσιν, ὡς καὶ τὴν γνώμην τοῦ βασιλέως διελέγχειν ὡς μοχθηράν. φησὶν οὖν, ὅτι πέπρακται μὲν δι' εὐσέβειαν τὸ ὑπὸ ταύτης. ᾧ δὲ ἡ βασιλεία μέλει, τούτῳ οὐκ ἔστι παραβατὴ ἡ ἀρχή. ὅ ἐστι τὰ προστάγματα. παραβαίνουσι δὲ ὅσοι ἀρχόντων καταφρονοῦσιν. ¶ Αὐτόγνωτος. αὐθαίρετος. καὶ ἰδιογνώμων ὀργή. ❡ Πότμον ἀδάκρυτον. ἀντὶ τοῦ πολυδάκρυτον. ¶ Ἆρ' ἴστ' ἀοιδὰς καὶ γόους. πρὸς τοὺς ὑπηκόους τοῦτό φησιν ὁ Κρέων, ὀργιζόμενος, ὅτι μὴ θᾶττον αὐτὴν ἀπήγαγον πρὸς εἱρκτήν. ὁ δὲ λόγος, ἆρ' ἴστε εἰ χρεὼ ἦν λέγειν ἀοιδὰς καὶ γόους πρὸ τοῦ θανεῖν, οὐδέποτέ τις παύσεται. δεῖ οὖν ἐκ βίας ἕλκειν αὐτήν. ¶ Εἴτε χρὴ θανεῖν. εἰ χρήζει καὶ θέλει θανεῖν. μετριάζειν δὲ προσποιεῖται τῇ κολάσει, ὡς δηλοῖ καὶ τὸ, Ἡμεῖς γὰρ ἁγνοί. τουτέστιν, ἀκοινώνητοι τοῦ φόνου τούτου, φησὶ διὰ τὸ μὴ χερσὶν αὐτὴν ἀνῃρηκέναι. ¶ Ἡμεῖς γὰρ ἁγνοί. τὸ κατὰ ταύτην τὴν κόρην, ἁγνοὶ ἡμεῖς ἐσμὲν, καὶ οὐδὲν ἐναγὲς ἐπράξαμεν. ❡ Μετοικίας δ' οὖν τῆς ἄνω στερήσεται. ἀντὶ τοῦ, μεθ' ἡμῶν ἄνω οἰκεῖν. Κατασκαφής. κατεσκαμμένη. ὑπόγειος. ¶ Οἴκησις αἰείφρουρος. τὴν μὴ πρὸς καιρὸν ἔχουσα τὴν φρουρὰν, ἀλλὰ διόλου. ❡ Κάκιστα δὴ μακρῷ. ἀντὶ τοῦ πολύ. ¶ Ἐν ἐλπίσι τρέφω. εὐεπίφορος Σοφοκλῆς εἰς τὸ, τρέφω ἀντὶ τοῦ ἔχω λέγειν. ὁ δὲ νοῦς, ἐλπίζω, ἀποθανοῦσα, πάντας ἕξειν φίλους ¶ Κασίγνητον κάρα, ὦ Ἐτεόκλεις, ἑξῆς γὰρ, τοῦ Πολυνείκους μετ' οἴκτου μνημονεύει.

ἰὼ, ἰὼ δυσπότμων
κασίγνητε γάμων κυρήσας
θανὼν, ἔτ' οὖσαν κατήναρές με.

Χο. Σέβειν μὲν εὐσέβειά τις.
κράτος δ' ὅτῳ κράτος μέλει,
παραβατὸν οὐδαμῇ πέλει.
σὲ δ' αὐτόγνωτος ὤλεσ' ὀργά.

Αν. ἄκλαυτος, ἄφιλος, ἀνυμέναιος
ταλαίφρων ἄγομαι
τάνδ' ἑτοίμαν ὁδόν. οὐκέτι
μοι τόδε λαμπάδος ἱερὸν ὄμ-
μα θέμις ὁρᾶν ταλαίνα. τὸν δ'
ἐμὸν πότμον ἀδάκρυτον, οὐδεὶς
φίλων στενάζει.

Κρέ. Ἆρ' ἴστ' ἀοιδὰς καὶ γόους πρὸ τοῦ θανεῖν
„ Ὡς οὐδ' ἂν εἷς παύσαιτ' ἂν εἰ χρεὼ ἦν λέγειν;
οὐκ ἄξεθ' ὡς τάχιστα καὶ κατηρεφεῖ
τύμβῳ περιπτύξαντες ὡς εἴρηκ' ἐγώ,
μόνην ἀφῆτ' ἔρημον, εἴτε χρὴ θανεῖν,
εἴτ' ἐν τοιαύτῃ ζῶσα τυμβεύειν στέγῃ;
ἡμεῖς γὰρ ἁγνοὶ τοὐπὶ τήνδε τὴν κόρην.
μετοικίας δ' οὖν τῆς ἄνω στερήσεται.

Αν. ὦ τύμβος, ὦ νυμφεῖον, ὦ κατασκαφὴς
οἴκησις αἰείφρουρος, οἷ πορεύομαι
πρὸς τοὺς ἐμαυτῆς, ὧν ἀριθμὸν ἐν νεκροῖς
πλεῖστον δέδεκται Περσέφασσ' ὀλωλότων.
ὧν λοισθία 'γὼ, καὶ κάκιστα δὴ μακρῷ
κάτειμι, πρίν μοι μοῖραν ἐξήκειν βίου.
ἐλθοῦσα μέντοι, κάρτ' ἐν ἐλπίσι τρέφω
φίλη μὲν ἥξειν πατρὶ, προσφιλὴς δέ σοι
μῆτερ, φίλη δὲ σοὶ κασίγνητον κάρα.

Καίτοι σ' ἐγὼ 'τίμησα τοῖς φρονοῦσιν εὖ. παρὰ τοῖς καλῶς φρονοῦσι, δοκῶ σε τετιμηκέναι, ὥστε τοὺς συνετοὺς ἀποδέξασθαι τὰ ὑπ' ἐμοῦ εἰς σὲ γινόμενα. ¶ Ἀνηρόμην πόνον. ἀντὶ τοῦ ὑπέστην. ¶ Τίνος νόμου δὴ ταῦτα. ἀντὶ τοῦ τίνος νομίσματος καὶ λογισμοῦ. ¶ Τοιῷδε μέντοι. τῷ τοιούτῳ νόμῳ, ὃς ἀπαιτεῖ καὶ κατὰ τοὺς ἀδελφοὺς δὴ καὶ ὑπερέχειν ἁπάντων, τιμήσασά σε, ἔδοξα τῷ Κρέοντι ἁμαρτάνειν, διὰ τὴν ἔνδειξιν τῆς βίας αὐτοῦ. ¶ Καὶ νῦν ἄγει με. ἐμφατικώτερον τὸ ἄγει. οὐ γὰρ εἶπεν ὅτι ἐκέλευσέ με ἀχθῆναι, ἀλλ' αὐτὸς ἄγει. ¶ Ποίαν παρεξελθοῦσα δαιμόνων. ἐπὶ τὰ τοῦ Κρέοντος θνητοῦ ὄντος παρέξει.

Τίν' αὐδᾶν συμμάχων. λείπει καλεῖν. ¶ Ἀλλ' εἰ μὲν οὖν τάδ' ἐστίν. εἰ ταῦτα τοῖς θεοῖς ἀρέσκει, παθόντες τὴν τιμωρίαν, γνοίημεν τὴν ἁμαρτίαν. ¶ Εἰ δ' οἵδ' ἁμαρτάνουσιν. ἐπὶ τὸν Κρέοντα ἡ ἀναφορά. ¶ Ἢ καὶ δρῶσιν ἐνδίκως. ἢ ἐκδίκως. ἤγουν ἔξω τοῦ δικαίου. ¶ Ἔτι τῶν αὐτῶν. ἔτι ἐν τῷ αὐτῷ κινήματι ἔοικεν ἡ παῖς· τὸ ὅμοιον οὐκ ἐνδέδωκεν ὀδυρομένη.

Κλαύμαθ' ὑπάρξει. ἀντὶ τοῦ κλαύσονται οἱ ἄγοντες αὐτήν, ἐὰν ἔτι βραδύνωσι. ¶ Βραδυτῆτος ὕπερ. διὰ τὸ ἐν αὐτῇ ἐμβραδύνειν. ¶ Οἴμοι θανάτου. ἀπειληθέντες ὑπὸ τοῦ Κρέοντος οἱ ὑπήκοοι, ἄξουσί με λοιπὸν εἰς θάνατον. ¶ Θαρσεῖν οὐδὲν παραμυθοῦμαι. οὐ παραμυθοῦμαί σε θαρρεῖν, ὡς μὴ κεκυρωμένου σοι τοῦ ἀποθανεῖν. ἄλλως δέ φησιν ὡς οὐκ ἐνδιδούς, ἵνα μὴ ὑπονοήσῃ ἐκείνη μεταπεπεικέναι.

ἐπεὶ θανόντας αὐτόχειρ ὑμᾶς ἐγὼ
ἔλουσα, κἀκόσμησα, κἀπιτυμβίους
χοὰς ἔδωκα. νῦν δὲ Πολύνεικες, τὸ σὸν
δέμας περιστέλλουσα, τοιάδ' ἄρνυμαι.
καίτοι σ' ἐγὼ 'τίμησα, τοῖς φρονοῦσιν εὖ.
οὐ γάρ ποτ' οὔτ' ἂν εἰ τέκνων μήτηρ ἔφυν,
οὔτ' εἰ πόσις μοι κατθανὼν ἐτήκετο,
βίᾳ πολιτῶν τόνδ' ἂν ᾐρόμην πόνον.
τίνος νόμου δὴ ταῦτα πρὸς χάριν λέγω;
πόσις μὲν ἄν μοι κατθανόντος ἄλλος ἦν.
καὶ παῖς ἀπ' ἄλλου φωτός, εἰ τοῦδ' ἤμπλακον.
μητρὸς δ' ἐν ᾅδου καὶ πατρὸς κεκευθότοιν,
οὐκ ἔστ' ἀδελφὸς ὅστις ἂν βλάστοι ποτέ.
τοιῷδε μέντοι σ' ἐκπροτιμήσασ' ἐγὼ
νόμῳ, Κρέοντι ταῦτ' ἔδοξ' ἁμαρτάνειν,
καὶ δεινὰ τολμᾶν ὦ κασίγνητον κάρα.
καὶ νῦν ἄγει με διὰ χερῶν οὕτω λαβών,
ἄλεκτρον, ἀνυμέναιον. οὔτε του γάμου
μέρος λαχοῦσαν, οὔτε παιδείου τροφῆς.
ἀλλ' ὧδ' ἔρημος πρὸς φίλων ἡ δύσμορος
ζῶσ', εἰς θανόντων ἔρχομαι κατασκαφάς.
ποίαν παρεξελθοῦσα δαιμόνων δίκην;
τί χρή με τὴν δύστηνον εἰς θεοὺς ἔτι
βλέπειν; τίν' αὐδᾶν ξυμμάχων; ἐπεί γε δὴ
τὴν δυσσέβειαν εὐσεβοῦσ' ἐκτησάμην.
ἀλλ' εἰ μὲν οὖν τάδ' ἐστὶν ἐν θεοῖς καλά,
παθόντες ἂν ξυγγνοῖμεν ἡμαρτηκότες,
εἰ δ' οἵδ' ἁμαρτάνουσι, μὴ πλείω κακὰ
πάθοιεν, ἢ καὶ δρῶσιν ἐκδίκως ἐμέ.
Χο. ἔτι τῶν αὐτῶν ἀνέμων αὐταὶ
ψυχῆς ῥιπαὶ τήνδε γ' ἔχουσιν.
Κρέ. τοιγάρτοι τούτων τοῖσιν ἄγουσιν,
κλαύμαθ' ὑπάρξει βραδυτῆτος ὕπερ.
Αν. οἴμοι θανάτου τοῦτ' ἐγγυτάτω
τοὔπος ἀφῖκται.
Κρέ. θαρσεῖν οὐδὲν παραμυθοῦμαι.

αὐτὴν δακρύουσα. ἢ ὁ χορὸς λέγει ὡς τοῦ Κρέοντος μὴ μεταπεισθέντος. ¶ Ὦ γῆς Θήβης. λοιπὸν πρὸς βίαν αὐτὴν ἄγουσιν οἱ ὑπήκοοι, τὰ πρῶτα αὐτὴν ἐλεοῦντες καὶ αἰδούμενοι. ¶ Οἱ κοιρανίδαι. κοίρανοι. πρὸς ἀπὸ τοῦ χοροῦ φησιν. εἰώθασι δὲ οὐ μόνον τοὺς βασιλεῖς, ἀλλὰ καὶ τοὺς ἐνδόξους τῆς πόλεως οὕτω καλεῖν. ἢ πρὸς κρέοντα. ἠθικῶς ἂν αὐτὴν εἰς συμμαχίαν προσκαλουμένη. ἢ πρὸς τοὺς πάλαι βασιλέας τοὺς προγόνους αὐτῆς. Τὴν βασιλίδα. τὴν βασίλειαν. ¶ Σεβίζουσα. τιμήσασα. ¶ Ἔτλα καὶ δανάας. οἷον ἡ δανάη ἔτλη μὴ εἶναι ἐν φωτί. ἀλλ' ἐν σκότῳ, ἐπεὶ καὶ αὐτὴ ἐν χαλκῷ οἴκῳ ἐκέκρυπτο. ¶ Κρυπτομένα δ' ἐν τυμβήρει. κατεκλείσθη ὑπὸ τὴν κιβωτόν. ἢ ὑπὸ τὸν ζυγὸν τῆς ἀνάγκης ἦλθε καὶ τῆς εἱμαρμένης. ἢ κατεζεύχθη συνελθοῦσα τῷ διΐ. ¶ Ταμιεύεσκε. ἀντὶ τοῦ ἐν αὐτῇ εἶχε τὰς γονὰς τοῦ διός. ὅθεν ἔγγυος ἦν. ¶ Μοιριδία. εἱμαρμένη. Οὔτ' ἄν νιν. αὐτὴν τὴν μοῖραν. ¶ Ὄμβρος οὔτ' ἄρης. ἄρης νῦν ὁ πόλεμος. καὶ δὲ οὗρος κατὰ μοῖραν ἐγείρεται. βούλεται δὲ εἰπεῖν, ὅτι οὔτε τὰ ἐν οὐρανῷ. οὔτε τὰ ἐν τῇ γῇ. οὔτε τὰ ἐν τῇ θαλάττῃ πραττόμενα, παρὰ μοῖραν γίνεται. ¶ Ζεύχθη δ' ὀξυχόλως. τὸ ἑξῆς. ζεύχθη πετρώδει κατάφρακτος ἐν δεσμῷ. μὴ οὕτω δὲ αὐτὸ λάβωμεν, ὅτι καὶ ἡ ἀντιγόνη ἀσεβὴς οὖσα πέπονθεν, ὅπερ ὁ ἀσεβὴς λυκοῦργος, ἀλλ' ἁπλῶς τῇ παραθέσει τῶν ὁμοίων δυστυχιῶν παραμυθεῖται τὴν κόρην. τὸν δεσμὸν δὲ τῆς ἀμπέλου πετρώδη εἶπεν, ἀντὶ τοῦ τὸν ἰσχυρόν. κερτομίοις ὀργαῖς. διὰ τὰς κερτομίους ὀργάς. Πετρώδει. τῷ στερεῷ δεσμῷ τῆς ἀμπέλου. Δεινὸν ἀποστάζει. ἀντὶ τοῦ πολύ. Οὕτω τὰς μανίας δεινόν. οὕτω καὶ τοῦ λυκούργου, ἀπὸ τῆς μανίας ὀργὴ ἀπέβαινε. μένος δὲ ἡ ὀργή. ἀνθηρὸν δὲ τὸ ἀκμαῖον καὶ ἀνθοῦν ἐν κακοῖς.

K Κεῖνος ἐπέγνω. τὸ ἑξῆς. κεῖνος ἐπέγνω τὸν θεὸν κερτομίοις γλώσσαις μανίαις ψαύων. ¶ Εὐθέους. τὰς θεολήπτους βάκχας.

μὴ οὐ τάδε ταύτῃ κατακυροῦσθαι.
Αν. Ὦ γῆς Θήβης ἄστυ πατρῷον,
καὶ θεοὶ προγενεῖς,
ἄγομαι δὴ, κοὐκέτι μέλλω.
λεύσατε Θήβης οἱ κοιρανίδαι
τὴν βασιλίδα μούνην λοιπὴν
οἷα πρὸς οἵων ἀνδρῶν πάσχω,
τὴν εὐσέβειαν σεβίσασα.
Χο. Ἔτλα καὶ Δανάας οὐράνιον φῶς
ἀλλάξαι δέμας ἐν χαλκοδέτοις
αὐλαῖς κρυπτομένα δ' ἐν
τυμβήρει θαλάμῳ κατεζεύχθη.
καί τοι γενεᾷ τίμιος ὦ παῖ, παῖ.
καὶ Ζηνὸς ταμιεύε-
σκε γονὰς χρυσορρύτους.
ἀλλ' ἁ μοιριδία τις δύνασις δεινά,
οὔτ' ἄν νιν ὄμβρος, οὔτ' Ἄρης,
οὐ πύργος, οὐχ ἁλίκτυποι
κελαιναὶ νᾶες ἐκφύγοιεν.
ζεύχθη δ' ὀξυχόλως παῖς ὁ Δρύαντος,
Ἠδωνῶν βασιλεὺς, κερτομίοις
ὀργαῖς ἐκ Διονύσου,
πετρώδει κατάφρακτος ἐν δεσμῷ.
οὕτω τὰς μανίας δεινὸν ἀποστάζει
ἀνθηρόν τε μένος. κεῖ-
νος ἐπέγνω μανίαις
ψαύων τὸν θεὸν ἐν κερτομίοις γλώσσαις.
παύεσκε μὲν γὰρ ἐνθέους

E εὔϊόν τε πῦρ. τὸ ὑπὸ τῶν βακχῶν αἰρόμενον ἐν ταῖς διονυσιακαῖς δᾳδουχίαις. ¶ Φιλαύλους ἠρέθιζε μούσας. κακολογῶν αὐτὰς, ἠρέθιζε κατ' αὐτοῦ. λέγει οὖν ἐτάραττε, καὶ ἐσκόρπιζε τὰς τῶν αὐλῶν ᾠδάς. ἢ οὕτως, τὰς μούσας τὰς περὶ τὸν Διόνυσον ἐχλεύαζε, τουτέστι, τοὺς ὕμνους, ἢ τοὺς λόγους. τινὲς δέ φασιν, ὅτι καὶ τὰς μούσας ὕβριζε. ¶ Παρὰ δὲ κυανέων πελαγέων. ἀντὶ τοῦ, παρὰ δὲ τοῖς κυανέοις πελάγεσι τῆς διδύμης θαλάττης, γέγονεν ἐμφύλια κακὰ περὶ τοὺς Φινείδας. κυανέοις δὲ πελάγεσιν εἶπε, τοῖς ὑπὸ τῶν κυανέων πετρῶν περιεχομένοις. ¶ Διδύμης ἁλός. ἢ διὰ τὸ διαχωρίζειν αὐτοῦ τὴν θάλασσαν, ἢ διὰ τὸ συνιέναι αὐτὰς καὶ ἑνοῦσθαι, διδύμης φησίν. ¶ Ἀκταὶ βοσπόρειαι. αἱ ὑπὸ τοῦ βοσπόρου τοῦ πελάγους περιεχόμεναι. ¶ Ἠδ' ὁ Θρηκῶν Σαλμυδησσός. ὁ θρακικὸς Σαλμυδησσός. αἰγιαλὸς δέ ἐστι δυσχείμερος περὶ Θράκην. Αἰσχύλος, Σαλμυδησσία γνάθος, ἐχθρόξενος ναύταισι, μητρυιὰ νεῶν. ¶ Ἵν' ἀγχίπτολις ἄρης. παρὰ τοῖς Θραξὶ τιμᾶται ὁ ἄρης. ὡς καὶ ὁ ποιητὴς, τὼ μὲν ἄρ' ἐκ Θρήκης ἐφύρους μετὰ θωρήσσεσθον. τὸ δὲ ἵνα, τοῖς ἄνω συναπτέον. ἵνα ἀκταὶ βοσπόρειαι. καὶ οὐδὲν λείπει. ὅσοι δὲ γράφουσιν ὃν ἄρης, προστιθέασι λαμβάνοντες τὸ ὄνομα.
Δ Δισσοῖσι Φινείδαις. τῶν δισσῶν Φινειδῶν, πλήξιππου καὶ πανδίονος. ἢ γηρύμβα καὶ ἀσπόνδου. ¶ Τυφλωθὲν ἐξ ἀγρίας. τὸ ἑξῆς, τυφλωθὲν ὀμμάτων κύκλοις. Ἀλαστόροισι. τοῖς ἄλαστα πεπονθόσιν, ἢ τοῖς δυστυχέσι κύκλοις τῶν ὀμμάτων. ¶ Ἀραχθὲν ἐγχέων. ἀντὶ τοῦ τυφλωθὲν, ἀραχθὲν αἱματηραῖς χείρεσσιν, ὑπὸ ἐγχέων καὶ κερκίδων ἀκμαῖς. τουτέστι γυναικείαις. Μέλεοι μελέαν πάθαν. ὅτι τελευτήσασα ἀφῆκεν αὐτοὺς ὑπὸ μητρυιᾶν. ἢ ὅτι αὐτὴ αὐτοὺς ἐξετύφλωσεν. ¶ Ἀνύμφευτον γονάν. κακόνυμφον γονήν. ὅτι ὑπὸ κακῶν νυμφευθεῖσα, δυστυχεῖς αὐτοὺς ἔτεκεν. ἢ τὴν ἀνύμφευτον ἑαυτῶν κοινωνίαν. οἷον, τῆς πρὸς γυναῖκας συνουσίας ἄπειροι ὄντες. ¶ Ἁ δὲ σπέρμα μὲν ἀρχαιογόνων. Βορέας κῆδος συνῆψε τοῖς Ἀθηναίοις, ἁρπάσας Ὠρείθυιαν τὴν Ἐρεχθέως, ἐξ ἧς ἔσχε Ζήτην καὶ Κάλαϊν, καὶ Κλεοπάτραν. ταύτην ὁ Φινεὺς ἐγήμεν. ἐξ ἧς αὐτῷ δύο παῖδες ἐγένοντο, Πλήξιππος, καὶ Πανδί-

γυναῖκας εὔϊόν τε πῦρ,
φιλαύλους τ' ἠρέθιζε μούσας.
παρὰ δὲ κυανέων πελαγέων πετρῶν
διδύμας ἁλὸς
ἀκταὶ βοσπόρειαι.
ἠδ' ὁ Θρηκῶν Σαλμυδησσός,
ἵν' ἀγχίπτολις Ἄρης δισσοῖσι Φινείδαις
εἶδεν ἀρατὸν ἕλκος
τυφλωθὲν ἐξ ἀγρίας δάμαρτος
ἀλαὸν ἀλαστόροισιν ὀμμάτων κύκλοις
ἀραχθὲν ἐγχέων, ὑφ' αἱματηραῖς
χείρεσσι, καὶ κερκίδων ἀκμαῖσι.
κατὰ δὲ τακόμενοι μέλεοι,
μελέαν πάθαν
κλαῖον ματρὸς, ἔχον
τὰν ἀνύμφευτον γονάν. ἁ
δὲ σπέρμα μὲν ἀρχαιογόνων
ἄντασ' Ἐρεχθειδᾶν,
τηλεπόροις δ' ἐν ἄντροις,
τράφη θυέλλῃσιν ἐν πατρῴαις

καὶ πανδί-

καὶ Πανδίων. κατὰ δέ τινας, Τέρυμβας, καὶ Ἄσπονδος. μετὰ δὲ τὸν Κλεοπάτρας θάνατον, ἐπέγημεν Ἰδαίαν τὴν Δαρδάνου. κατὰ δέ τινας Εἰδοθέαν, τὴν Κάδμου ἀδελφήν, ἧς καὶ αὐτὸς Σοφοκλῆς μνημονεύει ἐν Τυμπανισταῖς. ἥτις ἐξ ἐπιβουλῆς τυφλώσασα τοὺς τῆς Κλεοπάτρας παῖδας, ἐν τάφῳ καθεῖρξεν, ὡς δέ τινές φασιν, ὅτι κατεψεύσατο αὐτῶν, ὅτε δὴ πειρασάντων αὐτήν. ἐφ' οἷς ἀπατηθεὶς ὁ Φινεύς, ἀμφοτέρους τυφλοῖ.

βορεὰς ἅμιππος ὀρθόποδος ὑπὲρ πάγου
θεῶν παῖς. ἀλλὰ κἀπ' ἐκείνᾳ
μοῖραι μακραίωνες ἔσχον ὦ παῖ.
Τει. Θήβης ἄνακτες ἥκομεν κοινὴν ὁδὸν
δύ' ἐξ ἑνὸς βλέποντε. τοῖς τυφλοῖσι γὰρ
αὕτη κέλευθος ἐκ προηγητοῦ πέλει.
Κρέ. τί δ' ἔστιν ὦ γεραιὲ Τειρεσία νέον;
Τει. ἐγὼ διδάξω, καὶ σὺ τῷ μάντει πιθοῦ.
Κρέ. οὔκουν πάρος γε σῆς ἀπεστάτουν φρενός.
Τει. τοιγὰρ δι' ὀρθῆς τήνδε ναυκληροῖς πόλιν.
Κρέ. ἔχω πεπονθὼς μαρτυρεῖν ὀνήσιμα.
Τει. φρόνει βεβὼς αὖ νῦν ἐπὶ ξυροῦ τύχης.
Κρέ. τί δ' ἔστιν; ὡς ἐγὼ τὸ σὸν φρίσσω στόμα.
Τει. γνώσῃ τέχνης σημεῖα τῆς ἐμῆς κλύων.
εἰς γὰρ παλαιὸν θᾶκον ὀρνιθοσκόπον
ἵζων, ἵν' ἦν μοι παντὸς οἰωνοῦ λιμήν,
ἀγνῶτ' ἀκούω φθόγγον ὀρνίθων, κακῷ
κλάζοντας οἴστρῳ, καὶ βεβαρβαρωμένῳ,
καὶ σπῶντας ἐν χηλαῖσιν ἀλλήλους φοναῖς
ἔγνων, πτερῶν γὰρ ῥοῖβδος οὐκ ἄσημος ἦν.
εὐθὺς δὲ δείσας, ἐμπύρων ἐγευόμην,
βωμοῖσι παμφλέκτοισιν. ἐκ δὲ θυμάτων,
Ἥφαιστος οὐκ ἔλαμπεν, ἀλλ' ἐπὶ σποδῷ

ταῦτα δὲ ἱστορεῖ Ἀπολλόδωρος, ἐν τῇ βιβλιοθήκῃ. τινὲς δὲ ἱστοροῦσιν, ὅτι δουλοῦσαν τὴν Κλεοπάτραν, ὁ Φινεὺς ἐκβέβληκε, καὶ τὴν Ἰδαίαν ἐπέγημεν. ἡ δὲ ὀργισθεῖσα, τοὺς ἑαυτῆς ἐτύφλωσε παῖδας. ¶ Ἅμιππος. ταχεῖα, ἴσον ἵππῳ δυναμένη τρέχειν. εἰ δὲ γράφεται ἁμίπποις, πρὸς τὸ θυέλλαις. ζάλῃ θυέλλησιν ἁμίπποις. ταῖς ἐξισουμέναις ἵπποις. ὡς καὶ Ὅμηρος, θείειν δ' ἀνέμοισιν ὁμοῖοι. ¶ Ἀλλὰ κἀπ' ἐκείνᾳ. ἀλλὰ καὶ κατ' ἐκείνης τῆς θυγατρὸς Βορέου τῆς ἐξ Ἐρεχθειδῶν γεγονυίας, ἐνέσκηψαν αἱ πολυχρόνιοι μοῖραι, καὶ μεγάλα δυστυχῆσαι αὐτὴν πεποιήκασιν. ἢ μεγάλαι δυστυχίαι καὶ ἐπ' ἐκείνην τὴν Κλεοπάτραν ἦλθον. ¶ Μακραίωνες. ἀθάνατοι. ἢ πολυχρόνιοι. ¶ Ἔσχον δέ. ἐπέσχον. ἐπετέθησαν. ἐπεβάρησαν. ¶ Θήβης ἄνακτες. καὶ νῦν ἄνακτάς φησι τοὺς ἀπὸ τοῦ χοροῦ ἐντίμους. ¶ Ἐκ προηγητοῦ πέλει. ἡ ὁδὸς τοῦ τυφλοῦ μετ' ἄλλου ἐστίν. ¶ Οὔκουν πάρος γε. οἷον, οὐδὲ τὴν ἀρχὴν τῆς σῆς κατωλιγώρουν μαντείας. ¶ Τὸ σὸν φρίσσω στόμα. ἀντὶ τοῦ τὸν σὸν λόγον. ¶ Εἰς γὰρ παλαιὸν θᾶκον. θᾶκος τόπος οὕτω καλούμενος. Οἰωνοῦ λιμήν. λιμήν, ὅρμος καὶ ἕδρα, ὅπου πάντα τὰ ὄρνεα προσέχονται. ¶ Κακῷ κλάζοντας. λείπει, ἐπὶ κακῷ. ¶ Βεβαρβαρωμένῳ. ἑρμηνευθῆναι μὴ δυναμένῳ, ἀλλὰ ἀσαφεῖ.
Ἐν χηλαῖσιν. ἀντὶ τοῦ τοῖς ὄνυξι. ¶ Φοναῖς. ταῖς αἱματικαῖς. ¶ Ἐμπύρων ἐγευόμην. ἀντὶ τοῦ ἀπεπειρώμην τῆς διὰ πυρὸς μαντείας.

Μυδῶσα. διύγρος οὖσα ἡ καύσις. κηκὶς δὲ ἡ ἀνάδοσις ἐνταῦθα. κυρίως δὲ, ἡ λιγνὺς τοῦ καπνοῦ ἡ ἀπὸ τῶν καιομένων γινομένη. ¶ Ἀνέπτυσεν. ἀνέβαλε. ℭ Κἄτυφε. καὶ ἔτυφε. τύφειν ἐστὶ τὸ ἠρέμα ὑποσμύχειν. ¶ Ἀνέπτυε δὲ, ἀνέβαλε τὰ μηρία ἐκ τοῦ λίπους. ℭ Καταῤῥυεῖς. καταῤῥεόμενοι. καθυγραινόμενοι. ἐκ τοῦ λίπους τῆς καλυπτούσης πιμελῆς διέπιπτον. ¶ Τοιαῦτα παιδὸς. τοῦ ὁδηγοῦντος δηλονότι. Φθίνοντ'. ἡ φθοροποιά. ἢ διὰ τοῦ πυρὸς ἀσήμως φθειρόμενα. Ἐσχάραι. αἱ ἑστίαι. ¶ Παντελεῖς. αἱ διὰ τὰ τέλεια τῶν ἱερείων δεχόμεναι. ἢ ὅλαι. ἢ δι' ὧν πάντα τελειοῦται. ¶ Πλήρεις ὑπ' οἰωνῶν τε καὶ κυνῶν βορᾶς. ἀντὶ τοῦ οἱ κύνες καὶ οἱ ὄρνιθες διασπαράξαντες τὸ τοῦ Πολυνείκους σῶμα ἐπὶ τοὺς βωμοὺς ἐκόμιζον, καὶ οὕτως ἐμόλυναν ἅπαντας. ℭ Θυστάδας λιτάς. τὰς διὰ θυσιῶν γινομένας λιτάς. ℭ Ἀποῤῥοιβδεῖ. ἀπηχεῖ. ἀφίησιν. ¶ Ἀνδροφθόρου βεβρῶτες. ἀπὸ τοῦ ἑνικοῦ εἰς τὸ πληθυντικὸν μετέβη. ℭ Ἀκεῖται. ἰᾶται. θεραπεύει. ¶ Ἀκίνητος. ἀμετάθετος. ℭ Αὐθαδία τοι. διὰ τὴν αὐθάδειαν εἰς σκαιότητα πίπτουσιν οἱ ἄνθρωποι. ¶ Τίς ἀλκὴ τὸν θανόντ'. καὶ Ὅμηρος, Κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει μενεαίνων. Τοξεύετ' ἀνδρὸς τοῦδε. ἤγουν ἀποπειρᾶσθέ μου, ὡς τοξόται σκοποῦ. Ἀνδρὸς τοῦδε. ἀντὶ τοῦ ἐμοῦ. ¶ Ἄπρακτος ὑμῖν εἰμι. ὑφ' ὑμῶν τῶν μάντεων, καὶ τῶν συγγενῶν. ¶ Ἐξημπόλημαι. ἀνεμπόλητος. μὴ πεπραγματευμένος. καὶ Ὅμηρος, Οἵ τε πρηκτῆρες ἔασιν. ὑπέπραγμαι. πεπραγμάτευμαι. ¶ Κἀμπεφόρτισμαι. πεφόρτισμαι. φόρτος γεγένημαι. ἐποίησαν τὸ μὲ φόρτον.

μυδῶσα κηκὶς μηρίων ἐτήκετο,
κἄτυφε, κἀνέπτυε, καὶ μετάρσιοι
χολαὶ διεσπείροντο, καὶ καταῤῥυεῖς
μηροὶ καλυπτῆς ἐξέκειντο πιμελῆς.
τοιαῦτα παιδὸς τοῦδ' ἐμάνθανον πάρα,
φθίνοντ' ἀσήμων ὀργίων μαντεύματα.
ἐμοὶ γὰρ οὗτος ἡγεμών, ἄλλοις δ' ἐγώ.
καὶ ταῦτα, τῆς σῆς ἐκ φρενὸς νοσεῖ πόλις.
βωμοὶ γὰρ ἡμῖν, ἐσχάραι τε παντελεῖς,
πλήρεις ὑπ' οἰωνῶν τε καὶ κυνῶν βορᾶς
τοῦ δυσμόρου πεπτῶτος Οἰδίπου γόνου.
κᾆτ' οὐ δέχονται θυστάδας λιτὰς ἔτι
θεοὶ παρ' ἡμῶν, οὐδὲ μηρίων φλόγα.
οὐδ' ὄρνις εὐσήμους ἀποῤῥοιβδεῖ βοάς,
ἀνδροφθόρου βεβρῶτες αἵματος λίπος.
» ταῦτ' οὖν τέκνον φρόνησον. Ἀνθρώποισι γὰρ
» Τοῖς πᾶσι κοινόν ἐστι τοὐξαμαρτάνειν.
» Ἐπεὶ δ' ἁμάρτῃ κεῖνος, οὐκέτ' ἔστ' ἀνὴρ.
» Ἄβουλος, οὐδ' ἄνολβος, ὅστις ἐς κακὸν
» Πεσὼν ἀκεῖται, μηδ' ἀκίνητος πέλῃ.
α Αὐθαδία τοι, σκαιότητ' ὀφλισκάνει.
ἀλλ' εἶκε τῷ θανόντι. μηδ' ὀλωλότα
κέντει. τίς ἀλκὴ τὸν θανόντ' ἐπικτανεῖν;
» εὖ σοι φρονήσας, εὖ λέγω. Τὸ μανθάνειν
» δ' ἥδιστον εὖ λέγοντος, εἰ κέρδος λέγοι.
Κρέ. ὦ πρέσβυ, πάντες ὥστε τοξόται σκοποῦ
τοξεύετ' ἀνδρὸς τοῦδε, κοὐδὲ μαντικῆς
ἄπρακτος ὑμῖν εἰμι τῶν δ' ὑπαὶ γένους
ἐξημπόλημαι, κἀμπεφόρτισμαι πάλαι.

κερδαίνετ'. ἐμπολᾶτε τῶν πρὸς σάρδεων
ἤλεκτρον εἰ βούλεσθε, καὶ τὸν ἰνδικὸν
χρυσόν, τάφῳ δ' ἐκεῖνον οὐχὶ κρύψετε,
οὐδ' εἰ θέλουσ' οἱ Ζηνὸς αἰετοὶ βορὰν
φέρειν νιν ἁρπάζοντες ἐν Διὸς θρόνους,
οὐδ' ὣς μίασμα τοῦτο μὴ τρέσας ἐγὼ,
θάπτειν παρήσω κεῖνον. εὖ γὰρ οἶδ' ὅτι
„ Θεοὺς μιαίνειν, οὔτις ἀνθρώπων σθένει.
πίπτουσι δ' ὦ γεραιὲ Τειρεσία βροτῶν
χ' οἱ πολλὰ δεινοί, πτώματ' αἴσχρ' ὅταν λόγους
αἰσχροὺς καλῶς λέγωσι τοῦ κέρδους χάριν.
Τει φεῦ. ἆρ' οἶδεν ἀνθρώπων τίς; ἆρα φράζεται;
Κρέ τί χρῆμα; ποῖον τοῦτο πάγκοινον λέγεις;
Τει ὅσῳ κράτιστον κτημάτων εὐβουλία;
Κρέ ὅσῳ περ οἶμαι μὴ φρονεῖν, πλείστη βλάβη.
Τει ταύτης σὺ μέντοι τῆς νόσου πλήρης ἔφυς.
Κρέ οὐ βούλομαι τὸν μάντιν ἀντειπεῖν κακῶς.
Τει καὶ μὴν λέγεις, ψευδῆ με θεσπίζειν λέγων.
Κρέ τὸ μαντικὸν γὰρ πᾶν φιλάργυρον γένος.
Τει τὸ δ' ἐκ τυράννων, αἰσχροκέρδειαν φιλεῖ.
Κρέ ἆρ' οἶσθα ταγοὺς ὄντας ἂν λέγῃς λέγων;
Τει οἶδ'. ἐξ ἐμοῦ γὰρ τήνδ' ἔχεις σώσας πόλιν.
Κρέ σοφὸς σὺ μάντις, ἀλλὰ τἀδικεῖν φιλῶν.
Τει ὄρσεις με τ' ἀκίνητα διὰ φρενῶν φράσαι.
Κρέ κίνει, μόνον δὲ μὴ 'πὶ κέρδεσιν λέγων.
Τει οὕτω γὰρ ἤδη καὶ δοκῶ τὸ σὸν μέρος;
Κρέ ὡς μὴ 'μπολήσων ἴσθι τὴν ἐμὴν φρένα.
Τει ἀλλ' εὖ γέ τοι κάτισθι μὴ πολλοὺς ἔτι
τροχοὺς ἁμιλλητῆρας ἡλίου τελῶν,
ἐν οἷσι τῶν σῶν αὐτὸς ἐκ σπλάγχνων ἕνα
νέκυν νεκρῶν ἀμοιβὸν ἀντιδοὺς ἔσῃ.
ἀνθ' ὧν ἔχεις μὲν τῶν ἄνω βαλὼν κάτω,
ψυχήν τ' ἀτίμως ἐν τάφῳ κατῴκισας.
ἔχεις δὲ τῶν κάτωθεν ἐνθάδ' αὖ θεῶν
ἄμοιρον, ἀκτέριστον, ἀνόσιον νέκυν,
ὧν οὔτε σοῦ μέτεστιν, οὔτε τοῖς ἄνω
θεοῖσιν. ἀλλ' ἐκ σοῦ βιάζονται τάδε.

℃ Τὸν πρὸ σάρδεων ἤλεκτρον. σάρδις πόλις λυδίας, παρακειμένη τῷ χρυσοφόρῳ πακτωλῷ. ἀντὶ τοῦ εἴ τι βούλεσθε εἰς χρήματα νεῦον, δέχεσθε. τὸν γὰρ πολυνείκη οὐ θάψετε. ¶ Θεοὺς μιαίνειν οὔτις ἀνθρώπων σθένει. ἀμίαντον γὰρ τὸ θεῖον. ¶ Ποῖον τοῦτο πάγκοινον. τῷ βίῳ κοινόν. ἐπεὶ εἶπεν ἆρ' εἶδεν ἀνθρώπων τίς, καὶ καθόλου ἔλαβε πᾶσι κοινὸν καὶ φανερόν. ¶ Τῆς νόσου πλήρης ἔφυς. ἀντὶ τοῦ τῆς ἀβουλίας. ¶ Ἆρ' οἶσθα ταγοὺς ὄντας. οἶσθα φησὶ βασιλέας ὑβρίζων. ¶ Ὄρσεις με τ' ἀκίνητα. τὰ ἄρρητά με δημοσιεύειν ἀνακινεῖς. ¶ Οὕτω γὰρ ἤδη. οὕτω νομίζεις, ὅτι ἐπὶ κέρδεσι λέγω. ℃ Ὡς μὴ μπολήσων. μὴ ἐξαπατήσων.

℃ Μὴ πολλοὺς ἔτι τροχούς. μὴ πολλοὺς ἡλίου δρόμους τελέσων. ὅ ἐστιν ἡμέρας. ¶ Ἁμιλλητῆρας δέ, τοὺς ἀλλήλοις διαδεχομένους. τροχοὺς δέ, ἀντὶ τοῦ κύκλους. δρόμους. ℃ Τελῶν ἐστίν, ἀντὶ τοῦ τελέσων. ἴσθι φησὶν οὐ πολλοὺς δρόμους ἡλίου τελέσων. ℃ Ἔχεις βαλών. ἀντὶ τοῦ ἔβαλες. ¶ Ψυχήν τ' ἀτίμως. τὴν τῆς ἀντιγόνης.

¶ Ἀνόσιον. νῦν τὸν μὴ τυχόντα τῶν ὁσίων λέγει.

¶ Ὧν οὔτε σοὶ μέτεστιν. ἐξουσία δέδοται. λέγει δὲ τὸν νεκρόν, ἐκ σοῦ δὲ βιάζονται καὶ οἱ ἄνω θεοὶ ἔχειν αὐτὸν ἄνω ἄταφον.

Ὑστεροφθόροι. αἱ ὕστερον μέλλουσαι βλάψαι. ἢ αἱ λοχῶσαι γὰρ, τὴν οὐ παραχρῆμα, ἀλλὰ τὴν εἰς ὕστερον ἀποφθορὰν καὶ τιμωρίαν δηλοῖ. τὸ ἀρσενικὸν δὲ ἀντὶ τοῦ θηλυκοῦ ἔταξεν, ὡς τὸ, σωτῆρι τύχῃ.

Κατηργυρωμένος. ἀργυρίῳ πεπεισμένος. ¶ Φανεῖ. δείξει. ℭ Χρόνου τριβή. ἀντὶ τοῦ ἀναβολή.

Ἀνδρῶν γυναικῶν. λείπει ὁ καί. ἀνδρῶν, καὶ γυναικῶν. ¶ Ἐχθραὶ δὲ πᾶσαι. ἢ θηβαίοις ἐχθραί. ἢ τοῖς θεοῖς. αἱ πόλεις δέ φησιν ὧν ἄρχεις, ἐπαναστήσονταί σοι. ¶ Καθήγνισαν. μετ' ἄγους ἐκόμισαν.

Ἑστιοῦχον ἐς πόλιν. ἀντὶ τοῦ ὅλην τὴν ἑστίαν τῆς πόλεως. Ἑστιοῦχον δὲ, τὴν ἔχουσαν ἑστίαν, καὶ βωμούς.

Τοιαῦτά σου. λυπεῖς γάρ. τοιαῦτα κατὰ σοῦ καρδίας σου τοξεύματα ἀφῆκα μετὰ θυμοῦ. ἢ τὸ θυμῷ τῆς καρδίας σου. λείπει δὲ ἡ κατά. ¶ Τῶν σὺ θάλπος. τὴν θερμότητα. τὸν ἐμπρησμόν. τὸν ἰόν. θάλπος γὰρ τὸ καῦμα. ἐκ μεταφορᾶς δὲ τῶν ἑρπετῶν. ἐκεῖνα γὰρ θερμαινόμενα, τὸν ἰὸν ἀφίησι. διὸ καὶ ἐν θέρει μᾶλλον ἰσχύουσιν.

Ἐξ ὅτου λευκὴν ἐγὼ τήνδ' ἐκ μελαίνης. ἀντὶ ἀπὸ νεότητος ἄχρι γήρως. ¶ Λακεῖν. φθέγξασθαι.

Τό, τ' εἰκάθειν. τὸ μὲν ὑποχωρεῖν, δεινόν. τὸ δὲ ἀντιστάντα βλαβῆναι πάρεστι. ¶ Συντέμνουσι γάρ. συντόμως κατακόπτουσι καὶ βλάπτουσι. ¶ Οἴμοι. μόλις μὲν. μόγις μεθίσταμαι τῆς προτέρας γνώμης. ℭ Δυσμαχητέον.. πολιτεύει ὁ λόγος. Δρᾶ νῦν. ἀντὶ τοῦ δρᾶσον.

τούτων σε λωβητῆρες ὑστεροφθόροι
λοχῶσιν Ἅιδου καὶ θεῶν Ἐρινύες,
ἐν τοῖσιν αὐτοῖς τοῖσδε ληφθῆναι κακοῖς.
καὶ ταῦτ' ἄθρησον, εἰ κατηργυρωμένος
λέγω. φανεῖ γὰρ οὐ μακροῦ χρόνου τριβὴ,
ἀνδρῶν, γυναικῶν, σοῖς δόμοις κωκύματα.
ἐχθραὶ δὲ πᾶσαι συνταράσσονται πόλεις,
ὅσων σπαράγματ' ἢ κύνες καθήγνισαν,
ἢ θῆρες, ἤ τις πτηνὸς οἰωνὸς, φέρων
ἀνόσιον ὀσμὴν ἑστιοῦχον ἐς πόλιν.
τοιαῦτά σου, λυπεῖς γὰρ, ὥστε τοξότης
ἀφῆκα θυμῷ καρδίας τοξεύματα
βέβαια. τῶν, σὺ θάλπος οὐχ ὑπεκδραμῇ.
ὦ παῖ, σὺ δ' ἡμᾶς ἄπαγε πρὸς δόμους, ἵνα
τὸν θυμὸν οὗτος ἐς νεωτέρους ἀφῇ,
καὶ γνῷ τρέφειν τὴν γλῶσσαν ἡσυχωτέραν,
τὸν νοῦν τ' ἀμείνω τῶν φρενῶν, ἢ νῦν φέρει.
Χο ἀνὴρ ἄναξ βέβηκε δεινὰ θεσπίσας.
ἐπιστάμεσθα δ' ἐξότου λευκὴν ἐγὼ
τήνδ' ἐκ μελαίνης ἀμφιβάλλομαι τρίχα,
μὴ πώποτ' αὐτὸν ψεῦδος ἐς πόλιν λακεῖν.
Κρέ ἔγνωκα καὐτὸς, καὶ ταράσσομαι φρένας.
τό, τ' εἰκάθειν γὰρ δεινόν. ἀντιστάντα δὲ
ἄτῃ πατάξαι θυμὸν, ἐν δεινῷ πάρα.
Χο εὐβουλίας δεῖ παῖ Μενοικέως Κρέον. ὦ.
Κρέ τί δῆτα χρὴ δρᾶν, φράζε. πείσομαι δ' ἐγὼ.
Χο ἐλθὼν, κόρην μὲν ἐκ κατώρυχος στέγης
ἄνες. κτίσον δὲ τῷ προκειμένῳ τάφον.
Κρέ καὶ ταῦτ' ἐπαινεῖς, καὶ δοκεῖς παρεικάθειν;
Χο ὅσον γ' ἄναξ τάχιστα. συντέμνουσι γὰρ
θεῶν ποδώκεις τοὺς κακόφρονας βλάβαι.
Κρέ οἴμοι. μόλις μὲν, καρδίας δ' ἐξίσταμαι
τὸ δρᾶν. ἀνάγκῃ δ' οὐχὶ δυσμαχητέον.
Χο δρᾶ νῦν τάδ' ἐλθὼν, μηδ' ἐπ' ἄλλοισι τρέπε.
Κρέ ὧδ' ὡς ἔχω στείχοιμ' ἄν, οἵ τ' ὀπάονες,
οἵ τ' ὄντες, οἵ τ' ἀπόντες, ἀξίνας χεροῖν

Εἰς ἐπόψιον τόπον. φανερὸν διὰ τὸ ὕψος. φησὶ δὲ τὸν τάφον. ¶ Δόξα τῇδ' ἐπεστράφη. δοκήσει μετεστράφη. ℭ Δέδοικα γὰρ μή. δέδοικα γάρ φησι μὴ οὐκ ἔστι καλὸν τὸ νομοθετεῖν καινά. ἀλλ' ἄριστόν ἐστι τὸ πείθεσθαι τοῖς ἀρχαίοις νόμοις.

Πολυώνυμε. ὦ Διόνυσε. οἱ μὲν γὰρ βάκχον. οἱ δὲ ἴακχον. οἱ δὲ λύαιον. οἱ δὲ εὔιον. οἱ δὲ διθύραμβον αὐτὸν καλοῦσιν.

ὁρμᾶσθ' ἑλόντες, εἰς ἐπόψιον τόπον.
ἐγὼ δ' ἐπειδὴ δόξα τῇδ' ἐπεστράφη,
αὐτός τ' ἔδησα, καὶ παρὼν ἐκλύσομαι.
δέδοικα γὰρ μὴ τοὺς καθεστῶτας νόμους
ἄριστον ᾖ σώζοντα, τὸν βίον τελεῖν.

Χο. Πολυώνυμε Καδμείας
νύμφας ἄγαλμα, καὶ Διὸς
βαρυβρεμέτα γένος,
κλυτὰν ὃς ἀμφέπεις
Ἰταλίαν, μέδεις δὲ παγ-
κοίνου Ἐλευσινίας
Δηοῦς ἐν κόλποις
ὦ βακχεῦ, βακχᾶν μητρόπολιν Θήβαν
ναιῶν, παρ' ὑγρὸν Ἰσμηνοῦ
ῥέεθρον, ἀγρίου
τ' ἐπὶ σπορᾷ δράκοντος.
σὲ δ' ὑπὲρ διλόφου πέτρας
στέροψ ὄπωπε λιγνύς, ἔν-
θα Κωρύκιαι νύμφαι
στείχουσι βακχίδες,
Κασταλίας τε νᾶμα. καί
σε Νυσαίων ὀρέων
κισσήρεις ὄχθαι, χλωρά τ' ἀκτὰ
πολυστάφυλος πέμπει
ἀμβρότων ἐπέων εὐαζόντων
Θηβαΐας ἐπισκοποῦντ' ἀγυιάς.
τὰν ἐκ πασᾶν τιμᾷς
ὑπερτάταν πόλεων,

¶ Ἀμφέπεις Ἰταλίαν. διὰ τὸ πολυάμπελον τῆς χώρας. ¶ Παγκοίνου Ἐλευσινίας. ἐν οἷς πάντες συνάγονται διὰ τὰς πανηγύρεις. ἢ διὰ τὸ τὴν θεὸν πάντας δέχεσθαι. ἢ ὅτι κοινὰ τὰ μυστήρια Δήμητρος καὶ Διονύσου. ℭ Δηοῦς ἐν κόλποις. ἀντὶ τοῦ ἐν τοῖς πεδίοις.

¶ Ὦ βακχεῦ, βακχᾶν. τῶν βακχῶν βακχευτά. ¶ Μητρόπολιν. τὴν πόλιν τῆς μητρός σου. ¶ Ἀγρίου τ' ἐπὶ σπορᾷ δράκοντος. παρὰ τὸν τόπον, ἐν ᾧ ἐσπάρησαν οἱ ὀδόντες τοῦ δράκοντος. ¶ Σὲ δ' ὑπὲρ διλόφου πέτρας. τοῦ παρνασοῦ δηλονότι. δικόρυφον γάρ ἐστι τὸ ὄρος. ¶ Στέροψ. ἡ λαμπρά. Ὄπωπε λιγνύς. σὲ ὁρᾷ ὁ λαμπρὸς καπνός. ἀντὶ τοῦ, σοὶ θυσίαι κατὰ παρνασὸν γίγνονται. ἢ πρὸς ὃν αὐτόματον πῦρ ἐκεῖσε ἀναδίδοται. ¶ Κωρύκιαι. αἱ παρνασίδες. κωρύκιον γὰρ ἄντρον ἐν παρνασῷ. ℭ Κασταλίας τε νᾶμα. κασταλία, πηγὴ ἐν παρνασῷ. Νυσαίων ὀρέων. νύσα φωκίδος ὄρος. εἰσὶ δὲ καὶ ἄλλαι πολλαὶ νύσαι. ¶ Κισσήρεις. κισσοφόροι. ℭ Χλωρά τ' ἀκτά. ἢ τὸ ἐν εὐβοίᾳ φησὶν ἄλσος. ἢ τὸ ἐν παρνασῷ. ἐν ἀμφοτέροις γὰρ τοῖς τόποις ἡ ἄμπελος ἢ καθ' ἑκάστην ἡμέραν τὸ πρωῒ μὲν τὴν ἕω, βότρυας φέρει. περὶ δὲ τὴν μεσημβρίαν, ὄμφακας. ἐτρυγᾶτο δὲ πεπανθεῖσα περὶ τὴν ἑσπέραν. Εὐαζόντων. ὑμνούντων, μετὰ εὐφημίας εὐοῖ λεγόντων. ὅς ἐστιν ὕμνος Διονύσου.

Κεραυνίᾳ. κεραυνοβλήτῳ. ¶ Ἐπὶ νόσου μολεῖν. λείπει θέλησιν. ἢ ἀπαρέμφατον ἀντὶ προστακτικοῦ. ¶ Παρνησίαν ὑπὲρ κλιτύν. ἀντὶ τοῦ παρνησίας ὑπὸ κλιτύος. οἷον διὰ γῆς, ἢ δι' ὑγρᾶς. ¶ Ἢ στονόεντα πορθμόν. ἢ στονόεντος διὰ πορθμοῦ. καὶ ὁ ποιητής, Ὁδ' ἔστενον οἴδματι θύων. στονόεντα δὲ τὸν ἠχώδη διὰ τὰ κύματα. πορθμὸν δὲ ἔνιοι, τὸν ἀπ' εὐβοίας εἰς βοιωτίαν. οἱ δὲ, τὴν σικελικὴν θάλασσαν. ¶ Ἰὼ πῦρ πνεόντων χοραγέ. τῶν πυρπνόων ἄστρων ἐπίσκοπε. καὶ γὰρ αἰθέριος τιμᾶται, ὡς καὶ εὐριπίδης ἐν βάκχαις φησὶν αὐτὸν ἐν αἰθέρι κατοικεῖν. Ἄλλως. Χοραγέ. τὸν χορὸν ἄγων. ἢ τῶν ἄστρων χορηγέ. κατὰ γάρ τινα μυστικὸν λόγον, τῶν ἀστέρων ἐστὶ χορηγός. ¶ Καὶ νυχίων φθεγμάτων. τῶν ἐν νυκτὶ εὐφημιῶν, καὶ ὕμνων. ἐν νυκτὶ γὰρ αἱ διονυσιακαὶ χορεῖαι γίνονται, ὅθεν καὶ νυκτέλιος. καὶ εὐριπίδης, Νύκτωρ τὰ πολλά, σεμνότητ' ἔχει σκότος. ¶ Περιπόλοις. ταῖς ἱερείαις. ταῖς σαῖς ἀκολούθοις. Αγ καὶ ἐν νάξῳ γὰρ τιμᾶται, ὅτι ἐκεῖ τῇ ἀριάδνῃ συνεγένετο. ¶ Αἵ σε μαινόμεναι. λείπει ἡ περί, ἵν' ᾖ, αἵ τινες περὶ σέ. ¶ Οὐκ ἔσθ' ὁποῖον στάντα. ὁπωσδήποτε βεβιωκότα, εἴτε καλῶς εἴτε ἐναντίως. ¶ Καὶ τύχη καταρρέπει. ἐπιπίπτει. καταβάλλει. γράφεται δὲ καταρρέπειν, ὅ ἐστι ἐπιπίπτειν ποιεῖ. ¶ Ὡς ἐμοί ποτε. λείπει ἐδόκει. ¶ Καὶ νῦν ἀφεῖται πάντα. ἀπολέλυται. ἀπόλλυται.

μάξι σὺν κεραυνίᾳ.
καὶ νῦν ὡς βιαίας
ἔχεται πάνδημος πόλις
ἐπὶ νόσου μολεῖν
καθαρσίῳ ποδὶ Παρνησίαν
ὑπὲρ κλιτὺν, ἢ στονόεντα
πορθμόν.
ἰὼ πῦρ πνειόντων
χοραγὲ ἄστρων, καὶ νυχίων
φθεγμάτων ἐπίσκοπε
παῖ Διὸς γένεθλον,
προφάνηθι Ναξίαις
σαῖς ἅμα περιπόλοις
θυίαισιν, αἵ σε μαινόμεναι
πάννυχοι
χορεύουσι τὸν ταμίαν Ἴακχον.
Κάδμου πάροικοι, καὶ δόμων Ἀμφίονος,
οὐκ ἔσθ᾽ ὁποῖον στάντ᾽ ἂν ἀνθρώπου βίον
οὔτ᾽ αἰνέσαιμ᾽ ἂν, οὔτε μεμψαίμην ποτέ.
» Τύχη γὰρ ὀρθοῖ, καὶ τύχη καταρρέπει
» τὸν εὐτυχοῦντα, τόν τε δυστυχοῦντ᾽ ἀεί.
» Καὶ μάντις οὐδεὶς τῶν καθεστώτων βροτοῖς.
Κρέων γὰρ ἦν ζηλωτὸς ὡς ἐμοί ποτε,
σώσας μὲν ἐχθρῶν τήνδε καδμείαν χθόνα
λαβών τε χώρας παντελῆ μοναρχίαν,
εὔθυνε, θάλλων εὐγενεῖ τέκνων σπορᾷ.
» καὶ νῦν ἀφεῖται πάντα. Τὰς γὰρ ἡδονὰς,
» Ὅταν προδῶσιν, ἀνδρὸς οὐ τίθημ᾽ ἐγώ.
» Πλούτει τε γὰρ κατ᾽ οἶκον εἰ βούλει μέγα,

Ὅταν προδῶσιν. ἀπολέσωσιν.

Οὐ τίθημ᾽ ἐγώ. οὐ τίθημί φησιν ἐν τοῖς ζῶσι τὸν τοιοῦτον. οἷον, οὐ νομίζω ζῆν ἐκεῖνον τὸν ἄνδρα, ὃν ἂν προδῶσιν αἱ ἡδοναί. Ἄλλως. Ἀφεῖται πάντα. ἡ μεταφορὰ ἀπὸ τῶν παιζόντων τοῖς κύβοις, ἢ ἀπὸ τῶν ἁλιέων. βόλος γὰρ ἡ τοῦ δικτύου ἄφεσις.

» Καὶ ζῆ τύραννον σχῆμ' ἔχων. ἐὰν δ' ἀπῇ
» τούτων τὸ χαίρειν, τἄλλ' ἐγὼ καπνοῦ σκιᾶς
» οὐκ ἂν πριαίμην ἀνδρὶ πρὸς τὴν ἡδονήν.
Χο τί δ' αὖ τόδ' ἄχθος βασιλέων ἥκεις φέρων;
Αγ τεθνᾶσιν. οἱ δὲ ζῶντες, αἴτιοι θανεῖν.
Χο καὶ τίς φονεύει; τίς δ' ὁ κείμενος, λέγε.
Αγ Αἵμων ὄλωλεν, αὐτόχειρ δ' αἱμάσσεται.
Χο πότερα πατρῴας, ἢ πρὸς οἰκείας χερός;
Αγ αὐτὸς πρὸς αὑτοῦ πατρὶ μηνίσας φόνου.
Χο ὦ μάντι, τοὔπος ὡς ἄρ' ὀρθὸν ἤνυσας.
Αγ ὡς ὧδ' ἐχόντων, τἄλλα βουλεύειν πάρα.
Χο καὶ μὴν ὁρῶ τάλαιναν Εὐρυδίκην ὁμοῦ
δάμαρτα τὴν Κρέοντος. ἐκ δὲ δωμάτων
ἤτοι κλύουσαν παιδός, ἢ τύχῃ πάρα.
Εὐρ ὦ πάντες ἀστοί, τῶν λόγων γ' ἐπῃσθόμην
πρὸς ἔξοδον στείχουσα Παλλάδος θεᾶς,
ὅπως ἱκοίμην εὐγμάτων προσήγορος.
καὶ τυγχάνω τε κλῇθρ' ἀνασπαστοῦ πύλης
χαλῶσα. καί με φθόγγος οἰκείου κακοῦ
βάλλει δι' ὤτων. ὑπτία δὲ κλίνομαι,
δείσασα πρὸς δμωαῖσι, κἀποπλήσσομαι.
ἀλλ' ὅστις ἦν ὁ μῦθος, αὖθις εἴπατε.
κακῶν γὰρ οὐκ ἄπειρος οὖσ' ἀκούσομαι.
Αγ ἐγὼ φίλη δέσποινα, καὶ παρὼν ἐρῶ,
κοὐδὲν παρήσω τῆς ἀληθείας ἔπος.
τί γάρ σε μαλθάσσοιμ' ἄν, ὧν ἐς ὕστερον
,, ψεῦσται φανούμεθ'; ὀρθὸν ἡ ἀλήθει' ἀεί.
ἐγὼ δὲ σῷ ποδαγὸς ἑσπόμην πόσει
πεδίον ἐπ' ἄκρον. ἔνθ' ἔκειτο νηλεὲς
κυνοσπάρακτον σῶμα Πολυνείκους ἔτι.
καὶ τὸν μὲν, αἰτήσαντες Ἐνοδίαν θεὸν,
Πλούτωνά τ' ὀργὰς εὐμενεῖς κατασχεθεῖν,
λούσαντες ἁγνὸν λουτρὸν, ἐν νεοσπάσι
θαλλοῖς ὃ δὴ λέλειπτο, συγκατήθομεν.
καὶ τύμβον ὀρθόκρανον οἰκείας χθονὸς
χώσαντες, αὖθις πρὸς λιθόστρωτον κόρης
νυμφεῖον ᾅδου κοῖλον εἰσεβαίνομεν.
φωνῆς δ' ἄπωθεν ὀρθίων κωκυμάτων

¶ Καὶ ζῆ. ἀντὶ τοῦ ζῆθι, προστακτικῶς. ℂ Τἄλλ' ἐγὼ καπνοῦ σκιᾶς. τὰ ὑπόλοιπα οὐδ' ἂν ἀρκήσου τινὸς πριαίμην.
ℂ Οἱ δὲ ζῶντες αἴτιοι. κύριος δὲ τοῦ θανεῖν αἴτιοι ἐγένοντο οἱ ζῶντες. ℂ Πότερα πατρῴας. τοῦ χ. ὅτι ἐρωτᾷ πότερα πατρῴας, ἢ πρὸς οἰκείας χειρὸς ἀκούσας. ἤδη ὅτι αὐτόχειρ ἀπέθανεν. ¶ Τάλαιναν Εὐρυδίκην. ἡσίοδος ἡνιόχην αὐτὴν καλεῖ.
,, Ἵκετο δ' ἐς Κρέοντα καὶ Ἡνιόχην.
¶ Ὁμοῦ. ἐγγύς. ℂ Κλύουσα παιδός. λείπει ἡ περί. ἵν' ᾖ, περὶ τοῦ παιδός. ℂ Ἢ τύχῃ πάρα. ὅ ἐστιν ἐκ τύχης. ¶ Εὐγμάτων προσήγορος. δι' εὐχῶν προσαγορεύουσα. ¶ Ἀνασπαστοῦ. δυσχερῶς ἀνασπωμένης, ἢ ἀνοιγομένης. ℂ Ἀποπλήσσομαι. ἐκπλήττομαι. ℂ Παρήσω. παραλιμπάνω. ¶ Μαλθάσσοιμ' ἄν. ἀπατήσαιμι. ¶ Ἔνθ' ἔκειτο νηλεές. ἀντὶ τοῦ ἐλέους μὴ τυχόν.

ℂ Καὶ τὸν μέν. πρὸς τὸ ἑξῆς, ἢ τὸν μὲν λούσαντες. ¶ Ἐνοδίαν θεόν. τὴν Ἑκάτην, ἢ τὴν Περσεφόνην. ¶ Θαλλοῖς. ξύλοις.
ℂ Συγκατήθομεν. συγκατεκαίομεν. ¶ Ὀρθόκρανον. ὑψηλόν.
¶ Νυμφεῖον. τὸν νυμφῶνα.

κλύει τις ἀκτέριστον ἀμφὶ παστάδα.
καὶ δεσπότῃ Κρέοντι σημαίνει μολών.
τῷ δ' ἀθλίας ἄσημα περιβαίνει βοῆς
ἕρποντι μᾶλλον, ἆσσον οἰμώξας δ' ἔπος
ἵησι δυσθρήνητον. ὢ τάλας ἐγώ.
ἆρ' εἰμὶ μάντις; ἆρα δυστυχεστάτην
κέλευθον ἕρπω τῶν παρελθουσῶν ὁδῶν;
παιδός με σαίνει φθόγγος. ἀλλὰ πρόσπολοι
ἴτ' ἆσσον ὠκεῖς. καὶ παραστάντες τάφῳ,
ἀθρήσαθ' ἁρμὸν χώματος λιθοσπαδῆ,
δύντες πρὸς αὐτὸ στόμιον, εἰ τὸν Αἵμονος
φθόγγον συνίημ', ἢ θεοῖσι κλέπτομαι.
τάδ' ἐξ ἀθύμου δεσπότου κελεύσμασιν
ἠθροῦμεν. ἐν δὲ λοισθίῳ τυμβεύματι,
τὴν μὲν, κρεμαστὴν αὐχένος κατείδομεν,
βρόχῳ μιτώδει σινδόνος καθημμένην.
τὸν δ' ἀμφὶ μέσσῃ περιπετῆ προσκείμενον,
εὐνῆς ἀποιμώζοντα τῆς κάτω φθοράν,
καὶ πατρὸς ἔργα, καὶ τὸ δύστηνον λέχος.
ὁ δ' ὡς ὁρᾷ σφε, στυγνὸν οἰμώξας, ἔσω
χωρεῖ πρὸς αὐτὸν, κἀνακωκύσας, καλεῖ.
ὦ τλῆμον, οἷον ἔργον εἴργασαι; τίνα
νοῦν ἔσχες; ἐν τῷ, ξυμφορᾶς διεφθάρης;
ἔξελθε τέκνον ἱκέσιός σε λίσσομαι.
τὸν δ' ἀγρίοις ὄσσοισι παπτήνας ὁ παῖς,
πτύσας προσώπῳ, κοὐδὲν ἀντειπὼν, ξίφους
ἕλκει διπλοῦς κνώδοντας. ἐκ δ' ὁρμωμένου
πατρὸς φυγαῖσιν, ἤμπλακ'. εἶθ' ὁ δύσμορος
αὑτῷ χολωθεὶς, ὥσπερ εἶχ' ἐπενταθεὶς,
ἤρεισε πλευραῖς μέσσον ἔγχος. ἐς δ' ὑγρὸν
ἀγκῶν', ἔτ' ἔμφρων παρθένῳ προσπτύσσεται,
καὶ φυσιῶν, ὀξεῖαν ἐκβάλλει πνοὴν
λευκῇ παρειᾷ φοινίου σταλάγματος.
κεῖται δὲ νεκρὸς περὶ νεκρῷ, τὰ νυμφικὰ
τέλη λαχὼν δείλαιος εἰν ᾅδου δόμοις,
δείξας ἐν ἀνθρώποισι τὴν ἀβουλίαν,

Ἀκτέριστον. τὸν κακοκτέριστον περὶ Ἀντιγόνης τόπον. ἢ τὸν μὴ δεξάμενον ἐντάφια. ¶ Ἄσημα περιβαίνει βοῆς. τὰ κακὰ σύμβολα περὶ βοῆς περιστοιχίζεται. ¶ Ἴτ' ἆσσον. προσέλθετε δηλονότι.

Ἁρμὸν χώματος. τὴν ἐκ λίθων ἁρμονίαν τοῦ τάφου. ἢ τὸ ὑψηλὸν μέρος τοῦ χώματος τὸ ἡρμοσμένον λίθοις. ¶ Λιθοσπαδῆ. ὡς λίθου ἀποσπασθέντος ὅπως εἰσέλθῃ ὁ Αἵμων. ἢ ὑμεῖς ἀποσπάσαντες ἀθρήσατε. ¶ Ἢ θεοῖσι κλέπτομαι. ἢ ἀπατῶμαι ὑπὸ τῶν θεῶν. ¶ Ἠθροῦμεν. ἐθεωροῦμεν.

Βρόχῳ μιτώδει. μιτώδη βρόχον λέγει, ὅστις ἦν αὐτῇ ζώνη ἀπὸ σινδόνος. ¶ Καθημμένην. τὴν ἐκ τραχήλου δεδεμένην. ¶ Πτύσας προσώπῳ. οἷον ἀποστραφεὶς καὶ σκυθρωπάσας, καὶ ἐκ τοῦ προσώπου καταμεμψάμενος. οὐ κυρίως προσπτύσας τῷ πατρί. ὡς καὶ ἡμεῖς ἐν τῇ συνηθείᾳ φαμέν. κατέπτυσεν αὐτοῦ. ὅ ἐστι καταπεφρόνησε τῶν λόγων αὐτοῦ. οὐχ εἷλκε δὲ τὸ ξίφος κατὰ τοῦ πατρὸς ὥσπερ ᾤετο. εἶπε γὰρ ἄνω, ἥδ' οὖν θανεῖται. καὶ θανοῦσ' ὀλεῖ τινά. ὁ ἄγγελος δὲ οὕτω νομίζων ἀπαγγέλλει. ¶ Διπλοῦς κνώδοντας. ἀντὶ τοῦ διπλᾶς ἀκμάς. ἀμφήκες γὰρ τὸ ξίφος. κνώδων δέ, τὸ ὀξὺ τοῦ ξίφους, παρὰ τὸ καίνειν τοῖς ὀδοῦσι.

Μέσσον ἔγχος. τὸ ἔγχος οἱ τραγικοὶ καὶ ἐπὶ ξίφους λαμβάνουσι.

Φοινίου σταλάγματος. τὴν πνοὴν τοῦ φοινίου σταλάγματος ἐκβάλλει τῇ λευκῇ αὐτῆς παρειᾷ. ὅ ἐστιν, αἷμα ἐξέπνευσε. Τέλη λαχών.

ὅσῳ μέγιστον ἀνδρὶ πρόσκειται κακόν.

Χο τί τοῦτ᾽ ἂν εἰκάσειας; ἡ γυνὴ πάλιν
φρούδη, πρὶν εἰπεῖν ἐσθλὸν ἢ κακὸν λόγον.

Αγ καὐτὸς τεθάμβηκ᾽. ἐλπίσιν δὲ βόσκομαι,
ἄχη τέκνου κλύουσαν, ἐς πόλιν γόους
οὐκ ἀξιώσειν. ἀλλ᾽ ὑπὸ στέγης ἔσω
δμωαῖς προθήσειν πένθος οἰκεῖον στένειν.
γνώμης γὰρ οὐκ ἄπειρος, ὥσθ᾽ ἁμαρτάνειν.

Χο οὐκ οἶδ᾽. ἐμοὶ δ᾽ οὖν ἥ τ᾽ ἄγαν σιγὴ, βαρὺ
δοκεῖ προσεῖναι, χ᾽ ἡ μάτην πολλὴ βοή.

Αγ ἀλλ᾽ εἰσόμεσθα μή τι καὶ κατάσχετον
κρυφῇ καλύπτει καρδίᾳ θυμουμένῃ,
δόμους παραστείχοντες. εὖ γὰρ οὖν λέγεις.
καὶ τῆς ἄγαν γάρ ἐστί που σιγῆς βάρος.

Χο καὶ μὴν ὅδ᾽ ἄναξ αὐτὸς ἐφήκει
μνῆμ᾽ ἐπίσημον διὰ χειρὸς ἔχων.
εἰ θέμις εἰπεῖν, οὐκ ἀλλοτρίαν
ἄτην, ἀλλ᾽ αὐτὸς ἁμαρτών.

Κρέ ἰὼ φρενῶν δυσφρόνων,
ἁμαρτήματα στερεά,
θανατόεντ᾽. ὦ κτανόντας τε καὶ
θανόντας βλέποντες
ἐμφυλίους.
ἰώ μοι ἐμῶν ἄνολβα
βουλευμάτων.
ἰὼ παῖ. νέος νέῳ ξὺμ μόρῳ.
αἶ, αἶ, αἶ,
ἔθανες, ἀπελύθης
ἐμαῖς, οὐδὲ σαῖσι δυσβουλίαις,

Χο οἴμ᾽ ὡς ἔοικας ὀψὲ τὴν δίκην ἰδεῖν.

Κρέ ἔχω μαθὼν δείλαιος. ἐν δ᾽ ἐμῷ κάρᾳ
θεὸς τότ᾽ ἄρα τότε μέγα
βάρος μ᾽ ἔχων,
ἔπαισεν. ἐν δ᾽ ἔσεισεν ἀγρίαις ὁδοῖς.
οἴμοι λεωπάτητον ἀντρέπων χαράν.
φεῦ, φεῦ.
ἰὼ πόνοι βροτῶν δύσπονοι.

Οἰ ὦ δέσποθ᾽ ὡς ἔχων τε καὶ κεκτημένος

ἣν λαχών. τοὺς γὰρ γαμοῦντας τελείους ἐκάλουν. ¶ Ἐλπίσι δὲ βόσκομαι. νομίζω αὐτὴν μὴ βούλεσθαι δημοσίᾳ θρηνεῖν, ἀλλ᾽ ἐν τῷ οἰκήματι μετὰ τῶν θεραπαινίδων. ¶ Γνώμης γὰρ οὐκ ἄπειρος. οὐκ ἀνόητός φησιν ὑπάρχει, ὥστε δημοσίᾳ ὀδύρεσθαι. ¶ Ἁμαρτάνειν δὲ λέγει νῦν τὸ ἐμφανῶς θρηνεῖν. ἀλλ᾽ εἰσόμεθα. ἀλλ᾽ ἔσω ἀπελθόντες μαθησόμεθα, μή τι καὶ μανιῶδες βουλεύεται, ἀνελεῖν ἑαυτὴν πειρωμένη. ¶ Ἐφήκει. ἀντὶ τοῦ ἥκει. ¶ Μνῆμα τὸν νεκρόν. οὐκ ἀλλοτρίαν ἄτην. οὐ δι᾽ ἄλλου ἀποθανόντα. οὐκ ὑπ᾽ ἄλλου νεκρωθέντα. ¶ Θανατόεντα. θανάτου ἄξια. ἢ θανάτου αἴτια. ¶ Ἄνολβα. ἀνωφελῆ. νέος νέῳ ξυμμόρῳ. νέᾳ ἡλικίᾳ καὶ καινοπρεπεῖ θανάτῳ τετελεύτηκας.

¶ Δίκην ἰδεῖν. γράφεται ἔχειν. ¶ Ἀγρίαις ὁδοῖς. ἀγρίαις ὁρμαῖς. ¶ Λεωπάτητον. τὴν μεθ᾽ ὕβρεως ἀπωθουμένην. ἢ τὴν μεγάλως καταπατουμένην. ¶ Ἀνξέπων χαράν. τὴν χαρὰν λὰξ πατήσας. ¶ Τὰ μὲν πρὸ χειρῶν. ὡς τοῦ Κρέοντος τὸν παῖδα βαστάζοντος.

Παμμήτωρ. ἡ κατὰ πάντα μήτηρ. ἐμφαντικῶς δὲ εἶπεν, ὅτι καὶ μέχρι θανάτου μήτηρ ἐστοίχησεν, μὴ ἑλομένη ζῆν μετὰ τὸν τοῦ παιδὸς θάνατον. ¶ Κακάγγελτα. κακὴν ἀπαγγελίαν ἔχοντα.

Ἐπεξειργάσω. ἐπέσφαξας. ¶ Σφάγιον γυναικεῖον. τὸν ἀπὸ σφαγῆς διὰ γυναικὸς μόρον. ¶ Ἐπ' ὀλέθρῳ. τοῦ Αἵμονος. ℂ Οὐ γὰρ ἐν μυχοῖς ἔτι. ἐγκέκλεισται ἡ γυνή.

Τὰ δ' ἐναντία. γράφεται, τόνδ' ἔναντα. ¶ Ὀξύθηκτος. ὀξεῖαν λαβοῦσα πληγήν. ℂ Ἡ δὲ βωμία πέριξ. ὡς ἱερεῖον περὶ τὸν βωμὸν ἐσφάγη προπετής. ¶ Λύει κελαινά. ἀπόλλυται. ℂ Τοῦ πρὶν θανόντος Μεγαρέως. ὡς αὐτοῦ προγαμηθείσης μετὰ ἑτέρου τινὶ πρὸ τοῦ Κρέοντος. οἱ δέ φασι τοῦ Μενοικέως τοῦ ἀποσφάξαντος ἑαυτόν. πρότερον γὰρ Μεγαρεὺς ἐκαλεῖτο. ἐν δὲ τῷ Τυράννῳ οἶδε τοῦτο, καὶ αὐτὸς Μενοικέα αὐτὸν καλεῖ. Ἐφυμνήσασα. καταρασαμένη σοι ὡς παιδοκτόνῳ. ℂ Ἀνέπταν φόβῳ. ἐπτοήθην, ἐταράχθην. Ἀνταίαν. γράφεται καιρίαν. ¶ Τῶνδε κἀκείνων. τοῦ τὴν γυναῖκα καὶ τὸν υἱὸν ἀποθανεῖν.

Ἐπεσκήπτου. κακῶς ἐλέγου. τελευτώσης αὐτῆς ἐνομίζου. ἐπεγράφου. ¶ Ποίῳ δέ. τίνι τρόπῳ φησὶν ἐλύθη καὶ ἐφέρετο εἰς φονάς. ἀντὶ τοῦ, ποίῳ τρόπῳ εἰς φόνον ἔπεσε. ¶ Τάδ' οὐκ ἐπ' ἄλλον. οὐδεὶς ἀνθρώπων ταῦτα ὑπ' ἄλλου ἀπὸ τῆς ἐμῆς αἰτίας μεθαρμόσει. ὁ λόγος, τοῦ σοῦ φόνου. ἢ οὐδεὶς ἂν

τὰ μὲν, πρὸ χειρῶν. τὰ δὲ, φέρων. τάδ' ἐν (δόμοις
ἔοικας ἥκειν, καὶ τάχ' ὄψεσθαι κακά.

Κρέ. τί δ' ἔστιν κάκιον, ἢ κακῶν ἔτι;

Οἰ. γυνὴ τέθνηκε τοῦδε παμμήτωρ νεκροῦ,
δύστηνος ἄρτι νεοτόμοισι πλήγμασιν.

Χο. ἰὼ, ἰὼ, δυσκάθαρ-
τος ἅδου λιμὴν, τί μ' ἄρα τί μ' ὀλέκεις;
ἰὼ κακάγγελτά μοι
προπέμψας ἄχη, τίνα θροεῖς λόγον;
αἶ, αἶ. ὀλωλότ' ἄνδρ' ἐπεξειργάσω.
τί φὴς ὦ παῖ; τίνα λέγεις μοι νέον λόγον.
αἶ, αἶ, αἶ.
σφάγιον ἐπ' ὀλέθρῳ,
γυναικεῖον ἀμφικεῖσθαι μόρον.

Αγ. ὁρᾶν πάρεστιν. οὐ γὰρ ἐν μυχοῖς ἔτι.

Κρέ. οἴμοι.
κακὸν τόδ' ἄλλο δεύτερον βλέπω τάλας.
τίς ἄρα τίς με πότμος ἔτι περιμένει;
ἔχω μὲν ἐν χείρεσσιν ἀρτίως τέκνον,
τάλας. τόνδ' ἐναντία προσβλέπων νεκρόν.
φεῦ, φεῦ, μᾶτερ ἀθλία. φεῦ τέκνον.

Χο ἢ ἀγ. ἡ δ' ὀξύθηκτος, ἥδε βωμία πέριξ,
λύει κελαινὰ βλέφαρα. κωκύσασα μὲν
τοῦ πρὶν θανόντος Μεγαρέως κλεινὸν λέχος,
αὖθις δὲ τοῦδε, λοίσθιον δέ σοι κακὰς
πράξεις ἐφυμνήσασα τῷ παιδοκτόνῳ.

Κρέ. αἶ, αἶ, αἶ, αἶ.
ἀνέπταν φόβῳ.
τί μ' οὐκ ἀνταίαν
ἔπαισέ τις ἀμφιθήκτῳ ξίφει
δείλαιος ἐγὼ, φεῦ, φεῦ.
δειλαίᾳ δὲ συγκέκραμαι δύᾳ.

Αγ. ὡς αἰτίαν γε τῶνδε κἀκείνων ἔχων
πρὸς τῆς θανούσης τῆσδ' ἐπεσκήπτου μόρῳ.

Κρέ. ποίῳ δὲ κἀπελύσατ' ἐν φοναῖς τρόπῳ;

Αγ. παίσασ' ὑφ' ἧπαρ αὐτόχειρ αὑτὴν, ὅπως
παιδὸς τόδ' ᾔσθετ' ὀξυκώκυτον πάθος.

Κρέ. ὤμοι μοι, τάδ' οὐκ ἐπ' ἄλλον βροτῶν

ἐμᾶς ἁρμόσει ποτ' ἐξ αἰτίας.
ἐγὼ γάρ σ' ἐγὼ ἔκτανον. ὦ μέλεος.
ἐγὼ φάμ' ἔτυμον. ἰὼ πρόσπολοι,
ἄπετέ μ' ὅτι τάχος, ἄπετέ μ' ἐκποδὼν
τὸν οὐκ ὄντα μᾶλλον ἢ μηδένα.
Χο κέρδη παραινεῖς, εἴ τι κέρδος ἐμ κακοῖς.
βράχιστα γὰρ κράτιστα τἀν ποσὶν κακά.
Κρέ ἴτω, ἴτω.
φανήτω μόρων ὁ κάλλιστ' ἐμῶν
ἐμοὶ τερμίαν ἄγων ἡμέραν
ὕπατος. ἴτω, ἴτω.
ὅπως μηκέτ' ἆμαρ ἄλλ' εἰσίδω.
Αγ μέλλοντα ταῦτα. τῶν προκειμένων τι χρὴ
πράσσειν; μέλει γὰρ τῶνδ', ὅτοισι χρὴ μέλειν.
Κρέ ἀλλ' ὧν ἐρῶ μέν, ταῦτα συγκατηυξάμην.
Αγ μὴ νῦν προσεύχου μηδέν, ὡς πεπρωμένης
οὐκ ἔστι θνητοῖς συμφορᾶς ἀπαλλαγή.
Κρέ ἄγοιτ' ἂν μάταιον ἄνδρ' ἐκ ποδών.
ὅς ὦ παῖ, σέ τ' οὐχ ἑκὼν κατέκτανον,
ὅς σέ τ' αὐτάν, ὤ μοι μέλεος, οὐδ' ἔχω
ὅπα πρὸς πότερον ἴδω, πᾷ καὶ θῶ.
πάντα γὰρ
λέχρια τἀν χεροῖν, τὰ δ' ἐπὶ κρατί μοι
πότμος δυσκόμιστος εἰσήλατο.
Χο Πολλῷ τὸ φρονεῖν εὐδαιμονίας
» Πρῶτον ὑπάρχει. χρὴ δὲ τά γ' εἰς θεοὺς
» Μηδὲν ἀσεπτεῖν, μεγάλοι δὲ λόγοι,
» Μεγάλας πληγὰς τῶν ὑπεραύχων
» Ἀποτίσαντες,
» Γήρᾳ τὸ φρονεῖν ἐδίδαξαν.

εἰ γὰρ ἕτερον τῶν ἀνθρώπων αἴτιον, ἀλλ' ἐμέ. ¶ Τὸν οὐκ ὄντα. τὸν οὐκ ὄντα ὅλως, μᾶλλον δὲ μηδένα. ¶ Κέρδη παραινεῖς, εἴ τι κέρδος ἐν κακοῖς. κέρδος μεταφωνεῖς τὸν θάνατον. παρὰ τούτου γὰρ τὰ κράτιστα κακὰ ἀπαλλάσσεται, καὶ βράχιστα γίνεται. τουτέστι, ἐλάχιστα γίνεται. ἐν ἄλλοις δὲ οὕτω. τὰ μικρὰ τῶν κακῶν λυσιτελέστερά ἐστιν ὡς ἂν κακά. ἢ οὕτως. τὰ ἐν ποσὶ κακὰ ἂν ἐλάχιστα ᾖ, κράτιστά ἐστιν. ἢ οὕτως. βραχέα γὰρ τὰ κακά, ἐὰν τις ἀναχωρῇ. ἢ τὰ μικρὰ τῶν κακῶν, λυσιτελέστερά ἐστι. τὸ γὰρ ταχέως φεύγειν τὰ ἐν ποσὶ κακά, κράτιστόν ἐστι. ℂ Φανήτω μόρων. ὁ ἐμὸς θάνατος μείζων τούτων τῶν κακῶν. ¶ Τερμίαν, τὴν τελευτῆς παρασκευαστικήν. τέρμα γὰρ τὸ τέλος. ¶ Μέλλοντα ταῦτα. δεύτερα. ¶ Ὅτοισι χρή. τοῖς θεοῖς. ¶ Ἀλλ' ὧν ἐρῶ. ὧν βούλομαι τυχεῖν, ταῦτα ηὐξάμην. ℂ Πάντα γὰρ λέχρια. ἤγουν, πλάγια καὶ πεπτωκότα. τὰ μὲν ἐν χερσί, τὰ δὲ ἐπὶ τῇ κεφαλῇ. ¶ Δυσκόμιστος. ἀφόρητος. ℂ Πολλῷ τὸ φρονεῖν. τὸ καλῶς φρονεῖν, πρῶτόν ἐστιν εὐδαιμονίας, καὶ τοῖς ἀνθρώποις ἐξοχώτερον. ¶ Μεγάλοι δὲ λόγοι. αἱ μεγαλορρημοσύναι τῶν ὑπερηφάνων τιμωρίας μεγίστας τοῖς κεκτημένοις ἐπάγουσι, τελευταῖον διδάσκουσι τὸ φρονεῖν. καὶ ὁ ποιητής, ῥεχθὲν δέ τε νήπιος ἔγνω. Ἰστέον δὲ ὅτι διαφέρει τῆς Εὐριπίδου Ἀντιγόνης αὕτη, ὅτι φωραθεῖσα ἐκείνη, διὰ τὸν Αἵμονος ἔρωτα ἐξεδόθη πρὸς γάμον. ἐνταῦθα δὲ τοὐναντίον.

Τέλος τοῦ Σοφοκλέους Ἀντιγόνης.

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΕΠΙ ΚΟΛΩΝΩ ΟΙΔΙΠΟΔΟΣ.

Ὁ ἐπὶ Κολωνῷ Οἰδίπους, συνημμένος πώς ἐστι τῷ Τυράννῳ. ἐκ γὰρ τῆς πατρίδος ἐκπεσὼν Οἰδίπους ἤδη γηραιὸς ὤν, ἀφικνεῖται εἰς Ἀθήνας, ὑπὸ τῆς θυγατρὸς Ἀντιγόνης χειραγωγούμενος. ἦσαν γὰρ τῶν ἀρσένων περὶ τὸν πατέρα φιλοστοργότεραι. ἀφικνεῖται δὲ εἰς Ἀθήνας κατὰ τὸ πυθόχρηστον, ὡς αὐτός φησι, χρησθὲν αὐτῷ παρὰ ταῖς σεμναῖς καλουμέναις θεαῖς μεταλλάξαι τὸν βίον. τότε μὲν οὖν ἔρχονται, καὶ διαλέγονται πρὸς αὐτόν. ἔπειτα δὲ Ἰσμήνη παραγενομένη, τὰ κατὰ τὴν στάσιν ἀπαγγέλλει τῶν παίδων, καὶ τὴν γενομένην ἄφιξιν τοῦ Κρέοντος πρὸς αὐτόν. ὃς καὶ παραγενόμενος ἐπὶ τῷ ἀπαγαγεῖν αὐτὸν εἰς πατρίδα, ἄπρακτος ἀπαλλάττεται. ὁ δὲ πρὸς τὸν Θησέα ἐλθὼν τὸν χρησμὸν, οὕτω τὸν βίον καταστρέφει παρὰ ταῖς θεαῖς. τὸ δὲ δρᾶμα, τῶν θαυμαστῶν. ὃ καὶ ἤδη γεγηρακὼς ὁ Σοφοκλῆς ἐποίησε, χαριζόμενος οὐ μόνον τῇ πατρίδι, ἀλλὰ καὶ τῷ ἑαυτοῦ δήμῳ. ἦν γὰρ Κολωνόθεν. ὥστε τὸν μὲν δῆμον ἐπίσημον ἀποδεῖξαι, χαρίσασθαι δὲ καὶ τὰ μέγιστα τοῖς Ἀθηναίοις δι' ὧν ἀπόρθητοι ἔσεσθαι, καὶ τῶν ἐχθρῶν αὐτοὺς κρατήσειν ὑποτίθεται ὁ Οἰδίπους, προαναφωνῶν ὅτι διαστασιάσουσι πρὸς Θηβαίους ποτέ. καὶ τούτων κρατήσουσιν ἐκ χρησμῶν διὰ τὸν αὐτοῦ τάφον.

### ΑΛΛΩΣ.

Τὰ πραχθέντα περὶ τὸν Οἰδίπουν, ἴσμεν ἅπαντα τὰ ἐν τῷ ἑτέρῳ Οἰδίποδι. πεπηρωμένος γὰρ, ἀφίκται εἰς τὴν Ἀττικὴν, ὁδηγούμενος ἐκ μιᾶς τῶν θυγατέρων Ἀντιγόνης. καὶ ἔστιν ἐν τῷ τεμένει τῶν σεμνῶν Ἐριννύων, ὅ ἐστιν ἐν τῷ καλουμένῳ Ἱππείῳ Κολωνῷ, οὕτω κληθέντι, ἐπεὶ καὶ Ποσειδῶνός ἐστιν ἱερὸν ἱππείου, καὶ Προμηθέως, καὶ αὐτοῦ οἱ ὀρεωκόμοι ἵστανται. ἔστι γὰρ αὐτῷ πυθόχρηστον, ἐνταῦθα δεῖν αὐτὸν ταφῆς τυχεῖν. οὗ μή ἐστιν ἑτέρῳ βέβηλος τόπος, αὐτόθι κάθηται. καὶ κατὰ μικρὸν αὐτῷ τὰ τῆς ὑποθέσεως προέρχεται. ὁρᾷ γάρ τις αὐτὸν τῶν ἐντεῦθεν, καὶ πορεύεται ἀγγελῶν, ὅτι τις παρὰ τῷ χωρίῳ τούτῳ προσκάθηται. καὶ ἔρχονται οἱ ἐν τῷ τόπῳ ἐν χοροῦ σχήματι, μαθησόμενοι τὰ πάντα. πρῶτος οὖν ἐστι καταλύων τὴν ὁδοιπορείαν, καὶ τῇ θυγατρὶ διαλεγόμενος. ἄφατος δέ ἐστι καθόλου ἡ οἰκονομία ἐν δράματι, ὡς οὐδενὶ ἄλλῳ σχεδόν. Ἡ σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν τῇ Ἀττικῇ ἐν τῷ Ἱππείῳ, πρὸς τῷ ναῷ τῶν σεμνῶν. ὁ δὲ χορὸς συνέστηκεν ἐξ Ἀθηναίων ἀνδρῶν.

Τὰ τοῦ δράματος πρόσωπα.

| | |
|---|---|
| Οἰδίπους | Ἰσμήνη. |
| Ἀντιγόνη | Θησεύς. |
| Ξένος ἀλήτης | Κρέων. |
| Χορὸς Ἀττικῶν γερόντων. | Πολυνείκης. |
| | Ἄγγελος. |

Προλογίζει δὲ ὁ Οἰδίπους.

# ΣΟΦΟΚΛΕΟΥΣ

## ΟΙΔΙΠΟΥΣ ΕΠΙ ΚΟΛΩΝΩ.

Τέκνον τυφλοῦ γέροντος Ἀντιγόνη, τίνας χώρους ἀφίγμεθ', ἢ τίνων ἀνδρῶν πόλιν; Οἰδίπους εἰς ἀθήνας πλανώμενος, ἐρωτᾷ τὴν θυγατέρα Ἀντιγόνην. ¶ Τίς οὖν πλανήτην Οἰδίπουν. ἔστι μὲν γὰρ ἀφ' ἑτέρας ἀρχῆς λαμβάνοντα λέγειν οὕτω, τίς οὖν πλανήτην Οἰδίπουν λέξεται. ἢ τίς ἡμᾶς σήμερον ὑπολέξεται. δύναται δὲ καὶ τοῖς ἄνω συνάπτεσθαι. τοῦ τίς μὴ προσωπικῶς κειμένου, ἀλλ' ἀντὶ τοῦ ἄρθρου. ὥστε τὴν πόλιν συντετάχθαι, καὶ οὖν λόγον ἔχειν οὕτως. τίνας χώρους ἀφίγμεθα, ἢ τίνων ἀνδρῶν πόλιν, ἣ οὖν πλανήτην Οἰδίπουν λέξεται; ὅτι δὲ τὸ τὶς ἀντὶ ἄρθρου χρῶνται, Καλλίμαχός φησιν οὕτως, Υπὲρ ἅλα κεῖνος ἐνάσθη ἀλκάθοόν τις ἀπ' ὀστέου. ἠθικώτερον δὲ τὸ πρῶτον.

Τέκνον τυφλοῦ γέροντος Ἀντιγόνη, τίνας
χώρους ἀφίγμεθ', ἢ τίνων ἀνδρῶν πόλιν;
τίς τὸν πλανήτην Οἰδίπουν καθ' ἡμέραν
τὴν νῦν, σπανιστοῖς δέξεται δωρήμασι,
σμικρὸν μὲν ἐξαιτοῦντα, τοῦ μικροῦ δ' ἔτι
μεῖον φέροντα; καὶ τόδ' ἐξαρκοῦν ἐμοί.
» Στέργειν γὰρ αἱ πάθαι με χὡ χρόνος ξυνὼν
» Μακρὸς διδάσκει, καὶ τὸ γενναῖον τρίτον.
ἀλλ' ὦ τέκνον, θάκοισιν εἴ τινα βλέπεις
ἢ πρὸς βεβήλοις, ἢ πρὸς ἄλσεσιν θεῶν,
στῆσόν με, κἀξίδρυσον, ὡς πυθοίμεθα
ὅπου ποτ' ἐσμέν. μανθάνειν γὰρ ἥκομεν

¶ Σπανιστοῖς. εὐτελέσι. τοῖς κατὰ σπάνιν τῶν αὐτῶν διδομένοις. ¶ Μεῖον φέροντα. βραχύτερον ἀποφερόμενον τοῦ αἰτηθέντος. οὐ γὰρ ὅσα αἰτεῖ τις λαμβάνει. ¶ Καὶ τόδ' ἐξαρκοῦν. ὅμως γοῦν, τούτοις ἀρκούμενος. ¶ Στέργειν γὰρ αἱ πάθαι με. ταῦτά με στέργειν τὰ δυστυχήματα ὁ πολὺς πεποίηκε χρόνος, καὶ οὖν τῶν συμφορῶν πλῆθος, καὶ οὖν τῆς ἀνδρείας πλεονέκτημα. πάθαι δὲ αἱ συμφοραί. ἀπὸ κοινοῦ δὲ τὸ διδάσκει, ἀντὶ τοῦ, ἤθισμαι τῷ πολλῷ χρόνῳ, καὶ μεμελέτηκα τῆς τύχης τὰ δύσκολα. ¶ Θάκοισι. καθέδραις. ¶ Ἢ πρὸς βεβήλοις. βατοῖς. βέβηλος δὲ τόπος ὁ ἀκάθαρτος καὶ βατὸς πᾶσι. καὶ βέβηλος ἀνὴρ ὁ μιαρός. Εὐριπίδης Πρωτεσιλάῳ, Οὐ δὲ θέμις βεβήλοις ἅπτεσθαι δόμων. καὶ Ἀείδω ξυνετοῖσι. θύρας δ' ἐπίθεσθε βέβηλοι. βεβήλοις οὖν, τοῖς πᾶσι βασίμοις τόποις. μὴ δὲ ἀνειμένοις θεοῖς. ἐκ μεταφορᾶς δὲ βεβήλους καὶ τοὺς ἀμυήτους φασὶ καὶ ἀκαθάρτους. Σοφοκλῆς δὲ ἐν Συνδείπνῳ, βέβηλον οὖν ἰδιώτην φησί.
Στῆσόν με. στῆσόν με ἐκ τῆς ὁδοιπορείας, καὶ μαθησόμεθα. ¶ Μανθάνειν γὰρ ἥκομεν. εἰς τὸ τοιοῦτό φησιν ἐληλύθαμεν ἅτε ξένοι ὄντες, παρὰ τῶν ἀστῶν μανθάνειν τί

ἐστὶ πρακτέον ἡμῖν. ¶ Πάτερ ταλαίπωρ' Οἰδίπους. οὐκ ἐμπρέπον ἦν βουλομένην τὸν πατέρα, ταλαίπωρον ἀποκαλεῖν, ἀλλὰ τοῦ πάθους πρὸς ἴσωσιν τὸ μέγεθος. πάρεστιν δὲ οἱ ἄλλοι τὸ παθεῖν φασι. καὶ ἀντίμαχος, πᾶρος τί γ' ἀλόχοισι καὶ οἷς τεκέεσιν ἕκαστος. παρὰ τοῦτο τὸν ταλαίπωρος ἐτυμολογεῖται. ¶ Ὡς ἀπ' ὀμμάτων πρόσω. γράφεται ὡς ἀνομμάτῳ. ὅ ἐστιν, ὡς τυφλῷ σημῆναι, πρόσω εἰσίν. ὡς ἄν τις πρόσω ἀφορῶν τεκμήραιτο. ὡς ἂν τις τὰ ὄμματα πόῤῥω ἔχων, ὡς ἀπεικάσαι, ὥς ἐστιν ἐκ προόψεως τεκμήρασθαι. Πυκνόπτεροι δ' εἴσω. οἷον, κατὰ τὸν χῶρον. ἐκράτυνσε δὲ μεγάλως τῇ φράσει, ὥστε μέλισσαν αὐτὸν ἐκάλεσαν οἱ κωμικοί. Εὐστομοῦσιν. εὐφθογγοῦσιν, εὐφώνως ᾄδουσιν. ¶ Ἐπ' ἀξέστου πέτρου. γράφεται πάγου, τοῦ λιθίνου βάθρου. ¶ Προὐστάλης ὁδόν. προῆλθες μακροτέραν ὁδόν. ἢ ὡς ἥρμοζε γέροντι. ¶ Χρόνου μὲν οὕνεκα. ἀντὶ τοῦ, δεδίδαγμαι τοῦ χρόνου τὸ φυλάττειν σε ὁδηγοῦσα. συνήθες ἦν τὸ πρᾶγμα. Εἰς τὸ αὐτό· τοῦ μὲν χρόνου οὕνεκα σύνειμί σοι χάριν, οὐ χρεία μαθεῖν, ὅτι τυφλὸς εἶ, καὶ ὅτι δεῖ σε προμηθείας τυχεῖν. ¶ Πᾶς γάρ τις ηὔδα. τὸ ηὔδα; ὅτι αὗται εἰσὶν Ἀθῆναι. Ἐμπόρων. ἀντὶ τοῦ ὁδοιπόρων. διὸ τὸ χ. ¶ Τὰς γοῦν Ἀθήνας οἶδα. ὅτι ἐν τῇ Ἀττικῇ ἐσμὲν οἶδα. τίς δὲ ἐστιν οὗτος ὁ δῆμος ἀγνοῶ. ¶ Ἦ μάθω. ἐπερωτήσει ὁ λόγος. βούλει μάθω τίς ὁ πρὸ τοῦ ἄστεος τόπος. ¶ Ἐξοικήσιμος. ἀντὶ τοῦ ἐνοικήσιμος. ¶ Οἴομαι δὲ δεῖν οὐδέν. οὐ δεῖν τοῦ προελθοῦσαν ἐρωτῆσαί με. ἰδοὺ γὰρ ἀνὴρ πάρεστι, παρ' οὗ εἰσόμεθα. διὸ οὐκέτι δεῖν ἔοικε προϊοῦσαν μανθάνειν περὶ τοῦ τόπου. καλῶς δὲ τὰ τῆς οἰκονομίας, ἵνα μὴ μόνος ὁ Οἰδίπους ἀπολειφθῇ. ¶ Ἦ δεῦρο. κατ' ἐρώτησιν. ¶ Χὤ, τι σοι λέγειν. καὶ ὅπερ σοι λέγειν εὔκαιρον νομίζεις, λέγε, ἀκούσεται γάρ. ¶ Τῆς ὑπέρ τ' ἐμοῦ. τουτέστιν, ὑπὲρ ἀμφοῖν ὁρώσης. Οὕνεχ' ἡμῖν αἴσιος. ὅτι αἴσιος ἡμῖν σκοπὸς ἀφῖξαι, ὥστε φράσαι περὶ ὧν ἀγνοοῦμεν. ἢ ὥστε φράσαι ἡμῖν ἃ

ξένοι πρὸς ἀστῶν ἂν ἀκούσωμεν, τελεῖν.
Αν. πάτερ ταλαίπωρ' Οἰδίπους, πύργοι μὲν οἳ
πόλιν στέφουσιν, ὡς ἀπ' ὀμμάτων πρόσω.
χῶρος δ' ὅδ' ἱρός, ὡς σάφ' εἰκάσαι, βρύων
δάφνης, ἐλαίας, ἀμπέλου. πυκνόπτεροι
δ' εἴσω κατ' αὐτὸν εὐστομοῦσ' ἀηδόνες.
οὗ κῶλα κάμψον τοῦδ' ἐπ' ἀξέστου πέτρου.
μακρὰν γὰρ ὡς γέροντι προὐστάλης ὁδόν.
Οἰ. κάθιζέ νύν με, καὶ φύλασσε τὸν τυφλόν.
Αν. χρόνου μὲν οὕνεκ', οὐ μαθεῖν με δεῖ τόδε.
Οἰ. ἔχεις διδάξαι δή μ' ὅποι καθέσταμεν;
Αν. τὰς γοῦν Ἀθήνας, οἶδα. τὸν δὲ χῶρον, οὔ.
πᾶς γάρ τις ηὔδα τοῦτο ἡμῖν ἐμπόρων.
ἀλλ' ὅστις ὁ τόπος, ἦ μάθω μολοῦσά ποι;
Οἰ. ναὶ τέκνον, εἴπερ ἐστί γ' ἐξοικήσιμος.
Αν. ἀλλ' ἐστὶ μὴν οἰκητός. οἴομαι δὲ δεῖν
οὐδέν. πέλας γὰρ ἄνδρα τόνδε νῷν ὁρῶ.
Οἰ. ἦ δεῦρο προστείχοντα, κἀξορμώμενον;
Αν. καὶ δὴ μὲν οὖν παρόντα, χὤ, τι σοι λέγειν
εὔκαιρόν ἐστιν, ἔννεφ' ὡς ἀνὴρ ὅδε.
Οἰ. ὦ ξεῖν', ἀκούων τῆσδε τῆς ὑπέρ τ' ἐμοῦ
αὑτῆς θ' ὁρώσης, οὕνεχ' ἡμῖν αἴσιος

σοὶ λεξόμενα. ¶ Πρὶν νῦν τὰ πλείονα. ἀπόστηθι πρότερον τῶν ἀβάτων, καὶ τότε ἐρώτα. ¶ Χῶρον οὐχ ἁγνόν. οἷον, σοὶ οὐχ ἁγνόν. εἰ μὴ μόνοις ἱερεῦσιν. ἢ οἷον, οὐκ ἀνειμένον, ἢ βατόν. ¶ Ἄθικτος, οὐδ' οἰκητός. φύλαρχός φησι δύο αὐτὰς εἶναι, τά τε ἀθήνησιν ἀγάλματα δύο. πολέμων δὲ τρεῖς αὐτάς φησι. ¶ Τὰς πάνθ' ὁρώσας εὐμενίδας. ἐπιμενίδης κρόνου φησὶ τὰς εὐμενίδας, ἐκ τοῦ καλλικόμου γένοιτο χρυσῆ ἀφροδίτη, Μοῖραί τ' ἀθάνατοι καὶ ἐριννύες αἰολόδωροι. Ἴστρος δὲ ἐν τῇ τετάρτῃ, μητέρα τῶν εὐμενίδων εὐωνύμην ἀναγράφει, ἣν νομίζεσθαι γῆν. ἔνιοι δὲ μεταβαλεῖν αὐτῶν φασι τὸ ὄνομα τὸν Ὀρέστην. τότε γὰρ πρῶτον εὐμενίδας κληθῆναι εὐμενεῖς αὐτῷ γινομένας, κριθέντα νικῆσαι παρ' ἀθηναίοις. καὶ ὁλοκαυτῶσαι αὐταῖς οἶν μέλαιναν ἐν καρνείᾳ τῆς πελοποννησίας. Φιλήμων δὲ ὁ κωμικὸς, ἑτέρας φησὶ τὰς σεμνὰς θεὰς τῶν εὐμενίδων. ¶ Εἴποι λεώς νιν. ἀντὶ τοῦ αὐτάς, διὸ τὸ χ. Ἄλλα δ' ἀλλαχοῦ καλά. παρ' ὅσον ἄλλοι ἄλλοις ὀνόμασι καλοῦσιν αὐτάς. ἄλλα ὀνόματα παρ' ἄλλοις καλὰ νομίζονται, παρ' ἡμῖν δὲ, ταῦτα, τὸ ὀνομάζειν αὐτὰς εὐμενίδας. ¶ Ἀλλ' ἵλεως μέν. ἵλεῳ μοι αἱ εὐμενίδες, ἐγὼ γὰρ οὐκ ἀναστήσομαι ἐντεῦθεν.

σκοπὸς προσήκεις, τῶν ἀδηλοῦμεν φράσαι.

Ξέ. πρὶν νῦν τὰ πλείον' ἱστορεῖν, ἐκ τῆσδ' ἕδρας
ἔξελθ', ἔχεις γὰρ χῶρον οὐχ ἁγνὸν πατεῖν.

Οἰ. τίς δ' ἔσθ' ὁ χῶρος; τοῦ θεῶν νομίζεται;

Ξέ. ἄθικτος, οὐδ' οἰκητός. αἱ γὰρ ἔμφοβοι
θεαί σφ' ἔχουσι γῆς τε καὶ σκότου κόραι.

Οἰ. τίνων τὸ σεμνὸν ὄνομ' ἂν εὐξαίμην κλύων;

Ξέ. τὰς πάνθ' ὁρώσας εὐμενίδας ὅ γ' ἐνθάδ' ὢν
εἴποι λεώς νιν. ἄλλα δ' ἀλλαχοῦ καλά.

Οἰ. ἀλλ' ἵλεως μὲν τόνδ' ἱκέτην δεξαίατο,
ὡς οὐχ ἕδρας γῆς τῆσδ' ἂν ἐξέλθοιμ' ἔτι.

Ξέ. τί δ' ἐστὶ τοῦτο; Οἰ. ξυμφορᾶς ξύνθημ' ἐμῆς.

Ξέ. ἀλλ' οὐδ' ἐμοί τοι τοὐξανιστάναι πόλεως
δίχ' ἐστὶ θάρσος, πρίν γ' ἂν ἐνδείξω τί δρῶ.

Οἰ. πρὸς νῦν θεῶν ὦ ξεῖνε, μή μ' ἀτιμάσῃς
τοιόνδ' ἀλήτην, ὧν σε προστρέπω φράσαι.

Ξέ. σήμαινε, κοὐκ ἄτιμος ἔκ γ' ἐμοῦ φανεῖ.

Οἰ. τίς δ' ἔσθ' ὁ χῶρος δῆτ', ἐν ᾧ βεβήκαμεν;

Ξέ. ὅσ' οἶδα κἀγὼ, πάντ' ἐπιστήσῃ κλύων.
χῶρος μὲν ἱερὸς πᾶς ὅδ' ἔστ'. ἔχει δέ νιν
σεμνὸς Ποσειδῶν. ἐν δ' ὁ πυρφόρος θεὸς
Τιτὰν Προμηθεύς. ὃν δ' ἐπιστείβεις τόπον,

Τί δ' ἐστὶ τοῦτο. ἀντὶ τοῦ διατί οὐκ ἀνίστασαι. Ξυμφορᾶς ξύνθημα. σύμβολόν μοι τῆς συμφορᾶς, τὸ καταντῆσαί με εἰς ἐριννύων ἱερόν. ¶ Πρίν γ' ἂν ἐνδείξω. ἕως οὗ τῇ πόλει ἐνδείξω τί χρὴ ποιεῖν. Προστρέπω. ἱκετεύω. ¶ Ὁ πυρφόρος θεός. ὁ ἥφαιστος. Τιτὰν προμηθεύς. παρὰ τὸ τὸν προμηθέα περὶ ἀκαδημίαν καὶ τὸν κολωνὸν ἱδρῦσθαι. ἀπολλόδωρος γράφει οὕτως, συντιμᾶται δὲ καὶ ἐν ἀκαδημίᾳ τῇ ἀθηνᾷ, καθάπερ ὁ ἥφαιστος. καὶ ἔστιν αὐτῷ παλαιὸν ἵδρυμα. καὶ ναὸς ἐν τῷ τέλει τῆς θεοῦ δείκνυται. καὶ βάσις ἀρχαία κατὰ τὴν εἴσοδον, ἐν ᾗ τοῦ τε προμηθέως ἐστὶ τύπος καὶ τοῦ ἡφαίστου. πεποίηται δὲ ὡς καὶ λυσιμαχίδης φησὶν, ὁ μὲν προμηθεὺς πρῶτος καὶ πρεσβύτερος, ἐν δεξιᾷ σκῆπτρον ἔχων. ὁ δὲ ἥφαιστος, νέος καὶ δεύτερος. καὶ βωμὸς ἀμφοῖν κοινός ἐστιν ἐν τῇ βάσει ἀποτετυπωμένος.

BIBLIOTECA DE LA FACULTAD DE LETRAS DE GRANADA

Χαλκόπους ὀδός. ὡς οὕτω τινὸς καλουμένου τόπου ἐν τῷ ἱερῷ χαλκόποδος ὀδοῦ. φησὶ δὲ Ἀπολλόδωρος δι' αὐτοῦ κατάβασιν εἶναι εἰς ᾅδου. καὶ Ἴστρος δὲ μνημονεύει τῆς χαλκῆς ὀδοῦ. καὶ Ἀστυδάμας. καί τις τῶν χρησμολόγων φησὶ, Βοιωτοὶ δ' ἵπποιο ποτιστείχουσι Κολωνόν. Ἔνθα λίθος τρικάρανος ἔχει καὶ χάλκεος οὐδός. τὸ ἑξῆς. ὃν δ' ἐπιστείβεις τόπον, χθονὸς τῆσδε καλεῖται χαλκόπους ὀδός. οὕτω δὲ ἐκαλεῖτο, διὰ τὸ εἶναι μέταλλα χαλκοῦ ἐν τῷ Κολωνῷ.

Οἱ δὲ πλησίοι γύαι. γράφεται, αἱ δὲ πλησίον γύαι. ¶ Τὸ τοῦδε κοινόν. τὸ τοῦ Κολωνοῦ ὄνομα κοινὸν φέρουσι πάντες, ὠνομασμένοι Κολωνιᾶται δηλονότι. ¶ Ἀλλὰ τῇ ξυνουσίᾳ. τῷ ἔργῳ καὶ τῇ πείρᾳ πλέον τι τιμώμενα, οὐ τοῖς λόγοις. ¶ Ἐπώνυμοι. Κολωνιᾶται καλούμενοι. ¶ Ἢ 'πὶ τῷ πλήθει λόγος. ἢ ἐν τῷ πλήθει ἐστὶν ἡ ἰσχύς, τουτέστι, δημοκρατοῦνται. ¶ Ἢ καταρτύσων μόλοι. παρασκευάσων. εὐτρεπίσων. Ὅμηρος, Ἠρτύναντο δ' ἐρετμά. καὶ Κλυταιμνήστρα δόλον ἤρτυε. τὸ δὲ ἑξῆς, ὡς τί πρὸς λέξων αὐτῷ μόλοι τίς, ἢ πρὸς τί εὐτρεπίσων αὐτὸν μολεῖν. ¶ Ὡς ἂν προσαρκῶν. τὰ αὐτὰ αὖθις ἐρεῖ. ὅτι ἐπ' ἐπωφελείᾳ αὐτοῦ γίνεται τῶν δεχομένων αὐτὸν καὶ θαπτόντων. ἡ βλάβη δὲ τῶν ἀποπεμψάντων. ¶ Τοῦ δαίμονος. τῆς τύχης. ¶ Αὐτοῦ. αὐτόθι.

Ὦ πότνι' ὦ δεινῶπες. τὸ ἐντελὲς ὦ πότνιαι. ὁ δὲ νοῦς, οὕτως, ἐπειδὴ ἦλθον πρὸς ὑμᾶς, μὴ ἐναντιωθῆτέ μοι καὶ τῷ χρήσαντί με Ἀπόλλωνι. Εὖτε νῦν. ὅτε, ἐπειδή. Ἀγνώμονες. ἐναντιογνώμονες, ἀσύγγνωστοι.

χθονὸς καλεῖται τῆσδε χαλκόπους ὀδός,
ἔρεισμ' Ἀθηνῶν. οἱ δὲ πλησίοι γύαι,
τὸν δ' Ἱππότην Κολωνὸν εὔχονται σφίσιν
ἀρχηγὸν εἶναι. καὶ φέρουσι τοὔνομα
τὸ τοῦδε κοινὸν πάντες ὠνομασμένοι.
τοιαῦτά σοι ταῦτ' ἐστὶν ὦ ξέν', οὐ λόγοις
τιμώμεν', ἀλλὰ τῇ ξυνουσίᾳ πλέον.

Οἰ. ἦ γάρ τινες ναίουσι τούσδε τοὺς τόπους;
Ξέ. καὶ κάρτα τοῦδε τοῦ θεοῦ γ' ἐπώνυμοι.
Οἰ. ἄρχει τις αὐτῶν, ἢ 'πὶ τῷ πλήθει λόγος;
Ξέ. ἐκ τοῦ κατ' ἄστυ βασιλέως τάδ' ἄρχεται.
Οἰ. οὗτος δὲ τίς λόγῳ τε καὶ σθένει κρατεῖ;
Ξέ. Θησεὺς καλεῖται, τοῦ πρὶν Αἰγέως τόκος.
Οἰ. ἆρ' ἄν τις αὐτῷ πομπὸς ἐξ ὑμῶν μόλοι;
Ξέ. ὡς πρὸς τί λέξων, ἢ καταρτύσων μολεῖν;
Οἰ. ὡς ἂν προσαρκῶν σμικρὰ, κερδάνῃ μέγα.
Ξέ. καὶ τίς πρὸς ἀνδρὸς μὴ βλέποντος ἄρκεσις;
Οἰ. ὅσ' ἂν λέγωμεν, πάνθ' ὁρῶντα λέξομεν.
Ξέ. οἶσθ' ὦ ξέν' ὡς νῦν μὴ σφαλῇς; ἐπείπερ εἶ
γενναῖος, ὡς ἰδόντι, πλὴν τοῦ δαίμονος,
αὐτοῦ μέν', οὗπερ κἀφάνης, ἕως ἐγὼ
τοῖς ἐνθάδ' αὐτοῦ, μὴ κατ' ἄστυ, δημόταις
λέξω τάδ' ἐλθών. οἵδε γὰρ κρινοῦσί σοι,
εἰ χρή σε μίμνειν, ἢ πορεύεσθαι πάλιν.
Οἰ. ὦ τέκνον, ἦ βέβηκεν ἡμὶν ὁ ξένος;
Αν. βέβηκεν, ὥστε πᾶν ἐν ἡσύχῳ πάτερ
ἔξεστι φωνεῖν, ὡς ἐμοῦ μόνης πέλας.
Οἰ. ὦ πότνι', ὦ δεινῶπες, εὖτε νῦν ἕδρας
πρώτων ἐφ' ὑμῶν τῆσδε γῆς ἔκαμψ' ἐγώ,
Φοίβῳ τε κἀμοὶ μὴ γένησθ' ἀγνώμονες.
ὅς μοι τὰ πόλλ' ἐκεῖν' ὅτ' ἐξέχρη κακά,
ταύτην ἔλεξε παῦλαν ἐν χρόνῳ μακρῷ

ΧΩΡΑΝ τερμίαν. τερμίαν αὐτοῦ, εἱμαρμένην, ἐφ᾽ ἧς ἔμελλε τὸ τέλος τοῦ βίου ἀνύσειν. ¶ Καὶ ξενόστασιν. γράφεται καὶ κατάστασιν. ℂ Ἐνταῦθα κάμψειν. εἰσί τε οἵ φασι τὸ μνῆμα τοῦ Οἰδίποδος ἐν ἱερῷ Δήμητρος εἶναι ἐν Ἐτεωνῷ μεταγαγόντων αὐτὸν ἐκ Κεοῦ τινος ἀσήμου χωρίου. καθάπερ ἱστορεῖν φησιν Ἀρίζηλον Λυσίμαχος ὁ Ἀλεξανδρεὺς ἐν τῷ τρισκαιδεκάτῳ τῶν Θηβαϊκῶν γράφων οὕτως, Οἰδίπου δὲ τελευτήσαντος, καὶ τῶν φίλων ἐν Θήβαις θάπτειν αὐτὸν διανοουμένων, ἐκώλυον οἱ Θηβαῖοι διὰ τὰς προγεγενημένας συμφορὰς, ὡς ὄντος ἀσεβοῦς, οἱ δὲ κομίσαντες αὐτὸν εἴς τινα τόπον τῆς Βοιωτίας καλούμενον Κεὸν ἔθαψαν αὐτόν. γινομένων δὲ τοῖς ἐν τῇ κώμῃ κατοικοῦσιν ἀτυχημάτων τινῶν, οἰηθέντες αἰτίαν εἶναι τὴν Οἰδίπου ταφὴν, ἐκέλευον τοὺς φίλους ἀναιρεῖν αὐτὸν ἐκ τῆς χώρας. οἱ δὲ ἀπορούμενοι τοῖς συμβαίνουσιν, ἀνελόντες ἐκόμισαν εἰς Ἐτεωνόν. βουλόμενοι δὲ λάθρα τὴν ταφὴν ποιήσασθαι, καταθάπτουσι νυκτὸς ἐν ἱερῷ Δήμητρος ἀγνοήσαντες τὸν τόπον. καταφανοῦς δὲ γενομένου, πέμψαντες οἱ τὸν Ἐτεωνὸν κατοικοῦντες, τὸν θεὸν ἐπηρώτων τί ποιῶσιν. ὁ δὲ θεὸς εἶπε, μὴ κινεῖν τὸν ἱκέτην τῆς θεοῦ. διόπερ αὐτοῦ τέθαπται. τὸ δὲ ἱερὸν Οἰδιπόδειον κληθῆναι. ¶ Κέρδη μὲν οἰκήσαντα. ὁ ποιητὴς χαριζόμενος τοῖς Ἀθηναίοις τοῦτό φησιν. ἐδόκουν γὰρ τότε Βοιωτοὶ καὶ Ἀθηναῖοι πρὸς ἀλλήλους διαφέρεσθαι. ℂ Ἢ σεισμὸν, ἢ βροντήν. ταῦτα γὰρ περὶ τέλους τοῦ δράματος γίνονται.

ἐλθόντι χώραν τερμίαν, ὅπου θεῶν
σεμνῶν ἕδραν λάβοιμι, καὶ ξενόστασιν,
ἐνταῦθα κάμψειν τὸν ταλαίπωρον βίον,
κέρδη μὲν οἰκήσαντα τοῖς δεδεγμένοις,
ἄτην δὲ τοῖς πέμψασιν, οἵ μ᾽ ἀπήλασαν.
σημεῖα δ᾽ ἥξειν τῶνδέ μοι παρεγγυᾷ,
ἢ σεισμὸν, ἢ βροντήν τιν᾽, ἢ Διὸς σέλας.
ἔγνωκα μὲν νῦν ὥς με τήνδε τὴν ὁδὸν
οὐκ ἔσθ᾽ ὅπως οὐ πιστὸν ἐξ ὑμῶν πτερὸν
ἐξήγαγ᾽ εἰς τόδ᾽ ἄλσος. οὐ γὰρ ἄν ποτε
πρώταισιν ὑμῖν ἀντέκυρσ᾽ ὁδοιπορῶν,
νήφων ἀοίνοις κἀπὶ σεμνὸν ἑζόμην

¶ Οὐκ ἔσθ᾽ ὅπως οὐ πιστόν. οἷον, κατὰ διάνοιάν φησιν ἐξ ὑμῶν τῶν θεῶν εἰς τοῦτον τὸν τόπον ἀφῖγμαι. Πτερόν. οἰωνόν. τὴν πτέρωσιν τῆς διανοίας. ¶ Οὐ γάρ ἄν ποτε. οὐ γάρ ποτε φησὶ τῶν ἄλλων ὁδοιπορῶν πρώτοις ὑμῖν ἂν τετυχὸν εἰ μὴ βούλεσθε. ¶ Νήφων ἀοίνοις. οὐ γὰρ σπένδεται οἶνος αὐταῖς, ἀλλ᾽ ὕδωρ, καὶ νηφάλιαι καλοῦνται αἱ σπονδαί. Πολέμων δὲ ἐν τῷ πρὸς Τίμαιον, καὶ ἄλλοις τισὶ θεοῖς νηφαλίους φησὶ θυσίας γίνεσθαι αὐτοῦ, γράφων οὕτως, Ἀθηναῖοί τε γὰρ ἐν τοῖς τοιούτοις ἐπιμελεῖς ὄντες, καὶ τὰ πρὸς θεοὺς ὅσιοι, νηφάλια μὲν ἱερὰ θύουσι μνημοσύνῃ, μούσαις, ἠοῖ, ἡλίῳ, σελήνῃ, νύμφαις, ἀφροδίτῃ οὐρανίᾳ. Φιλόχορος δὲ καὶ περὶ τινῶν ἄλλων εἰσάγων τὸν αὐτὸν τρόπον δρωμένων φησὶν ἐν τῇ δευτέρᾳ τῆς Ἀτθίδος, Διονύσῳ τε, καὶ ταῖς Ἐρεχθέως θυγατράσι. καὶ οὐ μόνον θυσίας νηφαλίους, ἀλλὰ καὶ ξύλα τινὰ, ἐφ᾽ ὧν ἔκαιον. Κράτης μὲν οὖν ὁ Ἀθηναῖος, τὰ μὴ ἀμπέλινα τῶν ξύλων πάντα νηφάλιά φησι προσαγορεύεσθαι. ὁ δὲ Φιλόχορος ἀκριβέστερόν φησι, τὰ μήτε ἀμπέλινα, μήτε σύκινα, ἀλλὰ τὰ ἀπὸ τῶν θύμων νηφάλιά φη

σικαλεῖσθαι. ἢ πρώτη φησὶν ὕλη πρὸς τὰς ἐμπύρους θυσίας ταύτῃ κέχρηται, παρὸ καὶ τοὔνομα λαβεῖν τὸν θύμον, ὡς παρὰ τὴν θυμίασιν, ἢ τὴν θυὴν περικειμένης τῆς φωνῆς. εἰσὶ δέ τινες τὸ παράπαν ἄσπονδοι θυσίαι κατὰ τύχην εἰς ἔθος παρελθοῦσαι. ¶ Κἀπὶ σεμνὸν ἑζόμην. ὁ ἄνω εἶπε τὸ δ' ἐπ' ἀξέστου πέτρου. Ἀσκέπαρνον. ἄγλυφον, καὶ ἀπελέκητον. καὶ ἄξυστον, οὐκ εἰργασμένον. ¶ Πέρασιν ἤδη. πέρασιν ἀντὶ τοῦ πέρας, ὅ ἐστι τελευτήν. τὸ γὰρ ἑξῆς, βίου πέρασιν. ¶ Εἰ μὴ δοκῶ τι μειόνως. εἰ μὴ δοκῶ ὑμῖν ἐλαττόνως ἔχειν τὰ κακά, ἢ δεῖσθαι προσθήκης κακῶν. ¶ Ἴτ' ὦ γλυκεῖαι. εὐφήμως τὰς ἐριννύας γλυκείας φησίν, ἵνα μὴ πικραὶ αὐτῷ γένωνται. ¶ Σῖγα πορεύονται. τὴν εἴσοδον τοῦ χοροῦ, εὐαφόρμως θέλει ποιήσασθαι. ¶ Σιγήσομαί τε. ἵνα μὴ πρὸς τούτους ὁ λόγος παράπαν θανομένους γένηται. ἀλλὰ τηρηθῇ ἐπὶ τῷ παραγινομένῳ. ¶ Τίνας λόγους ἐροῦσι. δεῖ νοεῖν ὅτι ἐκρύβη εἰς τὸ ἄλσος. ¶ Ἐν γὰρ τῷ μαθεῖν. ἐν τῷ προμαθεῖν, ἔννοια ἢ σκέψις γίνεται. οὐ γὰρ τὸν φόβον φησίν. Ὅρα τίς ἄρ' ἦν. ὁ χορὸς ἐκ τῶν ἐπιχωρίων ἀνδρῶν πεπυσμένος ὅτι προσκαθέζεταί τις τῷ ἱερῷ τόπῳ τούτῳ, τὰ πρῶτα ὑπερχαλεπαίνοντές φασι, τίς ἄρα ἐστίν. ἢ ποῦ διατρίβει. Ἐκτόπιος συθείς. ἀπὸ ξένου τόπου ὁρμήσας. ¶ Ὁ πάντων ἀκορέστατος. παρ' ὅσον οὐδεὶς αὐτῷ τῶν ἄλλων ἤρκεσε τόπων. ἀλλὰ καὶ εἰς τοῦτον ἦλθεν ἀφόβως. οἷον, ὁ μηδενὶ τῶν ἄλλων τόπων ἀρκεσθείς, ἀλλ' ἐπὶ τοῦτον ἥκων ἀπληρώτως, ὅς τοσούτου τόπου παρακειμένου, εἰς τὸν ἄβατον ὥρμησεν. Οὐδ' ἐγχώριος. πάντων φησὶ ξένος ἐστίν, ἀγνοῶν. οὐ γὰρ ἂν ἐπέβαινεν εἰ ᾔδει. Ἀστιβές. ἄβατον. ἀπροσπέλαστον. ¶ Ἀμαιμακέταν. ἀκαταμαχήτων. ἢ ἀπροσπελάστων. Καὶ παραμειβόμεθ' ἀδέρκτως. οὐ προσβλέποντες, ἀλλ' ἢ καταμύοντες, ἢ κόπτοντες.

βάθρον τόδ' ἀσκέπαρνον. ἀλλά μοι θεαί,  
βίου κατ' ὀμφὰς τὰς Ἀπόλλωνος δότε  
πέρασιν ἤδη, καὶ καταστροφήν τινα,  
εἰ μὴ δοκῶ τι μειόνως ἔχειν ἀεὶ  
μόχθοις λατρεύων τοῖς ὑπερτάτοις βροτῶν.  
ἴτ' ὦ γλυκεῖαι παῖδες ἀρχαίου σκότου.  
ἴτ' ὦ μεγίστης Παλλάδος καλούμεναι  
πασῶν, Ἀθῆναι τιμιωτάτη πόλις.  
οἰκτείρατ' ἀνδρὸς Οἰδίπου τόδ' ἄθλιον  
εἴδωλον. οὐ γὰρ δὴ τό γ' ἀρχαῖον δέμας.  
Αν. σίγα. πορεύονται γὰρ οἵδε δή τινες  
χρόνῳ παλαιοί, σῆς ἕδρας ἐπίσκοποι.  
Οἰ. σιγήσομαί τε. καὶ σύ μ' ἐξ ὁδοῦ πόδα  
κρύψον κατ' ἄλσος, τῶνδ' ἕως ἐκμάθω  
» τίνας λόγους ἐροῦσιν. ἐν γὰρ τῷ μαθεῖν  
» ἔνεστιν ηὐλάβεια τῶν ποιουμένων.  
Χο. ὅρα, τίς ἄρ' ἦν; ποῦ ναίει; ποῦ κυρεῖ,  
ἐκτόπιος συθεὶς ὁ πάντων  
ὁ πάντων ἀκορέστατος;  
λεύσατ' αὐτόν. προσδέρκου,  
προσφθέγγου πανταχῆ.  
πλανάτας  
πλανάτας τις ὁ πρέσβυς, οὐδ'  
ἔγχωρος. προσέβα γὰρ οὐκ  
ἄν ποτ' ἀστιβὲς ἄλσος ἐς  
τᾶν δ' ἀμαιμακετᾶν κορᾶν,  
ἃς τρέμομεν λέγειν, τρέμομεν  
καὶ παραμειβόμεσθ'  
ἀδέρκτως.

Α φώνως, ἀλόγως. περιιόντες φησὶ ταύτας τὰς θεὰς, οὐδένα λόγον ποιούμεθα. ἀλλὰ σιωπὴν ἔχομεν. ἐν ἑαυτοῖς δὲ μόνον καὶ κατὰ διάνοιαν εὐφημότερον διαλεγόμεθα, ὅπερ ποιοῦμεν ὅταν μάλιστα ἔν τινι φρικώδει στερρῶς γινώμεθα φόβῳ. ἄκρως δὲ καινότερον τὸ νόημα ἐξήνεγκε μετὰ κατασκευῆς. ¶ Εὐφήμου. σιωπηλῆς. ¶ Στόμα φροντίδος. στόμα λέγει τὴν φωνήν. στόμα γὰρ ἡ φωνή. ὅμηρος, Πολέμου στόμα. καὶ σοφοκλῆς, χαλκοστόμου κώδωνος ὡς τυρσηνικῆς. ὁ δὲ νοῦς, τὴν φωνὴν μετὰ εὐφήμου φροντίδος ἱέντες. ὅ ἐστι μετὰ φροντίδος περισσῆς εὐφήμως τὴν φωνὴν ἀφιέντες. εὐφημοῦντες φησὶ, καὶ καθ' ἑαυτοὺς συλλογιζόμενοι εὔφημα. οἱ δὲ τοῦ εὐφήμου, ἀντὶ τοῦ σιωπηλῆς. τὸ γὰρ εὐφημεῖν, ἐπὶ τοῦ σιωπᾶν τάττεται. ¶ Οὐδὲν ἅζονθ', οὐδὲν σέβοντα. ἀσεβῆ. γράφεται, οὐδὲν λιάζοντα. ἀντὶ τοῦ οὐκ ἐκτρεπόμενον ἃ προσήκει. ¶ Ον ἐγὼ λεύσσων. τὸ ἑξῆς, ὃν ἐγὼ λεύσσων περὶ πᾶν τέμενος οὔπω δύναμαι γνῶναι ποῦ μή ποτε ναίει, ἤγουν διατρίβει. ℂ Τὸ φατιζόμενον. τὸ λεγόμενον παρ' ὑμῶν.

ἀφώνως, ἀλόγως, τὸ τᾶς
εὐφήμου στόμα φροντίδος
ἱέντες. τὰ δὲ νῦν τιν' ἥκειν
λόγος, οὐδὲν ἅζον
θ', ὃν ἐγὼ λεύσσων περὶ πᾶν οὔπω
δύναμαι τέμενος,
γνῶναι ποῦ μοι ποτὲ ναίει.

Οἰ. ὅδ' ἐκεῖνος ἐγὼ, φωνῇ γὰρ ὁρῶ
τὸ φατιζόμενον.

Χο. ἰὼ, ἰώ.
δεινὸς μὲν ὁρᾶν, δεινὸς δὲ κλύειν.

Οἰ. μή μ' ἱκετεύω προσίδητ' ἄνομον.

Χο. Ζεῦ ἀλεξῆτορ, τίς ποθ' ὁ πρέσβυς;

Οἰ. οὐ πάνυ μοίρας εὐδαιμονίσαι
πρώτης, ὦ τῆσδ' ἔφοροι χώρας,
δηλῶ δ'. οὐ γὰρ ἂν ὧδ' ἀλλοτρίοις
ὄμμασιν εἷρπον,
κἀπὶ σμικροῖς μέγας ὥρμουν.

Χο. ἒ, ἔ. ἀλαῶν ὀμμάτων ἆρα καὶ
ἦσθα φυτάλμιος δυσαιῶν,
μακραίων τ' ἔθ' ὡς ἐπεικάσαι;

¶ Δεινὸς μὲν ὁρᾶν. ἀσεβής. οὔπω ἀκριβῶς αὐτὸν ἑωρακότες, τοῦτό φησι. ¶ Προσίδητ' ἄνομον. λείπει τὸ ὡς, ἵν' ᾖ, ὡς ἄνομον. Οὐ πάνυ μοίρας. οὐ πάνυ μοίρας εἰμὶ πρώτης ἐς τὸ εὐδαιμονίσαι. ἢ οὐκ ἀγαθῆς μοίρας, ἀλλὰ κακῆς. οὐ πάνυ τῆς πρώτης κατ' εὐδαιμονίαν μοίρας. τοὐναντίον δὲ τῆς κατὰ δυσδαιμονίαν ἐσχάτης. ¶ Δηλῶ. δηλῶ τὸ δυστυχὲς διὰ τῶν ὀφθαλμῶν. ¶ Κἀπὶ σμικροῖς μέγας. καὶ ἐπὶ εὐτελέσιν αἰτήμασιν, οὐκ ἂν σφόδρα ἱκέτευον, εἰ μὴ ἤμην δυστυχής. ἄλλως δέ φησι παρ' ὅσον μέγας ὢν κατὰ μέγεθος καὶ τὴν ἡλικίαν, ὑπὸ σμικρᾶς τῆς θυγατρὸς ὁδηγεῖται. Ἦσθα φυτάλμιος δυσαιώνων. ἀπὸ φυτάλιας, ἀπὸ γενέσεως. καὶ ἐξ ἀρχῆς τυφλὸς πέφυκας. ℂ Μακραίων τ' ἔθ' ὡς ἐπεικάσαι. λείπει τὸ εἶ. ¶ Δυσαιώνων. δυστυχὴς καὶ γέρων εἶ, ὥς ἐστι στοχάσασθαι ἐκ τοῦ εἴδους. φυλακτικοὶ δὲ καὶ ταῦτα λέγουσιν, ἄρτι ἑωρακότες αὐτοῦ τὸ σχῆμα τὴν πρώτην οὐχ ἑωρακότων, ἀλλ' ἀγνοοῦντες αὐτόν. ἆρα πηρὸς ἦσθα, καὶ τοιοῦτος ἐγεννήθης. οὐδέπω γὰρ τἆλλα παθήματα ἴσασιν αὐτοῦ.

Ἀλλ' οὐ μὰν ἔν γ' ἐμοί. ἀλλ' οὐκ ἄν με, φησίν, αἰτιάσῃ, ὡς μὴ προμηνύσαντά σοι μὴ εἰσελθεῖν εἰς τόδε τὸ ἱερόν. ἐὰν τίς, φησίν, ἀγνοοῦντά τινα καὶ μιαίνοντα τόπον ἄβατον μὴ διδάξῃ, αὐτὸς ἐνέχεται ταῖς ἀραῖς. οὐκ ἐμοὶ οὖν, φησί, προσθήσεις τὴν σὴν ἀράν. προεπαγγελῶ γάρ σοι μὴ πατεῖν τὸν ἄβατον τόπον. Περᾷς γὰρ περᾷς. οὕτω δίδυμος. βαδίζεις γὰρ εἰς ὃ οὐ προσήκει χωρίον ἐπιβαίνειν. καὶ κατὰ τὴν ἡμετέραν συνήθειαν εἰώθαμεν λέγειν οὕτως. ἵνα παραπένῃ πρὸς ἐμέ, βούλομαί σοι σημαίνειν. ¶ Ἀλλ' ἵνα μὴ προσπέσῃς. αὐτὶ τοῦ μὴ προσπέσῃς. ¶ Ἀλλ' ἵνα τῷδε ἐν ἀφθέγκτῳ. τὸ νάπος ἄφθεγκτον εἴρηκε διὰ τὰς προδεδηλωμένας αἰτίας. τὸ δὲ ἑξῆς, ἀλλ' ἵνα τῷδε μὴ προσπέσῃς νάπει ποιάεντι, μετάστηθι. ποίῳ νάπει; ὅπου κρατὴρ ὕδατος πλήρης συγκιρνᾶται ῥεύματι γλυκέων ποτῶν. Κάθυδρος, οὗ. ὅπου ὕδατος πλήρης. ¶ Μειλιχίων ποτῶν. γλυκέων ποτῶν, ὅ ἐστι μέλιτος, οἷς μειλίσσουσι τὰς θεάς. συγκιρνᾶται γὰρ ταύταις ταῖς θεαῖς ὕδατος καὶ μέλιτος κρᾶμα. ¶ Συντρέχει. συγκιρνᾶται. ¶ Ξένε πάμμορ' εὖ. ὦ πάνυ πάντα δυστυχής. ¶ Μετάσταθι. ἀπόβηθι. οὕτω πολλά ἐστι τὰ κωλύοντά σε, προσμένειν καὶ ἵστασθαι ἐν τῷ ἄλσει. ¶ Πολλὰ κέλευθος ἐρατύει. οἷον, πολλή ἐστιν ἡ ὁδὸς διαχωρίζουσά σε ἡμῶν. δεῖ γὰρ νοεῖν, ὡς ὅτι πόῤῥωθεν προσφωνοῦσιν αὐτόν, μὴ δυνάμενοι ἐπιβῆναι τῷ τόπῳ. καὶ ταῦτα εἰπόντων, κατὰ μικρὸν ὁ Οἰδίπους προσέρχεται, καὶ ἵσταται ὥσπερ ἐν τῷ οὐδῷ τοῦ χωρίου. ¶ Φώνει. εἰ θέλεις μέ τι ἐρωτῆσαι. πρῶτον ἀποστὰς τῶν ἀβάτων, καὶ ἀναβὰς τοῖς βατοῖς τόποις, οὕτως ἐρώτα με. ¶ Πρόσθεν δ' ἀπερύκου. πρότερον δὲ μὴ διαλέγου. Ποῖ τις φροντίδος. λογισώμεθα τί ποιήσομεν. Ἀστοῖς ἴσα χρὴ μελετᾶν. ἃ ἐκεῖνοι ἀσκοῦσι, τούτων καὶ σὲ δεῖ ἐπιμέλειαν ἔχειν. ¶ Εἴκοντας
„ ἃ δεῖ. πρὸς τό, χρὴ δὲ ξένον μὲν, καὶ ῥητὰ προσχωρεῖν πόλει. ¶ Σοὶ πιστεύσας. κατά τινα συνήθειαν ποιητικὴν πληθυντικὸν προειπών, ἑνικὸν ἐπέζευξεν.

ἀλλ' οὐ μὰν ἔν γ' ἐμοὶ
προσθήσεις τάσδ' ἀράς.
περᾷς γὰρ περᾷς.
ἀλλ' ἵνα τῷδ' ἐν ἀ-
φθέγκτῳ μὴ προσπέσῃς νάπει
ποιάεντι, κάθυδρος οὗ
κρατὴρ μειλιχίων ποτῶν
ῥεύματι συντρέχει,
τῶν, ξένε πάμμορ', εὖ
φύλαξαι. μετάσταθ', ἀπόβαθι, πολ-
λὰ κέλευθος ἐρατύει.
κλύεις ὦ πολύμοχθ' ἀλᾶτα;
λόγον εἴ τιν' ἕξεις
πρὸς ἐμὰν λέσχαν ἀπ' ἀβάτων ἀποβὰς
ἵνα πᾶσι νόμος,
φώνει, πρόσθεν δ' ἀπερύκου.
Οἰ. θύγατερ, ποῖ τις φροντίδος ἔλθῃ;
Αν. ὦ πάτερ, ἀστοῖς ἴσα χρὴ μελετᾶν
εἴκοντας ἃ δεῖ, κοὐκ ἀκούοντας.
Οἰ. πρόσθιγέ νύν μου.
Αν. ψαύω καὶ δή.
Οἰ. ὦ ξεῖνοι, μὴ δῆτ' ἀδικηθῶ
σοὶ πιστεύσας, καὶ μεταναστάς.
Χο. οὔ τοι μήποτέ σ' ἐκ τῶνδ' ἑδράνων
ὦ γέρον ἄκοντά τις ἄξει.
Οἰ. ἔτ' οὖν ἔτι προβῶ;

Χο ἐπίβαινε πρόσω.

Οἰ ἔτι;

Χο προσβίβαζε κούρα, πρόσω. σὺ γὰρ ἀΐεις.

Αν ἕπεο μὰν ἕπε' ὧδ' ἀμαυρῷ
κώλῳ πάτερ, ἅ σ' ἄγω, τόλμα, ξεῖνος ἐπὶ ξείνης. ὦ τλάμον, ὅ τι
ἁ πόλις τέτροφεν ἄφιλον
ἀποστυγεῖν, καὶ τὸ φίλον σέβεσθαι.

Οἰ ἄγε νῦν σύ με παῖ, ἵν' ἂν εὐσεβίας
ἐπιβαίνοντες, τὸ μὲν, εἴπωμεν,
τὸ δ' ἀκούσωμεν. καὶ μὴ χρείᾳ πολεμῶμεν.

Χο αὐτοῦ. μηκέτι τοῦδ' αὐτοπέτρου
βήματος ἔξω πόδα κλίνης.

Αν οὕτως;

Χο ἅλις ὡς ἀκούεις.

Οἰ ἦ ἑσθῶ;

Χο λέχριός γ' ἐπ' ἄκρου
λᾶος, βραχὺς ὀκλάσας.

Αν πάτερ, ἐμὸν τόδ' ἐν ἡσυχαίᾳ.
ἰώ μοι μοι,
βάσει βάσιν ἁρμόσαι.
γεραιὸν ἐς χέρα σῶμα σὸν
προκλίνας φιλίαν ἐμάν.

Οἰ ὤμοι δύσφρονος ἄτας.

Χο ὦ τλάμων. ὅτε νῦν χαλᾷς,
αὔδασον τίς σ' ἔφυ βροτῶν;
τίς ὢν πολύπονος ἄγῃ; τίνα σοῦ
πατρίδ' ἐκ πυθοίμαν.

Οἰ ὦ ξένοι, ἀπόπτολις. ἀλλὰ μή.

ΣΥ γὰρ ἀΐεις. οἷον, αἰσθάνῃ ποῦ ἐσμέν. ¶ Ξεῖνος ἐπὶ ξείνης. ξένος ὤν, ἐπὶ ξένης τόλμα ὦ τλᾶμον ταῦτα φιλεῖν, ἃ καὶ ἡ πόλις φιλεῖ. ἐκεῖνα δὲ μισεῖν, ἃ καὶ ἡ πόλις μισεῖ. ¶ Τέτροφεν. ἔχει. ἵν' ἂν εὐσεβείας. ὅπου ἂν εὐσεβῶς πατῶμεν. ¶ Τὸ μὲν εἴπωμεν. ἀντὶ τοῦ, τῶν βατῶν τόπων. ¶ Καὶ μὴ χρείᾳ πολεμῶμεν. καὶ μὴ τῇ αὐτῶν ἐνδείᾳ ἐναντιώμεθα. ¶ Αὐτοπέτρου. ἰσοπέτρου. χαλκοῦ. ¶ Βήματος. τοῦ κατ' ἴσον βεβηκότος τῇ πέτρᾳ, ὅπερ ἄνω εἶχε χαλκὸν οὐδόν· αὐτὸν δὲ τὸν πέτρον ὑποτίθεται τοῦ ἀβάτου ὅριον. Ἄλλως. βήματος. τοῦ οὐδοῦ. αὐτοπέτρου δὲ, ὅτι ἀντὶ πέτρας χαλκὸς ἦν. ¶ Κλίνης. γράφεται καὶ κινήσῃς. ¶ Ἡσθῶ. ἀντὶ τοῦ καθίσω. ἀπὸ τοῦ ἕω. γράφεται ἡσθῶ, ὃ καὶ βέλτιον. ¶ Ἐπ' ἄκρου λάου. ἀπὸ τοῦ λᾶος τῆς προξενουμένης εὐθείας γενομένης ἀπὸ γενικῆς τοῦ λᾶος. ὑπὲρ ῥίτης. οὕτως Ἡρωδιανὸς ἐν τῷ ε΄. τοῦ καθόλου. ¶ Ἐμὸν τόδε. τὸ ὁδηγῆσαί σε. ἢ τοῦ ἁρμόσαι σου ἐφ' ἡσυχίας τὴν βάσιν τῇ καθέδρᾳ. ¶ Γεραιὸν ἐς χέρα. τὸ ἑξῆς οὕτω. γεραιὸν σῶμα σὸν προκλίνας ἐς χέρα φιλίαν ἐμήν. τὸ δὲ κλίνας, ἀπὸ κοινοῦ μετοχῆς ἤρτηται. ἀντὶ τοῦ κλίνας ἔσω. σχηματίζει δὲ πῶς αὐτὸν καὶ εὐθετίζει ἡ Ἀντιγόνη. ¶ Ὅτε νῦν χαλᾷς. ὅτε νῦν εἴκεις καὶ οὐκ ἀντιτείνεις τὸ ἐξελθεῖν. λέγει δὲ ἐκ τοῦ ἱεροῦ. ¶ Τίς σ' ἔφυ. γράφεται καὶ τίς ἔφυς. ¶ Τίς ὢν πολύπονος ἄγῃ. γράφεται καὶ τίς ὁ πολύπονος. τίς ὢν ἄγῃ ἀπὸ τῆς σῆς πόλεως. ἢ οὕτως. τίς ὢν διὰ πολλῶν πόνων ἄγῃ. ¶ Ἀπόπτολις. ἔρημος καὶ ἄπολις εἰμί. Ἀλλὰ μή. τὸ ἑξῆς, ἀλλὰ μή μ' ἀνέρῃ τίς εἰμι. μὴ δὲ ἐξετάσῃς. ἐμπαθὲς δὲ τὸ

χωρίον, τῶν μὲν ἀποδόντων μαθεῖν, τοῦ δὲ κατοκνοῦντος λέγειν. οἱ δὲ διὰ βραχέων ἀκουόντων, τὰ ἄλλα συμβάλλουσιν. οὐδὲν δὲ θαυμαστὸν ἐπίστασθαι τοὺς Ἀθηναίους τὰ ἐν Θήβαις πραττόμενα, μάλιστα οὕτως ἐπισήμων ὄντων τῶν κατὰ τὴν σφίγγα. ¶ Δεινὰ φύσις. ἡ ἐμὴ γέννα, δεινή ἐστι καὶ ἀθλία. Κατακρυφάν. ἀποφυγὴν τοῦ μὴ εἰπεῖν. ℂ Λαΐου ἴστε τιν'. ἐν διαπέπλεκται γνωριζόμενον ὑπὸ τῶν Ἀθηναίων τὸν Οἰδίποδα, ὑπὲρ τοῦ μὴ γενεαλογοῦντα ἄνωθεν, ὀχλεῖν αὐτὸν τοῖς θεωμένοις. ἀλλ' ὅγε Εὐριπίδης τοιοῦτος. ἐν γοῦν ταῖς ἱκέτισι τὸν Θησέα ὑποτέθειται τοὺς περὶ τὸν Ἄδραστον ἀγνοοῦντα, ἕνεκα τοῦ μηκῦναι τὸ δρᾶμα. ¶ Δέος ἴσχετε. ὅσα φησὶ λέγω περὶ τούτων, μηδὲν φοβεῖσθε. δεῖ γὰρ προσυπακοῦσαι, τὸ λεγόμενόν μου. Θύγατερ τί ποτε. τί προβήσεται ἡμῖν. ὁρῶ γὰρ τοὺς μυσαττομένους με. ℂ Ἔξω πρόσω βαίνετε. ἀκούσαντες τὰ κατ' αὐτὸν, ἀξιοῦσιν ἐξιέναι τοῦ χωρίου. φησὶν οὖν ὁ Οἰδίπους, ὅτι πρότερον ὑπέσχεσθε τοῦ μὴ ἐκβαλεῖν με. οἱ δέ φασιν, οὐδεμία τίσις ἔρχεται τοῖς προπαθοῦσιν ἀντιτιμωρουμένοις. καὶ ἡμεῖς οὖν ἀπατηθέντες ὑπὸ σοῦ, ἐν μέρει ἀπατῶμέν σε. πέφασται δὲ δυνατῶς. ℂ Οὐδενὶ μοιριδία τίσις. ἡ ἐξ ἐριννύων. μοίρας γὰρ νῦν τὰς ἐριννύας. ¶ Ὧν προπάθῃ, τὸ τίνειν. λείπει ἡ διά, ἵν' ᾖ, διὰ τὸ τιμωρεῖν ὑπὲρ ὧν ἂν προπάθῃ. ¶ Ἀπάται δ' ἀπάταις. ἡ δὲ ἀπάτη φησὶ παραβαλλομένη καὶ ἀντιτιθεμένη ἑτέραις ἀπάταις, πόνον ἔχειν ἀντιδίδωσι τοῖς ἀπατήσασιν ἐξ ἀρχῆς καὶ οὐ χάριν. καὶ αὐτοὶ οὖν νομίζομεν προσδεδέχθαι αὐτόν, καὶ ἐπηγγέλθαι τὴν ἀσφάλειαν αὐτῷ, ἀπα-

Χο. τί τόδ' ἀπεννέπεις γέρον;  
Οἰ. μὴ μή, μή μ' ἀνέρῃ τίς εἰμι, μηδ' ἐξετάσῃς πέρα ματεύων.  
Χο. τί τόδε;  
Οἰ. δεινὰ φύσις.  
Αν. αὔδα.  
Οἰ. τέκνον, ὤμοι, τί γεγωνῶ;  
Χο. τίνος εἶ σπέρματος ξένε, φώνει πατρόθεν;  
Οἰ. ὤμοι ἐγώ, τί πάθω τέκνον ἐμόν;  
Αν. λέγ', ἐπείπερ ἐπ' ἔσχατα βαίνεις.  
Οἰ. ἀλλ' ἐρῶ. οὐ γὰρ ἔχω κατακρυφάν.  
Χο. μακρὰ μέλλετ', ἀλλὰ ταχύνατε.  
Οἰ. Λαΐου ἴστε τιν' ἀπόγονον;  
Χο. ὤ, ὤ, ἰού.  
Οἰ. τό, τε Λαβδακιδᾶν γένος;  
Χο. ὦ Ζεῦ.  
Οἰ. ἄθλιον Οἰδιπόδαν;  
Χο. σὺ γὰρ ὅδ' εἶ;  
Οἰ. δέος ἴσχετε μηδὲν, ὅσ' αὐδῶ.  
Χο. ἰώ. ἰώ. ὤ. ὤ. ὤ.  
Οἰ. δύσμορος.  
Χο. ὤ. ὤ.  
Οἰ. θύγατερ, τί ποτ' αὐτίκα κύρσει;  
Χο. ἔξω πρόσω βαίνετε χώρας.  
Οἰ. ἃ δ' ὑπέσχεο, ποῖ καταθήσεις;  
Χο. οὐδενὶ μοιριδία τίσις ἔρχεται ὧν προπάθῃ, τὸ τίνειν. ἀπάτα δ' ἀπάταις

ἑτέραις ἑτέρα παραβαλλομένα,
πόνον οὐ χάριν ἀντιδίδωσιν ἔχειν.
σὺ δ' ἐκ τῶνδ' ἑδράνων
πάλιν ἔκτοπος, αὖθις ἄφορμος ἐμᾶς
χθονὸς ἔκθορε, μή τι πέρα χρέος ἐ-
μᾷ πόλει προσάψῃς.
Αν Ὦ ξένοι αἰδόφρονες, ἀλλ' ἐπεὶ
γεραὸν πατέρα τόνδ' ἐμὸν
οὐκ ἀνέτλατ' ἔργων
ἀκόντων ἀΐοντες αὐδάν,
ἀλλ' ἐμὲ τὰν μελέαν, ἱκετεύομαι
ὦ ξένοι, οἰκτείραθ', ἃ πατρὸς ὑπὲρ
τοῦ μόνου ἄντομαι ἄντομαι, οὐκ ἀλα-
οῖς προσορωμένα ὄμμα σὸν ὄμμασιν
ὥς τις ἀφ' αἵματος
ὑμετέρου προφανεῖσα, τὸν ἄθλιον
αἰδοῦς κῦρσαι. ἐν ὑμῖν γὰρ ὡς θεῷ
κείμεθα τλάμονες. ἀλλ' ἴτε, νεύσατε
τὰν ἀδόκητον χάριν
πρός σ' ὅ, τι σοι φίλον ἐκ σέθεν ἄντομαι,
ἢ τέκνον, ἢ λόγος, ἢ χρέος, ἢ θεός.

τῶν ἀδελφῶν, καὶ οὐ πρότερον ἐπιγνωκότων ὅτι οἰκείοις ἐνέχεται μιάσμασι περὶ τὴν αὐτὴν ὑπόθεσιν. ὥστε, Ἡ γλῶσσ' ὀμώμοκεν, ἡ δὲ φρὴν ἀνώμοτος. ἢ ἑκὼν γὰρ ἀπατηθεὶς ὤμοσεν. ¶ Ἄφορμος. ἀφορμηθείς. ¶ Ὦ ξένοι αἰδόφρονες. τὸ δὲ Ἀντιγόνης πρόσωπον ὅλον, καὶ τὸ τοῦ χοροῦ δὲ τετράστιχον ἀθετοῦνται. κεῖται γάρ φασιν εὐθέως μετὰ δικαιολογικῷ χρήσασθαι τὸν Οἰδίπουν πρὸς αὐτούς, ἀλλὰ τὰ πράγματα αὐτοῖς οὐκ ἐν καιρῷ ἐστιν, ἀλλ' ἐν διαπορίᾳ, ὥστε ἐπαφόδιον εἶναι αὐτοῖς τὴν ἐλεεινολογίαν. καὶ τοῦτο δὲ πρόσωπον ἡ Ἀντιγόνη πληροῖ. ἐπεὶ μέχρι τούτου οὐ πείθονται, τότε δικαιολογητικώτερον, καὶ ὥσπερ ἀπολογούμενος ἐκφέρει τὰ ἑξῆς ὁ Οἰδίπους, ὅτι ἀκούσια ἐστὶν αὐτοῦ τὰ ἁμαρτήματα. καὶ εἰ ταῦτα δὲ ὁμοίας ἔχεται δυνάμεως τοῦ ποιητοῦ. καθόλου θαυμαστή τίς ἐστιν ἡ οἰκονομία τοῦ δράματος. οὐδὲν δὲ ἐν τοῖς δηλουμένου τούτων ὀβελισθὲν εὕρομεν. Ἀλλ' ἐπεὶ γεραόν. ἐπειδὴ γάρ ἐστιν ὁ ἀλλὰ ἀντὶ τοῦ δέ. ὁ δὲ δὲ, ἀντὶ τοῦ δή, πλεονάζει ὁ ἀλλά.
¶ Γεραόν. ἢ ἀλαόν. ἐκ τοῦ ὧδε θέτου νεύει εἰς τὴν τοῦ πατρὸς ἀπολογίαν. ¶ Ἔργων ἀκόντων. τῶν ἀκουσίων. ἢ τῶν ἀπαρεσκόντων ὑμῖν. ¶ Οὐ καλοῖς. οὐ καλοῖς ὄμμασιν ὁρῶσαι τὸ σὸν ὄμμα. ὀφθαλμοὶ γὰρ ὀφθαλμοὺς αἰδεῖσθαι ποιοῦσι.
Προσορωμένα. ἀντὶ τοῦ ὁρῶσαι τούτους, ὧν καὶ δέομαι. ¶ Ὡς ἐκ ἀφ' αἵματος. ὡς ἂν ἐκ κοινῆς ἀνθρωπότητος ἐχούσης τὸ συγγενές. ἢ τοιαύτας ἱκετείας ποιοῦμαι, οἵας ἄν τις προσαγάγοι τοῖς συγγενέσι. ¶ Τὸν ἄθλιον. τὸ ἑξῆς, ἄντομαι τὸν ἄθλιον αἰδοῦς κῦρσαι. ¶ Ἐκ σέθεν ἄντομαι. λείπει ἐκείνου, ἵν' ᾖ, ὑπὲρ ἐκείνου σε ἄντομαι. ὃ ἐκ σέθεν, τίμιόν ἐστί σοι. ἀντὶ τοῦ, ὃ ἐκ σῆς προαιρέσεως τίμιόν σοι ἐγεστιν.

ΟΥ γὰρ ἴδοις ἀθρῶν. τὸ ἑξῆς, οὐ γὰρ ἴδοις ἀθρῶν βροτῶν ὅστις ἂν ἐκφυγεῖν δύναιτο εἰ θεὸς ἄγοι. Οὐ σθένοιμεν ἂν φωνεῖν. ἀλλ' ἐμμένοιμεν τοῖς λεχθεῖσι δηλονότι. λέγομεν δὲ, τὸ ἀναστῆναι ἀπὸ τοῦ ἱεροῦ, μὴ μολύνειν αὐτό. ¶ Τί δῆτα δόξης. ὡς μάτην τῆς περὶ τῶν ἀθηνῶν κατεχούσης δόξης, ὡς ἄρα φιλοικτίρμων τίς ἂν εἴη, καὶ ἱκετοδόκος. ὁ κυρηναῖος, οὕνεκεν οἰκτείρειν οἶδε μόνη πολίων. ἐν τῷ τέλει τοῦ δευτέρου τῶν αἰτιῶν. ¶ Εἰ τάς γ' ἀθήνας φασίν. ἐπεὶ καὶ ἐλέου βωμὸς ἐν ἀθήναις ἵδρυται. ¶ Κἄμοιγε ποῦ. καὶ μοι ποῦ ταῦτ' ἐστί. τὰ λεγόμενα περὶ ἀθηνῶν. ¶ Οὐδὲ τἄργα τὰ μά. ἀπὸ κοινοῦ τὸ δείσαντες. Πεπονθότ' ἐστὶ μᾶλλον. μᾶλλον ἔπαθον, ἤπερ ἐποίησα. οὐκοῦν συγγνώμης ἄξιός εἰμι. Πεπονθότα. τὸ ἑξῆς, ἢ δεδρακότα. ὥστε ἐγὼ καλῶς ἔξοιδα ὅτι μᾶλλον ἠδικήθην, ἤπερ ἠδίκησα. Εἴ σοι τὰ μητρὸς καὶ πατρὸς χρεῶν λέγειν. χρεῶν, χρήσιμα, ἤγουν χρήσιμον ἦν λέγειν. ἐκ τούτων γὰρ σύγκειται τὸ χρή. τὸ δὲ χρεῶν ἐγγενές ἐστιν. ἔστι γὰρ ὁ χρεὼς, ἡ χρεία, τὸ χρέος. ἔστι δὲ καὶ μονογενὲς ἡ χρεία. ὅτι δὲ ἐνταῦθα τὸ χρεῶν οὐδέτερόν ἐστι, δηλοῖ τὸ συναλείφεσθαι τὸ α. ὅπερ οὐκ ἂν ἐπέπονθε, εἰ μὴ βραχὺ ἦν. Τοῦτ' ἐγὼ καλῶς ἔξοιδα. οἶδα ὅτι μᾶλλον ἠδικήθην, ἤπερ ἠδίκησα. ¶ Ως εἰ φρονῶν ἔπρασσον. ἄκων μέν φησιν ἔδρων. εἰ δὲ καὶ ἑκὼν, προπαθὼν ἠμυνάμην. δῆλον δὲ ὅτι τὸ βλαβῆναι ὅτε ἐγεννήθη, ὥστε δύο μοι φησὶ βοηθεῖ. ἥ, τε ἄγνοια, καὶ τὸ προπαθόντα ἀμύνασθαι. ¶ Νῦν δ' οὐδὲν εἰδὼς ἱκόμην. τὴν τοῦ πατρὸς φόνου λέγει ὁδόν. ¶ Καὶ μὴ θεοὺς τιμῶντες. ἐπεὶ κατὰ πυθόχρηστον ἐληλυθέναι φασὶ, καὶ γνώμῃ θεοῦ.

ΟΥ γὰρ ἴδοις ἀθρῶν βροτῶν ὅστις ἂν εἰ θεὸς ἄγοι ἐκφυγεῖν δύναιτο.

ΧΟ. ἀλλ' ἴσθι τέκνον Οἰδίπου, σέ τ' ἐξ ἴσου
οἰκτείρομεν, καὶ τόνδε συμφορᾶς χάριν.
τὰ δ' ἐκ θεῶν τρέμοντες, οὐ σθένοιμεν ἂν
φωνεῖν πέρα τῶν πρὸς σὲ νῦν εἰρημένων.

ΟΙ. τί δῆτα δόξης ἢ τί κληδόνος καλῆς
μάτην ῥεούσης, ὠφέλημα γίνεται.
εἰ τάς γ' ἀθήνας φασὶ θεοσεβεστάτας
εἶναι, μόνας δὲ τὸν κακούμενον ξένον
σώζειν οἵας τε, καὶ μόνας ἀρκεῖν ἔχειν.
κἄμοιγε ποῦ ταῦτ' ἐστίν, οἵτινες βάθρων
ἐκ τῶνδέ μ' ἐξάραντες, εἶτ' ἐλαύνετε,
ὄνομα μόνον δείσαντες. οὐ γὰρ δὴ τό γε
σῶμ', οὐδὲ τἄργα τἄμ', ἐπεὶ τά γ' ἔργα μου
πεπονθότ' ἐστὶ μᾶλλον, ἢ δεδρακότα.
εἴ σοι τὰ μητρὸς καὶ πατρὸς χρεῶν λέγειν,
ὧν οὕνεκ' ἐκφοβεῖ με, τοῦτ' ἐγὼ καλῶς
ἔξοιδα, καίτοι πῶς ἐγὼ κακὸς φύσιν.
ὅστις παθὼν μὲν, ἀντέδρων. ὥστ' εἰ φρονῶν
ἔπρασσον, οὐδ' ἂν ὧδ' ἐγιγνόμην κακός.
νῦν δ' οὐδὲν εἰδὼς ἱκόμην ἵν' ἱκόμην.
ὑφ' ὧν δ' ἔπασχον, εἰδότων ἀπωλλύμην.
ἀνθ' ὧν ἱκνοῦμαι πρὸς θεῶν ὑμᾶς ξένοι,
ὥσπερ με κἀνεστήσαθ', ὧδε σώσατε.
καὶ μὴ θεοὺς τιμῶντες, εἶτα τοὺς θεοὺς
μοίρας ποιεῖσθε μηδαμῶς. ἡγεῖσθε δὲ
βλέπειν μὲν αὐτοὺς πρὸς τὸν εὐσεβῆ βροτῶν,
βλέπειν δὲ πρὸς τοὺς δυσσεβεῖς. φυγὴν δέ του

μή πω γενέσθαι φωτὸς ἀνοσίου βροτῶν.
ξὺν οἷς σὺ μὴ κάλυπτε τὰς εὐδαίμονας
ἔργοις Ἀθήνας ἀνοσίοις ὑπηρετῶν.
ἀλλ' ὥσπερ ἔλαβες τὸν ἱκέτην ἐχέγγυον,
ῥύου με, κἀκφύλασσε. μηδέ μου κάρα
τὸ δυσπρόσοπτον εἰσορῶν ἀτιμάσῃς.
ἥκω γὰρ ἱερὸς, εὐσεβής τε, καὶ φέρων
ὄνησιν ἀστοῖς τοῖσδ'. ὅταν δ' ὁ κύριος
παρῇ τις ὑμῶν, ὅστις ἐστὶν ἡγεμὼν,
τότ' εἰσακούων πάντ' ἐπιστήσῃ. τὰ δὲ
μεταξὺ τούτου, μηδαμῶς γίνου κακός.
Χο ταρβεῖν μὲν ὦ γεραιὲ τἀνθυμήματα
πολλή 'στ' ἀνάγκη τἀπὸ σοῦ. λόγοισι γὰρ
οὐκ ὠνόμασται βραχέσι. τοὺς δὲ τῆσδε γῆς
ἄνακτας, ἀρκεῖ ταῦτά μοι διειδέναι.
Οἰ καὶ ποῦ 'σθ' ὁ κραίνων τῆσδε τῆς χώρας ξένοι;
Χο πατρῷον ἄστυ γῆς ἔχει. σκοπὸς δέ νιν,
ὃς κἀμὲ δεῦρ' ἔπεμψεν, οἴχεται στελῶν.
Οἰ ἦ καὶ δοκεῖτε τοῦ τυφλοῦ τιν' ἐντροπὴν
ἢ φροντίδ' ἕξειν, ἀπόνως τ' ἐλθεῖν πέλας;
Χο καὶ κάρθ', ὅταν περ τοὔνομ' αἴσθηται τὸ σόν.
Οἰ τίς δ' ἔσθ' ὁ κείνῳ τοῦτο τοὔπος ἀγγελῶν;
Χο μακρὰ κέλευθος, πολλὰ δ' ἐμπόρων ἔπη
φιλεῖ πλανᾶσθαι. τῶν, ἐκεῖνος ἀΐων,
θάρσει παρέσται. πολὺ γὰρ ὦ γέρον τὸ σὸν
ὄνομα διήκει πάντας. ὥστε κεἰ βραδὺς
εὕδει, κλύων σου, δεῦρ' ἀφίξεται ταχύς.
Οἰ ἀλλ' εὐτυχὴς ἵκοιτο τῇ θ' αὑτοῦ πόλει,
ἐμοί τε. τίς γὰρ ἐσθλὸς οὐχ αὑτῷ φίλος;
Αν ὦ Ζεῦ, τί λέξω; ποῖ φρενῶν ἔλθω πάτερ;
Οἰ τί δ' ἔστι τέκνον Ἀντιγόνη; Αν γυναῖχ' ὁρῶ
στείχουσαν ἡμῖν ἆσσον, Αἰτναίας ἐπὶ

¶ Μή πω γενέσθαι φωτός. ὃ βούλεται λέγειν, μηδένα διαφυγεῖν τῶν πεφευγότα ἀνόσιον ἀνθρώποις. ὡς τὸ, δικαιότατος κενταύρων. ℭ Φυγὴν δὲ, ἀντὶ τοῦ ἔκφευξιν. ¶ Ξὺν οἷς. σὺν τοῖς θεοῖς. ¶ Σὺ μὴ κάλυπτε. ἀντὶ τοῦ, μὴ περικαλύψῃς θεοὺς, ἢ ἀθήνας, οἷον, ἀνόσια πράττων, μὴ ἀφάνιζε τὰς ἀθήνας. ℭ Ἐχέγγυον. ἀσφαλῆ. ℭ Ἱερός. καθαρός. ℭ Καὶ φέρων ὄνησιν ἀστοῖς. ἐρεῖ γὰρ ὡς ἔσται ποτὲ αὐτοῖς ἔχθρα πρὸς θηβαίους, ἐν ᾗ κρατήσουσιν αὐτῶν, διὰ τὸ τάφον αὐτοῦ παρ' ἀθηναίοις τυγχάνειν. ἦν γὰρ λόγιον, ἐν ᾗ ἂν ταφῇ χώρᾳ, ἐκείνην μηδὲν κακὸν πείσεσθαι ὑπὸ θεῶν. ℭ Τἀνθυμήματα. εἴ τι σώζειν τὰς ἀθήνας. ¶ Λόγοισι γὰρ οὐκ. ὅτι εἴρηταί σοι ἐνθυμήματα περὶ τῆς σωτηρίας τῶν ἀθηνῶν. ¶ Ἀρκεῖ ταῦτά μοι. ἀρκεῖ δέ μοι φησὶ τὸ τοὺς ἡγεμόνας μου περὶ τούτων σκοπεῖν. καὶ ποῦ 'σθ' ὁ κραίνων. ἐν τῇ οἰκονομίᾳ, ὥστε μὴ ἀκριβὰς γενέσθαι τίς ὁ καλέσας ἐστί. ¶ Τοὔνομα αἴσθηται. τὸ γὰρ ὄνομα οἰδίπους, πανταχοῦ. ¶ Πολλὰ δ' ἐμπόρων ἔπη. εἰκὸς δὲ ἐστὶν ἡμῶν ἀκηκοότων, καὶ ἕτερον μεμαθηκέναι. ὁ γὰρ ἀπεληλυθὼς πρότερον, οὐδέ πω μεμαθήκει ὅστις ἦν. τοῦτο γὰρ χορῷ πρώτῳ ὡμολόγησε. διὰ μέσου δὲ τὸ, θάρσει. ℭ Πολὺ γὰρ ὦ γέρον τὸ σὸν ὄνομα. διὰ τὰς πράξεις, οἷον, τὴν σφίγγα, καὶ ὅσα ἄλλα αὐτὸς πέπρακται. ℭ Κλύων σου. λείπει ἡ περί. περὶ σοῦ κλύων. ¶ Οὐχ αὑτῷ φίλος. χρήσιμος. ὁ γὰρ ἀγαθὸς, αὑτῷ τε καὶ τοῖς φίλοις ἐστὶ χρήσιμος. ¶ Γυναῖχ' ὁρῶ. ἡ ἰσμήνη πρόσεισι, τὰ κατὰ τοὺς ἄρρενας ἀπαγγέλλουσα παῖδας τοῦ οἰδίποδος ἔχον. Αἰτναίας ἐπί. τῆς σικελικῆς. λέγεται δὲ ἀντὶ τῆς μεγάλης.

Ἡλιοστερής. σκιαστική, πλατύπιλος κυνῆ. ἤτοι περικεφαλαία, τὴν ὄψιν αὐτῆς περιέχει καλύπτουσα, καὶ ἀφαιρουμένη τὴν ἡλίωσιν. τὸ ἑξῆς δὲ, κρατὶ ἡλιοστερὴς κυνῆ. Κυνῆ πρόσωπα θεσσαλίς νιν. καὶ γὰρ περισσοὶ ἦσαν οἱ θεσσαλικοὶ πῖλοι, ὡς καὶ Καλλίμαχος, εἴδεος ἀμφὶ δὲ οἱ κεφαλῇ νέον αἱμονίηθεν Μεμβλωκὸς, πίλημα πέριξ ἄλκαρ ἔκειτο. ¶ Ἆρ' ἔστιν. ἆρα ἔστιν ἡ Ἰσμήνη, ἆρα οὐκ ἔστιν. ¶ Ἄλλη. φαιδρὰ γοῦν. τὸ ἑξῆς, φαιδρὰ προστείχουσα. φαιδρὰ δὲ, ἀντὶ τοῦ φαιδρῶς. ¶ Σημαίνει με. εἰς γνῶσιν με ἐφέλκεται. Αὐδῇ δ' αὐτίκ'. ἐκ τῆς φωνῆς ἔξεστί σοι μαθεῖν. ¶ Εὑροῦσα λύπῃ δεύτερον. τὸ ἑξῆς, εὑροῦσα δεύτερον. ἴσως τὸ δεύτερον, διὰ τὸ δὶς μόλις εἰρηκέναι. ¶ Ὦ δυσάθλιαι τροφαί. ἡμῶν δηλονότι. Δυοῖν ὁμοῦ. σοῦ τε καὶ ἀντιγόνης. ¶ Δυσμόρου δ' ἐμοῦ τρίτης. οἱ γὰρ περιλαμβάνοντές τινα, καὶ ἑαυτοὺς τρόπον τινὰ περιλαμβάνουσιν. ἰδιαζόντως δὲ εἶπεν, ὡς ἑαυτῆς τρίτης θιγγάνει, εἰ μὴ ἄρα πρὸς τὸ δυσάθλια ὑπήντηκε. Σῇ πάτερ προμηθίᾳ, αὐτὶ τοῦ, διὰ τὴν σὴν πρόνοιαν. ¶ Ποῖ νεανίαι πονεῖν. ποῦ τοῦ πονεῖν εἰσι. ¶ Δεινὰ δ' ἐκείνοις τανῦν. νῦν δὲ τὰ ἐν ἐκείνοις ἐστὶ δεινά. ¶ Ὦ πάντ' ἐκείνω τοῖς ἐν αἰγύπτῳ. διαβάλλει τοὺς αἰγυπτίους, ὡς παρὰ τὸ πρέπον διαιτωμένους καὶ γυναῖκας καὶ ἄνδρας. νυμφόδωρος δὲ ἐν τῷ τρισκαιδεκάτῳ τῶν βαρβαρικῶν γράφει οὕτως. Ἔθεσι δὲ, τὰ μὲν ἐναντίοις, τὰ δὲ ὁμοίοις χρῶνται τοῖς ἄλλοις. τὰ

πώλου βεβῶσαν. κρατὶ δ' ἡλιοστερὴς
κυνῆ πρόσωπα θεσσαλίς νιν ἀμπέχει.
τί φῶ;
ἆρ' ἔστιν; ἆρ' οὐκ ἔστιν; ἢ γνώμη πλανᾷ;
καὶ φημὶ, κἀπόφημι, κοὐκ ἔχω τί φῶ.
τάλαινα.
οὐκ ἔστιν ἄλλη. φαιδρὰ γοῦν ἀπ' ὀμμάτων
σημαίνει με προστείχουσα. σημαίνει δ' ὅτι
μόνης τόδ' ἐστὶ δῆλον Ἰσμήνης κάρα.
Οἰ. πῶς εἶπας ὦ παῖ;
Αν. παῖδα σὴν, ἐμὴν δ' ὁρᾶν
ὅμαιμον. αὐδῇ δ' αὐτίκ' ἔξεστιν μαθεῖν.
Ισ. ὦ δισσὰ πατρὸς καὶ κασιγνήτης ἐμοὶ
ἥδιστα προσφωνήμαθ'. ὡς ὑμᾶς μόλις
εὑροῦσα λύπῃ δεύτερον μόλις βλέπω.
Οἰ. ὦ τέκνον, ἥκεις;
Ισ. ὦ πάτερ δύσμοιρ' ὁρᾶν.
Οἰ. ὦ σπέρμ' ὅμαιμον.
Ισ. ὦ δυσάθλιαι τροφαί.
Οἰ. τέκνον πέφηνας;
Ισ. οὐκ ἄνευ μόχθου γέ μοι.
Οἰ. πρόσψαυσον ὦ παῖ.
Ισ. θιγγάνω δυοῖν ὁμοῦ.
Οἰ. ἢ τῆσδε, κἀμοῦ.
Ισ. δυσμόρου δ' ἐμοῦ τρίτης.
Οἰ. τέκνον, τί δ' ἦλθες;
Ισ. σῇ πάτερ προμηθίᾳ.
Οἰ. πότερα πόθοισι;
Ισ. καὶ λόγοισι γ' αὐτάγγελος,
ξὺν ᾧπερ εἶχον οἰκετῶν πιστῷ μόνῳ.
Οἰ. οἱ δ' αὐθόμαιμοι, ποῖ νεανίαι πονεῖν;
Ισ. εἰσ', οὗπέρ εἰσι. δεινὰ δ' ἐν κείνοις τανῦν.
Οἰ. ὢ πάντ' ἐκείνω τοῖς ἐν αἰγύπτῳ νόμοις
φύσιν κατεικασθέντε, καὶ βίου τροφάς.
ἐκεῖ γὰρ οἱ μὲν ἄρσενες, κατὰ στέγας

μὲν γὰρ

θάκουσιν ἱστουργοῦντες. αἱ δὲ σύννομοι,
τἄξω βίου τροφεῖα πορσύνουσ' ἀεί.
σφῷν δ', ὦ τέκν', οὓς μὲν εἰκὸς ἦν πονεῖν τάδε,
κατ' οἶκον οἰκουροῦσιν ὥστε παρθένοι,
σφὼ δ' ἀντ' ἐκείνων τἀμὰ δυστήνου κακὰ
ὑπερπονεῖτον, ἡ μὲν ἐξ ὅτου νέας
τροφῆς ἔληξε, καὶ κατίσχυσεν δέμας,
ἀεὶ μεθ' ἡμῶν δύσμορος πλανωμένη,
γερονταγωγεῖ, πολλὰ μὲν κατ' ἀγρίαν
ὕλην ἄσιτος, νηλίπους τ' ἀλωμένη,
πολλοῖσι δ' ὄμβροις ἡλίου τε καύμασι
μοχθοῦσα τλήμων, δεύτερ' ἡγεῖται τὰ τῆς
οἴκοι διαίτης, εἰ πατὴρ τροφὴν ἔχοι.
σὺ δ', ὦ τέκνον, πρόσθεν μὲν ἐξίκου πατρὶ
μαντεῖ' ἄγουσα πάντα Καδμείων λάθρᾳ,
ἃ τοῦδ' ἐχρήσθη σώματος. φύλαξ δέ μου
πιστὴ κατέστης, γῆς ὅτ' ἐξηλαυνόμην.
νῦν δ' αὖ, τίν' ἥκεις μῦθον Ἰσμήνη πατρὶ
φέρουσα; τίς σ' ἐξῆρεν οἴκοθεν στόλος;
ἥκεις γὰρ οὐ κενή γε. τοῦτ' ἐγὼ σαφῶς
ἔξοιδα, μὴ οὐχὶ δεῖμ' ἐμοὶ φέρουσάν τι.

Ισ. Ἐγὼ τὰ μὲν παθήμαθ', ἅπαθον πάτερ,
ζητοῦσα τὴν σὴν ποῦ κατοικοίης τροφήν,
παρεῖσ', ἐάσω. δὶς γὰρ οὐχὶ βούλομαι
πονοῦσά τ' ἀλγεῖν, καὶ λέγουσ' αὖθις πάλιν.
ἃ δ' ἀμφὶ τοῖν σοῖν δυσμόροιν παίδοιν κακὰ
νῦν ἐστι, ταῦτα σημανοῦσ' ἐλήλυθα.
πρὶν μὲν γὰρ αὐτοῖς ἦν ἔρις, Κρέοντί τε,
θρόνους ἐᾶσθαι, μηδὲ χραίνεσθαι πόλιν
λόγῳ σκοποῦσι τὴν πάλαι γένους φθοράν,
οἵα κατέσχε τὸν σὸν ἄθλιον δόμον
νῦν δ' ἐκ θεῶν του, κἀξ ἀλιτηροῦ φρενὸς,
εἰσῆλθε τοῖν τρὶς ἀθλίοιν ἔρις κακή,

μὴ δὲ ἐξίστασθαι τοῖς πρεσβυτέροις τοὺς νεωτέρους, ὁμοίως ὥσπερ καὶ ἡμῖν δὲ οἰκοῦσι. τῶν δ' ἄλλων οὐδέν. ἐν μὲν δὲ τοῖς Ἕλλησιν οἱ μὲν ἄνδρες κατὰ τὴν ἀγορὰν οἰκονομοῦσιν. αἱ δὲ γυναῖκες ἔνδον μένουσαι, ταλασιουργοῦσιν. ἐκεῖ δὲ αἱ μὲν γυναῖκες ἐν ἀγορᾷ περὶ πάντα καὶ καπηλεύουσιν. οἱ δὲ ἄνδρες κατὰ τὴν οἰκίαν ὑφαίνουσιν. ὁ γὰρ Σέσωστρις ἐκθηλῦναι τοὺς ἄνδρας βουλόμενος, ἅτε μεγίστης χώρας γεγενημένους καὶ πολλοὺς ὄντας, ὅπως μὴ συστραφέντες ἐπ' ἰσομοιρίαν ὁρμήσωσι, τὰ μὲν ἐκείνων ἔργα, ταῖς γυναιξί. τὰ δὲ τῶν γυναικῶν ἐκείνοις προσέταξεν, ἵνα μὴ μόνον τῶν ὅπλων ἀναγκαίως στερηθέντες, ἀλλὰ καὶ τὴν ψυχὴν ὑπὸ τῶν ἐπιτηδευμάτων ἀνεθέντες, ἀσμένως τοῖς ὑπάρχουσι καταμένωσιν. ὅθεν τοὺς μὲν ψιλοὺς εἶναι. τὰς δὲ αὐξάνειν τὰς τρίχας προσέταξε. καὶ τοὺς μὲν ἐπὶ τῶν κεφαλῶν φέρειν τὰ φορτία. τὰς δὲ ἐπὶ τῶν ὤμων ἠνάγκασε. ἔπειτα δὲ, τοὺς μὲν καθημένους. τὰς δὲ ὀρθὰς ἑστώσας οὐρεῖν. καὶ τοὺς μὲν, δύο ἱμάτια περιβάλλειν. τὰς δὲ, ἕν. ὑπολαμβάνων ἅμα τοῖς ἐπιτηδεύμασι καὶ τὰς ψυχὰς αὐτῶν ἐκθηλύνεσθαι, ὃ καὶ Λυδοῖς ὕστερον συμπεσεῖν φησι. ¶ Αἱ δὲ σύννομοι. αἱ ἀδελφαί, ἢ γυναῖκες. ¶ Νηλίπους. ἀνυπόδητος. ¶ Μαντεῖ' ἄγουσα. τὰ μαντεῖα, ὅτι ὅπου δ' ἂν ταφήσεται, σωτήριός ἐστι τῇ γῇ ἐκείνῃ. ¶ Ζητοῦσα τὴν σὴν. τὸ ἑξῆς, ζητοῦσα τὴν σὴν τροφήν. ἀντὶ τοῦ τὴν δίαιταν. ¶ Δὶς γάρ. τὸ ἑξῆς, δὶς δὲ οὐ βούλομαι ἀλγεῖν. ¶ Πρὶν μὲν γὰρ αὐτοῖς. πρῶτον ἦσαν σκοπήσαντες, τῷ Κρέοντι παραχωρῆσαι τὴν βασιλείαν. ¶ Κρέοντί τε. ὁ τε, πλεονάζει. λόγῳ σκοποῦσι. μετοχή ἐστιν, οὐ ῥῆμα. ¶ Ἀλιτηροῦ. μιαροῦ.

Λαβέσθαι. ἀντιλαβέσθαι. ¶ Τὸν πρόσθεν γεννηθέντα Πολυνείκη. τὸν χρόνῳ προήκοντα, ὅτι πρεσβύτερόν φησι τὸν Πολυνείκη. Τὸ κοῖλον Ἄργος. πολλαχοῦ τὸ Ἄργος κοῖλόν » φησι, καθάπερ καὶ ἐν Ἐπιγόνοις, Τὸ κοῖλον Ἄργος οὐ κατοικήσοντ' ἔτι. καὶ ἐν Θαμύ» ρᾳ, Ἐκ μὲν Ἐριχθονίου ποτιμαστεῖον ἔσχεθε κοῦρον Αὐτόλυκον, πολέων κτεάνων σίνιν » Ἀργεῖ κοίλῳ. Ὅμηρος, Οἳ δ' εἶχον » κοίλην Λακεδαίμονα. ¶ Ὡς αὐτίκ' Ἄργος. ὡς αὐτίκα ἢ τὸ Ἄργος πρὸς οὐρανὸν βιβῶν, ἢ τὸ Καδμείων πέδον τιμωρίᾳ ὑποτάξων. τὸ δὲ τιμῇ, ἔσθ' ὅτε πρόστιμον δηλοῖ. Ὅμηρος, Εἰ δ' ἂν ἐμοὶ τιμὴν Πρίαμος. ἑκάτερον δὲ ἤ, ἀντὶ τοῦ καὶ ἐστί. τὸ δὲ ἑξῆς, οὕτως. αὐτίκα ἢ τὸ Καδμείων πέδον τιμῇ καθέξων, ἢ τὸ Ἄργος πρὸς οὐρανὸν βιβῶν, τουτέστιν ἢ τὸ Ἄργος ὑψώσων τῇ εὐκλείᾳ. ὡς κρατησόντων Ἀργείων τὰς Θήβας, καὶ κατὰ τοῦτο ἐνδόξων γενησομένων. ὑπερβατὸν δέ ἐστι καὶ τὸ ἑξῆς οὕτως. ὡς αὐτίκα ἢ πρὸς οὐρανὸν τὸ Ἄργος οἴσων, ἤγουν, εἰς μέγα αὔξημα. ἢ τὸ Καδμείων πέδον τιμῇ καθέξων. ἄλλως γὰρ ἀκούειν, τραχύτερον. ¶ Ταῦτ' οὐκ ἀριθμός. οὐ μέχρι λόγων προκόπτοντα. ¶ Ὡράν τιν' ἕξειν. φροντίδα. ¶ Ποίοισι τούτοις. οἱ ὑπομνηματισάμενοι γράφουσιν οὕτω. χρησμὸς τοῖς Θηβαίοις ἐγένετο, ὁποτέρῳ ἂν ὁ Οἰδίπους προσθῆται, τοῦτον κρατήσειν. καὶ χωρὶς κατὰ κοινὸν τοῖς Θηβαίοις, ὅτι ἔσται αὐτοῖς μεγάλων κακῶν αἴτιος, ἐὰν μὴ θάψωσιν αὐτὸν ἐν τῇ χώρᾳ. ἐβουλόμην δὲ αὐτὸν μαρτυρίᾳ χρήσασθαι ἢ συγγραφέως τινός, ἢ ποιητοῦ. ¶ Εὐνοίας χάριν. ἵνα εὐνοῇς αὐτοῖς. ἐν τοῖς ἀναγκαιοτέροις τῶν ἀντιγράφων γράφεται, εὐσοίας χάριν, ὃ δὴ οἱ ὑπομνηματισάμενοι ἀξιοῦσιν. εὐσοίαν δέ φασι τὴν εὐσθένειαν, καθά» περ καὶ ἐν Ἀμφιτρύωνι, Ἐπεὶ δὲ βλαστοὶ τῶν τριῶν μίαν λαβεῖν εὐσοίαν ἀρκεῖ. ¶ Γέροντα δ' ὀρθοῦν φλαῦρον. τὸν ἅπαξ ἐν νεότητι πεσόντα ἐν γήρᾳ ὀρθοῦσθαι, ἀδύνατον. ἢ φλαῦρον, χαλεπόν.

ἀρχῆς λαβέσθαι, καὶ κράτους τυραννικοῦ.
χὠ μὲν νεάζων, καὶ χρόνῳ μείων γεγὼς,
τὸν πρόσθε γεννηθέντα Πολυνείκη θρόνων
ἀποστερίσκει, κἀξελήλακεν πάτρας,
ὁ δ', ὡς καθ' ἡμᾶς ἔσθ' ὁ πληθύων λόγος,
τὸ κοῖλον Ἄργος βὰς φυγάς, προσλαμβάνει
κῆδός τε καινὸν, καὶ ξυνασπιστὰς φίλους,
ὡς αὐτίκ' Ἄργος ἢ τὸ Καδμείων πέδον
τιμῇ καθέξων, ἢ πρὸς οὐρανὸν βιβῶν.
ταῦτ', οὐκ ἀριθμός ἐστιν ὦ πάτερ λόγων,
ἀλλ' ἔργα δεινά. τοὺς δὲ σοὺς ὅποι θεοὶ
πόνους κατοικτιοῦσιν, οὐκ ἔχω μαθεῖν.
Οἰ. ἤδη γὰρ ἔσχες ἐλπίδ', ὡς ἐμοῦ θεοὺς
ὤραν τιν' ἕξειν ὥστε σωθῆναί ποτε;
Ισ. ἔγωγε, τοῖς νῦν γ' ὦ πάτερ μαντεύμασι.
Οἰ. ποίοισι τούτοις; τί δὲ τεθέσπισται τέκνον;
Ισ. σὲ τοῖς ἐκεῖ ζητητὸν ἀνθρώποις ποτὲ
θανόντ' ἔσεσθαι, ζῶντά τ', εὐνοίας χάριν.
Οἰ. τίς δ' ἂν τοιοῦδ' ὑπ' ἀνδρὸς εὖ πράξειεν ἄν;
Ισ. ἐν σοὶ τὰ κείνων φασὶ γίγνεσθαι κράτη.
Οἰ. ὅτ' οὐκέτ' εἰμί, τηνικαῦτ' ἄρ' εἴμ' ἀνήρ;
Ισ. νῦν γὰρ θεοί σε ὀρθοῦσι, πρόσθε δ' ὤλλυσαν.
Οἰ. γέροντα δ' ὀρθοῦν, φλαῦρον, ὃς νέος πέσῃ.
Ισ. καὶ μὴν Κρέοντά γ' ἴσθι σοι τούτων χάριν
ἥξοντα βαιοῦ, κοὐχὶ μυρίου χρόνου.
Οἰ. ὅπως τί δράσῃ θύγατερ; ἑρμήνευέ μοι.

Ισ ὥς σ' ἄγχι γῆς στήσωσι Καδμείας, ὅπως
κρατῶσι μὲν σοῦ, γῆς δὲ μὴ 'μβαίνῃς ὅρων.
Οι ἡ δ' ὠφέλησις, τίς, θύραισι κειμένου;
Ισ κείνοις ὁ τύμβος δυστυχῶν ὁ σὸς βαρύς.
Οι κἄνευ θεοῦ, τὶς τοῦτό γ' ἂν γνώμῃ μάθοι;
Ισ τούτου χάριν τοίνυν σε προσθέσθαι πέλας
χώρας θέλουσι, μηδ' ἵν' ἂν σαυτοῦ κρατῇς.
Οι ἦ καὶ κατασκιῶσι Θηβαίᾳ κόνει;
Ισ ἀλλ' οὐκ ἐᾷ τοὔμφυλον αἷμά σ' ὦ πάτερ.
Οι οὐκ ἄρ' ἐμοῦ γε μὴ κρατήσωσίν ποτε;
Ισ ἔσται ποτ' ἆρα τοῦτο Καδμείοις βάρος.
Οι ποίας φανείσης ὦ τέκνον συναλλαγῆς;
Ισ τῆς σῆς ὑπ' ὀργῆς, σοῖς ὅταν στῶσι τάφοις.
Οι ἃ δ' ἐννέπεις, κλύουσα τοῦ, λέγεις τέκνον;
Ισ ἀνδρῶν θεωρῶν Δελφικῆς ἀφ' ἑστίας.
Οι καὶ ταῦτ' ἐφ' ἡμῖν Φοῖβος εἰρηκὼς κυρεῖ;
Ισ ὥς φασιν οἱ μολόντες εἰς Θήβης πέδον.
Οι παίδων τὶς οὖν ἤκουσε τῶν ἐμῶν τάδε;
Ισ ἄμφω θ' ὁμοίως, κἀξεπίστασθον καλῶς.
Οι κᾆθ' οἱ κάκιστοι τῶνδ' ἀκούσαντες, πάρος
τοὐμοῦ πόθου προὔθεντο τὴν τυραννίδα;
Ισ ἀλγῶ κλύουσα ταῦτ' ἐγώ. φέρω δ' ὅμως.
Οι ἀλλ' οἱ θεοί σφι, μήτε τὴν πεπρωμένην
ἔριν κατασβέσειαν, ἐν δ' ἐμοὶ τέλος
αὐτοῖν γένοιτο τῆσδε τῆς μάχης πέρι,
ἧς νῦν ἔχονται, κἀπαναιροῦνται δόρυ,
ὡς οὔτ' ἂν ὃς νῦν σκῆπτρα καὶ θρόνους ἔχει
μείνειεν, οὔτ' ἂν οὑξεληλυθὼς, πόλιν
ἔλθοι ποτ' αὖθις, οἵ γε τὸν φύσαντ' ἐμὲ
οὕτως ἀτίμως πατρίδος ἐξωθούμενον,
οὐκ ἔσχον, οὐδ' ἤμυνον, ἀλλ' ἀνάστατος
αὐτοῖν ἐπέμφθην, κἀξεκηρύχθην φυγάς.
εἴποις ἂν ὡς θέλοντι τοῦτ' ἐμοὶ τότε
πόλις τὸ δῶρον εἰκότως κατήνυσεν

Ὡς ἄγχι γῆς στήσωσιν. ὅπως χωσί σε. ἢ κατοικήσωσι. ¶ Θύραισι κειμένου. ἀντὶ τοῦ οἰκοῦντος. ℭ Κείνοις ὁ τύμβος. ὁ τύμβος δυστυχῶν ὁ σὸς, κείνοις βαρύς. ἀντὶ τοῦ, τοῦ ξένης σου θαπτομένου, δυστυχήσουσιν ἐκεῖνοι. ¶ Κἄνευ θεοῦ. οἷον, πῶς ἄν τις ταῦτα δύναιτο μαθεῖν ἄνθρωπος ὢν, θείας δυνάμεως χωρίς. ὁ δὲ ἐπίσταται ὅτι πυθόχρηστόν ἐστι τὸ λεγόμενον. ℭ Προσθέσθαι πέλας. ἀντὶ τοῦ κατοικίσαι. ℭ Χώρας. τῆς Θήβης. ¶ Μηδ' ἵν' ἂν σαυτοῦ κρατῇς. μὴ δὲ ἐᾶν σε ὅπου ἂν σαυτοῦ ἐξουσιάσῃς. λείπει τὸ, ἐᾶν ῥῆμα. ἢ ἀπὸ κοινοῦ τὸ, προσθέσθαι. ℭ Ἢ καὶ κατασκιῶσιν. οἷον, ἐν Θήβαις με χώσουσι. ¶ Τοὔμφυλον αἷμα. τὸ πατρῷος φόνος. ℭ Μὴ κρατήσωσι. ἤγουν θάπτειν με ἐν Θήβῃ. ὁ δὲ μὴ, πλεονάζει.

Ἔσται ποτ' ἆρα. διὰ τὸ μὴ κατασχεῖν σε. ℭ Ποίας φανείσης. ποίας αἰτίας γενομένης βλαβήσονται. ἀντὶ τοῦ ὑπὸ θεῶν, ὑπὸ ἐριννύων, ἢ ὑπό τινος. Ἀνδρῶν θεωρῶν. παρὰ τῶν θεωρῶν κλύουσα. ¶ Ἐφ' ἡμῖν. ἀντὶ τοῦ δι' ἐμέ. Ὡς φασιν. οἱ θεωροί. ¶ Ἐν δ' ἐμοὶ τέλος. ἐν μηδενὶ ἑτέρῳ τὸ τέλος αὐτοῖς ἀποβαίη τῆς μάχης, ἢ ἐν ἐμοί. οἷον, μηδεὶς ἄλλος κύριος γένοιτο, ὥστε διαλῦσαι τὴν ἔριν αὐτῶν, ἢ ἐγώ. ¶ Κἀπαναιροῦνται δόρυ. κατ' ἀλλήλων ἐπαίρουσιν. ¶ Ὡς οὔτ' ἂν ὃς νῦν σκῆπτρα. εἰ γὰρ ἐν τῇ ἐμῇ ἐξουσίᾳ γένοιτο, οὐδὲ εἷς αὐτῶν σχήσεται. ¶ Αὐτοῖν ἐπέμφθην. τὸ ἐφ' ἑαυτοῖς οὐκ ἐπήρκεσαν. ἐνῆν γὰρ αὐτοῖς τὸ ἐφ' αὐτοῖς τοῦτο πρᾶξαι, ὡς αὐτάρκως κεκολασμένου τῇ πηρώσει. Θέλοντι τοῦτ' ἐμοί. τὸ ἐξορισθῆναι.

ΟΥδεὶς ἔρωτος τοῦδε. τούτου τοῦ ἔρωτος οὐδείς με ἐποίει ἀπολαῦσαι· τοῦ ἀποθανεῖν δέ φησιν. ¶ Ὁ μόχθος ἦν πέπων. ὅτε θυμὸς ἦν πέπειρος. Κἀμάνθανον τὸν θυμόν. ὅτε ἐκεῖνοι ἔγνωσαν πέψαντά με τὸν θυμόν. ¶ Τὼ δ' ἀντὶ τοῦ φύσαντος. ἐκεῖνοι. οἱ ἄρρενες δηλονότι. Λάχωσι τοῦδε. ἀντὶ τοῦ ἐμοῦ. ¶ Ἐγῷδα. ἐγὼ οἶδα. ¶ Ἐὰν γὰρ ὑμεῖς. εἰ ὑμεῖς συμβάλλεσθέ μοι ἑαυτοῖς συμβάλλεσθε. χρησμὸς γὰρ ἦν, ὡς ἦν οἱ ἀθηναῖοι τοῦ τάφου αὐτοῦ ἐγκρατεῖς γένωνται, ἔσοιτο αὐτοῖς σωτὴρ πολιορκουμένοις ὑπὸ θηβαίων. εἴτε κατὰ τὸν πελοποννησιακὸν πόλεμον, εἴτε καθ' ἕτερον. ταῦτα δὲ εἰκὸς ποιητικώτερον ὑπὸ τοῦ Σοφοκλέους πεπλάσθαι, ἐπὶ θεραπείᾳ τῶν ἀθηναίων. πολλαχοῦ δὲ οἱ τραγικοὶ χαρίζονται ταῖς πατρίσιν ἔνια. ¶ Ἐπεὶ δὲ τῆσδε γῆς. ὅτι δὲ σώζειν ὑπισχνῇ τὴν πόλιν, ὑποθέσθαι σοὶ βούλομαι τὰ χρήσιμα. ἀττικῶς δὲ παρὰ τὴν σύνταξιν. καὶ πιθανὴ λοιπὸν ἡ χάρις τῶν ἐγχωρίων ἀνδρῶν. παραινοῦσι γὰρ αὐτὸν καθαρσίων τυχεῖν, ἵνα ἧττόν πως ἐναγὴς φαίνοιτο. Προξένει. λέγε μοι, καὶ πάρεχε τὰ χρήσιμα, οὐ γὰρ ὀκνήσαιμι τελεῖν. ἢ πρόξενος ἐμοὶ καὶ φίλος γενοῦ ὑπισχόμενος πᾶν ὃ λέγω ποιήσειν. Κατέστειψας. κατεβάτευσας. γράφεται καὶ κατέστειψον. ἤγουν, μετὰ ἱκετηρίων ἀφίκου. ἄλλως. Κατέστειψον. καθικέτευσον. μετὰ ἱκετηρίων ἀφίκου. ἐὰν δὲ γράφηται κατέστειψας, οἷον κατεβάτευσας. ὃ καὶ πιθανώτερον,

οὐ δῆτ'. ἐπεί τοι τὴν μὲν αὐτίκ' ἡμέραν
ὁπηνίκ' ἔζει θυμός, ἥδιστον δέ μοι
τὸ κατθανεῖν ἦν, καὶ τὸ λευσθῆναι πέτροις,
οὐδεὶς ἔρωτ' ἐς τόνδ' ἐφαίνετ' ὠφελῶν.
χρόνῳ δ' ὅτ' ἤδη πᾶς ὁ μόχθος ἦν πέπων
κἀμάνθανον τὸν θυμὸν ἐκδραμόντα μοι
μείζω κολαστὴν τῶν πρὶν ἡμαρτημένων,
τὸ τηνίκ' ἤδη, τοῦτο μὲν πόλις βίᾳ
ἤλαυνέ μ' ἐκ γῆς χρόνιον. οἱ δ' ἐπωφελεῖν
οἱ τοῦ πατρὸς τῷ πατρὶ δυνάμενοι, τὸ δρᾶν
οὐκ ἠθέλησαν. ἀλλ' ἔπους μικροῦ χάριν,
φυγάς σφιν ἔξω πτωχὸς ἠλώμην ἐγώ.
ἐκ ταῖνδε δ' οὔσαιν παρθένοιν, ὅσον φύσις
δίδωσιν αὐταῖν, καὶ τροφὰς ἔχω βίου,
καὶ γῆς ἄδειαν, καὶ γένους ἐπάρκεσιν.
τὼ δ' ἀντὶ τοῦ φύσαντος, εἱλέσθην θρόνους,
καὶ σκῆπτρα κραίνειν, καὶ τυραννεύειν χθονός.
ἀλλ' οὔ τι μὴ λάχωσι τοῦδε συμμάχου,
οὔτε σφιν ἀρχῆς τῆσδε Καδμείας ποτὲ
ὄνησις ἥξει, τοῦτ' ἐγᾦδα, τῆσδέ τε
μαντεῖ' ἀκούων. συννοῶν τάτ' ἐξ ἐμοῦ
παλαίφαθ', ἅ μοι Φοῖβος ἤνυσέν ποτε.
πρὸς ταῦτα, καὶ Κρέοντα πεμπόντων, ἐμοῦ
μαστῆρα, κεἴ τις ἄλλος ἐν πόλει σθένει.
ἐὰν γὰρ ὑμεῖς ὦ ξένοι, θέλητέ μου
σὺν ταῖσι ταῖς σεμναῖς δημούχοις θεαῖς
ἀλκὴν ποιεῖσθαι, τῇδε τῇ πόλει μέγαν
σωτῆρ' ἀρεῖσθε, τοῖς δ' ἐμοῖς ἐχθροῖς πόνους.

Χο. ἐπάξιος μὲν Οἰδίπους κατοικτίσαι
αὐτός τε, παῖδές θ' αἵδ'. ἐπεὶ δὲ τῆσδε γῆς
σωτῆρα σαυτὸν τῷδ' ἐπεμβάλλεις λόγῳ,
παραινέσαι σοι βούλομαι τὰ σύμφορα.

Οἰ. ὦ φίλταθ', ὡς νῦν πᾶν τελοῦντι προξένει.

Χο. θοῦ νῦν καθαρμὸν τῶνδε δαιμόνων, ἐφ' ἃς
τὸ πρῶτον ἵκου, καὶ κατέστειψας πέδον.

Οἰ. τρόποισι ποίοις; ὦ ξένοι, διδάσκετε.

δι' αὐτὸ τὸ τῶν κελευόντων αὐτὸν καθαίρεσθαι. ὅτι εἰς ἄβατον ἐπέβη τόπον, τὸ ἱερὸν τῶν σεμνῶν. ¶ Πρῶτον μὲν ἱερὰς ἐξ ἀειρρύτου. ἀπὸ ἀενάου πηγῆς ὕδωρ ἀρύσαι, καὶ οὕτω χοὰς ταῖς θεαῖς πίνειν ἀπὸ τῶν κρατήρων, πλήσας αὐτοὺς ἀπὸ τοῦ ἀντληθέντος ὕδατος. ὅταν δὲ τοῦτο χεῦμ' ἀκήρατον λάβω. αὐτὶ τοῦ, καὶ ὅταν ἀρύσωμαι, τί πράξω; ¶ Ἀνδρὸς εὔχειρος. εὐπαλάμου κατὰ τὴν μετάληψιν. τοῦ δαιδάλου ἡ ἀναφορά. περὶ οὗ Φερεκύδης φησὶν οὕτω, Μητίονι δὲ τῷ ἐρεχθέως καὶ ἰφινόης γίνεται δαίδαλος. ἀφ' οὗ ὁ δῆμος καλεῖται δαιδαλίδαι ἀθήνησι. ¶ Καὶ λαβὰς

Χο. πρῶτον μὲν, ἱερὰς ἐξ ἀειρρύτου χοὰς
κρήνης ἐνεγκοῦ δι' ὁσίων χειρῶν θιγών.
Οἰ. ὅταν δὲ τοῦτο χεῦμ' ἀκήρατον λάβω;
Χο. κρατῆρές εἰσιν, ἀνδρὸς εὔχειρος τέχνη.
ὧν κρᾶτ' ἔρεψον καὶ λαβὰς ἀμφιστόμους.
Οἰ. θαλλοῖσιν, ἢ κρόκαισιν, ἢ ποίῳ τρόπῳ;
Χο. οἰὸς νεαρᾶς νεοτόκῳ μαλλῷ βαλών.
Οἰ. εἶεν, τὸ δ' ἔνθεν, ποῖ τελευτῆσαί με χρή;
Χο. χοὰς χέασθαι, στάντα πρὸς πρώτην ἕω.
Οἰ. ἦ τοῖσδε κρωσσοῖς οἷς λέγεις χέω τάδε;
Χο. τρισσάς γε πηγάς, τὸν τελευταῖον δ' ὅλον.
Οἰ. τοῦ, τόνδε πλήσας θῶ; δίδασκε καὶ τόδε.
Χο. ὕδατος μελίσσης, μηδὲ προσφέρειν μέθυ.
Οἰ. ὅταν δὲ τούτων γῆ μελάμφυλλος τύχῃ;
Χο. τρὶς ἐννέ' αὐτῇ κλῶνας ἐξ ἀμφοῖν χεροῖν
τιθεὶς ἐλαίας, τάσδ' ἐπεύχεσθαι λιτάς.
Οἰ. τούτων ἀκοῦσαι βούλομαι. μέγιστα γάρ.
Χο. ὥς σφας καλοῦμεν εὐμενίδας, ἐξ εὐμενῶν

ἀμφιστόμους. τὰ ὦτα δηλονότι τὴν προτομὴν, ὧν δεῖ λαβέσθαι. ἀμφιστόμους δὲ, τὰς ἑκατέρωθεν ἐστομωμένας. ἢ διὰ τὸ ἑκατέρωθεν τοῦ στόματος ταύτας εἶναι. ἢ τὰς προσωπά τινα θηρίων ἑκατέρωθεν ἐχούσας. ἔρεψον καὶ τῶν κρατήρων τὴν κεφαλήν. ¶ Οἰὸς νεοτόκῳ μαλλῷ λαβών. οἷον, στολισμῷ καὶ κροκισμῷ λαβὼν στέψον, ἢ ἐρίῳ στέψον. ὅτι δὲ στέμματα ἔλεγον τὰ ἔρια, καὶ παρ' εὐριπίδῃ ὡς στέμματ' ἔξηνας ἐπέκλωσε θεά. ¶ Χοὰς χέασθαι στάντα πρὸς πρώτην ἕω. πρὸς τὴν ἀνατολήν. ἢ περὶ τὸν ὄρθρον. καὶ γὰρ δὴ καὶ τὰς ἐκθύσεις πρὸς ἥλιον ἐποιοῦντο, καθάπερ καὶ ἐν ἠλέκτρᾳ, Τοιαῦτά του παρόντος ἡνίχ' ἡλίῳ Δείκνυσι τοὔναρ, ἔκλυον ἐξηγουμένου. καὶ οἱ τοὺς καθαρμοὺς δὲ ἐπιτελοῦντες, πρὸς τὴν ἕω ἵστανται. Κρατῖνος ἐν χείρωνι, Ἄγε δὴ πρὸς ἕω πρῶτον ἁπάντων ἵστω. καὶ λάμβανε χερσὶ σχῖνον μεγάλην. Χέω τάδε. τὸ ὕδωρ δηλονότι τῶν κρατήρων χέω. ¶ Τρισσάς γε πηγάς. αὐτὶ τοῦ τὸ ὕδωρ ἀπὸ τριῶν πηγῶν. ¶ Τὸν τελευταῖον. τὸν ὕστερον κρατῆρα. ¶ Ὕδατος μελίσσης. ὕδατος καὶ μέλιτος. λείπει δὲ ὁ καί. ἀπό τινος τοῦ ποιοῦντος τὸ ποιούμενον. καὶ ἐν ἐρασταῖς, γλώσσης μελίσσης τῷ κατερρυηκότι. βούλεται δὲ λέγειν τὸ μελίκρατον. ¶ Μηδὲ προσφέρειν μέθυ. ἄοινοι γὰρ αἱ θεαί. ¶ Ὅταν δὲ τούτων γῆ. ὅταν δὲ τὰς χοὰς χέωμεν τῆς γῆς, τί χρή με ὕστερον δρᾶσαι. ¶ Τρὶς ἐννέ' αὐτῇ. τρὶς ἐννέα τιθεὶς κλῶνας ἐλαίας ταύτας ποιοῦ τὰς εὐχάς. ¶ Τούτων ἀκοῦσαι. ἡδέως ἀκούσαιμι τῶν εὐχῶν. μέγιστον γὰρ ταύτας μαθεῖν. ¶ Ὥς σφας καλοῦμεν. ὡς καλοῦμεν αὐτὰς, εὐμενίδας δηλονότι. οὕτως αὐτὰς καλῶν κἀξ εὐμενῶν, καὶ ἵλεως ποιούμενος, ἱκέτευε αὐτὰς δέχεσθαί σε τὸν ἱκέτην δηλονότι σωτηρίᾳ.

Στέρνων. ἐκ τῶν στέρνων. οἷον, μὴ διὰ ψιλῆς, ἀλλ' ἐνδιαθέτως. ¶ Αὐτός τε σύ γ' αὐτός. οἷον, ἢ σὺ ταῦτα ποίει, ἢ ἄλλος τις ὑπὲρ σοῦ ταῦτα ποιείτω. ¶ Ἄπυστα φωνῶν. ἀνήκουστα. ἀντὶ τοῦ ἠρέμα καὶ συντόμως. τοῦτο ἀπὸ τῆς δρωμένης θυσίας ταῖς Εὐμενίσι φησί. μετὰ γὰρ ἡσυχίας τὰ ἱερὰ δρῶσι. καὶ διὰ τοῦτο οἱ ἀπὸ Ἡσύχου θύουσιν αὐταῖς, καθάπερ Πολέμων ἐν τοῖς πρὸς Ἐρατοσθένην φησὶν οὕτω, Τὸ δὲ τῶν Εὐπατριδῶν γένος οὐ μετέχει τῆς θυσίας ταύτης. εἶτα ἑξῆς. τῆς δὲ πομπῆς ταύτης Ἡσυχίδαι, ὃ δὴ γένος ἐστὶ περὶ τὰς σεμνὰς θεάς, καὶ τὴν ἡγεμονίαν ἔχει, καὶ προθύονται πρὸ τῆς θυσίας κριὸν Ἡσύχῳ, ἱερὸν ἥρῳ τοῦτον οὕτω καλοῦντες. διὰ γοῦν εὐφημίαν, οὗ τὸ ἱερόν ἐστι παρὰ τὸ Κυλώνιον, ἐκτὸς τῶν ἐννέα πυλῶν. ὅτι Ἀπολλόδωρος δὲ ἐν τῇ περὶ θεῶν ἑπτακαιδεκάτῃ περὶ τῶν Ἡσυχιδῶν γένους καὶ τῆς ἱερᾶς φησι. καὶ Καλλίμαχος, Νηφάλιαι καὶ τῇσιν ἀεὶ μελιηδέας ὄπας λήτειραι καίειν ἔλλαχον Ἡσυχίδαι. ¶ Παρασταίην ἐγώ. ὡς καθαρθέντι. ¶ Δειμαίνοιμ' ἄν. μὴ καθαρθέντι.

Οὐχ ὁδωτά. οὐκ ἐν ὁδῷ. οὐδὲ ἀνυστά. οἷον, οὐ βαδιστέα μοι, οὐδὲ πρακτέον ταῦτα. λείπομαι γὰρ τῆς πράξεως ὑπὸ δύο κακῶν. τό, τε μὴ δύνασθαι, καὶ τὸ μὴ ὁρᾶν.

Σφῷν δ' ἡτέρα. εἰρήκεσαν γὰρ ὅτι καὶ ἄλλοις ἐξεῖν ὑπὲρ αὐτοῦ τὸν καθαρμὸν ποιήσασθαι. ¶ Ψυχὴν τάδ' ἐκτείνουσαν. πεταμένως καὶ συντόνως δρῶσαν καὶ διακονοῦσαν.

στέρνων δέχεσθαι τὸν ἱκέτην σωτήριον,
αὐτός τε σύ γ' αὐτός, κεἴ τις ἄλλος ἀντὶ σοῦ,
ἄπυστα φωνῶν, μηδὲ μηκύνων βοήν.
ἔπειτ' ἀφέρπειν ἄστροφος. καὶ ταῦτά σοι
δράσαντι, θαρρῶν ἂν παρασταίην ἐγώ.
ἄλλως δὲ, δειμαίνοιμ' ἂν ὦ ξέν' ἀμφὶ σοί.
Οἰ. ὦ παῖδε, κλύετον τῶνδε προσχώρων ξένων;
Ισ. ἠκούσαμέν τε, χὤ, τι δεῖ πρόστασσε δρᾶν.
Οἰ. ἐμοὶ μὲν οὐχ ὁδωτά. λείπομαι γὰρ ἐν
τῷ μὴ δύνασθαι, μήθ' ὁρᾶν δυοῖν κακοῖν.
σφῷν δ' ἡτέρα μολοῦσα πραξάτω τάδε.
ἀρκεῖν γὰρ οἶμαι κἀντὶ μυρίων μίαν
ψυχὴν τάδ' ἐκτίνουσαν, ἢν εὔνους παρῇ.
ἀλλ' ἐν τάχει τι πράσσετον. μόνον δέ με
μὴ λείπετ'. οὐ γὰρ ἂν σθένοι τοὐμὸν δέμας
ἐρῆμον ἕρπειν, οὐδ' ὑφηγητοῦ δ' ἄνευ.
Ισ. ἀλλ' εἶμ' ἐγὼ τελοῦσα. τὸν τόπον δ' ἵνα
χρῆσταί μ' ἐφευρεῖν, τοῦτο βούλομαι μαθεῖν.
Χο. τοὐκεῖθεν ἄλσους ὦ ξένη, τοῦδ'. ἢν δέ του
σπάνιν τιν' ἴσχεις, ἔστ' ἔποικος, ὃς φράσει.
Ισ. χωροῖμ' ἂν εἰς τόδ'. Ἀντιγόνη, σὺ δ' ἐνθάδε
φύλασσε πατέρα τόνδε. τοῖς τεκοῦσι γὰρ
οὐδ' εἰ πονῇ τις, δεῖ πόνου μνήμην ἔχειν.

Οὐ γὰρ ἂν σθένοι τοὐμὸν δέμας. ἄνευ χειραγωγοῦ. ἀπὸ κοινοῦ δὲ τὸ ἕρπειν. οὐκ ἰσχύσω βαδίζειν. ¶ Χρῆσταί μ' ἐφευρεῖν. χρεία ἔσται. κατὰ συναλοιφὴν χρῆσται, ἀντὶ τοῦ χρεία ἔσται. δηλοῦται δὲ ταυτὸν τῷ δήσει. καὶ ἐν Τριπτολέμῳ. Χρῆσται δέ σ' ἔνθεν δ' αὖθις. ¶ Τοῦτο βούλομαι μαθεῖν. ἔνθα τὸ ὕδωρ ἐστίν, ἡδέως ἂν εἰδείην. Τοὐκεῖθεν ἄλσους. τὸ ἐκεῖθεν τοῦ ἄλσους τούτου. ἐὰν δὲ ἔρῃ τούτων ἀγνοῇς, παρά τινος τῶν ἐπιχωρίων τοῦτο μαθήσῃ. Ἢν δέ του σπάνιν τιν' ἴσχεις. ἀντὶ τοῦ, εἴ τι τοῦ εἰδήσεως ἀγνοεῖς περὶ τὸν τόπον. Τοῖς τεκοῦσι γάρ. ὅταν τις ὑπὲρ γονέων πονῇ, μὴ ἡγείσθω πόνον εἶναι τὸν κάματον.

Χο. δεινὸν μὲν τὸ πάλαι κείμενον ἤδη κακὸν
ὦ ξεῖν' ἐπεγείρειν.
ὅμως δ' ἔραμαι πυθέσθαι.
Οι. τί τοῦτο;
Χο. τᾶς δειλαίας ἀπόρου φανείσας
ἀλγηδόνος, ᾇ ξυνέστας.
Οι. μὴ πρὸς ξενίας ἀνοίξῃς
τᾶς σᾶς. πέπονθ' ἔργ' ἀναιδῆ.
Χο. τό, τοι πολὺ καὶ μηδαμὰ λῆγον
χρῄζω ξεῖν' ὀρθὸν ἄκουσμ' ἀκοῦσαι.
Οι. ἰώ μοι.
Χο. στέρξον ἱκετεύω.]
Οι. φεῦ. φεῦ.
Χο. πείθου. κἀγὼ γὰρ ὅσον σὺ προσχρῄζεις.
Οι. ἤνεγκον κακότατ' ὦ ξένοι, ἤνεγκον. ἄκων μὲν, θεὸς ἴστω.
τούτων δ' αὐθαίρετον οὐδέν.
Χο. ἀλλ' ἐς τί;
Οι. κακᾷ μὲν εὐνᾷ πόλις οὐδὲν ἴδρεις
γάμων ἐνέδησεν ἄτᾳ.
Χο. ἦ μητρόθεν ὡς ἀκούω
δυσώνυμα λέκτρ' ἐπλήσω;
Οι. ὤ μοι. θάνατος μὲν τάδ' ἀκούειν
ὦ ξεῖν'. αὗται δὲ δύ' ἐξ ἐμοῦ.
Χο. πῶς φής;
Οι. παῖδε δύο δ' ἄτα.
Χο. ὦ Ζεῦ.
Οι. ματρὸς κοινᾶς
ἀπέβλαστον ὠδῖνος.
Χο. σαί τ' ἄρ' εἰσ' ἀπόγονοί τε καὶ
κοιναί γε πατρὸς ἀδελφεαί;
Οι. ἰώ.
Χο. ἰὼ δῆτα.
Οι. μυρίων γ' ἐπιστροφαὶ κακῶν.
Χο. ἔπαθες;
Οι. ἔπαθον ἄλαστ' ἔχειν.
Χο. ἔρεξας;
Οι. οὐκ ἔρεξα.
Χο. τί γάρ;

¶ Δεινὸν μὲν τὸ πάλαι. τῆς Ἰσμήνης ἀποστάσης, ὁ χορὸς ἐρωτᾷ τὸν Οἰδίποδα, καί φησι, τὸ ἐπεγείρειν μὲν, καὶ ἀνακινεῖν τὰ πάλαι συμβάντα, δυσχερές. ὅμως δὲ μαθεῖν ἐπιθυμῶ τὴν αἰτίαν τῆς πηρώσεως. καὶ ἔστι παθητικά. Καλλίμαχος, Τί δάκρυον εὗδον ἐγείρεις; ¶ Τί τοῦτο; οἷον, τί βούλει πυθέσθαι. ¶ Τᾶς δειλαίας ἀπόρου. τῆς περὶ σὲ ἐγκειμένης σοι ἀλγηδόνος, ἡδέως ἂν πυθοίμην. ἔξωθεν δὲ ἡ περί.

¶ Μὴ πρὸς ξενίας. Μὴ πρὸς τῆς σῆς ξενίας ἀναπτύξῃς μου τὰ ἀναιδῆ ἔργα. ἢ οὔ μοι τὰς πρὸ ξενίας σου τὰ ἔργα ἀναιδῆ καταγάγῃς, οἷον, εἰ μὴ κατὰ τὴν προξενίαν τὴν σὴν, ἔργον γένοιο φαύλων ἀκροατὴς, ἀναπτύξαι καὶ φανερῶσαι τὰ κατ' ἐμὲ βουληθείς. ¶ Τό, τοι πολύ. τὸ ἀδιάλειπτον κακὸν τὸ κατὰ τὴν πήρωσιν χρῄζω ἀκοῦσαι. ¶ Στέρξον ἱκετεύω. στέρξον ὃ λέγω, καὶ μὴ ἀποστραφῇς τὴν αἰτίαν εἰπεῖν. ὃ δεῖ, πρόσδεξαί με. ¶ Πείθου. κἀγὼ γάρ. πείσομαι δηλονότι εἰς ὅσον βούλει. ¶ Ἀλλ' ἐς τί; χωρήσει σοι τὰ πράγματα. ¶ Οὐδὲν ἴδρις. οἷον, οὐδὲν εἰδυῖα ἡ πόλις ἐνέδησέ με τῇ τοῦ γάμου ἄτῃ.

¶ Ἐπιστροφαὶ κακῶν. συναθροίσεις, πλῆθος.

Ἐδεξάμην δῶρον. τὸν γάμον ἐπὶ μητρός φησιν. ἀντὶ τοῦ λύσεως τοῦ αἰνίγματος δῶρον ἐδεξάμην, ὃ μήποτε ὄφελον λαβεῖν. ἀντὶ δὲ τοῦ εἰπεῖν μήποτε ὄφελον ἐγὼ παρὰ τῆς πόλεως ἐξαίρετον ἰδεῖν, οὕτως εἴρηκεν. ἐπωφέλησα πόλεως ἐξελέσθαι.

Καὶ γὰρ ἄλλους ἐφόνευσα. τοὺς παρόντας σὺν τῷ Λαΐῳ. ἤγουν ὡς ἄλλους φονεύσας, ἀθῷός εἰμι· καὶ οὐ πέπραγα ἔνοχος τῷ μύσει, οὕτω καὶ αὐτοῦ τοῦ πατρός. οὐ γὰρ ᾔδειν.

Πολλῶν ἀκούων. χρηστὸς ὁ Θησεὺς τὸ ἦθος εἰσάγεται. καὶ ἔχει καὶ τοῦτο τῆς οἰκονομίας δεξιώτατα.

Προστροπήν. ὠφέλειαν.

Ὡς ἐπαιδεύθην. τὸ ὡς, ἀντὶ τοῦ ὅτι.

Οἰ. ἐδεξάμην δῶρον,
ὃ μήποτ᾽ ἐγὼ ταλακάρδιος
ἐπωφέλησα πόλεως ἐξελέσθαι.
Χο. δύστανε, τί γάρ; ἔθου φόνον;
Οἰ. τί τοῦτο; τί δ᾽ ἐθέλεις μαθεῖν;
Χο. πατρός.
Οἰ. παπαῖ. δευτέραν ἔπαισας ἐπὶ νόσῳ νόσον.
Χο. ἔκανες;
Οἰ. ἔκανον. ἔχει δέ μοι.
Χο. τί τοῦτο; Οἰ. πρὸς δίκας τι.
Χο. τί γάρ; Οἰ. ἐγὼ φράσω.
καὶ γὰρ ἄλλους ἐφόνευσα, καὶ ἀπώλεσα.
νόμῳ δὲ καθαρὸς ἄϊδρις εἰς τόδ᾽ ἦλθον.
Χο. καὶ μὴν ἄναξ ὅδ᾽ ἡμῖν Αἰγέως γόνος
Θησεὺς, κατ᾽ ὀμφὴν σὴν ἀπεστάλη πάρα.
Θη. Πολλῶν ἀκούων ἔν τε τῷ πάρος χρόνῳ,
τὰς αἱματηρὰς ὀμμάτων διαφθορὰς,
ἔγνωκά σ᾽ ὦ παῖ Λαΐου τανῦν θ᾽ ὁδοῖς
ἐν ταῖσδ᾽ ἀκούων, μᾶλλον ἐξεπίσταμαι.
σκευή τε γάρ σε καὶ τὸ δύστηνον κάρα
δηλοῦτον ἡμῖν ὄνθ᾽, ὃς εἶ, καί σ᾽ οἰκτίσας
θέλω τι ἐρέσθαι δύσμορ᾽ Οἰδίπου. τίνα
πόλεως ἐπέστης προστροπὴν ἐμοῦ τ᾽ ἔχων
αὐτός τε χ᾽ ἡ σὴ δύσμορος παραστάτις;
δίδασκε. δεινὴν γάρ τιν᾽ ἂν πρᾶξιν τύχοις
λέξας, ὁποίας ἐξαφισταίμην ἐγώ.
ὃς οἶδα καὐτὸς, ὡς ἐπαιδεύθην ξένος,
ὥσπερ σὺ, χ᾽ ὥστις πλεῖστ᾽ ἀνὴρ ἐπὶ ξένης
ἤθλησα κινδυνεύματ᾽ ἐν τῷ ᾽μῷ κάρᾳ.
ὥστε ξένον γ᾽ οὐδέν᾽ ὄνθ᾽ ὥσπερ σὺ νῦν,
ὑπεκτραποίμην μὴ οὐ συνεκσῴζειν σ᾽. ἐπεὶ
ἔξοιδ᾽ ἀνὴρ ὢν, χ᾽ ὤτι τ᾽ ἐς αὔριον
οὐδὲν πλέον μοι σοῦ μέτεστιν ἡμέρας.
Οἰ. Θησεῦ, τὸ σὸν γενναῖον ἐν σμικρῷ λόγῳ
παρῆκεν, ὥστε βραχέ᾽ ἐμοὶ δεῖσθαι φράσαι.
σὺ γάρ μ᾽ ὃς εἰμὶ κἀφ᾽ ὅτου πατρὸς γεγὼς,
καὶ γῆς ὁποίας ἦλθον, εἰρηκὼς κυρεῖς.
ὥστ᾽ ἐστί μοι τὸ λοιπὸν οὐδὲν ἄλλο, πλὴν
εἰπεῖν ἃ χρῄζω, χ᾽ ὁ λόγος διοίχεται.

Θη. τοῦτ' αὐτὸ νῦν δίδασχ', ὅπως ἂν ἐκμάθω.
Οἰ. δώσων ἱκάνω τοὐμὸν ἄθλιον δέμας
σοὶ δῶρον, οὐ σπουδαῖον εἰς ὄψιν, τὰ δὲ
κέρδη παρ' αὐτοῦ κρείσσον', ἢ μορφὴ καλή.
Θη. ποῖον δὲ κέρδος ἀξιοῖς ἥκειν φέρων;
Οἰ. χρόνῳ μάθοις ἄν, οὐχὶ τῷ παρόντι που.
Θη. ποίῳ γὰρ ἡ σὴ προσφορὰ δηλώσεται;
Οἰ. ὅταν θάνω 'γὼ, καὶ σύ μου ταφεὺς γένῃ.
Θη. τὰ λοίσθι' αἰτῇ τοῦ βίου. τὰ δ' ἐν μέσῳ,
ἢ λῆστιν ἴσχεις, ἢ δι' οὐδενὸς ποιῇ.
Οἰ. ἐνταῦθα γάρ μοι κεῖνα συγκομίζεται.
Θη. ἀλλ' ἐν βραχεῖ δὴ τήνδε μ' ἐξαιτῇ χάριν.
Οἰ. ὅρα γε μήν. οὐ σμικρὸς οὖν ἀγὼν ὅδε.
Θη. πότερα τὰ τῶν σῶν ἐκγόνων, ἢ 'μοῦ λέγεις;
Οἰ. κεῖνοι κομίζειν κεῖσ' ἀναγκάζουσί με.
Θη. ἀλλ' εἰ θέλοντ' ἄν γ' οὐδὲ σοὶ φεύγειν καλόν.
Οἰ. ἀλλ' οὐδ' ὅτ' αὐτὸς ἤθελον, παρίεσαν.
Θη. ὦ μῶρε. θυμὸς δ' ἐν κακοῖς οὐ ξύμφορον.
Οἰ. ὅταν μάθῃς μου, νουθέτει. τανῦν δ' ἔα.
Θη. δίδασκ'. ἄνευ γνώμης γ', οὔ με χρὴ λέγειν.
Οἰ. πέπονθα Θησεῦ δεινὰ πρὸς κακοῖς κακά.
Θη. ἢ τὴν παλαιὰν ξυμφορὰν γένους ἐρεῖς;
Οἰ. οὐ δῆτ'. ἐπεὶ πᾶς τοῦτό γ' Ἑλλήνων θροεῖ.
Θη. τί γὰρ τὸ μεῖζον, ἢ κατ' ἄνθρωπον νοσεῖς;
Οἰ. οὕτως ἔχει μοι. γῆς ἐμῆς ἀπηλάθην
πρὸς τῶν ἐμαυτοῦ σπερμάτων. ἔστιν δέ μοι
πάλιν κατελθεῖν μήποθ', ὡς πατροκτόνῳ.
Θη. πῶς δῆτά σ' ἂν πεμψαίαθ' ὥστ' οἰκεῖν δίχα;
Οἰ. τὸ θεῖον αὐτοὺς ἐξαναγκάζει στόμα.
Θη. ποῖον πάθος δείσαντας ἐκ χρηστηρίων;
Οἰ. ὅτι σφ' ἀνάγκη τῇδε πληγῆναι χθονί.
Θη. καὶ πῶς γένοιτ' ἂν τἀμὰ κἀκείνων πικρά;
Οἰ. ὦ φίλτατ' Αἰγέως παῖ, μόνοις οὐ γίνεται
» Θεοῖσι γῆρας, οὐδὲ κατθανεῖν ποτε (νος
» Τὰ δ' ἄλλα συγχεῖ πάνθ' ὁ παγκρατὴς χρό-
» Φθίνει μὲν ἰσχὺς γῆς, φθίνει δὲ σώματος.
» Θνήσκει δὲ πίστις, βλαστάνει δ' ἀπιστία.
» Καὶ πνεῦμα ταὐτὸν, οὔποτ' ἐν ἀνδράσι
» Φίλοις βέβηκεν, οὔτε πρὸς πόλιν πόλει.

¶ Προσφορά. προσθήκη. πρόσοδος. τὸ δὲ δηλώσεται, ἀντὶ τοῦ δηλωθήσεται.

¶ Τὰ λοίσθι' αἰτῇ τοῦ βίου. γράφεται, τὰ λοίσθι' ἆρ' αἰτῇ τοῦ βίου. ¶ Τὰ δ' ἐν μέσῳ, ἢ λῆστιν ἴσχεις. τοῦ ζῆν. ἢ ἐπιλέλησαι, ἢ οὐ φροντίζεις.

¶ Ἐνταῦθα γάρ μου κεῖνα. διὰ τοῦ τέλους καὶ τὰ μέσα τοῦ βίου εὐτυχήσει. προσδοκῶν γὰρ σὺ ὠφεληθήσεσθαι ὑπ' ἐμοῦ, ὅταν ἀποθάνω, ζῶντά με γηροβοσκήσεις.

¶ Ἀλλ' ἐν βραχεῖ δή. βραχὺ δῶρόν με αἰτεῖς. τὸ ἐν Ἀθήναις θάψαι σε.

¶ Πῶς δῆτά σ' ἄν. πῶς δῆτα οὖν φησί, μεταπέμψαιντο ἄν σε, εἰ μὴ ἐστὶ δυνατὸν κατελθεῖν, διὰ τὸ πατροκτόνον εἶναι. ὁ δὲ φησί, τὸ θεῖον αὐτοὺς ἐξαναγκάζει τοῦτο πράττειν.

¶ Τῇδε πληγῆναι χθονί. ἀντὶ τοῦ, ὑπὸ ταύτης τῆς χθονὸς πληγῆναι.

» Τοῖς μὲν γὰρ ἤδη, τοῖς δ' ἐν ὑστέρῳ χρόνῳ,
» Τὰ τερπνὰ πικρὰ γίνεται, καὖθις φίλα.
καὶ ταῖσι Θήβαις, εἰ τανῦν εὐημερεῖ
καλῶς τε πρὸς σὲ, μυρίας ὁ μυρίος
χρόνος τεκνοῦται νύκτας ἡμέρας τ' ἰών,
ἐν αἷς τὰ νῦν ξύμφωνα δεξιώματα
δορὶ διασκεδῶσιν ἐκ σμικροῦ λόγου,
ἵν' οὑμὸς εὕδων καὶ κεκρυμμένος νέκυς,
ψυχρός ποτ' αὐτῶν θερμὸν αἷμα πίεται,
εἰ Ζεὺς ἔτι Ζεὺς, χ' ὠ Διὸς Φοῖβος σαφής.
ἀλλ' οὐ γὰρ αὐδᾶν ἡδὺ τἀκίνητ' ἔπη,
ἔα μ' ἐν οἷσιν ἠρξάμην, τὸ σὸν μόνον
πιστὸν φυλάσσων. κοὔποτ' Οἰδίπουν ἐρεῖς
ἀχρεῖον οἰκητῆρα δέξασθαι τόπων
τῶν ἐνθάδ', εἴπερ μὴ θεοὶ ψεύσουσί με.

Χο. ἄναξ, πάλαι καὶ ταῦτα καὶ τοιαῦτ' ἔπη
γῆ τῇδ' ὅδ' ἀνὴρ, ὡς τελῶν ἐφαίνετο.

Θη. τίς δῆτ' ἂν ἀνδρὸς εὐμένειαν ἐκβάλοι
τοιοῦδ', ὅτῳ πρῶτον μὲν ἡ δορύξενος
κοινὴ παρ' ἡμῖν αἰὲν ἐστὶν ἑστία.
ἔπειτα δ' ἱκέτης δαιμόνων ἀφιγμένος
γῆ τῇδε κἀμοὶ δασμὸν οὐ σμικρὸν τίνει.
ἁ'γὼ σεβισθεὶς, οὔποτ' ἐκβαλῶ χάριν
τὴν τοῦδε. χώρᾳ δ' ἔμπαλιν κατοικιῶ.
εἰ δ' ἐνθάδ' ἡδὺ τῷ ξένῳ μίμνειν, σέ νιν
τάξω φυλάσσειν. εἰ δ' ἐμοῦ στείχειν μέτα
τόδ' ἡδὺ, τούτων οἰδίπους δίδωμί σοι
κρίναντι χρῆσθαι. τῇδε γὰρ ξυνοίσομαι.

Οι. ὦ Ζεῦ, διδοίης τοῖσι τοιούτοισιν εὖ.

Θη. τί δῆτα χρῄζεις; ἢ δόμους στείχειν ἐμούς;

Οι. εἴ μοι θέμις γ' ἦν. ἀλλ' ὁ χῶρος ἐσθ' ὅδε.

Θη. ἐν ᾧ τί πράξεις; οὐ γὰρ ἀντιστήσομαι.

Οι. ἐν ᾧ κρατήσω τῶν ἔμ' ἐκβεβληκότων.

Θη. μέγ' ἂν λέγοις δώρημα τῆς ξυνουσίας.

Οι. εἰ σοί γ' ἅπερ φῂς ἐμμενεῖ τελοῦντί μοι.

Θη. θάρσει τὸ τοῦδέ γ' ἀνδρός, οὔ σε μὴ προδῶ.

Οι. οὔτοι σ' ὑφ' ὅρκου γ' ὡς κακὸν πιστώσομαι.

Θη. οὔκουν πέρα γ' ἂν οὐδὲν ἢ λόγῳ φέροις.

Οι. πῶς οὖν ποιήσεις; Θη. τοῦ μάλιστ' ὄκνος σ' ἔχει;

ΕΝ αἷς τὰ νῦν ξύμφωνα. οὔπω γὰρ ἦν ἔχθρα, Θηβαίοις καὶ Ἀθηναίοις. ¶ Φοῖβος σαφής. ἀντὶ τοῦ ἀληθής. ὡς καὶ Ὅμηρος, » Ἐπιστάμενος σάφ' εἰπεῖν. ἀντὶ τοῦ ἀληθῶς. ¶ Ἐφαίνετο. ἀντὶ τοῦ ἀνεφαίνετο. τοιοῦτόν ἐστι καὶ τὸ παρ' Ὁμήρῳ, » Καὶ εἰ ἔτετο δεύτερον αὖτις.

Τοιοῦδ' ὅτῳ. φίλου δηλονότι.

Ἡ δορύξενος. φίλος. ἁπλοϊκώτερον δορυξένους καλοῦσι, καὶ τοὺς ὁπωσδήποτε οὖν ὑπεξενωθέντας. ἢ ὑπασπιστικοὺς καὶ πολεμίοις φίλους. ¶ Οὔποτ' ἐκβαλῶ χάριν. οὐ καταφρονῶ γὰρ εἰς αὐτὴν χάριτος, ἀλλὰ καὶ ἐκ τοῦ ἐναντίου ἀποδέχομαι. ¶ Σέ νιν. σὲ τὸν χορόν. ¶ Εἰ τ' ἐμοῦ στίχειν μέτα. εἰς τὸ ἄστυ δηλονότι.

Συνοίσομαι, συμπράξομαι, ὡς σὺ βούλει. ¶ Εἰ σοί γ' ἅπερ φής. εἰ ἐμμενεῖ σοι τὰ ἐπαγγελθέντα. ἢ εἰ δύναιο κρατεῖν τῶν ἐχθρῶν ἐνθάδε μένων, μέγα ἂν δώρημα λέγοις τῆς ἐνταῦθα διατριβῆς.

Τὸ τοῦδ' ἔγ' ἀνδρός. ἐφ' ἑαυτοῦ περιΐστησι τὴν δεῖξιν ὁ Θησεύς. ¶ Πιστώσομαι. πίστιν ἐπιθεῖναι παρακελεύσω. ¶ Οὔκουν πέραν γ' ἄν. τούτου δ' ἑξῆς οὕτως. οὐκ ἂν πλέον λάβοις ὁρκίζων με, ἢ λόγῳ πιστεύων.

νόσουνθ' ὅτ' ἦν μοι τέρψις ἐκπεσεῖν χθονός,
οὐκ ἤθελες θέλοντι προσθέσθαι χάριν.
ἀλλ' ἡνίκ' ἤδη μεστὸς ἦν θυμούμενος,
καὶ τοὐν δόμοισιν ἦν διαιτᾶσθαι γλυκύ,
καὶ μάνθανον τὸν θυμὸν ἐκδραμόντα μοι.
τότ' ἐξεώθεις, κἀξέβαλλες, οὐδέ σοι
τὸ συγγενὲς τοῦτ' οὐδαμῶς τότ' ἦν φίλον.
νῦν τ' αὖθις ἡνίκ' εἰσορᾷς πόλιν τέ μοι
ξυνοῦσαν εὔνουν τήνδε, καὶ γένος τὸ πᾶν,
πειρᾷ μετασπᾶν, σκληρὰ μαλθακῶς λέγων.
καί τοι τίς αὕτη τέρψις ἄκοντας φιλεῖν.
» Ὥσπερ τις εἴ σοι λιπαροῦντι μὲν τυχεῖν,
» Μηδὲν διδοίη, μηδ' ἐπαρκέσαι θέλοι,
» Πλήρη δ' ἔχοντι θυμὸν ὧν χρῄζεις, τότε
» Δωροῖθ', ὅτ' οὐδὲν ἡ χάρις χάριν φέροι,
» Ἆρ' ἂν ματαίου τῆσδ' ἂν ἡδονῆς τύχοις.
» Τοιαῦτα μέντοι καὶ σὺ προσφέρεις ἐμοί,
» Λόγῳ μὲν ἐσθλά, τοῖσι δ' ἔργοισιν κακά.
φράσω δὲ καὶ τοῖσδ', ὥς σε δηλώσω κακόν.
ἥκεις ἔμ' ἄξων, οὐχ ἵν' εἰς δόμους ἄγῃς,
ἀλλ' ὡς πάραυλον οἰκίσῃς. πόλις δέ σοι
κακῶν ἄνατος τῆσδ' ἀπαλλαχθῇ χθονός.
οὐκ ἔστι σοι ταῦτ'. ἀλλά σοι τάδ' ἔστ' ἐκεῖ
χώρας ἀλάστωρ οὑμὸς ἐνναίων ἀεί.
ἔστιν δὲ παισὶ τοῖς ἐμοῖσι, τῆς ἐμῆς
χθονὸς λαχεῖν τοσοῦτον, ἐνθανεῖν μόνον.
ἆρ' οὐκ ἄμεινον ἢ σὺ τἀν θήβαις φρονῶ;
πολλῷ γ', ὅσῳπερ καὶ σαφεστέρων κλύω,
Φοίβου τε, καὐτοῦ Ζηνός, ὃς κείνου πατήρ.
τὸ σὸν δ' ἀφῖκται δεῦρ' ὑπόβλητον στόμα
πολλὴν ἔχον στόμωσιν. ἐν δὲ τῷ λέγειν,
κάκ' ἂν λάβοις τὰ πλείον' ἢ σωτήρια.
ἀλλ' οἶδα γάρ σε ταῦτα μὴ πείθων. ἴθι.
ἡμᾶς δ' ἔα ζῆν ἐνθάδ'. οὐ γὰρ ἂν κακῶς
οὐδ' ὧδ' ἔχοντες ζῷμεν, εἰ τερποίμεθα.

Κρέ. πότερα νομίζεις δυστυχεῖν ἔμ' εἰς τὰ σά,
ἢ σ' εἰς τὰ σαυτοῦ μᾶλλον ἐν τῷ νῦν λόγῳ;

Οἰ. ἐμοὶ μέν ἐσθ' ἥδιστον, εἰ σὺ μήτ' ἐμὲ
πείθειν οἷός τ' εἶ, μήτε τούσδε τοὺς πέλας.

¶ Ἡνίκ' ἤδη μεστὸς ἦν. ὡς τοῦ κεράμου. ὃ δ' ἐστιν, ὅτε κορεσθεὶς τοῦ θυμοῦ, λοιπὸν τὰ συμφέροντα ἐβουλόμην, καὶ οὐκ ἔτι ἤθελον φεύγειν. ¶ Καὶ τοὐν δόμοισιν. ἐν θήβαις δηλονότι. ¶ Γένος τὸ πᾶν. τὸ ἀττικόν. ¶ Καί τοι τίς αὕτη τέρψις. ὦ σὺ τὸ βούλεσθαί με προσαγαγεῖν μὴ θέλοντα.

¶ Προσφέρεις ἐμοί. ἀντὶ χαρίζῃ δηλονότι. ¶ Ὡς πάραυλον. ἀντὶ τοῦ ἐν ἀγροῖς. ¶ Πόλις δέ σοι. ὦ ἵνα αἱ θῆβαι ἀβλαβεῖς ὦσιν ἐκ ταύτης τῆς γῆς. ἄνατος ἐστί, ἀντὶ τοῦ ἀβλαβής, ἀναίτιος. ¶ Οὐκ ἔστι σοι ταῦτα. οὐ προβήσεταί σοι ὁ σκοπός. Ἆρ' οὐκ ἄμεινον. ἆρα οὐ πλέον σοι τὰ ἀποβησόμενα ἐν ταῖς θήβαις οἶδα. Ἐκ σαφεστέρων κλύω. ἀντὶ τοῦ, ἐκ σαφεστέρων οἶδα. ¶ Φοίβου τε καὐτοῦ Ζηνός. δοκεῖ γὰρ ὁ ἀπόλλων παρὰ διὸς λαμβάνειν τοὺς χρησμούς, ὡς καὶ ἐν ἰφικλείᾳ φησί. καὶ αἰσχύλος ἐν ἱερείαις, Στέλλειν ὅπως τάχιστα. ταῦτα γὰρ πατὴρ Ζεὺς ἐγκαθίει Λοξίᾳ. καὶ ἀριστοφάνης ἥρωσιν. ¶ Ὑπόβλητον. οὐκ ἀληθές, ἀλλὰ πεπλασμένον. ἀπὸ τῶν ὑποβαλλομένων εἰς τὰ γένη τῶν παίδων. ¶ Στόμωσιν. δύναμιν, ὦ πανουργίαν. ¶ Πότερα νομίζεις δυστυχεῖν. ἀντὶ τοῦ ἐν τῷ μὴ πείθεσθαί σε μᾶλλον σὺ δυστυχεῖς, ἢ ἐγώ. Πείθειν οἷός τ' εἶ. πείθειν μ' εἰς τὸ ἀκολουθῆσαί σοι. ¶ Τοὺς πέλας. τοὺς ἀπὸ τοῦ χοροῦ.

Λ ῦμα τῷ γήρᾳ. καθαίρεμα. ὅ ἐστιν, ἀπαίδευτος μέχρι γήρως μένεις.

Δ ίκαιον ὅστις ἐξ ἅπαντος. ὁ βουλόμενος ἐκ παντὸς δοκεῖν δίκαια λέγειν. ¶ Πολλὰ καὶ τὰ καίρια. ἄλλο ἐστὶ τὸ φλυαρεῖν, καὶ ἄλλο τὸ ἀναγκαῖα λέγειν. ¶ Οὐ δῆτα. τοῖς κατὰ σὲ οὐ δοκῶ καίρια λέγειν. ¶ Καὶ πρὸ τῶνδε. ἤ πρὸ τοῦ χοροῦ. ¶ Μαρτύρομαι. μάρτυρας καλῶ. ¶ Ἢν σ' ἕλω ποτέ. ἐὰν σε ἕλω δικαίως δηλονότι. τιμωρήσομαι γὰρ τούσδε. οἷα ἀνταμείβῃ με ῥήματα.

Τ ῶνδε συμμάχων. τῶν ἀπὸ τοῦ χοροῦ. ¶ Ἕλοι βίᾳ. βιαζόμενος τοὺς ἐμοὺς συμμάχους καὶ φύλακας. ¶ Ἦ μὴν σὺ κἄνευ. τὸ χωρὶς τοῦ λαβεῖν σε εἰς Θήβας. ¶ Τήνδε γ' οὐ μακροῦ. τὴν Ἀντιγόνην δηλονότι. ¶ Ὦ ξένοι. τοῦ χοροῦ φησίν. ¶ Ὑμῖν ἂν εἴη τήνδε. τὴν Ἀντιγόνην. τοῖς ἀκολούθοις τοῖς ἑαυτοῦ φησὶν ὁ κρέων. ¶ Τί δρᾷς ξένε. πρὸς τὸν κρέοντα ἕλκοντα τὴν ἀντιγόνην. ¶ Ἀλλὰ τῆς ἐμῆς. ἀδελφῆς μου τῆς θυγατρός ἐστιν. ¶ Εἴργου. φυλάττου. χώριζου. ¶ Σοῦ μὲν οὔ. οὐκ ἀπείρξομαι.

Π όλει μάχῃ. ταῖς Ἀθήναις δηλονότι.

Κρέ ὦ δύσμορ', οὐδὲ τῷ χρόνῳ φύσας φανῇ
φρένας ποτ', ἀλλὰ λῦμα τῷ γήρᾳ τρέφῃ;
Οἰ γλώσσῃ σὺ δεινός. ἄνδρα δ' οὐδέν' οἶδ' ἐγὼ
δίκαιον, ὅστις ἐξ ἅπαντος εὖ λέγει.
Κρέ χωρὶς τό, τ' εἰπεῖν πολλά, καὶ τὰ καίρια.
Οἰ ὡς δὴ σὺ βραχέα ταῦτα δ' ἐν καιρῷ λέγεις.
Κρέ οὐ δῆθ', ὅτῳ γε νοῦς ἴσος, καὶ σοὶ πάρα.
Οἰ ἄπελθ'. ἐρῶ γὰρ καὶ πρὸ τῶνδε. μηδέ με
φύλασσ' ἐφορμῶν ἔνθα χρὴ ναίειν ἐμέ.
Κρέ μαρτύρομαι τούσδ', οὐ σέ. πρὸς δὲ τοὺς φίλους,
οἷ' ἀνταμείβῃ ῥήματ' ἢν σ' ἕλω ποτέ.
Οἰ τίς δ' ἄν με τῶνδε συμμάχων ἕλοι βίᾳ;
Κρέ ἦ μὴν σὺ κἄνευ τῶνδε λυπηθεὶς ἔσῃ.
Οἰ ποίῳ σὺν ἔργῳ τοῦτ' ἀπειλήσας ἔχεις;
Κρέ παίδοιν δυοῖν σοι, τὴν μὲν, ἀρτίως ἐγὼ
ξυναρπάσας ἔπεμψα, τὴν δ' ἄξω τάχα.
Οἰ ὤμοι. Κρέ τάχ' ἕξεις μᾶλλον οἰμώζειν τάδε.
Οἰ τὴν παῖδ' ἔχεις μου;
Κρέ τήνδε γ' οὐ μακροῦ χρόνου.
Οἰ ἰὼ ξένοι, τί δράσετ'; ἢ προδώσετε,
κοὐκ ἐξελᾶτε τὸν ἀσεβῆ τῆσδε χθονός;
Χο χώρει ξέν' ἔξω θᾶσσον. οὔτε γὰρ τὰ νῦν
δίκαια πράσσεις, οὔθ' ἃ πρόσθεν εἴργασαι.
Κρέ ὑμῖν ἂν εἴη τήνδε καιρὸς ἐξάγειν
ἄκουσαν, εἰ θέλουσα μὴ πορεύσεται.
Αν οἴμοι τάλαινα, ποῖ φύγω; ποίαν λάβω
θεῶν ἄρηξιν, ἢ βροτῶν; Χο τί δρᾷς ξένε;
Κρέ οὐχ ἅψομαι τοῦδ' ἀνδρός, ἀλλὰ τῆς ἐμῆς.
Οἰ ὦ γῆς ἄνακτες. Χο ὦ ξέν' οὐ δίκαια δρᾷς.
Κρέ δίκαια. Χο πῶς δίκαια; Κρέ τοὺς ἐμοὺς ἄγω.
Αν ἰὼ πόλις.
Χο τί δρᾷς ὦ ξέν'; οὐκ ἀφήσεις; τάχ' εἰς
βάσανον εἶ χερῶν.
Κρέ εἴργου.
Χο σοῦ μὲν οὔ, τάδε γε μωμένου.
Οἰ πόλει μάχῃ γάρ, εἴ τι πημαίνεις ἐμέ.
Χο οὐκ ἠγόρευον ταῦτ' ἐγώ;

Κρέ μέθες

Κρέ μέθες χεροῖν
τὴν παῖδα θᾶσσον.
Χο μὴ 'πίτασσ' ἃ μὴ κρατεῖς.
Κρέ χαλᾶν λέγω σοι.
Χο σοὶ δ' ἔγωγ' ὁδοιπορεῖν.
προβᾶθ' ὧδ', ἐμβᾶτε, βᾶτ' ἔντοποι.
πόλις ἐναίρεται. πόλις ἐμὰ, σθένει.
προβᾶθ' ὧδέ μοι.
Αν ἀφέλκομ' ὢ δύστηνος. ὦ ξένοι, ξένοι.
Οἰ ποῦ τέκνον εἶ μοι;
Αν πρὸς βίαν πορεύομαι.
Οἰ ὄρεξον ὦ παῖ χεῖρας.
Αν ἀλλ' οὐδ' ἐν σθένω.
Κρέ οὐκ ἄξεθ' ὑμεῖς;
Οἰ ὢ τάλας ἐγὼ, τάλας.
Κρέ οὔκουν πότ' ἐκ τούτοιν γε μὴ σκήπτροιν ἔτι
ὁδοιπορήσῃς. ἀλλ' ἐπεὶ νικᾶν θέλεις
πατρίδα τὴν σὴν, καὶ φίλους, ὑφ' ὧν ἐγὼ
ταχθεὶς, τάδ' ἔρδω, καὶ τύραννος ὢν ὅμως,
νίκα. χρόνῳ γὰρ οἶδ' ἐγὼ γνώσῃ τάδε.
ὁθ' οὕνεκ' αὐτὸς αὑτὸν οὔτε νῦν καλὰ
δρᾷς, οὔτε πρόσθεν εἰργάσω βίᾳ φίλων,
ὀργῇ χάριν δοὺς, ἥ σ' ἀεὶ λυμαίνεται.
Χο ἐπίσχες αὐτοῦ ξένε.
Κρέ μὴ ψαύειν λέγω.
Χο οὔτοι σ' ἀφήσω τῶνδέ γ' ἐστερημένος.
Κρέ καὶ μεῖζον ἆρα ῥύσιον πόλει τάχα
θήσεις. ἐφάψομαι γὰρ οὐ ταύταιν μόναιν.
Χο ἀλλ' ἐς τί τρέψῃ;
Κρέ τόνδ' ἀπάξομαι λαβών.
Χο δεινὸν λέγεις.
Κρέ τοῦτο νῦν πεπράξεται,
ἢν μή μ' ὁ κραίνων τῆσδε γῆς ἀπειργάθῃ.
Οἰ ὦ φθέγμ' ἀναιδές. ἦ σὺ γὰρ ψαύσῃς ἐμοῦ;
Κρέ αὐδῶ σιωπᾶν.
Οἰ μὴ γὰρ αἵδε δαίμονες
θεῖέν μ' ἄφωνον τῆσδε γῆς, ἀρᾶς ἔτι.
ὅς μ' ὦ κάκιστε ψιλὸν ὄμμ' ἀποσπάσας

¶ Ὁδοιπορεῖν· ἀναχωρεῖν ἐντεῦθεν σὺ ὦ κρέων.
¶ Ἐναίρεται, πόλις ἐμὰ, σθένει. τουτέστι, βίᾳ πορθεῖται.

¶ Πρὸς βίαν πορεύομαι. ἀπαγομένης δὴ τῆς Ἀντιγόνης ὑπὸ τῶν προστεταγμένων παρὰ τοῦ κρέοντος. ἐν μέρει δὲ παθητικά ἐστιν.

¶ Ἐκ τούτοιν γε μὴ σκήπτροιν. ἐκ τῶν θυγατέρων, αἷς ὡς σκήπτροις ἐχρῆτο καὶ βακτηρίᾳ.

¶ Πόλει τάχα. ἴσως ἀθηναίαις.

¶ Μὴ γὰρ αἵδε δαίμονες. μὴ ἄφωνος γενοίμην εἰς τὸ καταρᾶσθαί σε. ¶ Ψιλὸν ὄμμα. ὄμμα φησὶ τὴν Ἀντιγόνην.

προσ ὄμμασιν τοῖς πρόσθεν ἐξοίχῃ βίᾳ.
τοιγάρ σε καὐτὸν, καὶ γένος τὸ σὸν, θεῶν
ὁ πάντα λεύσσων ἥλιος, δοίη βίον
τοιοῦτον, οἷον κἀμὲ γηράναι ποτέ.
Κρέ ὁρᾶτε ταῦτα τῆσδε γῆς ἐγχώριοι;
Οἰ ὁρῶσι κἀμὲ καὶ σέ. καὶ φρονοῦσ' ὅτι
ἔργοισ πεπονθὼσ, ῥήμασίν σ' ἀμύνομαι.
Κρέ οὔτοι καθέξω θυμὸν, ἀλλ' ἄξω βία,
κεὶ μοῦνόσ εἰμι τόνδε, καὶ χρόνῳ βραδύς.
Οἰ ἰὼ τάλας.
Χο ὅσον λῆμ' ἔχων ἀφίκου ξέν', εἰ
τάδε δοκεῖς τελεῖν.
Κρέ δοκῶ.
Χο τήνδ' ἄρ' οὐκέτι νέμω πόλιν.
Κρέ Τοῖς τοι δικαίοις, χ' ὠ βραχὺς νικᾷ μέγαν.
Οἰ ἀκούεθ' οἷα φθέγγεται; Χο τάγ' οὐ τελεῖ.
Κρέ Ζεὺς ταῦτ' ἂν εἰδείη, σὺ δ' οὔ.
Χο ἆρ' οὐχ ὕβρεις τάδε;
Κρέ ὕβρεις. ἀλλ' ἀνεκτέα.
Χο ἰὼ πᾶς λεώσ. ἰὼ γᾶσ πρόμοι.
μόλετε σὺν τάχει μόλετ', ἐπεὶ πέραν
περῶσι δή.
Θη τίσ ποθ' ἡ βοή; τί τοὔργον; ἐκ τίνος φόβου ποτὲ
βουθυτοῦντά μ' ἀμφὶ βωμὸν ἔσχετ' ἐναλίῳ θεῷ
τοῦδ' ἐπιστάτῃ Κολωνοῦ; λέξαθ' ὡς ἴδω τὸ πᾶν
οὗ χάριν δεῦρ' ᾖξα θᾶσσον, ἢ καθ' ἡδονὴν ποδός.
Οἰ ὦ φίλτατ', ἔγνων γὰρ τὸ προσφώνημά σου,
πέπονθα δεινὰ τοῦδ' ὑπ' ἀνδρὸς ἀρτίως.
Θη τὰ ποῖα ταῦτα; τίς δ' ὁ πημήνας; λέγε.
Οἰ Κρέων ὅδ', ὃν δέδορκας οἴχεται τέκνων
ἀποσπάσασ μου τὴν μόνην ξυνωρίδα.
Θη πῶς εἶπας; Οἰ οἷά περ πέπονθ' ἀκήκοας.
Θη οὔκουν τις ὡς τάχιστα προσπόλων μολὼν
πρὸς τούσδε βωμοὺς πάντ' ἀναγκάσει λεὼν
ἄνιππον, ἱππότην τε θυμάτων ἄπο,
σπεύδειν ἀπὸ ῥυτῆρος, ἔνθα δίστομοι
μάλιστα συμβάλλουσιν ἐμπόρων ὁδοί,
ὡς μὴ παρέλθωσ' αἱ κόραι, γέλως δ' ἐμῷ

ξένῳ

Καὶ χρόνῳ βραδύς. γράφεται καὶ βαρύς. ⁋ Τήνδ' ἄρ' οὐκέτι. ταύτην δ' ἄρα, οὐκέτι νομιῶ πόλιν, εἰ σὺ ἀπάξεις ταύτην.

Τάγ' οὐ τελεῖ. ταῦτα ἃ λέγει, οὐ πληρώσει. ⁋ Ζεὺς ταῦτ' ἄν. εἰ τελέσω, Ζεὺς εἰδείη. ⁋ Ὕβρεις ἀλλ' ἀνεκτέα. ἀνεκτέον. οὕτω γάρ φασι, σκαπτέα, φυτευτέα, ἀντὶ τοῦ φυτευτέον, σκαπτέον.

Τίς ποθ' ἡ βοή; ἄκρως τῇ οἰκονομίᾳ τὸ μαθεῖν τὸν Θησέα τὰ γενόμενα πρὸς ταῖς θυσίαις ὄντα τοῦ ἱππείου Ποσειδῶνος ὑπὲρ τοῦ μὴ διατριβὴν ἐγγενέσθαι μηνύοντός τινος. ⁋ Ἦξα θᾶσσον, ἢ καθ'. ταχύτερον ἢ ὡς ἔδει βαδίζειν.

Θυμάτων ἄπο. ἀπὸ τῶν θυσιῶν. ἀντὶ τοῦ ὡς ἔχει σχήματος ἕκαστος.

Σπεύδειν ἀπὸ ῥυτῆρος. ἀντὶ τοῦ ἐλαύτης. τῶν δὲ διηγησαμένων ἁπάντων, Πραξιφάνης δοκεῖ ἄμεινον ἀποδιδόναι, ἀκούων τὸ ὑπόδημα, οἷον τῶν πεδίλων τὸ κάλυμμα. ⁋ Ἔνθα δίστομοι. ὡς σχιστῆς οὔσης ὁδοῦ ἐκεῖσε.

Ἀλλὰ τοῖσδ' ἔσται μέλον. τοῖς τοῦ χοροῦ. ℂ Ὀκνοῦς ἔχει φόβος. ℂ Ὀκνοῦντ' ἀνάγκη. οὐ νεμεσητόν μοι εἰ ὑπὸ δέους ὅτι ταὐτὰ συνεχῶς λέγω. τὸν φοβούμενον γὰρ ἀνάγκη ταῦτα λέγειν. ¶ Τοὐμὸν οὐκ ὀκνεῖ κέαρ. οὐδὲν δέδοικε.

Πολλαὶ δ' ἀπειλαί. ἀντὶ τοῦ πολλοὶ ἄνθρωποι πολλὰ ἀπειλήσαντες ἐκ θυμοῦ, πέψαντες τὸν θυμόν, καὶ τὸν καθεστηκότα νοῦν ἀναλαβόντες, ἐπαύσαντο τῶν ἀπειλῶν. ¶ Κείνοισι δ' ἴσως. τοῖς Θηβαίοις. ¶ Τῆς σῆς ἀγωγῆς. λείπει ἡ περί. ἵν' ᾖ, περὶ τῆς σῆς ἀγωγῆς, ἤγουν ἐπανόδου. ¶ Οὐδὲ πλώσιμον. εὐδιάβατον. δεδίκασι γὰρ ἡμᾶς.

Οἰ. ἥξουσιν ἄνδρες. Θη. ἀλλὰ τοῖσδ' ἔσται μέλον.
Οἰ. ὅρα με λείπων. Θη. μὴ δίδασχ' ἃ χρή με δρᾶν.
Οἰ. ὀκνοῦντ' ἀνάγκη. Θη. τοὐμὸν οὐκ ὀκνεῖ κέαρ.
Οἰ. οὐκ οἶσθ' ἀπειλάς. Θη. οἶδ' ἐγώ σε μή τινα
ἐνθένδ' ἀπάξοντ' ἄνδρα πρὸς βίαν ἐμοῦ.
πολλαὶ δ' ἀπειλαί, πολλὰ δὴ μάτην ἔπη
θυμῷ κατηπείλησαν. ἀλλ' ὁ νοῦς ὅταν
αὑτοῦ γένηται, φροῦδα τἀπειλήματα.
κείνοις δ' ἴσως, κεἰ δεῖν' ἐπερρώσθη λέγειν,
τῆς σῆς ἀγωγῆς οἶδ' ἐγὼ φανήσεται
μακρὸν τὸ δεῦρο πέλαγος, οὐδὲ πλώσιμον.
θαρσεῖν μὲν οὖν ἔγωγε κἄνευ τῆς ἐμῆς
γνώμης ἐπαινῶ, Φοῖβος εἰ προὔπεμψέ σε.
ὅμως δὲ κἀμοῦ μὴ παρόντος, οἶδ' ὅτι
τοὐμὸν φυλάξει σ' ὄνομα μὴ πάσχειν κακῶς.
Χο. Εὐίππου ξένε τᾶσδε χώρας
ἵκου τὰ κράτιστα γᾶς ἔπαυλα,
τὸν ἀργῆτα Κολωνόν.
ἔνθα λίγεια μινύρεται
θαμίζουσα μάλιστ' ἀηδὼν
χλωραῖς ὑπὸ βάσσαις
τὸν οἰνωπ' ἀνέχουσα κισσόν,
καὶ τὰν ἄβατον θεοῦ
φυλλάδα μυριόκαρπον ἀνήλιον,
ἀνήνεμόν τε πάντων
χειμώνων. ἵν' ὁ βακχειώτας ἀεὶ
Διόνυσος ἐμβατεύει,
θείαις ἀμφιπολῶν τιθήναις.
θάλλει δ' οὐρανίας ὑπ' ἄχνας
ὁ καλλίβοτρυς κατ' ἦμαρ ἀεὶ

¶ Εὐίππου ξένε τᾶσδε χώρας. ὦ ξένε, ὦ Οἰδίπου, μέχρι τῶν ἀηδῶν, ἡ διέξοδος τοῦ χοροῦ πρὸς τὸ ἐγκώμιον τῆς χώρας. αὐτοῦ τοῦ Σοφοκλέους ἐστὶ τὸ ἴδιον ἁπάντων πρὸς χαρακτηριστικόν, τὸ γλαφυρὸν καὶ ᾠδικὸν μέλος. ℂ Τὸν ἀργῆτα. τὸν λευκόπετρον. ℂ Ἀνέχουσα κισσόν. ὑπὲρ ἑαυτὴν ἔχουσα τὸ φυτόν, ἄνω ἔχουσα τὸν κισσόν, ὡς ἐν Λυκούργῳ Αἰσχύλος, Ἀκούει δ' ἂν οὖς ἔχων. ἀντὶ τοῦ ἄνω τὸ οὖς ἔχων. ¶ Φυλλάδα μυριόκαρπον. παρὰ τὸ ὁμηρικόν. Τὴν μὲν οὔτ' ἀνέμων διάη μένος ὑγρὸν ἀέντων, οὔτε μιν ἠέλιος φαέθων ἀκτῖσιν ἔβαλλεν. ἀπὸ κοινοῦ δὲ τὸ ἀνέχουσα. ἀνήλιον δέ, διὰ τὴν δασύτητα τοῦ φυτοῦ. ℂ Θάλλει δ' οὐρανίας. οἱ μὲν ὑπομνηματισάμενοι γράφουσιν οὕτω, τῆς Δήμητρος καὶ κόρης φασὶ στεφάνωμα τὸν νάρκισσον εἶναι. σταχύσι γὰρ αὐτὰς στεφανοῦσι.

μήποτε δὲ γραπτέον μεγάλων θεᾶν. τῶν ἐρινύων. καὶ γὰρ τὸ χωρίον ἐν ᾧ ἦν ὁ Οἰδίπους αὐταῖς ἀνεῖτο. ὅτι δὲ ἐρινύων ἐστὶ τὸ στεφάνωμα, δῆλον ἐν οἷς Εὐφορίων φησί,

Πρότερον δὲ μὴν ἐκπλῆτες ὀφειλομένην οἶμαι, τὸν μηρίδες ἀρήτα θυγατρίδι φὲσκινός. νάρκισσοι γὰρ στεφέες πλοκαμίδες. ἴσως ὅτι περὶ τοῖς μνήμασιν ὅτι πολλοὶ συνεκφύεται. ἢ ὅτι φιτεύεται καὶ νεκρῶν εἰσιν αἱ δαίμονες αὗται· ὥστε δὴ τὸ ὄνομα συνῳκειῶσθαι τῷ φυτῷ αὐταῖς. μήποτε δὲ τὸν νάρκισσον μεγάλαιν θεαῖν ἀρχαῖον στεφάνωμα ἔφη ὁ Σοφοκλῆς, τῷ συλληπτικῷ χρησάμενος τρόπῳ, ἀντὶ τοῦ εἰπεῖν θεᾶς ἀρχαῖον στεφάνωμα τῆς κόρης. τί δήποτε; ὅτι πρὶν ἢ τὸν Πλούτωνα αὐτὴν ἁρπάσαι, τούτῳ ἐτέρπετο. συλλέγουσαν γάρ φασιν αὐτὴν τὸν νάρκισσον ἁρπασθῆναι. ὥστε τὸ ἀρχαῖον τούτου ἕνεκα προσκεῖσθαι. οἷον, ὃ ἦν αὐτῇ θυμῆρες στεφάνωμα, πρὶν ἢ συλληφθῆναι. αὖθις γοῦν φασὶ τὰς θεὰς ἀνθινοῖς μὴ κεχρῆσθαι, ἀλλὰ καὶ ταῖς θεσμοφοριαζούσαις τὴν τῶν ἀνθινῶν στεφάνων ἀπειρῆσθαι χρῆσιν. ὁ δὲ Ἴστρος, τῇ Δήμητρι θεῶν στέμμα τὴν μυρρίνην, καὶ τὴν σμίλακα, περὶ ἧς ἀγνεύεσθαι τὴν Διακασίω, καὶ τὸν ἱεροφάντην, καὶ τὰς ἱεροφαντίδας, καὶ τὸν δᾳδοῦχον καὶ τὰς ἄλλας ἱερείας μυρρίνης ἔχειν στέφανον. διὰ καὶ τῇ Δήμητρι προστεθεῖσθαι ταύτην φησί, Μεγάλαιν θεαῖν. ταῖς ἐριννύσιν. ¶ Ὅ,τε χρυσαυγὴς κρόκος. ἀπὸ κοινοῦ, τὸ θάλλει κατ' ἦμαρ. τοῖς τὸν νάρκισσον τῇ Δήμητρι ἀπονέμουσι τοῦτο συμπράττει. ὅτι καὶ ἐν τῇ Νιόβῃ ὁ Σοφοκλῆς τὸν κρόκον ἄντικρυς τῇ Δήμητρι ἀνατίθεται, ὥστε καὶ νῦν τὸν λόγον εἶναι περὶ τῶν τῆς Δήμητρος στεφανωμάτων, ὃ αὐτὸ δὲ τοῦτο ἴδιον ἂν εἴη Σοφοκλέους. τοῖς γὰρ ἀνθινοῖς οὐ πάνυ φασὶν ἥδεσθαι τὴν Δήμητρα.

Νάρκισσος, μεγάλαιν θεαῖν
ἀρχαῖον στεφάνωμ'. ὅ,τε
χρυσαυγὴς κρόκος. οὐδ' ἄϋπνοι
κρῆναι μινύθουσι,
Κηφισοῦ νομάδες ῥεέθρων,
ἀλλ' αἰὲν ἐπ' ἤματι
ὠκυτόκος πεδίων ἐπινίσσεται,
ἀκηράτῳ ξὺν ὄμβρῳ
στερνούχου χθονός. οὐδὲ μουσᾶν χοροί
νιν ἀπεστύγησαν, οὐδ' ἁ
χρυσάνιος Ἀφροδίτα.
ἔστιν δ' οἷον ἐγὼ
γᾶς Ἀσίας οὐκ ἐπακούω;
οὐδ' ἐν τᾷ μεγάλᾳ δωρίδι νάσῳ
Πέλοπος πώποτε βλαστὸν
φύτευμ' ἀχείρωτον αὐτόποιον

¶ Μινύθουσι. λήγουσι τοῦ ῥεῖν. ¶ Κηφισοῦ νομάδες. κρῆναι νομάδες. αἱ διανεμόμεναι, ὥσπερ καὶ καταῤῥέεσθαι τὴν γῆν τοῦ Ἰλισσοῦ πηγαί. ἢ ἃς ὁ Κηφισὸς ἐπινέμεται. λέγει δ' ἂν ἐν τῇ Ἀκαδημείᾳ. ¶ Ἀλλ' αἰὲν ἐπ' ἤματι. ἀλλ' ἀεὶ καθ' ἡμέραν φησὶν ἐπινίσσεται ὁ Κηφισός. ¶ Ὠκυτόκος. ἤγουν ὠκυτόκα ποιῶν τὰ πεδία καὶ ἔγκαρπα. ¶ Στερνούχου χθονός. ἴσον τῷ, γονίμου γῆς, ἐπιπέδου. ἢ ἀντὶ πεδιούχου χθονός. μεταφορικῶς δὲ καὶ στέρνα καὶ νῶτά φασι τῆς γῆς τὰ πεδιώδη καὶ εὐρέα. καθάπερ αὖ πάλιν, αὐχένας τὰ στενά. Χοροί νιν. τὴν Ἀττικήν. ¶ Φύτευμ' ἀχείρωτον. ὅτι ἀπέσχοντο τῶν μορίων οἱ Λακεδαιμόνιοι, καὶ ἄλλοι ἱστοροῦσι καὶ Φιλόχορος, ὥστε ταῖς ἀληθείαις ἐξ ἐχέων αὐτάς, φόβημα τοῖς πολεμίοις γενέσθαι. Λακεδαιμόνιοι γὰρ ἐμβάντες ἐν τῇ Ἀττικῇ δέκα μυριάσι Πελοποννησίων καὶ Βοιωτῶν, ἡγουμένου Ἀρχιδάμου τοῦ Ζευξιδάμου, Λακεδαιμονίων βασιλέως, ἀπέσχοντο τῶν λεγομένων μορίων, Ἀθηνᾷ θύσαντες, ὡς ἀνδροτί

ὄν φησι. ¶ δαΐων. πολεμίων. ¶ γλαυκᾶς παιδοτρόφου φύλλον ἐλαίας. ὁ ἀριστοφάνης ἐν νεφέλαις, ἀλλ' εἰς ἀκαδημίαν κατιὼν, ὑπὸ ταῖς μορίαις ἀποθρέξεις. ὁ δ' ἴστρος καὶ τὸν ἀριθμὸν αὐτῶν δεδήλωκε, γράφων οὕτως.

ἐστὶν δὲ κλάδον ἀπὸ τῆς ἐν ἀκαδημίᾳ ἐλαίας, ἣν ἀπὸ τῆς ἐν ἀκροπόλει φυτευθῆναί φασιν. ἐπαράσαντο δὲ ἐπικήσαντο, εἴ τις τῶν ἐμβαλόντων αὐτὰς ἐκκόψειε, φίλος ἢ πολέμιος. διὸ λακεδαιμόνιοι τὴν λοιπὴν γῆν δῃοῦντες, τῶν μὲν τετραπόλεως ἀπέσχοντο διὰ τοὺς ἡρακλείδας, τῶν δὲ μορίων, διὰ τὰς ἀράς. ὁ δὲ ἀριστοτέλης καὶ τοῖς νικήσασι τὰ παναθήναια, ἐλαίου τοῦ ἐκ μορίων γινομένου δίδοσθαί φησι. ¶ τὸ μέν τις. τὸ φυτὸν τῆς ἐλαίας. ¶ μορίου διός. μόριον δία εἶπε, τὸν ἐπόπτην τῶν μορίων ἐλαιῶν. ἢ ἔστιν ὁ λεγόμενος μόριος ζεὺς, περὶ ἀκαδήμειαν, ὥς φησιν ἀπολλόδωρος, περὶ ἀκαδημίαν ἐστὶν ὅ,τε τοῦ καταιβάτου διὸς βωμὸς, ὃν καὶ μόριον καλοῦσι τῶν ἐκεῖ μορίων παρὰ τὸ τῆς ἀθηνᾶς ἱερὸν ἱδρυμένων. ¶ εὔιππον, εὔπωλον. παρ' ὅσον ὁ κολωνὸς ἱππεὺς ἐλέγετο. καὶ ποσειδῶν καὶ ἀθηνᾶ, αὐτόθι ἵπποι. ¶ ὦ παῖ κρόνου. αὐτόθι φασὶ ποσειδῶνα πρῶτον ἵππους ζεῦξαι, καὶ χαλινῶσαι. καὶ ταῦτα δὲ ἐπὶ θεραπείᾳ φησὶ τῆς οἰκείας ὁ σοφοκλῆς. ὅτι κολωνὸς ἱππεὺς ὠνομάσθη, παρ' ἃς διεξέθεμεν αἰτίας κατὰ ἀνδροτίωνα. ὁ δὲ τὸ σεμνότερον ἄγει τὸ πρᾶγμα, τῇ ποιητικῇ καταχρώμενος ἀδείᾳ. πρώταισι ταῖσδ' ἔκτισας. περὶ τὰ τρία ταῦτα κεφάλαια μάλιστα διατρίβουσι τοῦ ἐγκωμίου, ὅτι εὔφορος ἡ χώρα, καὶ ὅτι ἱππικοὶ ἀθηναῖοι, καὶ ὅτι ναυτικοί. πλάτα θρώσκει. κώπη. ¶ νηρῄδων ἀκόλουθος. ἀκολούθως. ὅτι αἱ νηρηίδες πεντήκοντα εἰσίν. ¶ ὦ πλεῖστ' ἐπαίνοις. ἡ ἀντιγόνη ταῦτά φησιν ὁρῶσα προσιόντα

ἐγχέων φόβημα δαΐων,
ὃ τᾷδε θάλλει μέγιστα χώρᾳ,
γλαυκᾶς παιδοτρόφου φύλλον ἐλαίας.
τὸ μέν τις, οὔτε νεαρὸς, οὔτε γήρᾳ
σημαίνων ἁλιώσει χειρὶ πέρσας,
ὁ γὰρ εἰσορῶν κύκλος
λεύσσει νιν μορίου διὸς,
χἀ γλαυκῶπις ἀθάνα.
ἄλλον δ' αἶνον ἔχω
ματροπόλει τᾷδε κράτιστον
δῶρον τοῦ μεγάλου δαίμονος εἰπεῖν
χθονὸς αὔχημα μέγιστον.
εὔιππον, εὔπωλον, εὐθάλασσον.
ὦ παῖ κρόνου, σὺ γάρ νιν εἰς
τόδ' εἷσας αὔχημ' ἄναξ ποσειδάν.
ἵπποισι τὸν ἀκεστῆρα χαλινὸν
πρώταισι ταῖσδ' ἔκτισας ἀγυιαῖς.
ἁ δ' εὐήρετμος ἔκπαγλ' ἁλία χερ-
σὶ παραπτομένα πλάτα
θρώσκει τῶν ἑκατομπόδων
νηρῄδων ἀκόλουθος.

Αν ὦ πλεῖστ' ἐπαίνοις εὐλογούμενον πέδον,
νῦν σοι τὰ λαμπρὰ ταῦτα δεῖ φαίνειν ἔπη.
Οἰ τί δ' ἔστιν ὦ παῖ καινόν; Αν. ἆσσον ἔρχεται
Κρέων ὅδ' ἡμῖν οὐκ ἄνευ πομπῶν πάτερ.
Οἰ ὦ φίλτατοι γέροντες, ἐξ ὑμῶν ἐμοὶ
φαίνοιτ' ἂν ἤδη τέρμα τῆς σωτηρίας.
Χο θάρσει, παρέσται. καὶ γὰρ εἰ γέρων κυρῶ,
τὸ τῆσδε χώρας οὐ γεγήρακε σθένος.

τὸν Κρέοντα μετὰ χειρᾶς. ἰδοὺ οὖν οἱ δήπου δὲ ἀφῖκται ὁ Κρέων. ἢ μὴ πείθεσθαι αὐτὸν, περιασπάσῃ αὐτοῦ τὴν Ἀντιγόνην, φθάσας κατὰ τὴν ὁδὸν ἢ τὴν Ἰσμήνην ἀφελέσθαι.

Εἰ γέρων ἐγώ. κυρῶ δηλονότι.

Ὃν μήτ' ὀκνεῖτε. ὅν τινα ἐμὲ δηλονότι, μὴ φοβεῖσθε.

Οὕνεχ' ἧκέ μοι γένει. ἀντὶ τοῦ ὅτι προσήκει μοι πενθεῖν τὰ τούτου ἀτυχήματα, ὑπὲρ πάντας Θηβαίους. ¶ Ἐκ δὲ τῶνδε μάλιστ' ἐγώ. ἐγὼ μάλιστα σε καλῶ, ὅσῳπερ πλεῖστον ἀλγῶ τοῖς σοῖς παθήμασι.

Κἀπὶ προσπόλου μιᾶς. τῆς Ἀντιγόνης. εἰ λείπεται γὰρ παρ' αὐτῷ ἡ Ἰσμήνη.

Ἀλλ' οὐ γὰρ ἔστι τἀμφανῆ κρύπτειν. ὥστε συγγνώμης εἰμὶ ἄξιος λέγων. οὐ γὰρ δύναμαι κρύπτειν.

Ὦ πάντα τολμῶν. ὦ ἐν εὐλογοφανέσι λόγοις πανοῦργα βουλευόμενε. ¶ Τί ταῦτα πειρᾷ; βαρυτόνως ἀναγνωστέον πειρᾷ, οὐ περισπωμένως. οὕτω δίδυμος.

Κρέ. Ἄνδρες χθονὸς τῆσδ' εὐγενεῖς οἰκήτορες,
ὁρῶ τιν' ὑμᾶς ὀμμάτων εἰληφότας
φόβον νεώρη τῆς ἐμῆς ἐπεισόδου,
ὃν μήτ' ὀκνεῖτε, μήτ' ἀφῆτ' ἔπος κακόν.
ἥκω γὰρ οὐχ ὡς δρᾶν τι βουληθείς. ἐπεὶ
γέρων μέν εἰμι. πρὸς πόλιν δ' ἐπίσταμαι
σθένουσαν ἥκων, εἴ τιν' Ἑλλάδος, μέγα.
ἀλλ' ἄνδρα τόνδε τηλικόνδ' ἀπεστάλην
πείσων ἕπεσθαι πρὸς τὸ Καδμείων πέδον,
οὐκ ἐξ ἑνὸς στείλαντος, ἀλλ' ἀνδρῶν ὕπο
πάντων κελευσθείς, οὕνεχ' ἧκέ μοι γένει
τὰ τοῦδε πενθεῖν πήματ', ἢ πλεῖστον πόλεως.
ἀλλ' ὦ ταλαίπωρ' Οἰδίπους, κλυὼν ἐμοῦ,
ἱκοῦ πρὸς οἴκους. πᾶς σε Καδμείων λεὼς
καλεῖ δικαίως. ἐκ δὲ τῶν, μάλιστ' ἐγώ.
ὅσῳπερ, εἰ μὴ πλεῖστον ἀνθρώπων ἔφυν
κάκιστος, ἀλγῶ τοῖσι σοῖς κακοῖς γέρον,
ὁρῶν σε τὸν δύστηνον ὄντα μὲν ξένον,
ἀεὶ δ' ἀλήτην, κἀπὶ προσπόλου μιᾶς
βιοστερῆ χωροῦντα. τὴν, ἐγὼ τάλας
οὐκ ἄν ποτ' ἐς τοσοῦτον αἰκίας πεσεῖν
ἔδοξ', ὅσον πέπτωκεν ἥδε δύσμορος,
ἀεί σε κηδεύουσα, καὶ τὸ σὸν κάρα
πτωχῇ διαίτῃ τηλικοῦτος. οὐ γάμων
ἔμπειρος, ἀλλὰ τοῦ πιόντος ἁρπάσαι.
ἆρ' ἄθλιον τοὔνειδος. ὢ τάλας ἐγώ.
ὠνείδισ' εἰς σὲ, κἀμὲ, καὶ τὸ πᾶν γένος.
ἀλλ' οὐ γὰρ ἔστι τἀμφανῆ κρύπτειν. σὺ νῦν
πρὸς θεῶν πατρῴων Οἰδίπους πεισθεὶς ἐμοὶ
κρύψον θελήσας ἄστυ καὶ δόμους μολεῖν
τοὺς σοὺς πατρῴους, τήνδε τὴν πόλιν φίλως
εἰπὼν, ἐπαξία γάρ. ἡ δ' οἴκοι, πλέον
δίκῃ σέβοιτ' ἂν οὖσα σὴ πάλαι τροφός.
Οἰ. ὦ πάντα τολμῶν, κἀπὸ παντὸς ἂν φέρων
λόγου δικαίου μηχάνημα ποικίλον,
τί ταῦτα πειρᾷ; κἀμὲ δεύτερον θέλεις
ἑλεῖν, ἐν οἷς μάλιστ' ἂν ἀλγοίην ἁλούς.
πρόσθεν τε γάρ με τοῖσιν οἰκείοις κακοῖς
νοσοῦνθ'

ξένῳ γένωμαι τῷδε χειρωθεὶς βίᾳ.
ἴθ᾽ ὡς ἄνωγα σὺν τάχει. τοῦτον δ᾽ ἐγὼ
εἰ μὲν δι᾽ ὀργῆς ἧκον, ἧς ὅδ᾽ ἄξιος,
ἄτρωτον οὐ μεθῆκ᾽ ἂν ἐξ ἐμῆς χερός.
νῦν δ᾽ οὕσπερ αὐτὸς τοὺς νόμους εἰσῆλθ᾽ ἔχων,
τούτοισι, κοὐκ ἄλλοισιν ἁρμοσθήσεται.
οὐ γάρ ποτ᾽ ἔξει τῆσδε τῆς χώρας, πρὶν ἂν
κείνας ἐναργεῖς δεῦρό μοι στήσῃς ἄγων,
ἐπεὶ δέδρακας οὔτ᾽ ἐμοῦ καταξίως,
οὔθ᾽ ὧν πέφυκας αὐτὸς, οὔτε σῆς χθονὸς,
ὅστις δίκαι᾽ ἀσκοῦσαν εἰσελθὼν πόλιν,
κἄνευ νόμου κραίνουσαν οὐδὲν, εἶτ᾽ ἀφεὶς
τὰ τῆσδε τῆς γῆς κύρι᾽, ὧδ᾽ ἐπεμπεσὼν,
ἄγεις θ᾽ ἃ χρῄζεις, καὶ παρίστασαι βίᾳ.
καί μοι πόλιν κένανδρον, ἢ δούλην τινὰ
ἔδοξας εἶναι, κἄμ᾽ ἴσον τῷ μηδενί.
καί τοι σε Θῆβαί γ᾽ οὐκ ἐπαίδευσαν κακόν.
οὐ γὰρ φιλοῦσιν ἄνδρας ἐκδίκους τρέφειν.
οὐδ᾽ ἄν σ᾽ ἐπαινέσειαν εἰ πυθοίατο
συλῶντα τἀμὰ, καὶ τὰ τῶν θεῶν βίᾳ,
ἄγοντα φωτῶν ἀθλίων ἱκτήρια.
οὔκουν ἔγωγ᾽ ἂν σῆς ἐπεμβαίνων χθονὸς,
οὐδ᾽ εἰ τὰ πάντων εἶχον ἐνδικώτατα,
ἄνευ γε τοῦ κραίνοντος, ὅστις ἦν χθονὸς,
οὔθ᾽ εἷλκον, οὔτ᾽ ἂν ἦγον. ἀλλ᾽ ἠπιστάμην
ξένον παρ᾽ ἀστοῖς ὡς διαιτᾶσθαι χρεών:
σὺ δ᾽ ἀξίαν οὐκ οὖσαν, αἰσχύνεις πόλιν
τὴν αὐτὸς αὑτοῦ. καί σ᾽ ὁ πληθύων χρόνος,
γέρονθ᾽ ὁμοῦ τίθησι, καὶ τοῦ νοῦ κενόν.
εἶπον μὲν οὖν καὶ πρόσθεν, ἐννέπω δὲ νῦν,
τὰς παῖδας ὡς τάχιστα δεῦρ᾽ ἄγειν τινά,
εἰ μὴ μέτοικος τῆσδε τῆς χώρας θέλεις
εἶναι βίᾳ τε κοὐχ ἑκών. καὶ ταῦτά σοι
τῷ νῷ θ᾽ ὁμοίως κἀπὸ τῆς γλώσσης λέγω.
Χο. ὁρᾷς ἵν᾽ ἥκεις ὦ ξέν᾽, ὡς ἀφ᾽ ὧν μὲν εἶ,
φαίνῃ δίκαιος, δρῶν δ᾽ ἐφευρίσκῃ κακά;
Κρέ. ἐγὼ οὔτ᾽ ἄνανδρον τήνδε τὴν πόλιν λέγων
ὦ τέκνον Αἰγέως, οὔτ᾽ ἄβουλον ὡς σὺ φής,

Εἰ μὲν δι᾽ ὀργῆς ἧκον. εἰ μὲν δι᾽ ὀργῆς ἐληλύθειν, ἐν ταύτῃ τῇ ὀργῇ, ἧς ἦν οὗτος ἄξιος. ¶ Τούτοισιν οὐκ ἄλλοισιν. ὡς ἀπὸ ξένης γῆς ἀπέσπασεν, οὕτω καὶ αὐτὸς ἀπὸ ξένης γῆς ἀποσπασθήσεται. ¶ Οὐ γάρ ποτ᾽ ἔξει. οὐκ ἀναχωρήσεις ἐντεῦθεν, πρὶν ἀναγάγῃς τὰς κόρας. ¶ Ἄγεις θ᾽ ἃ χρῄζεις καὶ παρίστασαι. ἀντὶ τοῦ καταδουλοῖς αὐτὴν βίᾳ. καὶ μεθίστασαι. εἰώθεσαν δὲ οὕτω λέγειν καὶ ἀντὶ τοῦ ἐφυγάδευσαν. ἡμεῖς δ᾽ ἂν εἴποιμεν, μετεστήσαντο· παρεστήσαντο δὲ λέγουσιν. Ἄλλως. Καὶ παρίστασαι βίᾳ. τὸ παρίστασαι ἴσον ἐστὶ τῷ καταδουλοῖς καὶ ὑποχείριον ποιεῖς. ἢ πάλιν παραστήσασθαι ῥύσ δέ τινάς φασι, παραφυλάττεσθαι. καὶ δεινοποιεῖ τὰ τοῦ Κρέοντος ὁ Θησεὺς, τῇ καλουμένῃ αὐξητικῇ κεφαλαιώσει. καὶ συνάπτει πολλὰ κεφάλαια. ¶ Σὺ δ᾽ ἀξίαν οὐκ οὖσαν. οὐκ οὖσαν ἀξίαν αἰσχύνεσθαι τὴν Θήβην δηλονότι αἰσχύνεις. αἰσχύνει δὲ πατρίδα πολίτου ἁμαρτία. ¶ Εἰ μὴ μέτοικος τῆσδε. ἀντὶ τοῦ ἔνοικος, οὐ τὸ αὐτὸ δὲ τοῦτο τῷ μέτοικος ὡς ἡμεῖς φαμὲν εἴρηται. μετοίκους δὲ καλοῦμεν τοὺς ἀπὸ ἑτέρας χώρας οἰκοῦντας, πρὸς τοὺς μετοικισθέντας ποθὲν, τοῦτο δὲ ἔνοικον κέχρηται δὲ καὶ Αἰσχύλος ἐπὶ τῶν οἰωνῶν ἐν Ἀγαμέμνονι λέγων οὕτως. Τῶνδε μετοίκων. ἀντὶ τοῦ ἐνοίκων. ¶ Ἐγὼ οὔτ᾽ ἄνανδρον. τὴν ἐπηρείαν πα

ραφύλαξον. εἰ γὰρ μὴ κατηγορηθέντων αὐτῷ οὐχ ἅπτεται. καὶ κοινὰ δέ τινα ἐνθυμήματα καὶ παρὰ τὸ εὔλογα ἐξευρίσκων αὐτὸς ἐρε-
ΟΥ θίζει πρὸς αὐτούς, τοὺς ἀθηναίους. ¶ Ἤδειν δ' ὅθ' οὕνεκ' ἄνδρα. πρὸς ὅσον αὐτοῦ τέκνον ἐστὶ μητέρα γεγαμηκώς. ¶ Τοιοῦτον αὐτοῖς ἄρεος. ἤδειν δὲ εὔβουλον ὄντα τὸν ἄρειον πάγον. τοῦτον δὲ χθόνιον εἶπεν, οἷον ἐγγενῆ, καὶ αὐτόχθονα, ἐγχώριον. οὐχ ὡς οἱ ἐξηγησάμενοι οἴονται παρὰ τὸ τοὺς δικαζομένους ἐν αὐτῷ ὑπὸ τὴν χθόνα εἶναι. χθόνιον τοίνυν, τὸν αὐτόχθονα. λέγει δὲ ἄν, τὴν ἀρεοπαγίτην βουλήν. τὸν γὰρ πάγον, εἰς τὸν ὄχθον μετατέθηκεν. εἴρηται δὲ διὰ τῆς περιστρογγυλείας αὐτοῦ πανταχοῦ. Θυμοῦ γὰρ οὐδὲν γῆρας. οἷον, οὐκ ἔστι θυμοῦ κρατῆσαι ἄνθρωπον ὄντα. οὐ καταγηράσκει τὸ ὠμὸν τοῦ θυμοῦ, εἰ μὴ ἐξέλθῃ τοῦ βίου ἄνθρωπος. ἀδύνατον γὰρ ἐστὶ ζῶντα ἄνθρωπον μὴ θυμῷ χρήσασθαι. τοῦτο δὲ καὶ παροιμιακῶς λέγει. ὅτι ὁ θυμὸς ἔσχατον γηράσκει. λέγει δὲ διὰ τοὺς πρεσβυτέρους. ὅσῳ γὰρ γηράσκουσι, τὸν θυμὸν ἐρρωμενέστερον ἔχουσι. καὶ Ἀλκαῖος ὡς λεγομένου κατὰ κοινὸν αὐτοῦ μιμνήσκεται.

Ὦ λῆμ' ἀναιδές. τὴν ὑστάτην ὑποφορὰν πρὸς τὸν Κρέοντα μηκέτι ὑπὸ τοῦ Θησέως λέγεσθαι, ἀλλ' ἀπὸ τοῦ Οἰδίποδος. ἡ δὲ αἰτία πρόδηλος. καὶ ἅμα παραφύλαττε, εἰ καὶ οὗτος πιθανῶς ποιεῖ-

τοὔργον τόδ' ἐξέπραξα. γιγνώσκων δ' ὅτι
οὐδείς ποτ' αὐτοὺς τῶν ἐμῶν ἂν ἐμπέσοι
ζῆλος ξυναίμων, ὥστ' ἐμοῦ τρέφειν βίᾳ.
ᾔδειν δ' ὅθ' οὕνεκ' ἄνδρα, καὶ πατροκτόνον,
κἄναγνον, οὐ δεξοίατ', οὐδ' ὅτῳ γάμοι
ξυνόντες εὑρέθησαν ἀνόσιοι τέκνων.
τοιοῦτον αὐτοῖς Ἄρεος εὔβουλον πάγον
ἐγὼ ξυνῄδειν χθόνιον ὄνθ', ὃς οὐκ ἐᾷ
τοιούσδ' ἀλήτας τῇδ' ὁμοῦ ναίειν πόλει.
ᾧ πίστιν ἴσχων, τήνδ' ἐχειρούμην ἄγραν.
καὶ ταῦτ' ἂν οὐκ ἔπρασσον, εἰ μή μοι πικρὰς
αὐτῷ τ' ἀρὰς ἠρᾶτο, καὶ τῷ 'μῷ γένει.
ἀνθ' ὧν πεπονθώς, ἠξίουν τάδ' ἀντιδρᾶν.
» Θυμοῦ γὰρ οὐδὲν γῆράς ἐστιν ἄλλο, πλὴν
» θανεῖν. θανόντων δ' οὐδὲν ἄλγος ἅπτεται.
πρὸς ταῦτα πράξεις, οἷον ἂν θέλοις. ἐπεὶ
ἐρημία με κεἰ δίκαι' ὅμως λέγω,
σμικρὸν τίθησι. πρὸς δὲ τὰς πράξεις ὅμως
καὶ τηλικόσδ' ὤν, ἀντιδρᾶν πειράσομαι.
ΟΙ ὦ λῆμ' ἀναιδές, τοῦ καθυβρίζειν δοκεῖς;
πότερον ἐμοῦ γέροντος, ἢ σαυτοῦ τόδε;
ὅστις φόνους μοι, καὶ γάμους, καὶ συμφορὰς
τοῦ σοῦ διῆκας στόματος. ἃς ἐγὼ τάλας
ἤνεγκον ἄκων, θεοῖς γὰρ ἦν οὕτω φίλον,
τάχ' ἄν τι μηνίουσιν εἰς γένος πάλαι.
ἐπεὶ καθ' αὑτόν γ' οὐκ ἂν ἐξεύροις ἐμοὶ
ἁμαρτίας ὄνειδος οὐδέν, ἀνθ' ὅτου
τάδ' εἰς ἐμαυτὸν τοὺς ἐμούς θ' ἡμάρτανον.
ἐπεὶ δίδαξον, εἴ τι θέσφατον πατρὶ
χρησμοῖσιν ἱκνεῖθ', ὥστε πρὸς παίδων θανεῖν,
πῶς ἂν δικαίως τοῦτ' ὀνειδίζοις ἐμοί,
ὃς οὔτε βλάστας πως γενεθλίους πατρός,
οὐ μητρὸς εἶχον, ἀλλ' ἀγέννητος τότ' ἦν.
εἰ δ' αὖ φανεὶς δύστηνος, ὡς ἐγὼ φάνην,
εἰς χεῖρας ἦλθον πατρί, καὶ κατέκτανον,
μηδὲν ξυνιεὶς ὧν ἔδρων, εἰς οὕς τ' ἔδρων,
» Πῶς γ' ἂν τό γ' ἆκον πρᾶγμ' ἂν εἰκότως

(ψέγοις;

μητρὸς δὲ τλῆμον οὐκ ἐπαισχύνῃ γάμους,
οὔσης ὁμαίμου σῆς μ' ἀναγκάζων λέγειν,
οἵους ἐρῶ τάχ'. οὐ γὰρ οὖν σιγήσομαι,
σοῦ γ' εἰς τόδ' ἐξελθόντος ἀνόσιον στόμα.
ἔτικτε γάρ μ' ἔτικτεν, ὤμοι μοι κακῶν,
οὐκ εἰδότ' οὐκ εἰδυῖα, καὶ τεκοῦσά με,
αὑτῆς ὄνειδος παῖδας ἐξέφυσέ μοι.
ἀλλ' ἓν γὰρ οὖν ἔξοιδα. σὲ μὲν ἑκόντ', ἐμὲ,
κείνην τε ταῦτα δυστομεῖν. ἐγὼ δέ νιν
ἄκων ἔγημα. φθέγγομαί τ' ἄκων τάδε.
ἀλλ' οὐ γὰρ οὔτ' ἐν τοῖσδ' ἀκούσομαι κακὸς
γάμοισιν, οὔθ' οὓς αἰὲν ἐμφέρεις σύ μοι
φόνους πατρῴους ἐξονειδίζων πικρῶς.
ἓν γάρ μ' ἄμειψαι μοῦνον, ὧν σ' ἀνιστορῶ.
εἴ τίς σε τὸν δίκαιον αὐτίκ' ἐνθάδε
κτείνοι παραστάς. πότερα πυνθάνοι' ἂν εἰ
πατήρ σ' ὁ καίνων, ἢ τίνοι' ἂν εὐθέως;
δοκῶ μὲν εἴπερ ζῆν φιλεῖς, τὸν αἴτιον
τίνοι' ἄν, οὐδὲ τοὔνδικον περιβλέπεις.
τοιαῦτα μέντοι καὐτὸς εἰσέβην κακὰ,
θεῶν ἀγόντων. οἷς ἐγὼ οὐδὲ τὴν πατρὸς
ψυχὴν ἂν οἶμαι ζῶσαν ἀντειπεῖν ἐμοί.
σὺ δ' εἶ γὰρ οὐ δίκαιος, ἀλλ' ἅπαν καλὸν
λέγειν νομίζων, ῥητὸν ἄρρητόν τ' ἔπος,
τοιαῦτ' ὀνειδίζεις με τῶνδ' ἐναντίον.
καί σοι τὸ Θησέως ὄνομα θωπεῦσαι καλὸν,
καὶ τὰς Ἀθήνας ὡς κατῴκηνται καλῶς.
κᾆθ' ὧδ' ἐπαινῶν πολλὰ, τοῦδ' ἐκλανθάνῃ,
ὅθ' οὕνεκ' εἴ τις γῆ θεοὺς ἐπίσταται
τιμὰς σεβίζειν, εἰ δὲ τῷδ' ὑπερφέρει.
ἀφ' ἧς σὺ κλέψας τὸν ἱκέτην, γέροντ' ἐμὲ
αὐτόν τε χειροῦ, τὰς κόρας τ' οἴχῃ λαβών.
ἀνθ' ὧν ἐγὼ νῦν τάσδε τὰς θεὰς ἐμοὶ
καλῶν ἱκνοῦμαι, καὶ κατασκήπτω λιταῖς
ἐλθεῖν ἀρωγοὺς ξυμμάχους, ἵν' ἐκμάθῃς
οἵων ὑπ' ἀνδρῶν ἥδε φρουρεῖται πόλις.
Χο ὁ ξεῖνος ὦναξ, χρηστός. αἱ δὲ ξυμφοραὶ
αὐτοῦ, πανώλεις, ἄξιαι δ' ἀμυνάθειν.

τοῦ τὰς ἐπιχειρήσεις. τῷ γὰρ ὄντι ὁ Οἰδίπους, εἴ τις ἀκριβῶς ἐξετάζοι, ἄδικος μὲν οὐκ ἔστιν. ἀτυχὴς δὲ καὶ περιπαθής.

¶ Πότερον ἐμοῦ, ἢ σαυτοῦ τόδε. ἐπεὶ τὴν ἀδελφήν σου λοιδορεῖς. ¶ Μισοῦσιν. ὀργιζομένοις. ¶ Ἄκων ἔπραξ' ἄν. τὸ ἀκούσιον. ¶ Μητρὸς δὲ τλῆμον. τὸ ἑξῆς. μητρὸς δὲ γάμοις τλῆμον οὔσης ὁμαίμου σῆς, ἀναγκάζων με λέγειν οὐκ ἐπαισχύνῃ.

¶ Λέγειν νομίζων, ῥητὸν ἄρρητον ἔπος. τουτέστιν, ἀθυρόστομος ὤν.

¶ Ὅθ' οὕνεκ' εἴ τις γῆ. ὅτι οὕνεκα. ἐκ παραλλήλου τὸ αὐτὸ, ὡς τὸ, εἴθ' ὤφελον. ἀντὶ τοῦ ἀγνοεῖς ὦ Κρέων, ὅτι εἴ τις χώρα θεοὺς ἐπίσταται γινώσκειν, ἡττᾶται περὶ τὸ φιλόθεον τοῦ ἐν τῇ Ἀττικῇ.

Οἱ μὲν ἐξηρπασμένοι. οἱ θεράποντες Κρέοντος. ¶ Ἄλλοι γὰρ οἱ σπεύδοντες. ἀλλ' οἱ Ἀθηναῖοι ἐπιδιώκοντες αὐτούς. ¶ Ἐπεύχωνται θεοῖς. οἱ θεράποντες. ¶ Ἀλλ' ἔσθ' ὅτῳ σὺ πιστός. ἀντὶ τοῦ πιστεύων. καταστρέφει δὲ τὸ ἐπιποιθώς. ℭ Εἴην ὅθι δαΐων. ὁ μὲν Κρέων καὶ ὁ Θησεὺς ἀπῆλθον, ὑπονοοῦσι δὲ αὐτὸν οὐ ψιλὸν ἥκειν, ἀλλὰ μετά τινος χειρός. ἣν πλησίον που ἐστρατοπεδευκυῖαν, κατὰ τοῦτο νῦν καὶ οἱ κατὰ τὸν χορὸν ἄλλως προβεβηκότες τὴν ἡλικίαν, εὔχονται ταύτην. εἴθε εἴην ὅπου αἱ συμβολαὶ καὶ αἱ μάχαι μέλλουσιν ἔσεσθαι. ὑπονοοῦσι γὰρ τὰ ὅμοια τῷ Θησεῖ περὶ τοῦ Κρέοντος, καί φησιν. εἴθε ἐπόπτης ἐγενόμην αὐτῶν. ¶ Ἐπιστροφαί. ἀναστροφαί. ℭ Τὸν χαλκοβόαν. στερεόβοαν. μεγαλόφωνον. ¶ Ἢ πρὸς Πυθίαις. ἀπὸ κοινοῦ τὸ ἀκταῖς ληπτέον. λέγει δὲ ἀντὶ Πυθίας ἀκτάς, τὸν τοῦ Πυθίου Ἀπόλλωνος βωμόν, τὸν ἐν τῷ Μαραθῶνι, ὅθεν καὶ τὴν θεωρίαν ἔπεμπον. ἱστορεῖ περὶ τούτων Φιλόχορος ἐν τῇ Τετραπόλει γράφων οὕτως. Ὁ-

» ταν δὲ σημεῖα γένηται παραδεδομέ-
» να ἐν τοῖς ἱεροῖς, τότε ἀποστέλ-
» λουσι τὴν θεωρίαν οἱ ἐκ τοῦ γένους.
» Πυθιάδες δὲ καὶ Δηλιάδες ἑκατέρα
» ἂν καθήκῃ αὐτοῖς. θύει δὲ ὁ μάν-
» τις, ὅταν μὲν τὰ εἰς Δελφοὺς πόμ-
» πιμα γένηται, καὶ θεωρία πέμπηται
» ἐν Οἰνόῃ, καθ' ἑκάστην ἡμέραν ἐν τῷ
» Πυθίῳ. εἰ δὲ εἰς Δῆλον ἀποστέλλοι-
» το ἡ θεωρία, κατὰ τὰ προειρημένα
» θύει ὁ μάντις, εἰς τὸ ἐν Μαραθῶνι
» Δήλιον. καὶ ἔστιν ἱεροσκοπία τῆς
» μὲν εἰς Δελφοὺς θεωρίας, ἐν τῷ

ἐν Οἰνόῃ Πυθίῳ. τῆς δὲ εἰς Δῆλον, ἐν τῷ ἐν Μαραθῶνι Δηλίῳ. Ἄλλως. Ἢ πρὸς Πυθίαις. ὡς ἐπὶ Μαραθῶνι, οὗ τὸ Πύθιον ἵδρυται.

Θη. ἅλις λόγων. ὡς οἱ μὲν ἐξηρπασμένοι,
σπεύδουσιν. ἡμεῖς δ' οἱ παθόντες, ἕσταμεν.
Κρέ. τί δῆτ' ἀμαυρῷ φωτὶ προστάσσεις ποεῖν;
Θη. ὁδοῦ κατάρχειν τῆς ἐκεῖ, πομπὸν δέ με
χωρεῖν. ἵν' εἰ μὲν ἐν τόποισι τοῖσδ' ἔχεις
τὰς παῖδας ἡμῶν, αὐτὸς ἐκδείξῃς ἐμοί.
εἰ δ' ἐγκρατεῖς φεύγουσιν, οὐδὲν δεῖ πονεῖν
ἄλλοι γὰρ οἱ σπεύδοντες, οὓς οὐ μή ποτε
χώρας φυγόντες τῆσδ', ἐπεύχωνται θεοῖς.
ἀλλ' ἐξυφηγοῦ. γνῶθι δ' ὡς ἔχων, ἔχῃ.
» καί σ' εἷλε θηρῶνθ' ἡ τύχη. τὰ γὰρ δόλῳ
» τῷ μὴ δικαίῳ κτήματ', οὐχὶ σῴζεται.
κοὐκ ἄλλον ἕξεις εἰς τόδ', ὡς ἔξοιδά σε.
οὐ ψιλὸν, οὐδ' ἄσκευον ἐς τοσήνδ' ὕβριν
ἥκοντα τόλμης τῆς παρεστώσης τανῦν.
ἀλλ' ἔσθ' ὅτῳ σὺ πιστὸς ὢν, ἔδρας τάδε.
ἃ δεῖ μ' ἀθρῆσαι, μηδὲ τήνδε τὴν πόλιν
ἑνὸς ποιῆσαι φωτὸς ἀσθενεστέραν.
νοεῖς τι τούτων, ἢ μάτην τανῦν τέ σοι
δοκεῖ λελέχθαι, χ' ὥτε ταῦτ' ἐμηχανῶ;
Κρέ. οὐδὲν σὺ μεμπτὸν ἐνθάδ' ὢν ἐρεῖς ἐμοί.
οἴκοι δὲ χ' ἡμεῖς εἰσόμεσθ' ἃ χρὴ ποεῖν.
Θη. χωρῶν ἀπείλει νῦν. σὺ δ' ἡμὶν Οἰδίπους,
ἕκηλος αὐτοῦ μίμνε, πιστωθεὶς ὅτι
ἢν μὴ θάνω 'γὼ πρόσθεν, οὐχὶ παύσομαι,
πρὶν ἄν σε τῶν σῶν κύριον στήσω τέκνων.
Οἰ. ὄναιο Θησεῦ, τοῦ τε γενναίου χάριν,
καὶ τῆς πρὸς ἡμᾶς ἐνδίκου προμηθίας.
Χο. εἴην ὅθι δαΐων
ἀνδρῶν τάχ' ἐπιστροφαὶ
τὸν χαλκοβόαν Ἄρη
μίξουσιν, ἢ πρὸς Πυθίαις,

Ἢ λαμπάσιν ἀκταῖς. τὰ περὶ ἐλευσῖνα τέλη φησί. καὶ εἴη λαμπάσιν ἀκταῖς λέγων, ταῖς λαμπαδευομέναις, καὶ δεδᾳδουχημέναις, καὶ καταλαμπομέναις, ὑπὸ τῆς μυστικῆς φλογός, καὶ τῶν ἱερῶν δᾴδων, περὶ ὧν αἰσχύλος φησί, λαμπρεύουσιν ἀστραπαῖσι λαμπάδων περιρρεῖ. ¶ Ἀκταῖς. περὶ ἐλευσῖνα. ἀπὸ τῶν αὐτόθι ἐν τοῖς μυστηρίοις λαμπάδων. ¶ Τιθηνοῦνται. ἐπιμελοῦνται, καὶ ἀξιοῦνται θεραπείας.

Οὗ πότνιαι. αἱ θεσμοφόροι. τέλη δὲ, τὰς τελετάς. καὶ αἰσχύλος, ἔφειξ' ἔρως δὲ τοῦ μυστικοῦ τέλους.

ἢ λαμπάσιν ἀκταῖς.
οὗ πότνιαι σεμναὶ τιθη-
νοῦνται τέλη
θναροῖσιν. ὧν καὶ χρυσέα
κλῂς ἐπὶ γλώσσᾳ βέβακε
προσπόλων εὐμολπιδᾶν.
ἔνθ' οἶμαι τὸν ἐγρεμάχαν
θησέα, καὶ τὰς διστόλους
ἀδμῆτας ἀδελφεὰς,
αὐτάρκει τάχ' ἐμμίξειν βοᾷ
τοὺς δ' ἀνὰ χώρους.
ἤ που τὸν ἐφέσπερον
πέτρας νιφάδος πελῶσ'

¶ Ὧν καὶ χρυσέα κλῄς. ἐπεὶ ἄρρητα τὰ μυστήρια, καθάπερ κλεισὶν ἡ γλῶσσα κατείληπται ὑπὲρ τοῦ μὴ ἐξενεγκεῖν. ¶ Προσπόλων. τῶν τετελεσμένων. ζητεῖται τί δή ποτε οἱ εὐμολπίδαι τῆς τελετῆς ἐξάρχουσι ξένοι ὄντες; εἴποι δ' ἄν τις ὅτι ἀξιοῦσι πρῶτον εὔμολπον τὸν ποιῆσαι τὸν δηιόπης τοῦ τριπτολέμου, τὰ ἐν ἐλευσῖνι μυστήρια, καὶ οὐ τὸν θρᾷκα. καὶ τοῦτο ἱστορεῖν ἴστρον ἐν τῷ περὶ τῶν ἀτάκτων. Ἀκεστόδωρος δὲ, πέμπτον ἀπὸ τοῦ πρώτου εὐμόλπου εἶναι τὸν τὰς τελετὰς καταδείξαντα,
» τα, γράφων οὕτως, Καρικῶς δὲ τὴν ἐλευσῖνα ἱστοροῦσι, πρότερον μὲν τοὺς αὐτό-
» χθονας. εἶτα θρᾷκας τοὺς μετ' εὐμόλπου παραγενομένους πρὸς βοήθειαν εἰς τὸν κα-
» τ' ἐρεχθέως πόλεμον. τινὲς δέ φασι καὶ τὸν εὔμολπον εὑρεῖν τὴν μύησιν τὴν συντελουμένην κατ' ἐνιαυτὸν ἐν ἐλευσῖνι, δήμητρι, καὶ κόρῃ. ἀνδροτίων μὲν οὖν γράφει οὐ τὸν εὔμολπον εὑρεῖν τὴν μύησιν, ἀλλ' ἀπὸ τούτου εὔμολπον πέμπτον γεγονότα. εὐμόλπου γὰρ γενέσθαι κήρυκα. τοῦ δὲ, εὔμολπον. τοῦ δὲ, ἀντίφημον. τοῦ δὲ, μουσαῖον τὸν ποιητήν. τοῦ δὲ εὔμολπον τὸν καταδείξαντα τὴν μύησιν, καὶ ἱεροφάντην γεγονότα. ¶ Τὸν ἐγρεμάχαν. γράφεται ὀρειβάταν. οἱονεὶ, τὸν διὰ τῶν ὀρέων βαίνοντα τῶν προειρημένων χωρίων. ¶ Ἤ που τὸν ἐφέσπερον. τὸν αἰγαλεών φησι. καὶ γὰρ τοῦτο ἐπ' ἐσχάτων ἐστὶ τοῦ δήμου τούτου. καταλέγουσι δὲ χωρία, περὶ ἃ μάλιστα εἰκάζουσι τὴν συμβολὴν γενέσθαι, τοῖς περὶ τὸν κρέοντα καὶ θησέα. πέτρας δὲ νιφάδος εἴη ἂν λέγων, τὴν οὕτω λεγομένην λείαν πέτραν, ἢ τὸν αἰγαλέων λόφον, ἃ δὴ περιχώρια φασὶν εἶναι, καθάπερ ἴστρος ἐν τῇ α. τῶν ἀτάκτων ἱστορεῖ οὕτως. ἀπὸ δὲ τῆς χαράδρας ἔστι μὲν λείαν πέτραν, καὶ μετ' ὀλίγα. ἀπὸ τούτων δὲ ἕως κολωνοῦ παρὰ τὸν χαλκοῦν προσαγορευόμενον, ὅθεν πρὸς τὸν κηφισὸν, ἕως τῆς μυστικῆς εἰσόδου εἰς ἐλευσῖνα. ἀπὸ ταύτης δὲ βαδιζόντων εἰς ἐλευσῖνα τὰ ἐπ' ἀριστερὰ μέχρι τοῦ λόφου τοῦ πρὸς αὐαρλὰς τοῦ αἰγάλεω. ἤτοι οὖν τὴν καλουμένην λείαν πέτραν, ἢ τὸν αἰγάλεων. ὁ δὲ νοῦς. ἆρα ἐστὶ τὸν ἑσπέρον χῶρον τῆς

λείας πέτρας προσπελάζοιεν.

Π ελῶσι. γράφεται πελάζοιεν.

Οἰ άτιδος ἐκ νομοῦ. οἰάτιδος δήμου τῆς ἀττικῆς. ἐκ νομοῦ δὲ πάλιν, χωρίου ἀττικοῦ οὕτω καλουμένου, ἐν ᾧ νέμονται, ὡς νεμήσεως προκειμένης. ¶ Ὁ προσχώρων ἄρης. ὁ τῶν ἐπιχωρίων. ¶ Δεινὰ δὲ θησειδᾶν. τῶν ἀθηναίων. ἁπλούστερον δὲ θησειδᾶν φησι, τῶν ἀττικῶν τῶν ὑπὸ θησέα τεταγμένων. ¶ Πᾶσα δ' ὁρμᾶται, τὸ ἑξῆς, πᾶσα δ' ὁρμᾶται ἄμβασις. ¶ Τάχ' ἂν δώσειν. ταχέως ἂν δώσειν φησὶν ὁ Κρέων. ¶ Τὰν πολλὰ τλᾶσαν. τὴν πολλὰ ἀνατλᾶσαν. τὴν παρθένον αὐτὴν διὰ ἑτέρας δηλῶν. ὡς καὶ κατωτέρω τῷ ὁμοίῳ σχήματι χρῆται. δύναται δὲ τὸ ἑτέρα προσῳδία εἶναι. Τὰν δεινὰ τλᾶσαν, δεινὰ δ' εὑροῦσαν. τὰ σὰ δεινὰ δηλονότι. ¶ Στέργω διπλᾶς ἀρωγάς. τουτέστι, τῇ διπλῇ ἀρωγῇ. ὃ λέγει τῇ πόλει, καὶ τοῖς πολίταις. νῦν δὲ τὸ στέργω. σημαίνει μὲν οἷον, προσίεμαι. τελευτᾷ δὲ εἰς ἴσον τῷ προκαλοῦμαι.

σ' οἰάτιδος ἐκ νομοῦ
πώλοισιν, ἢ ῥιμφαρμάτοις
φεύγοντες ἁμίλλαις
ἁλώσεται· δεινὸς ὁ προσ
χώρων Ἄρης.
δεινὰ δὲ θησειδᾶν ἀκμαί.
πᾶς γὰρ ἀστράπτει χαλινός.
πᾶσα δ' ὁρμᾶται κατ' ἀμ-
πυκτήρια φάλαρα πώλων
ἄμβασις, οἳ τὰν ἱππίαν
τιμῶσιν Ἀθάναν,
καὶ τὸν πόντιον γαιάοχον
Ῥέας φίλον υἱόν.
ἔρδουσιν, ἢ μέλλουσιν. ὡς
προμνᾶταί τί μοι
γνώμα, τάχ' ἂν δώσειν
τὰν δεινὰ τλᾶσαν, δεινὰ δ' εὑ-
ροῦσαν πρὸς αὐθομαίμων πάθη.
τελεῖ τελεῖ Ζεύς τι κατ' ἆμαρ·
μάντις εἰμ' ἐσθλῶν ἀγώνων,
εἴθ' ἀελλαία ταχύρ-
ρωστος πελειὰς
αἰθερίας νεφέλας
κύρσαιμ', αὐτῶν δ' ἀγώνων
θεωρήσασα τοὐμὸν ὄμμα.
ἰὼ Ζεῦ πάνταρχε θεῶν,
παντόπτα. πόροις
γᾶς τᾶσδε δαμούχοις
σθένει 'πινικείῳ
τὸν εὔαγρον τελειῶσαι λόχον,
σεμνά τε παῖς Παλλὰς Ἀθάνα,
καὶ τὸν ἀγρευτὰν Ἀπόλλω,
καὶ κασιγνήταν πυκνο-
στίκτων ὀπαδὸν
ὠκυπόδων ἐλάφων,
στέργω διπλᾶς ἀρωγὰς
μολεῖν γᾷ τᾷδε, καὶ πολίταις.

Χο ὦ ξεῖν' ἀλῆτα, τῷ σκοπῷ μὲν οὐκ ἐρεῖς

ὡς ψευ-

ὡς ψευδόμαντις. τὰς κόρας γὰρ εἰσορῶ
τάσδ' ἆσσον αὖθις ὧδε προσπολουμένας.
Οἰ ποῦ, ποῦ; τί φῄς; πῶς εἶπας;
Αν ὦ πάτερ, ὦ πάτερ,
τίς ἂν θεῶν σοι τόνδ' ἄριστον ἄνδρ' ἰδεῖν
δοίη, τὸν ἡμᾶς δεῦρο προσπέμψαντά σοι;
Οἰ ὦ τέκνον, ἦ πάρεστον;
Αν αἵδε γὰρ χέρες
Θησέως ἔσωσαν, φιλτάτων τ' ὀπαόνων.
Οἰ προσέλθετ' ὦ παῖ πατρί, καὶ τὸ μηδαμὰ
ἐλπισθὲν ἥξειν σῶμα, βαστάσαι δότε.
Αν αἰτεῖς ἃ τεύξῃ. σὺν πόθῳ γὰρ ἡ χάρις.
Οἰ ποῦ δῆτα, ποῦ 'στον; Αν αἵδ' ὁμοῦ πελαζόμεθα.
Οἰ ὦ φίλτατ' ἔρνη. Αν τῷ τεκόντι πᾶν φίλον.
Οἰ ὦ σκῆπτρα φωτός. Αν δυσμόρου τε δύσμορα.
Ιο ἔχω τὰ φίλτατ' οὐδ' ὅταν πανάθλιος
θανὼν ἂν εἴην, σφῷν παρεστώσαιν ἐμοί.
ἐρείσατ' ὦ παῖ πλευρὸν ἀμφιδέξιον,
ἐμφῦτε τῷ φύσαντι, κἀναπαύσατον
τοῦ πρόσθ' ἐρήμου, τοῦ τε δυστήνου πλάνου,
καί μοι τὰ πραχθέντ' εἴπαθ' ὡς βράχιστ', ἐπεὶ
ταῖς τηλικαῖσδε, σμικρὸς ἐξαρκεῖ λόγος.
Αν ὅδ' ἔσθ' ὁ σώσας, τοῦδε χρὴ κλύειν πάτερ.
καὶ σοί τε τοὔργον τοὐμὸν ἔσται βραχύ.
Οἰ ὦ ξεῖνε, μὴ θαύμαζε πρὸς τὸ λιπαρές.
τέκν' ἐμφανέντ' ἄελπτα, μηκύνω λόγον.
ἐπίσταμαι γὰρ τήνδε τὴν ἐς τάσδε μοι
τέρψιν παρ' ἄλλου μηδενὸς πεφασμένην.
σὺ γάρ νιν ἐξέσωσας, οὐκ ἄλλος βροτῶν.
καὶ σοὶ θεοὶ πόροιεν ὡς ἐγὼ θέλω,
αὐτῷ τε, καὶ γῇ τῇδε. ἐπεὶ τό γ' εὐσεβὲς,
μόνοις παρ' ὑμῖν εὗρον ἀνθρώπων ἐγώ,
καὶ τοὐπιεικὲς, καὶ τὸ μὴ ψευδοστομεῖν.
εἰδὼς δ' ἀμύνω τοῖσδε τοῖς λόγοις τάδε.
ἔχω γὰρ ἅχω διὰ σέ, κοὐκ ἄλλου βροτῶν.
καί μοι χέρ' ὦναξ δεξιὰν ὄρεξον, ὡς
ψαύσω, φιλήσω τ' εἰ θέμις τὸ σὸν κάρα.
καίτοι τί φωνῶ, πῶς δ' ἂν ἄθλιος γεγὼς,

¶ Ὦ ξεῖνε, μὴ θαύμαζε πρὸς τὸ λιπαρές. τὸ ἀρέσκον. ἰδίως ἐσχημάτισε τὸν λόγον. μὴ προσθαύμαζέ μου, τὸ λιπαρές, τὸ λίαν προσκεκαθηκὸς τῇ ψυχῇ τοῖς τέκνοις. τὸ δὲ ἐχόμενον οὐ καταλλήλως εἶπεν. οὐ γάρ φησιν ἀέλπτως φανέντων ἐμοὶ τῶν τέκνων μηκύνω τὸν λόγον, ἀλλὰ τέκνα φανέντα. εἶτα μηκύνω τὸν λόγον. Η, εἰ φανέντα ἄελπτα μηκύνω λόγον. ἀντὶ τοῦ, πρὸς τὸ κελεύσιμον εἰ μακρηγορήσω.

θιγεῖν θέλοιμ' ἂν ἀνδρὸς ᾧ τις οὐκ ἔνι
κηλὶς κακῶν ξύνοικος; οὐκ ἔγωγέ σε
οὐδ' οὖν ἐάσω. τοῖς γὰρ ἐμπείροις βροτῶν
μόνοις οἷόν τε συνταλαιπωρεῖν τάδε.
σὺ δ' αὐτόθεν μοι χαῖρε, καὶ τὰ λοιπά μου
μέλου δικαίως, ὥσπερ ἐς τόδ' ἡμέρας.

Θη. οὔτ' εἴ τι μῆκος τῶν λόγων ἔθου πλέον,
τέκνοισι τερφθεὶς τοῖσδε θαυμάσας ἔχω,
οὐδ' εἰ πρὸ τοὐμοῦ προὔλαβες τὰ τῶνδ' ἔπη.
βάρος γὰρ ἡμᾶς οὐδὲν ἐκ τούτων ἔχει.
οὐ γὰρ λόγοισι τὸν βίον σπουδάζομεν
λαμπρὸν ποιεῖσθαι μᾶλλον ἢ τοῖς δρωμένοις.
δείκνυμι δ'. ὧν γὰρ ὤμοσ', οὐκ ἐψευσάμην
οὐδέν σε πρέσβυ. τάσδε γάρ πάρειμ' ἄγων
ζώσας, ἀκραιφνεῖς τῶν κατηπειλημένων.
χ' ὅπως μὲν ἀγὼν οὗτος ἡρέθη, τί δεῖ μάτην
κομπεῖν, ἅ γ' εἴσῃ καὐτὸς ἐκ ταύταιν ξυνών;
λόγος δ' ὃς ἐμπέπτωκεν ἀρτίως ἐμοὶ
στείχοντι δεῦρο, συμβαλοῦ γνώμην. ἐπεὶ
σμικρὸς μὲν εἰπεῖν, ἄξιος δὲ θαυμάσαι.
„ Πρᾶγος δ' ἀτίζειν, οὐδὲν ἀνθρώπων χρεών.

Οἰ. τί δ' ἔστι τέκνον Αἰγέως, δίδασκέ με,
ὡς μὴ εἰδότ' αὐτὸν μηδὲν, ὧν σὺ πυνθάνῃ.

Θη. Φασίν τιν' ἡμῖν ἄνδρα, σοὶ μὲν ἔμπολιν
οὐκ ὄντα, συγγενῆ δέ, προσπεσόντα πως,
βωμῷ καθῆσθαι τῷ Ποσειδῶνος, παρ' ᾧ
θύων ἔκυρον ἡνίχ' ὡρμώμην ἐγώ.

Οἰ. ποδαπόν; τί προσχρῄζοντα τῷ θακήματι;

Θη. οὐκ οἶδα, πλὴν ἕν. σοῦ γὰρ ὡς λέγουσί μοι,
βραχύν τιν' αἰτεῖ μῦθον, οὐκ ὄγκου πλέων.

Οἰ. ποῖόν τιν'; οὐ γὰρ ἥδ' ἕδρα σμικροῦ λόγου.

Θη. σοὶ φασὶν αὐτὸν ἐς λόγους ἐλθεῖν, μολόντ'
αἰτεῖν ἀπελθεῖν ἀσφαλῶς τῆς δεῦρ' ὁδοῦ.

Οἰ. τίς δῆτ' ἂν εἴη τήνδ' ὁ προσθακῶν ἕδραν;

Θη. ὅρα κατ' Ἄργος εἴ τις ὑμῖν ἐγγενὴς
ἔσθ', ὅστις ἄν σου τοῦτο προσχρῄζοι τυχεῖν.

Οἰ. ὦ φίλτατ' ἴσχες οὗπερ εἶ. Θη. τί δ' ἔστι σοι;

Οἰ. μή μου δεηθῇς. Θη. πράγματος ποίου; λέγε.

Οἰδ

¶ Μέλου. ἐπιμελοῦ.

¶ Θαυμάσας ἔχω. ἀντὶ τοῦ ἐθαύμασα ἀττικῶς.

Πρᾶγος δ' ἀτίζειν. ἀνθρώπων δέ φησιν ὄντα, οὐ δεῖ πράγματα κακίζειν ἀεί. ¶ Φασίν τιν' ἡμῖν ἄνδρα. καθ' ὑπόθεσιν, ἱκετεύει ὁ Πολυνείκης πρὸς αὐτὸν παραγενόμενος. καὶ τὸν Οἰδίπουν, κατά τι λόγιον ἐμπεσόν. ὅτι πρὸς οὓς ἂν γένοιτο ὁ Οἰδίπους, κρατήσουσι τῆς βασιλείας. τοῦτο δὲ ἀγγέλλει ὁ Θησεύς.

Σοὶ μὲν ἔμπολιν. ἐν τῇ αὐτῇ πόλει οἰκοῦντα.

Θύων ἔκυρον. ἀντὶ τοῦ ἐκύρουν, τουτέστιν ἐτύγχανον. ¶ Σοὶ φασὶν αὐτόν. τὸ ἑξῆς, σοὶ φασὶν αὐτὸν μολόντα, αἰτεῖν εἰς λόγους ἐλθεῖν.

ΟΙ ἔξοιδ' ἀκούων τῶνδ', ὅς ἐσθ' ὁ προστάτης.
ΘΗ καὶ τίς ποτ' ἐστὶν ὅνδ' ἐγὼ ψέξαιμί τοι;
ΟΙ παῖς οὑμὸς ὦναξ στυγνός. οὗ λόγων ἐγὼ
ἄλγιστ' ἂν ἀνδρῶν ἐξανασχοίμην κλύων.
ΘΗ τί δ' οὐκ ἀκούειν ἐστί, καὶ μὴ δρᾶν ἃ μὴ
χρῄζεις; τί σοι τοῦτ' ἐστὶ λυπηρὸν κλύειν;
ΟΙ ἔχθιστον ὦναξ φθέγμα τοῦθ' ἥκει πατρί.
καὶ μή μ' ἀνάγκῃ προσβάλῃς τάδ' εἰκάθειν.
ΘΗ ἀλλ' εἰ τὸ θάκημ' ἐξαναγκάζει, σκόπει,
μή σοι πρόνοι' ᾖ τοῦ θεοῦ φυλακτέα.
ΑΝ πάτερ, πιθοῦ μοι, κεἰ νέα παραινέσω.
τὸν ἄνδρ' ἔασον τόνδε τῇ θ' αὑτοῦ φρενὶ
χάριν παρασχεῖν, τῷ θεῷ θ' ἃ βούλεται,
καὶ νῷν ὕπεικε τὸν κασίγνητον μολεῖν.
οὐ γάρ σε, θάρσει, πρὸς βίαν παρασπάσει
γνώμης, ἃ μή σοι συμφέροντα λέξεται.
λόγων δ' ἀκοῦσαι, τίς βλάβη; τά τοι καλῶς
εὑρημέν' ἔργα, τῷ λόγῳ μηνύεται.
ἔφυσας αὐτόν, ὥστε μήτε δρῶντά σε
τὰ τῶν κακίστων δυσσεβεστάτων πάτερ.
θέμις σέ γ' εἶναι κεῖνον ἀντιδρᾶν κακῶς.
ἀλλ' αὐτόν. εἰσὶ χἀτέροις γοναὶ κακαί,
καὶ θυμὸς ὀξύς. ἀλλὰ νουθετούμενοι
φίλων ἐπῳδαῖς, ἐξεπᾴδονται φύσιν.
σὺ δ' εἰς ἐκεῖνα μὴ τὰ νῦν ἀποσκόπει
πατρῷα καὶ μητρῷα πήμαθ', ἃ 'πάθες.
κἂν κεῖνα λεύσσῃς, οἶδ' ἐγὼ γνώσῃ κακοῦ
θυμοῦ τελευτήν, ὡς κακὴ προσγίνεται.
ἔχεις γὰρ οὐ βίαια τἀνθυμήματα,
τῶν σῶν ἀδέρκτων ὀμμάτων τητώμενος.
» ἀλλ' ἡμὶν εἶκε. λιπαρεῖν γὰρ οὐ καλὸν
» δίκαια προσχρῄζουσιν. οὐδ' αὐτὸν μὲν εὖ
» πάσχειν, παθόντα δ' οὐκ ἐπίστασθαι τίνειν.
ΟΙ τέκνον, βαρεῖαν ἡδονὴν νικᾶτέ με
λέγοντες. ἔστω δ' οὖν ὅπως ὑμῖν φίλον.
μόνον ξέν' εἴπερ κεῖνος ὧδ' ἐλεύσεται,
μηδεὶς κρατείτω τῆς ἐμῆς ψυχῆς ποτε.
ΘΗ ἅπαξ τὰ τοιαῦτ', οὐχὶ δὶς χρῄζω κλύειν

¶ Ὁ προστάτης. ὁ ἱκέτης. ὁ προεστηκὼς τοῦ βωμοῦ.
¶ Παῖς οὑμὸς ὦναξ. πρὸς τὸν Θησέα φησί.

¶ Τάδ' εἰκάθειν. παραγώγως, ἀντὶ τοῦ εἴκειν.

¶ Πάτερ, πιθοῦ μοι. οὐχ ὡς οὐκ ἂν πεισθησομένου τοῦ Θησέως τοῦ οἰδίποδος, οὕτως ἐλέχθησαν αὐτῷ ἡ τῆς ἐκ τῆς θυγατρὸς παράκλησις, ἀλλ' αὐξήσεως χάριν καὶ τοῦτο περιείληφε τὸ πρόσωπον ὁ σοφοκλῆς. ἀμέλει γοῦν πρὸς τὸν Θησέα ἀποκρίνεται, ὡς ἐκείνῳ πεπεισμένος.
¶ Ἃ μή σοι συμφέροντα. τὸ ἑξῆς. οὐ γὰρ ἃ μή σοι συμφέροντα λέξεται, πρὸς βίαν σε παρασπάσει γνώμης. θάρσει. τὸ δὲ λέξεται, ἀντὶ τοῦ λέξει. ὁ πολυνείκης δηλονότι.
¶ Ἐξεπᾴδονται. καταπραΰνονται. ¶ Πατρῷα καὶ μητρῷα. τὰ περὶ τὴν πήρωσιν λέγει ἅμα. οὐ γὰρ τὰ ἐξ ἀρχῆς πραχθέντα ὀνειδίζει αὐτῷ, ἀλλ' ἀπὸ τῆς ἄγαν ὀργῆς ἀσέβη. τούτου γὰρ αὐτὸν ἀποτρέπειν βούλεται.
¶ Τίνειν. ἀμείβεσθαι.

σῶον ἴσθι. αὐτὶ τοῦ σῶον. ¶ Ὅστις τοῦ πλέονος μέρους. κατάδηλός ἐστιν ὁ χορὸς, ἐν ταύτῳ ἀναφωνῶν καὶ ἀπαγγέλλων περὶ τῆς τῶν ἀνθρώπων ἀπληστίας. ἔοικε δὲ ἡσιόδῳ, νήπιοι οὐκ ἴσασιν ὅσῳ πλέον ἥμισυ παντός. τείνει δὲ εἰς τὴν δυσποτμίαν οἰδίπου. ¶ Ὁπότ' ἂν τις. ὅτε ἄν τις. ¶ Ἐς πλέον πέσῃ τοῦ θέλοντος. τοῦ μετρίου. τοῦ ἱκανοῦ. τοῦ προσήκοντος. ἀφανῆ τὰ τέρποντα γίνεται, ἢ πάντη ἄδηλα. ἄλλως. ἐς πλέον πέσῃ. οὐ παύσονται τοῦ κόρου, πρὶν εἰς θάνατον ἔλθωσιν. ¶ Οὐδ' ἔπι κοῦρος. γράφεται κόρος. ταῦτα καθ' ἑαυτόν. φησὶ δὲ ὁ χορὸς, τοῖς πλεονεκτεῖν ἐθέλουσι παρὰ τὸ καίριον, ἢ τὸ μέτριον, ὁ χορὸς ἐστὶν οὗτος ἰσοτέλεστος. ὁμοίως ἀποθνήσκουσιν οἱ τοιοῦτοι. τὸ ἑξῆς δὲ, ἰσοτέλεστος θάνατος. τὰ δὲ ἄλλα διὰ μέσου. βῆναι κεῖθεν ὅθεν περ ἥκει, πολὺ δεύτερον ὡς τάχιστα. τοῦτο τὸ ἐστὶ τὸ ἑξῆς. οἷον, οὐδὲ ἔπεστιν αὐτοῖς κόρος ἰσοτέλεστος τοῦ ἄδου. τότε γὰρ ὁ τοιοῦτος κόρος λαμβάνει τέλος, ὅτε ἂν ὁ ἄδης ἐπέλθῃ. ¶ Ἄλυρος, ἄχορος. ἐπεὶ ἐν θανάτῳ οὐχ ὑμνοῦσιν. ἢ μετὰ θάνατον, οἱ τοιοῦτοι οὐχ ὑμνοῦνται. ¶ Μὴ φῦναι τὸν ἅπαντα. πάντων ἄριστον ἀνθρώποις τὸ μὴ φῦναι, παρὰ τὸ λεγόμενον, ἀρχὴν μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον. ¶ Τὸ δ' ἐπεὶ φανῇ. τὸ ἑξῆς. ἐπεὶ δὲ φανῇ, τὸ βῆναι ἐκεῖθεν, ὅθεν περ ἥκει, ὡς τάχιστα παρὰ πολὺ τῶν ἄλλων, δεύτερόν ἐστιν ἐκείνου, τὸ μὴ φῦναι καθόλου. ¶ Ὡς εὖτ' ἂν τὸ νέον παρῇ. ὡς ἡνίκ' ἂν νηπιότης παρῇ, ταύτας γάρ φησι κούφας ἀφροσύνας, οὐδὲν ἐπιλογίζεται τῶν δεόντων. ἰδίως δὲ ἀπὸ τοῦ ἐξήνεγκεν, ὥσπερ ἔλεγε, τῷ νέῳ ἀφροσύνη πάρεστι. ¶ Τίς πλάγχθη. ἀντὶ τοῦ ἰδίως ἐξήνεγκε. βούλεται δέ τι τὸ τοιοῦτον σημαίνειν, τίς ἂν πλαγχθείη τῶν πολλῶν μόχθων. ¶ Πολύμοχθος ἔξω. τίς ἔξω τοῦ πολυμόχθου ἐστὶν, ἐπλανήθη. ¶ Τίς οὐ καμάτων ἔνι. ταῦτα ὑποστικτικῶς εἴρηται κατὰ τοιαύτην ἀπόκρισιν

ὦ πρέσβυ, κομπεῖν δ' οὐχὶ βούλομαι. σὺ δὲ
σῶν ἴσθ', ἐάν περ κἀμέ τις σώζῃ θεῶν.

Χο. ὅστις τοῦ πλέονος μέρους
χρῄζει τοῦ μετρίου παρεὶς
ζώειν, σκαιοσύναν φυλάσσων,
ἐν ἐμοὶ κατάδηλος ἔσται.
ἐπεὶ πολλὰ μὲν αἱ μακραὶ
ἁμέραι κατέθεντο δὴ
λύπας ἐγγυτέρω. τὰ τέρποντα δ' οὐκ ἂν ἴδοις, ὁπότ' ἄν τις
ἐς πλέον πέσῃ
τοῦ θέλοντος, οὐδ' ἔπι κόρος
ἰσοτέλεστος
ἄϊδος, ὅτε μοῖρ' ἀνυμέναιος,
ἄλυρος, ἄχορος ἀναπέφηνε
θάνατος ἐς τελευτάν.
μὴ φῦναι τὸν ἅπαντα νικᾷ λόγον. τὸ δ', ἐπεὶ φανῇ,
βῆναι κεῖθεν, ὅθεν περ ἥκει,
πολὺ δεύτερον ὡς τάχιστα.
ὡς εὖτ' ἂν τὸ νέον παρῇ
κούφας ἀφροσύνας φέρον,
τίς πλάγχθη πολύμοχθος ἔξω;
τίς οὐ καμάτων ἔνι;
φόνοι. στάσεις. ἔρις. μάχαι,
καὶ φθόνος. τό, τε κατάμεμπτον

καθ' ἣν

ἐπιλέλογχε πύματον
ἀκρατὲς ἀπροσόμιλον,
γῆρας ἄφιλον. ἵνα πρόπαντα
κακὰ κακῶν ξυνοικεῖ.
ἐν ᾧ τλάμων ὅδ᾽ οὐκ ἐγὼ μόνος
πάντοθεν βόρειος ὥς τις ἀκτὰ
κυματοπλὴξ χειμερία κλονεῖται.
ὣς καὶ τόνδε κατάκρας
δειναὶ κυματοαγεῖς
ἆται κλονέουσιν ἀεὶ ξυνοῦσαι.
αἱ μὲν, ἀπ᾽ ἀελίου
δυσμᾶν, αἱ δ᾽ ἀνατέλ-
λοντος, αἱ δ᾽ ἀνὰ μέσαν
ἀκτῖν᾽. αἱ δὲ, νυχιᾶν ἀπὸ ῥιπᾶν.
Αν. καὶ μὴν ὅδ᾽ ἡμῖν ὡς ἔοικεν ὁ ξένος
ἀνδρῶν γε μοῦνος ὦ πάτερ, δι᾽ ὄμματος
ἀστακτὶ λείβων δάκρυον ὧδ᾽ ὁδοιπορεῖ.
Οἰ. τίς οὗτος; ΑΝ ὅνπερ καὶ πάλαι κατείχομεν
γνώμῃ, πάρεστι δεῦρο Πολυνείκης ὅδε.
Πο. οἴμοι τί δράσω; πότερα τἀμαυτοῦ κακὰ
πρόσθεν δακρύσω παῖδες, ἢ τὰ τοῦδ᾽ ὁρῶν
πατρὸς γέροντος, ὃν ξένης ἐπὶ χθονὸς
ξὺν σφῷν ἐφεύρηκ᾽ ἐνθάδ᾽ ἐκβεβλημένον
ἐσθῆτι σὺν τοιᾷδ᾽. τῆς ὁ δυσφιλὴς
γέρων γέροντι συγκατῴκηκεν πόνος
πλευρὰν μαραίνων. κρατὶ δ᾽ ὀμματοστερεῖ
κόμη δι᾽ αὔρας ἀκτένιστος ἀΐσσεται.
ἀδελφὰ δ᾽ ὡς ἔοικε τούτοισιν φορεῖ
τὰ τῆς ταλαίνης νηδύος θρεπτήρια.
ἁγὼ πανώλης, ὄψ᾽ ἄγαν ἐκμανθάνω.
καὶ μαρτυρῶ κάκιστος ἀνθρώπων τροφαῖς
ταῖς σαῖσιν ἥκειν, τἄλλα μὴ ξ᾽ ἄλλων πάθῃ.
ἀλλ᾽ ἔστι γὰρ καὶ Ζηνὶ σύνθακος θρόνων
αἰδὼς ἐπ᾽ ἔργοις πᾶσι, καὶ πρὸς σοὶ πάτερ
παρασταθήτω. τῶν γὰρ ἡμαρτημένων,
ἄκη μέν ἐστι, προσφορὰ δ᾽ οὐκ ἔστ᾽ ἔτι.
τί σιγᾷς;
φώνησον ὦ πάτερ τι, μή μ᾽ ἀποστραφῇς.
οὐδ᾽ ἀνταμείβῃ μ᾽ οὐδὲν, ἀλλ᾽ ἀτιμάσας

καθ᾽ ἣν ἐμφαίνεται. πρότερον μὲν ὅταν εἴπῃ, τίς πλάγχθη τῶν μόχθων τῶν πολλῶν, ὑπακουόμενον τὸ τοιοῦτον, οὐδείς. πάλιν δὲ ὅταν ἐξῆς ἐπιζεύξῃ, τίς οὐ καμάτων ἔνι, τὸ πᾶς. βούλεται γὰρ καὶ νῦν κατὰ τὸ ὅμοιον λέγειν, οὐδείς ἐστι κάματος, ὃς οὐκ ἔνεστιν.

¶ Αἱ δὲ νυχιᾶν ἀπὸ ῥιπᾶν. τὰ ἀπὸ τῶν ὀρῶν φησι, τῶν προσαγορευομένων ῥιπαίων. οὕτω δὲ καλοῦσι ῥίπαια ὄρη. λέγει δὲ αὐτὰ ἐννύχια, διὰ τὸ πρὸς τῇ δύσει κεῖσθαι. μέμνηται δὲ καὶ Ἀλκμὰν λέγων οὕτως, Ῥιπὰς ὄρος ἔνθεν ὕλας νυκτὸς μελαίνης στέρνον. ¶ Οἴμοι τί δράσω; παραφυλάττου πάλιν τὴν τέχνην διὰ ῥητορείας αὐτοῦ. ὅτι οὐκ εὐθέως ἐπὶ τὴν ὑπόθεσιν αὐτοῦ ἀπαντᾷ, ἀλλὰ προκατασκευάζει τὰ ὅλα εἰς εὔνοιαν.

¶ Ἀδελφὰ δ᾽ ὡς ἔοικε. κοινὰ δὲ γύρις ὡς ἔοικε γίγνεται.

¶ Τῶν γὰρ ἡμαρτημένων ἄκη μέν. ἐπανάληψις. ἀντὶ τοῦ ἀνακαλέσασθαι αὐτὰ καὶ ἀναλῦσαι.

πέμψῃς ἄναυδος, οὐδ' ἃ μηνίεις φράσας;
ὦ σπέρματ' ἀνδρὸς τοῦδ', ἐμαὶ δ' ὁμαίμονες,
πειράσατ' ἀλλ' ὑμεῖς γε κινῆσαι πατρὸς
τὸ δυσπρόσοιστον κἀπροσήγορον στόμα,
ὡς μή τ' ἄτιμον τοῦ θεοῦ γε προστάτην
οὕτως μ' ἀφῇ γε μηδὲν ἀντειπὼν ἔπος.

> Τὸ δυσπρόσοιστον. τὸ δυσπροσπέλαστον.

Αν λέγ' ὦ ταλαίπωρ' αὐτὸς, ὧν χρείᾳ πάρει.
» τὰ πολλὰ γάρ τοι ῥήματ', ἢ τέρψαντά τι,
» ἢ δυσχεράναντ', ἢ κατοικτίσαντά πως,
» παρέσχε φωνὴν τοῖς ἀφωνήτοις τινά.
Πο ἀλλ' ἐξερῶ. καλῶς γὰρ ἐξηγῇ σύ μοι.
πρῶτον μὲν αὐτὸν τὸν θεὸν ποιούμενος
ἀρωγὸν, ἔνθεν μ' ὧδ' ἀνέστησεν μολεῖν
ὁ τῆσδε γῆς κοίρανος, διδοὺς ἐμοὶ
λέξαι τ' ἀκοῦσαί τ' ἀσφαλεῖ ξὺν ἐξόδῳ.
καὶ ταῦτ' ἀφ' ὑμῶν ὦ ξένοι βουλήσομαι,
καὶ ταῖνδ' ἀδελφαῖν, καὶ πατρὸς κυρεῖν ἐμοί.
ἃ δ' ἦλθον, ἤδη σοι θέλω λέξαι πάτερ.
γῆς ἐκ πατρῴας ἐξελήλαμαι φυγάς,
τοῖς σοῖς πανάρχοις οὕνεκ' ἐνθακεῖν θρόνοις
γονῇ πεφυκὼς ἠξίουν γεραιτέρᾳ.
ἀνθ' ὧν μ' Ἐτεοκλῆς ὢν φύσει νεώτερος,
γῆς ἐξέωσεν, οὔτε νικήσας λόγῳ,
οὔτ' εἰς ἔλεγχον χειρὸς, οὔτ' ἔργου μολών.
πόλιν δὲ πείσας, ὧν ἐγὼ μάλιστα μὲν
τὴν σὴν Ἐριννὺν αἰτίαν εἶναι λέγω.
ἔπειτα κἀπὸ μάντεων ταύτῃ κλύων.
ἐπεὶ γὰρ ἦλθον Ἄργος ἐς τὸ Δωρικὸν,
λαβὼν Ἄδραστον πενθερὸν, ξυνωμότας
ἔστησ' ἐμαυτῷ γῆς, ὅσοι περ Ἀπίας
πρῶτοι καλοῦνται, καὶ τετίμηνται δορί.
ὅπως τὸν ἑπτάλογχον εἰς Θήβας στόλον
ξὺν τοῖσδ' ἀγείρας, ἢ θάνοιμι πανδίκως,
ἢ τοὺς τάδ' ἐκπράξαντας ἐκβάλοιμι γῆς.
Εἶεν. τί δῆτα νῦν ἀφιγμένος κυρῶ;
σοὶ προστροπαίους ὦ πάτερ λιτὰς ἔχων,
αὐτός γ' ἐμαυτοῦ ξυμμάχων τε τῶν ἐμῶν,
οἳ νῦν ξὺν ἑπτὰ τάξεσι, ξὺν ἑπτά τε
λόγχαις, τὸ Θήβης πεδίον ἐμφεστᾶσι πᾶν;

> Ἃ δ' ἦλθον ἤδη. λείπει ἡ διά, ἵν' ᾖ, δι' ἃ ἦλθον.

> Συνεπτά τε λόγχαις. ἕκαστον σύστημα ἑνικῶς ὀνομάζει λόγχην, ὡς εἴ τις τὸ πλ

οἷος δορυσσοῦς Ἀμφιάρεως, τὰ πρῶτα μὲν
δορὶ κρατύνων, πρῶτα δ' οἰωνῶν ὁδοῖς.
ὁ δεύτερος δ' Αἰτωλὸς Οἰνέως τόκος
Τυδεύς. τρίτος δ' Ἐτέοκλος ἀργεῖος γεγώς.
τέταρτον Ἱππομέδοντ' ἀπέστειλεν πατὴρ
Ταλαός. ὁ πέμπτος δ' εὔχεται κατασκαφῇ
Καπανεὺς τὸ Θήβης ἄστυ δῃώσειν τάχα.
Ἕκτος δὲ Παρθενοπαῖος ἀρκὰς ὄρνυται
ἐπώνυμος τῆς πρόσθεν ἀδμήτης χρόνῳ
μητρὸς λοχευθεὶς πιστὸς Ἀταλάντης γόνος.
ἐγὼ δὲ σὸς, κεἰ μὴ σὸς, ἀλλὰ τοῦ κακοῦ
πότμου φυτευθείς. σός γε τοι καλούμενος,
ἄγω τὸν Ἄργους ἄφοβον ἐς Θήβας στρατόν.
οἵ σ' ἀντὶ παίδων τῶνδε καὶ ψυχῆς πάτερ,
ἱκετεύομεν ξύμπαντες ἐξαιρούμενοι,
μῆνιν βαρεῖαν εἰκάθειν, ὁρμωμένῳ
τῷδ' ἀνδρὶ τοὐμοῦ πρὸς κασιγνήτου τίσιν.
ὅς μ' ἐξέωσε, κἀπεσύλησεν πάτρας.
εἰ γάρ τι πιστὸν ἐστὶν ἐκ χρηστηρίων,
οἷς ἂν σὺ προσθῇ, τοῖς δ' ἔφασκ' εἶναι κράτος.
πρὸς νῦν σε κρηνῶν, πρὸς θεῶν ὁμογνίων,
αἰτῶ πιθέσθαι, καὶ παρεικάθειν. ἐπεὶ
πτωχοὶ μὲν ἡμεῖς, καὶ ξένοι. ξένος δὲ σύ.
ἄλλους δὲ θωπεύοντες, οἰκοῦμεν, σύ τε
κἀγὼ, τὸν αὐτὸν δαίμον' ἐξειληφότες.
ὁ δ' ἐν δόμοις τύραννος, ὦ τάλας ἐγὼ,
κοινῇ καθ' ἡμῶν ἐγγελῶν ἁβρύνεται.
ὃν εἰ σὺ τῇ 'μῇ ξυμπαραστήσῃ φρενὶ,
βραχεῖ σὺν ὄγκῳ καὶ πόνῳ διασκεδῶ.
ὥστ' ἐν δόμοισι τοῖσι σοῖς στήσω σ' ἄγων,
στήσω δ' ἐμαυτὸν, κεῖνον ἐκβαλὼν βίᾳ.
καὶ ταῦτα, σοῦ μὲν ξυνθέλοντος ἐστὶ μοι
κομπεῖν. ἄνευ σοῦ δ' οὐδὲ σωθῆναι σθένω.
Χο τὸν ἄνδρα, τοῦ πέμψαντος, οὕνεκ' Οἰδίπου
εἰπὼν ὁποῖα ξύμφορ', ἔκπεμψαι πάλιν.
Οἰ Ἀλλ' εἰ μὲν ἄνδρες τῆσδε δημοῦχος χθονὸς
μὴ τύγχαν' αὐτὸν δεῦρο προσπέμψας ἐμοὶ
Θησεὺς, δικαιῶν ὥστ' ἐμοῦ κλύειν λόγους,

λαὸν ἵππων εἶπε τὴν ἵππον.

¶ Ἕκτος δὲ Παρθενοπαῖος. ἔνιοι οὐ τὸν Ἀταλάντης Παρθενοπαῖόν φασι στρατεῦσαι, ἀλλὰ τὸν Ταλαοῦ, ὃν ἔνιοι δὴ τῆς κ. καλαὸν προσαγορεύουσι. καθάπερ Ἀρίσταρχος ὁ τεγεάτης καὶ Φιλοκλῆς ἱστοροῦσι, συγγραφέων δὲ, ἑκαταῖος ὁ Μιλήσιος.

¶ Ἐπώνυμος τῆς πρόσθεν. παρὰ τὸ πάρθενος οὕτω κληθείς. ⊂ Τῷδ' ἀνδρί. δεικτικῶς. καὶ ἔστι πυκνὸς ἐν τῷ τοιούτῳ Σοφοκλῆς.

¶ Πρὸς νῦν σε κρηνῶν. παθητικὸν ἐστὶ, τὸ πρὸς πατρῴων κρηνῶν ὁρκοῦμαι. ὥσπερ ἔφη, πρὸς τῶν ἐκθρεψάντων σε ὑδάτων.

¶ Τὸν ἄνδρα τοῦ πέμψαντος. ἤρξατο πάλιν ὁ χορὸς χρηστὸν τὶ συμβουλεύειν. ¶ Θησεὺς δικαιῶν. δίκαιον κρίνων.

ὍΣ γ' ὦ κάκιστε. δαιμονίως τῇ ἀποστροφῇ χρῆται ἀπὸ τοῦ χοροῦ ἐπὶ τὸν Πολυνείκην ὁ Οἰδίπους. παραφύλαξον δέ, πῶς οἱ αὐτοὶ τῶν λόγων γίνονται τῶν μὲν θηλειῶν ἐγκώμια, τούτου δέ, κατηγόρημα.

Τοιάσδ' ἀράς. ταῦτα ἅπαξ ἅπαντες
οἱ πρὸ ἡμῶν παραλελοίπασιν. ἔ-
χει δὲ τὰ ἀπὸ τῆς ἱστορίας οὕτως. οἱ
περὶ Ἐτεοκλέα καὶ Πολυνείκην δι'
ἔθους ἔχοντες τῷ πατρὶ Οἰδίποδι
πέμπειν ἐξ ἑκάστου ἱερείου μοῖραν
τὸν ὦμον, ἐκλαθόμενοί ποτε εἴτε
κατὰ ῥαστώνην, εἴτε ἐξ ὁτουοῦν, ἰσχί-
ον αὐτῷ ἔπεμψαν. ὁ δὲ μικρο-
ψύχως καὶ τελέως ἀγεννῶς, ὅ-
μως γοῦν ἀρὰς ἔθετο κατ' αὐτῶν,
δόξας κατολιγωρεῖσθαι. ταῦτα ὁ
τὴν μικρὴν Θηβαΐδα ποιήσας, ἱστο-
» ρεῖ οὕτως. Ἰσχίον ὡς ἐνόησε χαμαὶ
» βάλεν εἶπέ τε μῦθον. Ὤ μοι ἐ-
» γώ, παῖδές μοι ὀνειδείοντες ἔπεμ-
» ψαν. Εὖκτο Διὶ βασιλῆϊ καὶ ἄλ-
» λοις ἀθανάτοισι, χερσὶν ὑπ' ἀλ-
» λήλων καταβήμεναι Ἄϊδος εἴ-
σω. τὰ δὲ παραπλήσια τῷ ἐπο-
ποιῷ, καὶ Αἰσχύλος ἐν τοῖς Ἑπτὰ
ἐπὶ Θήβαις. καὶ ἔοικε τὸ τῆς ἱστο-
ρίας ἠγνοηκέναι πολλούς. ὡς καὶ
παρά τινι ἐκτεθῆναι αὐτὰ πρὸς
» τὸ γελοιότερον ἐξενεχθέντων. Ἀεὶ
» δ' ὁρῶντι γ' ὀξὺ εἰ καὶ τυφλὸς ἦν.
» θυσίας τ' ἀπαρχὰς πέρας ἐπέμ-
» περ μὲν πατρί. πολιαστὸν ὦμον, ἐκ
» κείρον πέρας τὸ δή ποτε συγκόψαν-
» τες οὐ μεμνημένοι, λῆσιν δο-
» κοῦντες ἀντὶ τοῦ κεκομμένου, ἐ-
» πέμψαμεν βόειον. ὁ δὲ λαβὼν
» χερσὶ ἔγνω. ἐπαφήσας εἶπέ τ' ἐκ
» θυμοῦ τάδε. τίς μοι τόδ' ἀν-
» τόμοιον ἀντὶ τοῦ κρέας. πέμπων ἔλαθε; λῆμ' ἐμ' ὑβριοῦνται κόροι. θύοντες ὕβρει, τυ-
φλὸς

οὔτ' ἂν ποτ' ὀμφῆς τῆς ἐμῆς ἐπήκοος·
νῦν δ' ἀξιωθεὶς, εἶσι. κἀκούσας γ' ἐμοῦ
τοιαῦθ', ἃ τὸν τοῦδ' οὔ ποτ' εὐφρανεῖ βίον.
ὅς γ' ὦ κάκιστε σκῆπτρα καὶ θρόνους ἔχων,
ἃ νῦν ὁ σὸς ξύναιμος ἐν Θήβαις ἔχει,
τὸν αὐτὸς αὑτοῦ πατέρα τόνδ' ἀπήλασας,
κἄθηκας ἄπολιν. καὶ στολὰς ταύτας φορεῖν,
ἃς νῦν δακρύεις εἰσορῶν, ὅτ' ἐν πόνῳ
ταὐτῷ βεβηκὼς τυγχάνεις κακῶν ἐμοί.
οὐ κλαυστὰ δ' ἐστίν, ἀλλ' ἐμοὶ μὲν οἰστέα
τάδ', ὥσπερ ἂν ζῶ σοῦ φονέως μεμνημένος.
σὺ γάρ με μόχθῳ τῷδ' ἔθηκας ἔντροφον.
σύ μ' ἐξέωσας. ἐκ σέθεν δ' ἀλώμενος,
ἄλλους ἐπαιτῶ τὸν καθ' ἡμέραν βίον.
εἰ δ' ἐξέφυσα τάσδε, μὴ 'μαυτῷ τροφοὺς
τὰς παῖδας, ἦ τ' ἂν οὐκ ἂν ἦν τὸ σὸν μέρος.
νῦν δ' αἵδε μ' ἐκσῴζουσιν, αἵδ' ἐμαὶ τροφοί,
αἵδ' ἄνδρες, οὐ γυναῖκες εἰς τὸ ξυμπονεῖν.
ὑμεῖς δ' ἀπ' ἄλλου κοὐκ ἐμοῦ πεφύκατον.
τοιγάρ σ' ὁ δαίμων εἰσορᾷ μὲν οὔ τί πω
ὡς αὐτίκ' εἴπερ οἵδε κινοῦνται λόχοι
πρὸς ἄστυ Θήβης. οὐ γὰρ ἔσθ' ὅπως πόλιν
κείνην ἐρεῖ τις, ἀλλὰ πρόσθεν αἵματι
πεσῇ μιανθεὶς χ' ὠ ξύναιμος ἐξ ἴσου.
τοιάσδ' ἀρὰς σφῶϊν πρόσθε τ' ἐξανῆκ' ἐγώ
νῦν τ' ἀνακαλοῦμαι ξυμμάχους ἐλθεῖν ἐμοί,
ἵν' ἀξιῶτον τοὺς φυτεύσαντας σέβειν,
καὶ μὴ 'ξατιμάζητον, εἰ τυφλοῦ πατρὸς
τοιώδ' ἔφυτον. αἵδε γὰρ τάδ' οὐκ ἔδρων.
τοιγὰρ τὸ σὸν θάκημα, καὶ τοὺς σοὺς θρόνους
κρατοῦσιν, εἴπερ ἐστὶν ἡ παλαίφατος
δίκη ξύνεδρος Ζηνὸς, ἀρχαίοις νόμοις.
σὺ δ' ἔρρ' ἀπόπτυστός τε, κἀπάτωρ ἐμοῦ

κακῶν κάκιστε, τάσδε συλλαβὼν ἀράς,
ἅς σοι καλοῦμαι, μήτε γῆς ἐμφυλίου
δορὶ κρατῆσαι, μήτε νοστῆσαί ποτε
τὸ κοῖλον Ἄργος, ἀλλὰ συγγενεῖ χερὶ
θανεῖν, κτανεῖν θ' ὑφ' οὗπερ ἐξελήλασαι.
τοιαῦτ' ἀρῶμαι, καὶ καλῶ τὸ ταρτάρου
στυγνὸν πατρῷον ἔρεβος, ὥς σ' ἀποικίσῃ,
καλῶ δὲ τάσδε δαίμονας, καλῶ δ' Ἄρη
τὸν σφῷν τὸ δεινὸν μῖσος ἐμβεβληκότα.
καὶ ταῦτ' ἀκούσας, στεῖχε, κἀξάγγελλε ἰὼν
καὶ πᾶσι Καδμείοισι, τοῖς σαυτοῦ θ' ἅμα
πιστοῖσι συμμάχοισιν, οὕνεκ' Οἰδίπους
τοιαῦτ' ἔνειμε παισὶ τοῖς αὑτοῦ γέρα.
Χο Πολύνεικες, οὔτε ταῖς παρελθούσαις ὁδοῖς
ξυνήδομαί σοι, νῦν τ' ἴθ' ὡς τάχος πάλιν.
Πο Οἴμοι κελεύθου, τῆς τ' ἐμῆς δυσπραξίας.
οἴμοι δ' ἑταίρων. οἷον ἆρ' ὁδοῦ τέλος
Ἄργους ἀφωρμήθημεν. ὢ τάλας ἐγώ.
τοιοῦτον, οἷον οὐδὲ φωνῆσαί τινα
ἔξεσθ' ἑταίρων, οὐδ' ἀποστρέψαι πάλιν.
ἀλλ' ὄντ' ἄναυδον, τῇδε συγκῦρσαι τύχῃ.
ὦ τοῦδ' ὅμαιμοι παῖδες, ἀλλ' ὑμεῖς ἐπεὶ
τὰ σκληρὰ πατρὸς κλύετε τοῦδ' ἀρωμένου,
μή τι με πρὸς θεῶν σφῶιν γ' ἂν αἱ τοῦδ' ἀραὶ
πατρὸς τελῶνται, καί τις ὑμῖν ἐς δόμους
νόστος γένηται, μή μ' ἀτιμάσητέ γε,
ἀλλ' ἐν τάφοισι θέσθε, κἀν κτερίσμασι.
καὶ σφῷν ὁ νῦν ἔπαινος, ὃν κομίζετον
τοῦδ' ἀνδρὸς οἷς πονεῖτον, οὐκ ἐλάσσονα
ἔτ' ἄλλον οἴσει τῆς ἐμῆς ὑπουργίας.
Αν Πολύνεικες, ἱκετεύω σε πεισθῆναί τί μοι.
Πο ὦ φιλτάτη, τὸ ποῖον, ἀντιγόνη; λέγε.
Αν στρέψαι στράτευμ' ἐς Ἄργος ὡς τάχιστά γε,
καὶ μὴ σέ γ' αὐτὸν καὶ πόλιν διεργάσῃ.
Πο ἀλλ' οὐχ οἷόν τε. πῶς γὰρ αὖθις αὖ πάλιν
στράτευμ' ἄγοιμι ταὐτὸν εἰσάπαξ τρέσας;
Αν τί δ' αὖθις ὦ παῖ δεῖ σε θυμοῦσθαι; τί σοι
πάτραν κατασκάψαντι κέρδος ἔρχεται;

φίλος οὐ γὰρ γνώσεται. οὕτω λέγοντος, ὦ θεοὶ μαρτύρομαι. ἐγὼ τὰ δ' ὑμᾶς καὶ κατεύχομαι κακά. αὐτοῖσιν αὐτῶν τῶνδε δὶς τόσα χέθειν. χαλκῷ δὲ μαρμαίροντες ἀλλήλων χέα, σφάξοιεν ἀμφὶ κτήμασι βασιλικοῖς. καὶ Μενάνδρου ἐν ναυκλήροις. ὅ,τε πολυνείκης πῶς ἀπώλετ' οὐχ ὁρᾷς.

¶ Οἴμοι κελεύθου. καὶ αὕτη δευτέρα ἐστὶν ὥσπερ δέησις, καὶ παθητικωτάτη, ἐν ᾗ ἀπολοφύρεσθαι αὐτὸν τεχναζομένη πάνυ πιθανῶς.

Χρήζει γάρ. ἐν ἴσῳ τῷ χρησμῳδεῖ. ἀπὸ τοῦ ἐφ' ἑαυτοῦ φησι καὶ τοῦ ἀδελφοῦ. ἡμῖν δέ, οὐ συμβατέα, οὐδὲ συγχωρητέα.

... FACULTAD DE LETRAS DE GRANADA

Οἴμοι τάλαινα. τίς δέ. τὸ ἑξῆς, τίς δὲ τολμήσει ἕπεσθαι, κλύων τὰ τοῦδε τἀνδρός;
Οὐδ' ἀγγελοῦμεν. καὶ ἐν ταῖς τέχναις ἐστὶ τοῦτο, ὅτι οὐ πάντα δεῖ ἀληθεύεσθαι, ἐὰν μὴ χρήσιμα ᾖ, ἀλλὰ δεῖ καὶ ψεύδεσθαι.
Μέθεσθε δ' ἤδη. καὶ ἐκ τούτου δῆλον, ὅτι ἐν τῇ παρακλήσει ἅμα τοὺς λόγους λέγουσα τούτους, εἶχεν αὐτὸν ἡ ἀδελφή. ¶ Καὶ τῇδε φῦναι. καὶ ταύτῃ δὲ τύχῃ, καὶ ἐναντίᾳ. Νέα τάδε νεόθεν. νεωστί. εἰ καὶ ὅτι μάλιστα ξενικὰ ἐστὶ τὰ πρόσωπα, ἐπὶ τὰ κατέχοντα τούτους κακὰ, ὅμως συναλγεῖ. καὶ εὐλαβεῖται μὴ ἐκ τῆς ὁμιλίας τῆς σὺν αὐτοῖς, ἀπολαύσωσί τινος κακοῦ καὶ αὐτοί. ἐν τοιούτῳ τῷ ἤθει καὶ ὁ λόγος αὐτοῖς διάκειται. τὰ αὐτὰ πάρεστιν ἡμῖν φησιν ἄρτι παρὰ τοῦ ξένου ἀπολαῦσαι, ἐκτὸς εἰ μὴ μοῖρά τις καταλαμβάνει ἡμᾶς. καὶ κατὰ μοῖραν ἀπολαύομεν ὧν ἀπολαύσομεν. ¶ Εἴ τι μοῖρα. εἰ μὴ κατὰ μοῖραν ταῦτα πάσχω εἴποιμι ἂν ἐκ τοῦ ἀπλωείκους νέα μὴ κακὰ ἐληλυθέναι. Μάτην γὰρ οὐδὲν ἀξίωμα. ὅτιον οὐδέν ἐστι μάτην ὑπὸ θησέως ἀξιωθὲν πραχθῆναι. ἀλλ' ὃ ἂν γίνεται, ὑπὸ θησέως τοῦτο καλῶς γίνεται. τὸ δὲ ἑξῆς, μάτην γὰρ οὐδὲν ἀξίωμα δαιμόνων ἔχω φάσαι, ἐπειδὴ ὁρᾷ ταῦθ' ὁ ἀεὶ χρόνος. ἕτερα μὲν αὔξων ἄνω. τὰ δὲ παρ' ἡμᾶς αὖθις, ὅ ἐστιν, εἰς τὸ ἔμπαλιν στρέπων τὰ ἤδη αὐξηθέντα. ὅτιον, πάντα ἔχει ὑφ' ἑαυτὸν χρόνος. τὰ μὲν ὁρᾷ. τὰ δὲ, καὶ αὐτὸς ὁρᾶται. τὰ γὰρ πραττόμενα, τῷ χρόνῳ φαίνεται. τουτέστιν, ἐν τῷ χρόνῳ πολλαὶ μεταβολαὶ, αἳ ὁρᾶται ὁ χρόνος πολλὰ μὲν αὔξων παρ' ἦμαρ, πολλὰ δὲ εἰς τὸ ἔμπαλιν στρέπων.

ΧΟ αἰσχρὸν φεύγειν, καὶ τὸ πρεσβεύοντ' ἐμὲ
οὕτω γελᾶσθαι τοῦ κασιγνήτου πάρα.
ΑΝ ὁρᾷς τὰ τοῦδ' οὖν ὡς ἐς ὀρθὸν ἐκφέρει
μαντεύμαθ', ὃς σφῷν θάνατον ἐξ ἀμφοῖν (θροεῖ;
Πο χρῄζει γάρ. ἡμῖν δ' οὐχὶ συγχωρητέα.
ΑΝ οἴμοι τάλαινα. τίς δὲ τολμήσει κλύων
τὰ τοῦδ' ἕπεσθαι τἀνδρὸς οἷ' ἐθέσπισεν;
Πο οὐδ' ἀγγελοῦμεν φλαῦρα. ἐπεὶ στρατηλάτου
,, Χρηστοῦ, τὰ κρείσσω, μὴ δὲ τἀνδεᾶ λέγειν.
ΑΝ οὕτως ἄρ' ὦ παῖ ταῦτά σοι δεδογμένα;
Πο καὶ μή μ' ἐπίσχῃς γ'. ἀλλ' ἐμοὶ μὲν ἥδ' ὁδὸς
ἔσται μέλουσα, δύσποτμός τε καὶ κακὴ
πρὸς τοῦδε πατρὸς, τῶν τε τοῦδ' ἐριννύων.
σφῷν δ' εὐοδοίη Ζεὺς, τάδ' εἰ τελεῖτέ μοι
θανόντ'. ἐπεὶ οὔ μοι ζῶντί γ' αὖθις ἕξετον,
μέθεσθε δ' ἤδη. χαίρετόν τ'. οὐ γάρ μ' ἔτι
βλέποντ' ἐσόψεσθ' αὖθις.
ΑΝ ὢ τάλαιν' ἐγώ.
Πο μή τοί μ' ὀδύρου.
ΑΝ καὶ τίς ἄν σ' ὁρμώμενον
εἰς προῦπτον ἅδην, οὐ καταστένοι κάσι;
Πθ εἰ χρή, θανοῦμαι.
ΑΝ μὴ σύ γ', ἀλλ' ἐμοὶ πιθοῦ.
Πο μὴ πεῖθ' ἃ μὴ δεῖ. Αν. δυστάλαινά τ' ἄρ' ἐγώ,
εἴ σου στερηθῶ. Πο. ταῦτα δ' ἐν τῷ δαίμονι
καὶ τῇδε φῦναι, χ' ἀτέρᾳ. σφῷν δ' οὖν ἐγὼ
θεοῖς ἀρῶμαι μήποτ' ἀντῆσαι κακῶν.
ἀνάξιαι γὰρ πᾶσιν ἐστὲ δυστυχεῖν.
ΧΟ Νέα τάδε νέοθεν ἦλθέ μοι,
βαρύποτμα κακὰ
παρ' ἀλαοῦ ξένου,
εἴ τι μοῖρα μὴ κιχάνει.
μάτην γὰρ οὐδὲν ἀξίωμα δαιμόνων

ἔχω φράσαι.
ὁρᾷ, ὁρᾷ ταῦτ' ἀεὶ
χρόνος. ἐπεὶ μὲν ἕτερα
τάδε πήματ' αὖθις αὔξων ἄνω
ἔκτυπεν αἰθὴρ ὦ Ζεῦ.
Οἰ ὦ τέκνα, τέκνα, πῶς ἂν εἴ τις ἔντοπος
τὸν πάντ' ἄριστον δεῦρο Θησέα πόροι;
Αν πάτερ, τί δ' ἐστὶ τἀξίωμ', ἐφ' ᾧ καλεῖς;
Οἰ Διὸς πτερωτὸς ἥδε μ' αὐτίκ' ἄξεται
βροντὴ πρὸς ἅδην. ἀλλὰ πέμψαθ' ὡς τάχος.
Χο ἴδε μάλα μέγας ἐρείπεται
κτύπος ἄφατος ὅδε
διόβολος. ἐς δ' ἄκραν
δεῖμ' ὑπῆλθε κρατὸς φόβαν,
ἔπτηξα θυμόν. οὐρανία γὰρ ἀστραπὴ
φλέγει πάλιν.
τί μὰν ἀφήσει τέλος.
δέδια τόδ'. οὐ γὰρ ἅλιον
ἀφορμᾷ ποτ'. οὐκ ἄνευ ξυμφορᾶς.
ὦ μέγας αἰθήρ. ὦ Ζεῦ.
Οἰ ὦ παῖδες, ἥκει τῷδ' ἐπ' ἀνδρὶ θέσφατος
βίου τελευτή, κοὐκέτ' ἔστ' ἀποστροφή.
Χο πῶς οἶσθα, τῷ δὲ τοῦτο συμβαλὼν ἔχεις;
Οἰ καλῶς κάτοιδ'. ἀλλ' ὡς τάχιστά μοι μολὼν
ἄνακτα χώρας τῆσδε, τὶς πορευσάτω.
Χο ἔα. ἔα.
ἰδοὺ μάλ' αὖθις ἀμφίσταται
διαπρύσιος ὄτοβος.
ἵλαος ὦ δαῖμον, ἵλαος, εἴ τι γᾷ
ματέρι τυγχάνεις ἀφεγγὲς φέρων.
ἐναισίου δὲ συντύχοιμι.
μηδ' ἄλαστον ἄνδρ' ἰδών,
ἀκερδῆ χάριν μετάσχοιμί πως.
Ζεῦ ἄνα, σοὶ φωνῶ.

¶ Ἔκτυπεν αἰθήρ. τὸ συνεκτικώτατον τοῦ δράματος ἐν τούτῳ, καθάπερ προέγνω ὁ Οἰδίπους. σημεῖα δ' ἥξειν τῶν δέ μοι παρηγγύα. ἢ σεισμὸν, ἢ βροντήν τιν', ἢ Διὸς σέλας. μεταξὺ γὰρ τῶν χοροῦ λόγων, γίνεται τοῦτο, ἐφ' ᾧ ὁ χορὸς ἀναβοᾷ. ὅπερ ἦν σύμβολον τοῦ τὸν Οἰδίποδα τεθνήξεσθαι. ὅπερ γνωρίσας ὁ Οἰδίπους, ἀξιοῖ τὸν Θησέα ἐν τάχει παραγενέσθαι. ¶ Τἀξίωμα. τὸ βούλημα. ¶ Διόβολος. ἐς δ' ἄκραν. ἄκραν φόβαν κρατός, οὕτως ἀποδώσεις. ¶ Οὐρανία γὰρ ἀστραπή. ἀντὶ τοῦ ταχεῖα. ¶ Τί μὰν ἀφήσει. τὸ τέλος φησὶν, οὐ μάτην γίνεται τὸ κατὰ τὴν διοσημείαν, ἀλλ' ἐπί τινι μεγάλῃ συμφορᾷ. νῦν δὲ συμφορὰν φησὶ τὸ μέσον ὄνομα τῆς συντυχίας. οἷον, ἐπί τινι γίνεται ἡ διοσημεία. ¶ Ἅλιον. μάταιον. ¶ Ἀφορμᾷ. ἀπὸ κοινοῦ τὸ ἀφορμᾷ. ¶ Τῷδ' ἐπ' ἀνδρί. ἐπ' ἐμοὶ δηλονότι. θέσφατος βίου τελευτή. ἡ θεσπισθεῖσα τελευτή. ¶ Ἀποστροφή. ἀποφυγή. ¶ Τῷ δὲ συμβαλών. τίνι τεκμηρίῳ νοήσας στοχασάμενος. ¶ Ἀμφίσταται. περιίσταται ἡμῖν μέγας ψόφος. ¶ Ἵλαος ὦ δαῖμον. λείπει τὸ ἔσο. εὐσεβέστατα ὁ χορὸς εὔχεται πρὸς τὸν θεὸν, εἰ ἐπί τινι χαλεπῷ ταῦτα πράττει, ἵλεων αὐτὸν γενέσθαι. ὅρα γὰρ ὅτι ἡ συμφορὰ ἐνθάδε τῆς μέσης ἐννοίας κεῖται. ¶ Ματέρι. τῇ ἀττικῇ. ¶ Ἀφεγγές. χαλεπόν. Ἐναισίου δὲ συντύχοιμι. μὴ δὲ πονηρῷ τινι συντύχω. ¶ Ἀκερδῆ χάριν. ἧς φαῦλον τὸ κέρδος. ¶ Μετάσχοιμί πως. ἀντὶ τοῦ σχοίην.

Ἆρ' ἐγγὺς αὐτός. ὁ Θησεύς. ¶ Τί δ' ἂν θέλοις τὸ πιστόν. τί τὸ πιστὸν θέλεις ἐμβαλεῖν τῇ φρενὶ ἐκείνου. τῇ τοῦ Θησέως δηλονότι. ἀντὶ τοῦ τί βούλει πιθανὸν ἀνακοινώσασθαι τῷ Θησεῖ. ¶ Δοῦναί σφιν. ἀντὶ τοῦ αὐτῷ. κατὰ τὴν δὲ πληθυντικῶς. ἃ πάροιθ' ὑπεσχόμην. ἄλλως. Δοῦναί σφιν. ἡ σφὶν, ἀντὶ τοῦ οἱ, ἀντωνυμίας κεῖται. ἔλειπε τὸ τελεσφόρον δοῦναι οἱ χάριν. ¶ Ἰὼ παῖ. θαυμαστῶς ὁ χορὸς βοᾷ. ἐπάγει γὰρ τὸ πρᾶγμα. ¶ Ἐπὶ γύαλον. ἢ τὸ ἐπὶ πρὸς τὸ ἄκραν. ἵν' ᾖ, ἐπ' ἄκραν πέτραν. Ποσειδωνίῳ. ποσειδῶνι. διὸ κεῖται τὸ χ. ἄλλως. Ποσειδωνίῳ. ἀντὶ τοῦ ποσειδῶνος ὄντιν ἐναλίου θεοῦ. ὁ δὲ ἕτερος ἐσχημάτισε κτητικῶς τρόπον πως. διὸ κεῖται τὸ χ. ¶ Ἁγιάζων. ἀντὶ τοῦ ἁγίζων. ¶ Παρ' ὑμῶν. ὑμῶν τε καὶ οἱ δημόται. ¶ Ἐπιρράξασα. ἀντὶ τοῦ ἐπέρραξεν. ¶ Θεῶν τύχην. εὐτυχίαν. ¶ Νέορτον αὖ. ἀντὶ τοῦ νέον. ¶ Καί σ' ἅπερ. τὸ ἑξῆς, καὶ σὲ μὴ ψεύσας. ¶ Σημάτων προκειμένων. οἷον, διὰ τῶν σημείων. Γήρως ἄλυπα. ἕως γήρως. ¶ Τῇδε κείσεται. γράφεται, σῇ τε κείσεται. ¶ Μήθ' οὗ κέκευθε. μήτε ποῦ κρύπτεται ὁ χῶρος. ¶ Γειτόνων. εἰ μὲν βαρυτόνως γειτόνων, τῶν Θηβαίων. εἰ δὲ περισπωμένως, γειτνιῶν, ἀντὶ τοῦ γειτνιῶν ὁ τάφος.

Οἰ. ἆρ' ἐγγὺς αὐτός; ἆρ' ἔτ' ἐμψύχου τέκνα
κιχήσεταί μου, καὶ κατορθοῦντος φρένας;
Χο. τί δ' ἂν θέλοις τὸ πιστὸν ἐμφῦναι φρενί;
Οἰ. ἀνθ' ὧν ἔπασχον εὖ, τελεσφόρον χάριν
δοῦναί σφιν, ἥνπερ τυγχάνων ὑπεσχόμην.
Χο. ἰὼ παῖ βᾶθι βᾶθ'. εἴτ' ἄκραν
ἐπὶ γύαλον ἐναλίῳ
Ποσειδωνίῳ θεῷ τυγχάνεις
βούθυτον ἑστίαν ἁγίζων, ἱκοῦ.
ὁ γὰρ ξένος σε καὶ πόλισμα
καὶ φίλους ἐπαξιοῖ
δικαίαν χάριν παρασχεῖν παθών.
ἀΐσσ' ὦ 'ναξ.
Θη. τίς αὖ παρ' ὑμῶν κοινὸς ἠχεῖται κτύπος,
σαφὴς μὲν αὐτῶν, ἐμφανὴς δὲ τοῦ ξένου,
μή τις Διὸς κεραυνός, ἤ τις ὀμβρία
χάλαζ' ἐπιρράξασα; πάντα γὰρ θεοῦ
τοιαῦτα χειμάζοντος εἰκάσαι πάρα.
Οἰ. ἄναξ, ποθοῦντι προὐφάνης. καί σοι θεῶν
τύχην τις ἐσθλὴν τῆσδ' ἔθηκε τῆς ὁδοῦ.
Θη. τί δ' ἐστὶν ὦ παῖ Λαΐου νέορτον αὖ;
Οἰ. ῥοπὴ βίου μοι. καί σ' ἅπερ ξυνῄνεσα
θέλω πόλιν τε τήνδε μὴ ψεύσας θανεῖν.
Θη. ἐν τῷ δὲ κεῖσαι τοῦ μόρου τεκμηρίῳ;
Οἰ. αὐτοὶ θεοὶ κήρυκες ἀγγέλλουσί μοι
ψεύδοντες οὐδὲν, σημάτων προκειμένων.
Θη. πῶς εἶπας ὦ γεραιέ δηλοῦσθαι τάδε;
Οἰ. αἱ πολλὰ βρονταὶ διατελεῖς, τὰ πολλά τε
στράψαντα χειρὸς τῆς ἀνικήτου βέλη.
Θη. πείθεις με. πολλὰ γάρ σε θεσπίζονθ' ὁρῶ
κοὐ ψευδόφημα. χὤ, τι χρὴ ποιεῖν, λέγε.
Οἰ. ἐγὼ διδάξω τέκνον Αἰγέως, ἅ σοι
γήρως ἄλυπα τῇδε κείσεται πόλει.
χῶρον μὲν αὐτὸς αὐτίκ' ἐξηγήσομαι,
ἄθικτος ἡγητῆρος, οὗ με χρὴ θανεῖν.
τοῦτον δὲ φράζε μήποτ' ἀνθρώπων τινί,
μήθ' οὗ κέκευθε, μήτ' ἐν οἷς κεῖται τόποις.
ὥς σοι πρὸ πολλῶν ἀσπίδων, ἀλκὴν ὅδε
δορός τ' ἐπακτοῦ γειτόνων ἀεὶ τιθῇ.

ἀλλ' ἐξάγιστα, μηδὲ κινεῖται λόγῳ,
αὐτὸς μαθήσῃ, κεῖσ' ὅταν μόλῃς μόνος.
ὡς οὔτ' ἂν ἀστῶν τῶνδ' ἂν ἐξείποιμί τῳ,
οὔτ' ἂν τέκνοισι τοῖς ἐμοῖς. στέργων ὅμως.
ἀλλ' αὐτὸς ἀεὶ σῷζε. χ' ὅταν εἰς τέλος
τοῦ ζῆν ἀφικνῇ, τῷ προφερτάτῳ μόνῳ
σήμαιν', ὁ δ' αἰεὶ τῷ 'πιόντι δεικνύτω.
χ' οὕτως ἀδῄον τήνδ' ἐνοικήσεις πόλιν
Σπαρτῶν ἀπ' ἀνδρῶν. αἱ δὲ μυρίαι πόλεις,
κἂν εὖ τις οἰκῇ, ῥᾳδίως καθύβρισαν.
» Θεοὶ γὰρ εὖ μὲν, ὀψὲ δ' εἰσορῶσ', ὅταν
» Τὰ θεῖ' ἀφεὶς τις, εἰς τὸ μαίνεσθαι τραπῇ.
ὃ μὴ σὺ τέκνον Αἰγέως βούλου παθεῖν.
τὰ μὲν τοιαῦτ' οὖν εἰδότ' ἐκδιδάσκομεν.
χῶρον δ', ἐπείγει γάρ με τοὐκ θεοῦ παρὸν,
στείχωμεν ἤδη, μηδ' ἔτ' ἐντρεπώμεθα.
ὦ παῖδες, ὧδ' ἕπεσθ'. ἐγὼ γὰρ ἡγεμὼν
σφῷν αὖ πέφασμαι καινὸς, ὥσπερ σφὼ πατρί.
χωρεῖτε, καὶ μὴ ψαύετ'. ἀλλ' ἐᾶτέ με
αὐτὸν τὸν ἱερὸν τύμβον ἐξευρεῖν, ἵνα
μοῖρ' ἀνδρὶ τῷδε, τῇδε κρυφθῆναι χθονί.
τῇδ' ὧδε τῇδε βᾶτε. τῇδε γάρ μ' ἄγει
Ἑρμῆς ὁ πομπὸς, ἥτε νερτέρα θεός.
ὦ φῶς ἀφεγγὲς πρόσθε πού ποτ' ἦσθ' ἐμόν;
νῦν δ' ἔσχατόν σου τοὐμὸν ἅπτεται δέμας.
ἤδη γὰρ ἕρπω τὸν τελευταῖον βίον
κρύψων παρ' ᾅδην. ἀλλὰ φίλτατε ξένων,
αὐτός τε χώρα θ' ἥδε, πρόσπολοί τε σοὶ,
εὐδαίμονες γένοισθε. κἀπ' εὐπραξίᾳ
μέμνησθέ μου θανόντος εὐτυχεῖς ἀεί.

Χο. εἰ θέμις ἐστί μοι τὰν ἀφανῆ θεὸν
καὶ σὲ λιταῖς σεβίζειν ἐννυχίων ἄναξ
Αἰδωνεῦ, Αἰδωνεῦ,
λίσσομαι, μήτ' ἐπίπονα,
μήτ' ἐπὶ βαρυάχει
ξένον ἐκτανύσαι
μόρῳ, τὰν παγκευθῆ κάτω
νεκύων πλάκα, καὶ στύγιον
δόμον. πολλῶν γὰρ ἂν

Ἃ δ' ἐξάγιστα. καθαρὰ, σημειώσει καὶ τὸ ἅγιος τοῦτο. ἐνταῦθα οὕτως, ἐξάγιστα, ἀντὶ τοῦ ἁγνὰ, ἃ μηδ' ὅσιά τε εἰρῆσθαι. καὶ τοῦτο ῥύτου τῶν χρωμάτων πολλαχοῦ. ¶ Τῷ προφερτάτῳ μόνῳ. χρησίμως τὸ τοῦτο. ὥστε περὶ τὸν καιρὸν τῆς τελευτῆς παραδιδόναι τὸ ἀπόρρητον τῷ πρεσβυτέρῳ υἱῷ. ὑπὲρ τοῦ μέχρι τοῦ παντὸς διαμένειν τὴν ὠφέλειαν τοῖς ἀθηναίοις, δι' ἧς τῶν θηβαίων κρατήσουσι. ¶ Χ' οὕτως ἀδῄον. ἀδῄωτον. ¶ Κἂν εὖ τις οἰκῇ. κἂν δικαίως τὶς πολιτεύηται, πολλαὶ πόλεις ἀδίκως ἐπέρχονται. ¶ Μηδέ γ' ἐντρεπώμεθα. ἀντὶ τοῦ ἐπιστρεφώμεθα. ὅμηρος, ἐντροπαλιζόμενος. ¶ Ἐγὼ γὰρ ἡγεμών. ἐγὼ γὰρ ἡγεμὼν ὑμῖν πέφηνα, ὥσπερ ὑμεῖς τῷ πατρί. ¶ Τῇδε μ' ἄγει. οὐ πλάνης οὐ προκειτής, ἀλλ' εὐθὺ ἄπεισιν, ὥσπερ ἀγόμενος ὑπὸ τοῦ θεοῦ. τὸ ἄνω δὲ σημεῖον καὶ τὸ τοῦ Ἑρμοῦ προσέθηκεν. ¶ Ὦ φῶς ἀφεγγές. ὃ τῷ νῷ ὁρᾷ, οὐ τοῖς αἰσθητοῖς ὀφθαλμοῖς. Πρόσπολοί τε σοί. οἱ ἀθηναῖοι. ¶ Τὰν ἀφανῆ θεόν. τὴν περσεφόνην φησίν. ¶ Ἐννυχίων ἄναξ. τῶν ἐν νυκτὶ ἀεὶ καὶ σκότῳ διατριβόντων. τεθνηκότων. ¶ Λίσσομαι μήτ' ἐπὶ πόνῳ. τὰ ἑξῆς μὲν δῆλα ἐκ τῆς λέξεως. τὸ δὲ δίδου μοι τοῦτο ἀσύνακτόν πως φαίνεται ἡμῖν. ἐπιστήσει τὸ ἄξιον λαβόντας καλὸν ἀντίγραφον. δίδου μοι τὸν ξένον κατανύσαι τὰ παγκευθῆ κάτω νεκύων πλάκα. καὶ στύγιον δόμον, μήτ' ἐπὶ πόνῳ, μήτ' ἐπὶ βαρυαχεῖ μόρῳ. εὔχονται δὲ αὐτῷ μὴ δυσθανατῆσαι.

Καὶ μάταν πημάτων. ἀποστρέφει τὸν λόγον πρὸς τὸν Οἰδίποδα. τὸ δὲ μάτην ἱκνουμένων, ἔν τινι τρόπῳ εἴρηκε, παρ' ὅσον σχεδὸν πάντα τὰ ἁμαρτήματα τοῦ Οἰδίποδος ἀκουσίως ἐπέπρακτο. καὶ νῦν τὸ κατὰ τὸ μάτην ἂν λέγοι τιμωρίαν ὑπέχειν αὐτόν. ¶ Ω χθόνιαι θεαί. αἱ ἐριννύες. ¶ Θηρός. τοῦ κερβέρου. ¶ Εὐνᾶσθαι. κοιμᾶσθαι. λείπει τὸ φασίν. ὁ γὰρ νοῦς τοιοῦτος. ὅν φασι κοιμᾶσθαι. κνυζεῖσθαί τε φασί. τοῦτο δὲ αὖθις ἀποδίδωκεν εἰπών, λόγος αἰὲν ἀνέχει. ἤρκει δὲ εἰ κατ' ἔλλειψιν ἐξενήνεκτο ὁ λόγος. ¶ Λόγος αἰὲν ἀνέχει. ἀντὶ τοῦ φασίν. ¶ Ον ὦ γᾶς παῖ. τὸν κέρβερον ἐξευμενίζομαι, τῷ ξένῳ ὁρμωμένῳ, καὶ προϊόντι νερτέρας νεκρῶν πλάκας, ἀβλαβῆ ὑπαντῆσαι. ¶ Κατεύχομαι ἐν καθαρῷ. ἐπανέλαβε. τῷ δὲ ξενικῷ κέχρηται ἀντὶ τοῦ πληθυντικοῦ. λέγει γὰρ τὰς εὐμενίδας. ταύτας δὲ οὕτως καὶ ἐν ἀρχῇ γενεαλογεῖ.

Σ έ τοι κικλήσκω τὸν αἰένυπνον. ὑφ' ἓν ἀναγνωστέον, αἰένυπνον, τὸν ἀείυπνον. τὸν διαπαντὸς κοιμώμενον. φησὶ δὲ τὸν θάνατον, ὥσπερ δαίμονά τινα ὄντα. πρὸς πάντας γὰρ σχεδὸν τοὺς ὑποχθονίους τὴν παράκλησιν ἐποιήσατο. τὸν πλούτωνα. τὴν περσεφόνην. τὸν κέρβερον. καὶ νῦν πρὸς τὸν θάνατον αὐτόν. ¶ Ανδρες πολῖται, ξυντομώτατος. ἀντὶ τοῦ συντόμως. ἔστι δὲ ὁ ἄγγελος, εἷς τῶν ἀκολουθησάντων Θησέως θεραπόντων. καὶ ἀφίκται ἔνια ἀπαγγέλλων τῶν πραχθέντων ὑπὸ τῆς ἐρημίας· οὐ γὰρ πάντα δυνατὸν ἦν θεάσασθαι. ¶ Κεῖνον τὸν ἀεὶ βίοτον. τὸ μακρὸν γῆρας, ἢ τὴν ζωήν. εἰώθασι γὰρ τὸ ἀεί, καὶ ἐπ' ὀλίγου χρόνου τάσσειν. Ομηρος, Ἔχων κότον ἐμμενὲς αἰεί. ¶ Ως μὲν γὰρ ἐνθένδε. ὑπερβατόν. ὡς μὲν γὰρ ἐνθένδε εἷρπεν, ὑφ' ἡγητῆρος οὐδενὸς φίλων. ἀλλ' αὐτὸς ἡμῖν πᾶσιν ἐξηγούμενος, καὶ σὺ παρὼν οἶδας.

¶ Αλλως. ὑφ' ἡγητῆρος. κατὰ συναλοιφήν. λέγει δέ, ὅτι ὑπ' οὐδενὸς ἡγητῆρος.

καὶ μάταν πημάτων ἱκνουμένων
πάλιν σε δαίμων δίκαιος αὔξοι.
ὦ χθόνιαι θεαί, σῶμά τ' ἀνικάτου
θηρός, ὃν ἐν πύλαισι φασὶ πολυξέ-
νοις εὐνᾶσθαι,
κνυζεῖσθαί τ' ἐξ ἄντρων
ἀδάματον φύλακα παρ' ἀίδᾳ
λόγος αἰὲν ἀνέχει.
ὅν, ὦ γᾶς παῖ καὶ ταρτάρου,
κατεύχομαι ἐν καθαρῷ
βῆναι ὁρμωμένῳ
νερτέρας τῷ ξένῳ νεκρῶν πλάκας.
σέ τοι κικλήσκω τὸν αἰὲν ἄυπνον.

Αγ. ἄνδρες πολῖται, ξυντομώτατος μὲν ἂν
τύχοιμι λέξας Οἰδίπουν ὀλωλότα.
ἃ δ' ἦν τὰ πραχθέντ', οὔθ' ὁ μῦθος ἐν βραχεῖ
φράσαι πάρεστιν, οὔτε τἄργ' ὅσ' ἦν ἐκεῖ.

Χο. ὄλωλε γὰρ δύστηνος; Αγ. ὡς λελοιπότα
κεῖνον τὸν αἰεὶ βίοτον ἐξεπίστασο.

Χο. πῶς; ἆρα θείᾳ κἀπόνῳ τάλας τύχῃ;

Αγ. τοῦτ' ἐστὶν ἤδη κἀποθαυμάσαι πρέπον.
ὡς μὲν γὰρ ἐνθένδ' εἷρπε, καὶ σύ που παρὼν
ἔξοισθ', ὑφ' ἡγητῆρος οὐδενὸς φίλων.

Ἐξηγούμενος. προηγούμενος. ¶ Ἐπεὶ δ' ἀφῖκτο τὸν καταῤῥάκτην ὀδόν. ἀντὶ τοῦ, οὐδόν. ὃν ἐν ἀρχῇ εἶπε χαλκόπουν οὐδὸν, ὅπερ νῦν ἀποτίθεται ἐκ τῆς σκηνῆς. ἢ οὐκέτι ἐνόντα τῆς θέας. ἢ νῦν καταῤῥάκτην προσηγόρευσε, διὰ τὸ νομίζειν ἐκεῖνον τὸν τόπον κατάβασιν ἔχειν εἰς ᾅδου. καὶ εἰσὶν οἳ δι' αὐτοῦ τὴν ἁρπαγὴν φασὶ τῆς κόρης γενέσθαι. ¶ Ἐν πολυσχίστῳ μιᾷ. ὡς πλειόνων οὐσῶν τῶν ὁδῶν. Κοίλου πέλας κρατῆρος. τοῦ μυχοῦ. τὰ γὰρ κοῖλα οὕτως ἐκάλουν ἐκ μεταφορᾶς.

ἀλλ' αὐτὸς ἡμῖν πᾶσιν ἐξηγούμενος.
ἐπεὶ δ' ἀφῖκτο τὸν καταῤῥάκτην ὀδὸν
χαλκοῖς βάθροισι γῆθεν ἐῤῥιζωμένον,
ἔστη κελεύθων ἐν πολυσχίστῳ μιᾷ,
κοίλου πέλας κρατῆρος, οὗ τὰ Θησέως
Περίθου τε κεῖται πίστ' ἀεὶ ξυνθήματα.
ἐφ' οὗ μέσου στὰς, τοῦ τε Θορικίου πέτρου,
κοίλης τ' ἀχέρδου, κἀπὶ λαΐνου τάφου
καθέζετ'. εἶτ' ἔλυσε δυσπινεῖς στολάς.
κἄπειτ' ἀΰσας παῖδας, ἠνώγει ῥυτῶν
ὑδάτων ἐνεγκεῖν λουτρὰ καὶ χοάς ποθεν.
τὼ δ' εὐχλόου Δήμητρος εἰς ἐπόψιον
πάγον μολοῦσαι, τάσδ' ἐπιστολὰς πατρὶ
ταχεῖ 'πόρευσαν σὺν χρόνῳ· λουτροῖς τέ νιν
ἐσθῆτί τ' ἐξήσκησαν, ᾗ νομίζεται.
ἐπεὶ δὲ παντὸς εἶχε δρῶντος ἡδονὴν,
κοὐκ ἦν ἔτ' ἀργὸν οὐδὲν ὧν ἐφίετο,
κτύπησε μὲν Ζεὺς χθόνιος, αἱ δὲ παρθένοι
ῥίγησαν ὡς ἤκουσαν. ἐς δὲ γούνατα
πατρὸς πεσοῦσαι, κλαῖον. οὐδ' ἀνίεσαν
στέρνων ἀραγμοὺς, οὐδὲ παμμήκεις γόους.
ὁ δ' ὡς ἀκούει φθόγγον ἐξαίφνης πικρὸν,

ὅθεν καὶ τὰ ἐν τῇ Αἴτνῃ κοιλώματα, κρατῆρας καλοῦνται. λέγει δὲ δι' οὗ καταβῆναι φασὶ τὴν κόρην ἁρπαγεῖσαν. Περίθου τε φασὶ κεῖται συνθήματα, οἷον ὑπομνήματα τῆς πίστεως, ἧς ἔθεντο πρὸς ἀλλήλους, διὰ τῆς εἰς ᾅδου καταβάσεως. ἀμάρτυρον δὲ, εἰ διὰ τούτου τοῦ τόπου κατῆλθον. πιθανῶς δὲ ὁ Σοφοκλῆς πρὸς χάριν τῆς Ἀττικῆς φησὶν ἐνταῦθα τὴν εἰς ᾅδου κατάβασιν Οἰδίποδος γενέσθαι. ¶ Κελεύθων ἐν πολυσχίστῳ. ὡς πλειόνων οὐσῶν τῶν ὁδῶν. ¶ Ἐφ' οὗ μέσου στάς. σταθεὶς καὶ μηκέτι ὁδεύσας. μέσου δὲ, ἀντὶ τοῦ μεταξὺ τοῦ κρατῆρος, ὅ ἐστι τοῦ μυχοῦ, στάς. ¶ Τοῦ τε Θορικίου πέτρου. ταῦτα γνώριμα τοῖς ἐγχωρίοις. Θόρικος δὲ, δῆμος τῆς Ἀκαμαντίδος φυλῆς. ¶ Κοίλης τ' ἀχέρδου. ἀπὸ κοινοῦ τὸ στάς. κοίλης δὲ ἀχέρδου, τῆς τὸν πυθμένα ἐχούσης ὑπόκενον. Κἄπειτ' ἀΰσας παῖδας, ἠνώγει ῥυτῶν ὑδάτων. ἔθος τὸ ἀφαγνισθῆναι αὐτὸν πρὸ τελευτῆς. ℂ Τὼ δ' εὐχλόου Δήμητρος. εὐχλόου Δήμητρος ἱερόν ἐστι πρὸς τῇ ἀκροπόλει. ἢ Εὔπολις Μαρικᾷ, Ἀλλ' εὐθὺ πόλεως εἶμι. θῦσαι γάρ με δεῖ κριὸν χλόῃ Δήμητρι. ἔνθα δηλονότι ἢ κριὸς θήλεια τῇ θεῷ ταύτῃ θύεται· οὕτω δὲ τιμᾶται ἐκ τῆς τῶν κήπων χλόης, θύουσί τε θαργηλιῶνος ἕκτῃ. ¶ Ἐπιστολάς. ἐντολάς. πράξεις. ℂ Ἡ νομίζεται. ὡς νομίζεται ἔθος τοῖς νεκροῖς. ℂ Ζεὺς χθόνιος. πάνυ σημαντικῶς τὸ χθόνιος. οἷον μύκημα ἐγένετο καὶ ἐσείσθη ἡ γῆ, προδηλοῦντος τοῦ θεοῦ τὸν καιρὸν, ἐν ᾧ ἔδει ἀποτίθεσθαι τὸν Οἰδίποδα. ¶ Οὐδ' ἀνίεσαν. οὐκ ἀνέπεμπον.

Πτύξας. περιπλέξας.

Δυσπόνητον τροφήν. γηροκομίαν.

Τὸ γὰρ φιλεῖν, οὐκ ἔστιν ἐξ ὅτου. ἀντὶ τοῦ οὐδεὶς πλέον μου ὑμᾶς ἐφίλησε.

Λύγδην. λύζοντες. ¶ Ἔκλαιον πάντες. ἀντὶ τοῦ ὁμοῦ πάντες. κατ' ἐπικράτειαν δὲ πάντας φησὶν, ἑνὸς μὲν ὄντος ἄρρενος τοῦ οἰδίποδος. δύο δὲ τῶν θηλειῶν. ὅμοιον τῷ, Μοῦσαι καλαὶ, κἄπολλον, οἷς ἐγὼ ἀείδω.

Θώϋξεν. ἐκάλεσεν. ἐβόησεν.

Αὐδᾷ μολεῖν οἱ γῆς. ἀντὶ τοῦ πρὸς αὐτόν.

Πίστιν ἀρχαίαν. διὰ τὴν ἀρχαίαν ἐβούλετο δὲ λέγειν, ἀρχὴν πίστεως. ¶ Τελεῖν δ' ὅσ' ἄν. ἀντὶ τοῦ ὅσα ἄν.

Δικαιοῦν. δίκαιον κρίνειν. ¶ Ἀστακτὶ δέ. πολυστακτί. πολυδακρύτως. ¶ Στραφέντες ἐξαπείδομεν. ἴδιον αὐτοῦ τὸ πολλαῖς κεχρῆσθαι ταῖς προθέσεσι. παραφυλακτέον δὲ ὅτι τὰ ἄρρητα ὑπ' ὄψιν ἤγαγεν ὁ ἄγγελος, ἐκ τῶν σχημάτων μηνύων.

πτύξας ἐπ' αὐταῖς χεῖρας, εἶπεν. ὦ τέκνα,
οὐκ ἔστ' ἔθ' ὑμῖν τῇδ' ἐν ἡμέρᾳ πατήρ.
ὄλωλε γὰρ δὴ πάντα τἀμὰ, κοὐκέτι
τὴν δυσπόνητον ἕξετ' ἀμφ' ἐμοὶ τροφήν.
σκληρὰν μὲν οἶδα παῖδες. ἀλλ' ἓν γὰρ μόνον
τὰ πάντα λύει ταῦτ' ἔπος μοχθήματα.
τὸ γὰρ φιλεῖν, οὐκ ἔστιν ἐξ ὅτου πλέον
ἢ τοῦδε τἀνδρὸς ἔσχεθ', οὗ τητώμεναι,
τὸν λοιπὸν ἤδη βίοτον διάξετον.
τοιαῦτ' ἐπ' ἀλλήλοισιν ἀμφικείμενοι,
λύγδην ἔκλαιον πάντες. ὡς δὲ πρὸς τέλος
γόων ἀφίκοντ', οὐδ' ἔτ' ὠρώρει βοή,
ἦν μὲν σιωπή. φθέγμα δ' ἐξαίφνης τινὸς
θώϋξεν αὐτὸν, ὥστε πάντας ὀρθίας
στῆσαι φόβῳ δείσαντας ἐξαίφνης τρίχας.
καλεῖ γὰρ αὐτὸν πολλὰ πολλαχῇ θεός.
ὦ οὗτος οὗτος οἰδίπους, τί μέλλομεν
χωρεῖν; πάλαι δὴ τἀπὸ σοῦ βραδύνεται.
ὁ δ' ὡς ἐπήσθετ' ἐκ θεοῦ καλούμενος,
αὐδᾷ μολεῖν οἱ γῆς ἄνακτα Θησέα.
κἀπεὶ προσῆλθεν, εἶπεν. ὦ φίλον κάρα,
δός μοι χερὸς σῆς πίστιν ἀρχαίαν τέκνοις
ὑμεῖς τε παισὶ ταῖσδε, καὶ καταίνεσον
μήποτε προδώσειν τάσδ' ἑκὼν, τελεῖν δ' ὅσ' ἂν
μέλλῃς φρονῶν εὖ ξυμφέροντ' αὐταῖς ἀεί.
ὁ δ' ὡς ἀνὴρ γενναῖος, οὐκ οἴκτου μέτα
κατῄνεσεν τάδ' ὅρκιος δράσειν ξένῳ.
ὅπως δὲ ταῦτ' ἔδρασεν, εὐθὺς οἰδίπους
ψαύσας ἀμαυραῖς χερσὶν ὧν παίδων, λέγει.
ὦ παῖδε, τλάσας χρὴ τὸ γενναῖον φρενὶ
χωρεῖν τόπων ἐκ τῶνδε. μὴ μ' ἃ μὴ θέμις
λεύσσειν δικαιοῦν, μὴ δὲ φωνούντων κλύειν
ἀλλ' ἕρπεθ' ὡς τάχιστα. πλὴν ὁ κύριος,
Θησεὺς παρέστω μανθάνων τὰ δρώμενα.
τοσαῦτα φωνήσαντος εἰσηκούσαμεν
ξύμπαντες. ἀστακτὶ δὲ σὺν ταῖς παρθένοις
στένοντες ὡμαρτοῦμεν. ὡς δ' ἀπήλθομεν,
χρόνῳ βραχεῖ στραφέντες, ἐξαπείδομεν

Α[ν] ἄνακτα δ' αὐτόν. τὸν Θησέα ἴδομεν κατὰ τοῦ κρατὸς ἔχοντα χεῖρα, ἐπίσκιον ὀμμάτων, ὅ ἐστι τῇ χειρὶ σκέποντα τοὺς ὀφθαλμούς, πρὸς τὸ μὴ θεωρῆσαι τὸ δεινὸν τοῦ πάθους. ἤγουν τὸ σχῆμα τοῦ θαυμάζοντος ἐνδεικνύμενον, ἔπειτα μέντοι βαιόν. ἀντὶ τοῦ μετ' ὀλίγον οὐ μετὰ πολύ. ¶ Κεραυνὸς ἐξέπραξεν. ἀνεῖλεν. ¶ Ἢ τὸ νερτέρων. ἢ τὸ νερτέρων γῆς πέδον εὔνουν διαστάν. ὅ ἐστι, χάσμα αὐτῷ εὔνουν ἐγένετο. ¶ Ἀλύπητον. γράφεται ἐλάμπετον. Ἀλλ' εἴ τις βροτῶν. ὡς οὐδεὶς ἄλλος.

τὸν ἄνδρα, τὸν μέν, οὐδαμοῦ παρόντ' ἔτι,
ἄνακτα δ' αὐτὸν ὀμμάτων ἐπίσκιον
χεῖρ' ἀντέχοντα κρατὸς ὡς δεινοῦ τινος
φόβου φανέντος, οὐδὲ ἀνασχετοῦ βλέπειν.
ἔπειτα μέντοι βαιὸν οὐδὲ σὺν χρόνῳ,
ὁρῶμεν αὐτὸν γῆν τε προσκυνοῦνθ' ἅμα
καὶ τὸν θεῶν ὄλυμπον ἐν ταὐτῷ λόγῳ.
Μόρῳ δ' ὁποίῳ κεῖνος ὤλετ' οὐδ' ἂν εἷς
θνητῶν φράσειε, πλὴν τὸ Θησέως κάρα.
οὐ γάρ τις αὐτὸν οὔτε πυρφόρος θεοῦ
κεραυνὸς ἐξέπραξεν, οὔτε ποντία
θύελλα κινηθεῖσα τῷ τότ' ἐν χρόνῳ.
ἀλλ' ἤ τις ἐκ θεῶν πομπός, ἢ τὸ νερτέρων
εὔνουν διαστὰν γῆς ἀλύπητον βάθρον.
ἀνὴρ γὰρ οὐ στενακτὸς, οὐδὲ σὺν νόσοις
ἀλγεινὸς ἐξεπέμπετ', ἀλλ' εἴ τις βροτῶν
θαυμαστός. εἰ δὲ μὴ δοκῶ φρονῶν λέγειν,
οὐκ ἂν παρείμην οἷσι μὴ δοκῶ φρονεῖν.
Χο ποῦ δ' αἵ τε παῖδες χ' οἱ προπέμψαντες φί
Αγ αἵδ' οὐχ ἑκάς. γόων γὰρ οὐκ ἀσήμονες (λων;
φθόγγοι σφε σημαίνουσι δεῦρ' ὁρμωμένας
Αν αἶ. αἶ. φεῦ. ἔστιν ἔστι νῷν δὴ
οὐ τὸ μέν, ἄλλο δὲ μή, πατρὸς ἔμφυτον
ἄλαστον αἷμα δυσμόροιν στενάζειν
ᾧ τινι τὸν πολὺν
ἄλλοτε μὲν πόνον ἔμπεδον εἴχομεν,
ἐν πυμάτῳ δ' ἀλόγιστα παροισόμεθα
ἰδόντε καὶ παθούσα.
Χο τί δ' ἔστιν;

¶ Εἰ δὲ μὴ δοκῶ φρονεῖν. εἰ δέ τις οἴεταί με μὴ φρονοῦντα λέγειν, οὐκ ἂν αὐτῷ συγχωρήσαιμι, οὐδὲ συγκατατεθείμην, ὅτι ταῦτα ὡς ἄφρων λέγω. ¶ Οὐκ ἂν παρείμην. παραχωρήσαιμι. ¶ Χ' οἱ προπέμψαντες. ἀντὶ τοῦ ὁ Θησεύς. Φθόγγοι σφε. αἱ θυγατέρες ἐν μέρει αὐτοῦ ἀπολοφύρονται, ἐφ' οἷς τε νῦν σὺν τῷ πατρὶ ἔπαθον, καὶ ἅπερ ἐκδέξεται αὐτάς. Τὸ ἑξῆς τὰ ἐφεξῆς τοῦ δράματος οὐκ εὐκαταφόνητα. ¶ Αἶ. αἶ. φεῦ. τὸ ἑξῆς ἐστι, νῷν στενάζειν, οὐ τὸ ἔμφυτον μὲν πατρὸς αἷμα. ἄλλο δὲ μή, ἀλλὰ πάντα δηλονότι. ¶ Ἄλλοτε μὲν πόνον. πρότερον μέν, τινὰ ἐπείχομεν ἐπὶ τῷ πατρί. τὸ δὲ πύματον ἀντὶ τοῦ ἔσχατον, τὸ κατὰ τὴν ἀφάνισιν αὐτοῦ οὕτω παράδοξόν ἐστιν, ὡς μηδὲ λόγον εὑρεθῆναι ἐπ' αὐτοῖς δυνατὸν εἶναι. ¶ [illegible]λόγιστα. ἀδιήγητα κακὰ βαστάζομεν. ¶ Ἰδόντε καὶ παθούσα. ἀντὶ τοῦ ἰδοῦσαι, καὶ παθοῦσαι. πολλαχοῦ δὲ τῷ σχήματι χρῆται ἀντὶ τοῦ θηλυκῶν τὰ ἀρσενικὰ τιθείς. καὶ ἐν Ἠλέκτρᾳ. Ὃ τοῖσιν ἐχθροῖς εὖ βεβηκόσι ποτέ, ψυχῆς ἀφειδήσαντε προὐστήτην φόνου. καὶ πάλιν, ὁρᾷ κακῶς πράσσοντε, μὴ μείζω κακὰ χρησώμεθα. καὶ Ὅμηρος. Τὼ δὲ βάτην τρήρωσι πελειάσιν ἴθμαθ' ὁμοῖαι. καὶ Ἡσίοδος, Καὶ τότε δὴ πρὸς Ὄλυμπον ἀπὸ χθονὸς εὐρυοδείης, λευκοῖσιν φάρεσσι καλυψαμένω χρόα καλὸν

ἀθανάτων μὲν φῦλον ἴσασιν, προλιπόντ' ἀνθρώπους, αἰδὼς καὶ νέμεσις. ¶ Οὐκ ἔστι μὲν εἰκάσαι. οὐδὲ εἰκόνα ἔχω λαβεῖν τοῦ πάθους. ¶ Ὡς μάλιστ' ἂν εἰ πόθῳ λάβοις. ὡς ἂν ἐπιποθήσαις, τὸν τρόπον τῆς τελευτῆς μαθεῖν. ἢ ὡς μάλιστα ἄν τις προθυμηθῆσαι ὅπως βέβηκεν, οἷον παραδόξως. ἃ ἐπιφέρει τὴν αἰτίαν τοῦ παραδόξως δοκοῦντος εἶναι. ¶ Τί γὰρ ὅτῳ μήτ' ἄρης. πρὸς τὸ ἄνω. τί γὰρ ἔστιν εἰκονίσαι ἐκείνῳ πάνυ, ᾧ τινι μήτε πόλεμος, μήτε νόσος ἐπῆλθεν. ἀλλ' ἀφανῶς διὰ χάσματος ἀπολομένῳ. ¶ Νῷιν δ'. ἡμῖν. ἐμοί τε ἰσμήνῃ. τὸ δὲ τάλαινα, διὰ μέσου ἀναπεφώνηται. Πῶς γὰρ ἤ τιν' ἀπίαν γᾶν. περὶ γῆς πλανηθεῖσαι, τροφῆς τύχοιμεν. ἀπίαν δὲ γᾶν, τὴν μακρὰν καὶ ἄπωθεν οὖσαν. ¶ Δύσοιστον. τὴν δυσπόριστον. ἵν' ᾖ, τοῦ πάθους ἐπίτασις, ὅτι τροφῆς ἀπορήσομεν. ἀνιδῶς προσοισόμεθα τοῦ πατρὸς ἐστερημέναι. ¶ Ὦ διδύμα τέκνων. ταῦτα ὁ χορὸς παρηγορῶν ἐμμένειν τοῖς ἐγνωσμένοις παρὰ θεῶν. φέρε τὸ ἐκ θεῶν εἱμαρμένον καλῶς. ¶ Μηδ' ἄγαν οὕτω φλέγεσθον. ἀντὶ τοῦ μὴ ἄκρως φλέγεσθε. τὸ ἐκ θεοῦ πεμφθὲν δυσανασχέτως φέρεσθαι. ¶ Οὔτοι κατάμεμπτα. οὐκ ἐν τοιούτοις ἐστὲ, ὥστε καταμέμφεσθαι. ἤτοι ὡς ἂν τὸ κουφίζοντος αὐταῖς τὴν συμφορὰν τοῦ βασιλέως. ἢ οἷον οὐκ ἐν χείρονι νῦν ὑμῖν ἔσται τὰ πράγματα. ¶ Πόθος καὶ κακῶν ἄρ' ἦν τις. οἱ μὲν περὶ τὸν χορὸν παραμυθεῖσθαι πειρῶνται αὐτάς. αἱ δὲ, οὐδὲν ἧττον ἐπὶ τὰ ἑαυτῶν χωροῦσι καὶ ὀλοφύρονται, καί φασιν, ἦν ἄρα τις κακῶν πόθος, ὡς ἡμεῖς ἐν κακοῖς ὄντες τοῦ πατρὸς καὶ μὴ ὁρῶντες, ἐστερημένοι αὐτόν. τε νῦν μὴ παρόντα ποθοῦμεν. ὡς ὅτε ἐν χεροῖν κατεῖχον τὸν Οἰδίποδα, πολλὰ ἐστέναζον καὶ ἐθεράπευον. ¶ Καὶ γὰρ ὃ μηδαμῇ. καὶ τὸ δυστυχοῦντα τὸν πατέρα ἐπιποθοῦμεν θεραπεύειν. ἃ νῦν μὴ παρόντα ποθοῦμεν.

ΑΝ οὐκ ἔστιν μὲν εἰκάσαι φίλοι.
Χο βέβηκεν;
Αν ὡς μάλιστ' ἂν εἰ πόθῳ λάβοις.
Χο τί γὰρ ὅτῳ μήτ' ἄρης
μήτε πόντος ἀντέκυρσεν;
ἄσκοποι δὲ πλάκες ἔμαρψαν ἐν ἀφανεῖ
τινι μόρῳ φαινόμεναι.
Αν τάλαινα. νῷιν δ' ὀλεθρία
νὺξ ἐπ' ὄμμασι βέβηκε.
πῶς γὰρ ἤ τιν' ἀπίαν γᾶν, ἢ
πόντιον κλύδων' ἀλώμεναι, βίου
δύσοιστον ἕξομεν τροφάν,
οὐ κάτοιδα. κατά με φόνιος
ἀίδας ἕλοι πατρὶ
ξυνθανεῖν γεραιῷ,
τάλαιναν, ὡς ἔμοιγ' ὁ μέλλων
βίος, οὐ βιωτός.
Χο ὦ διδύμα τέκνων ἄριστα,
» τὸ φέρον ἐκ θεοῦ, καλῶς
» φέρειν χρὴ, μηδ' ἄγαν οὕτω
» φλέγεσθον. οὔ-
τοι κατάμεμπτ' ἔβητον.
Αν Πόθος τοι κακῶν ἄρ' ἦν τις.
καὶ γὰρ ὃ μηδαμὰ δὴ φίλον, φίλον,
ὁπότε γε καὶ τὸν, ἐμ χεροῖν κατεῖχον.
ὦ πάτερ, ὦ φίλος,
ὦ τὸν ἀεὶ κατὰ γᾶς σκότον εἱμένος,

οὐδ' ἑτέρων, ἄφιλκτος ἐμοί ποτε,
καὶ τᾶσδε μὴ κυρήσῃς.
Χο ἔπραξεν.
Αν ἔπραξεν οἷον ἤθελε.
Χο τὸ ποῖον;
Αν ἇς ἔχρῃζε γᾶς ἐπὶ ξένας
ἔθανε. κοίταν δ' ἔχει
νέρθεν εὐσκίαστον αἰέν.
οὐδὲ πένθος ἔλιπ' ἄκλαυτον. ἀεὶ γὰρ ὄμ-
μα σε τόδ' ὦ πάτερ, ἐμὸν
στένει δακρύον. οὐδ' ἔχω
πῶς με χρὴ τὸ σὸν τάλαιναν
ἀφανίσαι τοσόνδ' ἄχος. ἰὼ μὴ
γᾶς ἐπὶ ξένας θανεῖν ἔχρῃζες, ἀλλ'
ἔρημος ἔθανες ὧδέ μοι.
ὦ τάλαινα, τίς ἄρα με πότμος
αὖθις ὧδ' ἔρημος, ἄπορος.
ἐπιμένει σέ τ' ὦ φίλα,
πατρὸς ὧδ' ἐρήμας;
Χο Ἀλλ' ἐπεὶ ὀλβίως γ' ἔλυσε
τὸ τέλος ὦ φίλαι βίου,
λήγετε τοῦδ' ἄχους. κακῶν γὰρ
δυσάλωτος οὐδείς.
Αν πάλιν φίλα συθῶμεν.
Χο ὡς τί ῥέξομεν;
Αν ἵμερος ἔχει με.
Χο τίς;
Αν τὰν χθονίαν ἑστίαν ἰδεῖν.
Χο τίνος;
Αν πατρὸς τάλαιν' ἐμοῦ.
Χο θέμις δὲ πῶς τάδ' ἐστί; μῶν οὐχ ὁρᾷς;
Αν τί τόδ' ἐπέπληξας;
καὶ τόδ' ὡς
τί τόδε μάλ' αὖθις;
Χο ἄταφος ἔπιτνε δίχα τε παντός.
Αν Ἄγε με, καὶ τότ' ἐνάριξον.
αἶ αἶ δυστάλαινα. ποῖ δῆ-
τ' αὖθις ὧδ' ἔρημος, ἄπορος;

¶ Γέρων ἄφιλκτος. λείπει τὸ ἦς.
¶ Καὶ τᾶσδε μὴ κυρήσῃς. καὶ τὰ νῦν μὴ γένοιό μοι ἄφιλος.
¶ Ἃς ἔχρῃζε γᾶς. ἐφ' ἧς ἤθελε ξένης γῆς ἀπέθανε. ¶ Πῶς με χρὴ τὸ σὸν τάλαιναν. τουτέστι, τὸ περὶ σὲ ἄχος τηλικοῦτόν ἐστιν.
¶ Ἰὼ μή. τὸ ἑξῆς, μὴ ἔχρῃζες. αὐτὶ τοῦ μὴ ὤφελες.
¶ Γᾶς ἐπὶ ξένας. μεμονωμένος τῶν συγγενῶν.
¶ Ἀλλ' ἐπεὶ ὀλβίως γ' ἔλυσεν. ἐπεὶ ὁ Οἰδίπους εὐδαιμόνως ἀπέθανε, μὴ λίαν θρηνεῖτε,
¶ Δυσάλωτος οὐδείς. οὐδεὶς δύσληπτος, ἀλλ' εὐάλωτος.
¶ Ὡς τί ῥέξωμεν. κατὰ κῶλον ἀλλήλαις διαλέγονται πάνυ παθητικῶς. καὶ μή τινι ἀπίθανον δόξῃ καὶ ἀνοικονόμητον. καὶ τὸ ἐπιθυμεῖν τὴν Ἀντιγόνην ὀπίσω ἀνιέναι ἐπὶ τὸν τοῦ πατρὸς τάφον, μὴ ἐπισταμένην τὰ κατὰ αὐτὸν ὅπως ἀπέθανεν. ἀλλὰ τὸ ἦθος ἐστὶ παθητικόν, καὶ ὁ μάλιστα πράττουσιν αἱ γυναῖκες ἐν τοῖς τοιούτοις συμπτώμασιν, ἀεὶ ἐπιφοιτᾶν θέλουσαι τοῖς τῶν θανόντων τάφοις.
¶ Μῶν οὐχ ὁρᾷς; οὐχ ὁρᾷς καὶ τόδε, ὡς ἄταφος ἔπιτνε δίχα τε παντός; τὰ δὲ ἄλλα διαμέσου κατ' ἀκόλουθον τῆς Ἀντιγόνης.

αἰῶνα τλάμων ἕξω;

Χο φίλαι, τρέσητε μηδέν.

Αν ἀλλὰ ποῖ φύγω;

Χο καὶ πάρος ἀπεφεύγετον

σφῷν τὸ μὴ πίτνειν κακῶς.

Σ σφῷν τὸ μὴ πίτνειν. κακῶς ἡ ἀντωνυμία, δυϊκὸν δὲ χ.

Αν φρονῶ.

Χο τί δῆθ' ὑπερνοεῖς;

Αν ὅπως μολούμεθ' ἐς δόμους οὐκ ἔχω.

Χο μηδέ τι μάτευε. μόγος ἔχει,

καὶ πάρος ἐπεί.

Αν τοτὲ μὲν πέρα, τοτὲ δ' ὕπερθεν.

Χο μέγ' ἄρα πέλαγος ἐλαχέτην τι;

Αν ναί, ναί.

Χο ξύμφημι καὐτός.

Αν φεῦ, φεῦ. ποῖ μόλωμεν ὦ Ζεῦ;

ἐλπίδων γὰρ ἐς τί με

δαίμων τανῦν γ' ἐλαύνει;

Χο παύετε θρῆνον παῖδες, ἐν οἷς γὰρ

χάρις ἡ χθονία ξυναπόκειται,

πενθεῖν οὐ χρή. νέμεσις γάρ.

Αν ὦ τέκνον Αἰγέως, προσπίτνομέν σοι.

Θη τίνος ὦ παῖδες χρείας ἀνύσαι;

Αν τύμβον θέλομεν

προσιδεῖν αὐταὶ πατρὸς ἡμετέρου.

Θη ἀλλ' οὐ θεμιτὸν κεῖσε μολεῖν.

Αν πῶς εἶπας ἄναξ κοίραν' Ἀθηνῶν;

Θη ὦ παῖδες, ἀπεῖπεν ἐμοὶ κεῖνος,

μήτε πελάζειν ἐς τούσδε τόπους,

μήτ' ἐπιφωνεῖν μηδένα θνητῶν

θήκην ἱερὰν ἣν κεῖνος ἔχει.

καὶ ταῦτά μ' ἔφη πράσσοντα, καλῶς

χώραν ἕξειν αἰὲν ἄλυπον.

ταῦτ' οὖν ἔκλυε δαίμων ἡμῶν,

χὠ πάντ' ἀΐων Διὸς ὅρκος.

Αν ἀλλ' εἰ τάδ' ἔχει κατὰ νοῦν κείνῳ,

ταῦτ' ἂν ἀπαρκοῖ. Θήβας δ' ἡμᾶς

τὰς ὠγυγίους πέμψον, ἐάν πως

διακωλύσωμεν ἰόντα φόνον

τοῖσιν ὁμαίμοις.

Π παύετε θρήνων παῖδες. τῇ μὲν ἑρμηνείᾳ ἐπιστῆσαι ἄξιον. τὸ δὲ τῆς διανοίας ἀσαφές. φησὶ γὰρ ὁ χορὸς, μὴ θρηνεῖτε ὦ παῖδες. νέμεσις γάρ ἐστι τοῦτον θρηνεῖν, ᾧ τὰ τοῦ τέλους κατὰ χάριν ἀπέβη. οὐ χρὴ οὖν τούτους πενθεῖν, οἷς κεχαρισμένον ἐστὶ τὸ ἀποθανεῖν.

Ω παῖδες ἀπεῖπεν ἐμοί. παραφύλαξον τὴν τέχνην. πρότερον αἱ νέαι μὲν ἄπειροι τῶν κατὰ τὴν ὑπόθεσιν. λοιπὸν ἔπειτα τὰ Θησέως μανθάνομεν, τίνα ἦν ἔνια τῶν εἰρημένων αὐτῷ ὑπὸ τοῦ Οἰδίποδος. τὰ δὲ τελευταῖα, καὶ δυστραπελώτερα. καὶ οὐ ῥαδίως ἐστὶν αὐτῶν κατακρατῆσαι ἐν τῇ διηγήσει. περιέχεται γὰρ ταῦτα εἰς τὸ ἀσαφέστερον. ¶ Ἀλλ' εἰ τάδ' ἔχει κατὰ νοῦν. εἰ ἀρέσκει τούτῳ ταῦτα τὸ μὴ λεχθῆναι, καὶ ἡμῖν ἀρκεῖ τὸ μὴ ἀκοῦσαι. ¶ Τοῖσιν ὁμαίμοις. Ἐτεοκλεῖ καὶ Πολυνείκει.

Θη. δράσω καὶ τάδε, καὶ πάνθ' ὅσ' ἂν
μέλλω πράσσειν, πρόσφορά θ' ὑμῖν
καὶ τῷ κατὰ γῆς, ὃς νέον ἔρρει,
πρὸς χάριν. οὐ γὰρ δεῖ μ' ἀποκάμνειν.
Χο. ἀλλ' ἀποπαύετε, μήτ' ἐπὶ πλείω
θρῆνον ἐπείρετε.
πάντως γὰρ ἔχει τάδε κῦρος.

Πρόσφορα, ἀντὶ τοῦ χρήσιμα.

## ΤΕΛΟΣ ΤΟΥ ΕΠΙ ΚΟΛΩΝΩ Οἰδίποδος.

## ΤΡΑΧΙΝΙΑΙ.

### Ἐκ τῆς Ἀπολλοδώρου βιβλιοθήκης ὑπόθεσις.

Ἡρακλῆς παραγενόμενος εἰς Καλυδῶνα, τὴν Οἰνέως θυγατέρα Δηιάνειραν ἐμνηστεύσατο, καὶ διαπαλαίσας ὑπὲρ τῶν γάμων αὐτῆς πρὸς τὸν Ἀχελῷον ἀπεικασθέντα ταύρῳ, περιέκλασε τὸ ἕτερον τῶν κεράτων. καὶ τὴν μὲν Δηιάνειραν γαμεῖ. τὸ δὲ κέρας Ἀχελῷος λαμβάνει, δοὺς ἀντὶ τούτου τὸ τῆς Ἀμαλθείας. Ἀμάλθεια δὲ ἦν Αἱμονίου θυγάτηρ, ἣ κέρας εἶχε ταύρου. τοῦτο δὲ, ὡς Φερεκύδης φησὶ, δύναμιν εἶχε τοιαύτην, ὥστε ποτὸν ἢ βρωτὸν, ὅπερ ἂν εὔξαιτό τις, παρέχειν ἄφθονον. στρατεύει δὲ Ἡρακλῆς μετὰ Καλυδωνίων ἐπὶ Θεσπρωτοὺς, καὶ πόλιν ἑλὼν Ἔφυραν, ἧς ἐβασίλευε Φύλας, Ἀστυόχῃ τῇ τούτου θυγατρὶ συνελθὼν, πατὴρ Τληπολέμου γίνεται. γενομένων δὲ τούτων, εὐωχούμενος παρὰ Οἰνεῖ, κονδύλῳ παίσας ἀπέκτεινεν Εὔνομον τὸν Ἀρχιτέλους παῖδα, κατὰ χειρῶν διδόντα. συγγενὴς δὲ οὗτος Οἰνέως. καὶ ὁ μὲν πατὴρ τοῦ παιδὸς ἀκουσίου γενομένου τοῦ συμβεβηκότος, συνεγνωμόνει. Ἡρακλῆς δὲ κατὰ τὸν νόμον φυγὴν ὑπομένειν ἤθελε. καὶ δὴ ἔγνω πρὸς Κήυκα εἰς Τραχῖνα ἀπιέναι. ἄγων δὲ Δηιάνειραν, εἰς ποταμὸν Εὔηνον ἦλθεν, ἐν ᾧ καθεζόμενος Νέσσος ὁ κένταυρος, τοὺς παριόντας διεπόρθμευε, μισθὸν λέγων παρὰ θεῶν ταύτην τὴν πορείαν εἰληφέναι, διὰ τὸ δίκαιος εἶναι. αὐτὸς μὲν οὖν Ἡρακλῆς τὸν ποταμὸν διέβη. Δηιάνειραν δὲ μισθὸν αἰτηθεὶς ἐπέτρεψε Νέσσῳ διακομίζειν. ὁ δὲ πορθμεύων αὐτὴν, ἐπεχείρει βιάζεσθαι. τῆς δὲ ἀνακραγούσης αἰσθόμενος, ἐξελθόντα Νέσσον ἐτόξευσεν εἰς τὴν καρδίαν. ὁ δὲ μέλλων τελευτᾶν, προσκαλεσάμενος Δηιάνειραν, εἶπε, τηρεῖν λαβοῦσαν ἐν κόχλῳ εἰ θέλοι πρὸς Ἡρακλέα φίλτρον ἔχειν, τόν, τε ἰὸν ἀφῆκε κατὰ τοῦ κόχλου. καὶ τὸ ῥυὲν ἐκ τοῦ τραύματος τῆς ἀκίδος αἷμα συμμίξας, δέδωκεν. ἡ δὲ λαβοῦσα, ἐφύλαττε παρ' ἑαυτῇ. διεξιὼν δὲ Ἡρακλῆς τὴν Δρυόπων χώραν, καὶ τροφῆς ἀπορῶν, ὑπαντήσαντος αὐτῷ Θειοδάμαντος βοηλατοῦντος, τὸν ἕτερον τῶν ταύρων λύσας καὶ σφάξας, εὐωχεῖτο. ὡς δὲ ἧκεν εἰς Τραχῖνα πρὸς Κήυκα, ὑποδεχθεὶς ὑπ' αὐτοῦ, Δρύοπας κατεπολέμησεν. αὖθις ἐκεῖθεν Αἰγιμίῳ βασιλεῖ συνεμάχησε Δωριέων. Λαπίθαι γὰρ περὶ γῆς ὅρων πρὸς αὐτὸν ἐπολέμουν Κορώνου στρατηγοῦντος. ὁ δὲ πολιορκούμενος, ἐπεκαλέσατο Ἡρακλέα βοηθὸν ἐπὶ μέρει τῆς γῆς. βοηθήσας δὲ Ἡρα-

κλῆς, ἀπέκτεινε Κόρωνον μετὰ ἄλλων, καὶ τὴν γῆν ἅπασαν ἐλευθέραν ἐποίησεν. ἀπέκτεινε δὲ καὶ Αλλαγόραν μετὰ τῶν παίδων, βασιλέα Δρυόπων, ἐν Ἀπόλλωνος τεμένει, Λαπιθῶν σύμμαχον. παριόντα δὲ Ἴτωνα εἰς μονομαχίαν προὐκαλεῖτο αὐτὸν Κύκνος ὁ Ἄρεος καὶ Πελοπίας. συστὰς δὲ, καὶ τοῦτον ἀπέκτεινεν. ὡς δὲ εἰς Ὀρχομενὸν ἧκεν, Ἀμύντωρ αὐτὸν ὁ βασιλεὺς οὐκ εἴασε μεθ' ὅπλων παριέναι. κωλυόμενος δὲ παρελθεῖν, καὶ τοῦτον ἀπέκτεινεν. ἀφικόμενος δὲ εἰς Τραχῖνα, στρατείαν ἐπ' Οἰχαλίαν συνήθροισεν, Εὔρυτον τιμωρήσασθαι θέλων. συμμαχούντων δὲ Ἀρκάδων αὐτῷ, καὶ Μηλιέων τῶν ἐκ Τραχῖνος, καὶ Λοκρῶν τῶν Ἐπικνημιδίων κτείνας τὰ τῶν παίδων, αἱρεῖ τὴν πόλιν. καὶ θάψας τῶν σὺν αὐτῷ στρατευσαμένων τοὺς ἀποθανόντας, Ἵππασον τὸν Κήυκος, καὶ Ἀργεῖον, καὶ Μέλανα τοὺς Λικυμνίου παῖδας, καὶ λαφυραγωγήσας τὴν πόλιν, ἦγεν Ἰόλην αἰχμάλωτον. καὶ προσορμισθεὶς Κηναίῳ τῆς Εὐβοίας ἀκρωτηρίῳ, Διὸς Κηναίου ἱερὸν ἱδρύσατο. μέλλων δὲ ἱερουργεῖν, εἰς Κήυκα ἔπεμψε λαμπρὰν ἐσθῆτα οἴσοντα. παρὰ τούτου δὲ τὰ περὶ τὴν Ἰόλην Δηϊάνειρα πυθομένη, καὶ δείσασα μὴ πάλιν ἐκείνην ἀγαπήσῃ, νομίσασα τῇ ἀληθείᾳ φίλτρον εἶναι τὸ ῥυὲν αἷμα Νέσσου, τούτῳ τὸν χιτῶνα ἔχρισεν. ὡς δὲ θερμανθέντος τοῦ χιτῶνος ὁ ἰὸς τῆς Ὕδρας ἠθίζετο, τὸν μὲν Λίχαν κατέβαλεν. εἰς Τραχῖνα δὲ ἐπὶ νεὼς κομίζεται. Δηϊάνειρα δὲ ἀχθεσθεῖσα, ἑαυτὴν ἀνήρτησεν. Ἡρακλῆς δὲ ἐντειλάμενος Ὕλλῳ, ὃς αὐτῷ ἐκ Δηϊανείρας ἦν παῖς πρεσβύτερος, τὴν Ἰόλην ἀνδρωθέντα γῆμαι. παραγενόμενος δὲ εἰς Οἴτην, ὅ ἐστιν ὄρος Τραχῖνος, πυρὰν ποιήσας, ἐκέλευσεν ἐπιβὰς ὑφάπτειν, τοῦ δὲ μὴ θέλοντος, Ποίας παριὼν ἐπὶ ζήτησιν ποιμνίων, ὑφάψας, ἔλαβε τὰ τόξα παρ' αὐτοῦ δωρεάν. καιομένης δὲ τῆς φλογὸς, λέγεται νέφος ὑποστὰν μετὰ βροντῆς εἰς οὐρανὸν ἀναπέμψαι, ἔνθα τυχὼν ἀθανασίας, γήμας Ἥβην τὴν Ἥρας θυγατέρα, ποιεῖ παῖδας Ἀλεξιάρην, καὶ Ἀνίκητον.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

Δηϊάνειρα.
Παιδαγωγός,
Ὕλλος.
Χορὸς γυναικῶν τραχινίων
Ἄγγελος,
Λίχας,
Δούλη τροφός.
Πρέσβυς.
Ἡρακλῆς

Προλογίζει δὲ ἡ Δηϊάνειρα.

# ΣΟΦΟΚΛΕΟΥΣ

## ΤΡΑΧΙΝΙΑΙ.

Λόγος μὲν ἔστ' ἀρχαῖος ἀνθρώπων φανείς. ὁ τρόπος ἀναχρονισμός. μεταγενέστερος γὰρ Σόλων ὁ μηδένα μακαρίζειν δεῖν πρὸ τελευτῆς, πρὸς τὸν Κροῖσον ἀποφηνάμενος, λόγος μὲν ἔστ' ἀρχαῖος. παροιμία ἐκ πολλοῦ χρόνου εἰρημένη. ¶ Ἐγὼ δὲ τὸν ἐμόν. ἐγώ φησι τὸν ἐμὸν αἰῶνα καὶ πρὸ θανάτου διέγνωκα βαρύνοντα καὶ ἀπεχθῆ καὶ δυστυχῆ. ¶ Ναίουσ' ἐν Πλευρῶνι. πόλις τῆς Αἰτωλίας.

Λόγος μὲν ἔστ' ἀρχαῖος ἀνθρώπων φανεὶς,
ὡς οὐκ ἂν αἰῶν' ἐκμάθοι βροτῶν, πρὶν ἂν
θάνῃ τις, οὔτ' εἰ χρηστὸς, οὔτ' εἴ τῳ κακός.
Ἐγὼ δὲ τὸν ἐμὸν καὶ πρὶν εἰς ᾅδου μολεῖν,
ἔξοιδ' ἔχουσα δυστυχῆ τε καὶ βαρύν.
ἥτις πατρὸς μὲν ἐν δόμοισιν Οἰνέως
ναίουσ' ἐνὶ Πλευρῶνι, νυμφείων ὄκνον
ἄλγιστον ἔσχον, εἴ τις Αἰτωλὶς γυνή.
μνηστὴρ γὰρ ἦν μοι ποταμὸς, Ἀχελῷον λέγω,
ὅς μ' ἐν τρισὶ μορφαῖσιν ἐξῄτει πατρὸς,
φοιτῶν ἐναργὴς ταῦρος, ἄλλοτ' αἰόλος
δράκων ἑλικτὸς, ἄλλοτ' ἀνδρείῳ τύπῳ
βούκρανος. ἐκ δὲ δασκίου γενειάδος,
κρουνοὶ διερραίνοντο κρηναίου ποτοῦ.
τοιόνδ' ἐγὼ μνηστῆρα προσδεδεγμένη
δύστηνος, αἰεὶ κατθανεῖν ἐπευχόμην,
πρὶν τῆσδε κοίτης ἐμπελασθῆναί ποτε.
χρόνῳ δ' ἐν ὑστέρῳ μὲν, ἀσμένῃ δέ μοι,
κλεινὸς ἦλθε Ζηνὸς Ἀλκμήνης τε παῖς.
ὃς εἰς ἀγῶνα τῷδε συμπεσὼν μάχης,

¶ Νυμφείων ὄκνον. νυμφίων, ἀντὶ τῶν νυμφευμάτων. ὄκνον δὲ τὸν φόβον. Ὅμηρος, ὀκνείω δ' ἵππων ἐπιβήμεναι. εἰ δὲ γράφεται ὅπλον, τὴν ταλαιπωρίαν. ἢ ὡς Ὅμηρος τὸ μεμορημένον καὶ πεπρωμένον. Καλλίμαχος, κενεὸν πόνον ὁπλίζοντες. ἡ δία ἡ φάσις. καὶ ἡ ἱστορία.

¶ Δράκων ἑλικτός. διὰ τὸ σκολιὸν τῶν ῥευμάτων. ¶ Βούκρανος. οἱ ποταμοὶ, ταυρόκρανοι δὲ ἐτυποῦντο. ἢ ὅτι μυκηθμῷ εἰσὶ παραπλήσιοι περὶ τὰς ἐκβολάς. Ὅμηρος, μεμυκὼς ἠΰτε ταῦρος. ἢ ὅτι σχίζουσι τὴν γῆν ὡς βόες. ἢ διὰ τὰς κατανομὰς παρὰ ποταμοὺς εἶναι. ¶ Ἐκ δὲ δασκίου γενειάδος. ὁ νοῦς. ἐκ δὲ τοῦ δασυτείχου γενειάδος αὐτοῦ, κατέρρει πλῆθος ὑδάτων, ὡς ἀπὸ κρήνης. ¶ Ὁ κλεινὸς ἦλθε Ζηνός. ὅτε γὰρ ἦν παρὰ Οἰνέως

ὡρισμένον τῷ νικῶντι Ἀχελῷον αὐτὴν δώσειν. ¶ Ἐκλύεταί με. ἀντὶ τοῦ ἀπαλλάττει με καὶ ἐλευθεροῖ τοῦ φόβου τοῦ Ἀχελῴου περιγενόμενος. ¶ Καὶ τρόπον μὲν ἄν. τὸν τρόπον τῆς πρὸς ἀλλήλους αὐτῶν μάχης, οὐκ ἂν διείποιμι. ἐξεδεδοίκει γάρ. ἐκεῖνος δ' εἴποι ἂν ὃς ἄφοβος αὐτὴν τὴν μάχην θεωρῶν ἐκάθητο. ὅμηρος, ἔνθα κεν οὐκέτι ἔργον ἀνὴρ ὀνόσαιτο μετελθών, ὅστις τ' ἄβλητος. ¶ Ἐγὼ γὰρ ἥμην. διὰ τοῦτο, ἵνα συνάψῃ τό, ἀλλ' ὅστις ἦν θακῶν ἀταρβὴς τῆς θέας. οἱ δὲ ψιλῶς, ἀντὶ τοῦ ὑπῆρχε.

Μή μοι τὸ κάλλος. μὴ διὰ τὸ κάλλος ἀλγηδόνι περιπέσω, τῷ Ἀχελῴῳ γαμηθεῖσα. ¶ Τέλος δ' ἔθηκε Ζεὺς ἀγώνιος. ὁ πρύτανις τοῦ ἀγῶνος. τὸ δὲ ὅλον οὕτως ἔχει. ὁ ἀγώνιος Ζεὺς, εὐτυχὲς τῷ ἀγῶνι τέλος ἐπέθηκεν. ἐμοὶ δὲ οὐκ εὐτυχές. εὐτυχὲς μὲν ὅτι ἀπήλλαξέ με τοῦ Ἀχελῴου. οὐκ εὐτυχῶς δὲ, ὅτι καὶ νῦν οὐχ ἧττον ἀγωνιῶ διὰ τὴν τοῦ Ἡρακλέους ἀπουσίαν. ¶ Λέχος γὰρ Ἡρακλεῖ κριτόν. ἀντὶ τοῦ ἔκκριτον. ¶ Ἐκ φόβου φόβον. διὰ τὸ καὶ περὶ Ἡρακλέους ἀγωνιᾶν. ¶ Ξυστᾶσα. ἀντὶ τοῦ συνελθοῦσα. ¶ Τρέφω. ἀντὶ τοῦ ἔχω καὶ αὔξω. ¶ Προκηραίνουσα. ἀγωνιῶσα. μεριμνῶσα κατὰ τὸ κέαρ. ὅ ἐστιν ἐν ἤθει βαλλομένη. καὶ Εὐριπίδης, τί ποτ' ὦ τέκνα τάσδε κηραίνετε. ¶ Νὺξ γὰρ εἰσάγει. ἀντὶ τοῦ νυκτὸς ἔρχεται. καὶ νυκτὸς ἐξορμᾶται. ὥστε διαδοχήν μοι τῶν πόνων γίνεσθαι. ¶ Γήτης. γεωργὸς ὁ τὴν γῆν ἐργαζόμενος. ¶ Ἔκτοπον. ἔξω καὶ πόρρω οὖσαν. ¶ Λατρεύοντα. δουλεύοντα, ὑπηρετοῦντα τῷ Εὐρυσθεῖ.

ἐκλύεταί με. καὶ τρόπον μὲν ἂν πόνων,
οὐκ ἂν διείποιμ'. οὐ γὰρ οἶδ'. ἀλλ' ὅστις ἦν
θακῶν ἀταρβὴς τῆς θέας, ὅδ' ἂν λέγοι.
ἐγὼ γὰρ ἥμην ἐκπεπληγμένη φόβῳ,
μή μοι τὸ κάλλος ἄλγος ἐξεύροι ποτέ.
τέλος δ' ἔθηκε Ζεὺς ἀγώνιος καλῶς,
εἰ δὴ καλῶς. λέχος γὰρ Ἡρακλεῖ κριτὸν
ξυστᾶσ', ἀεί τιν' ἐκ φόβου φόβον τρέφω
κείνου προκηραίνουσα. νὺξ γὰρ εἰσάγει,
καὶ νὺξ ἀπωθεῖ διαδεδεγμένη πόνον.
κἀφύσαμεν δὴ παῖδας, οὓς κεῖνός ποτε
γήτης ὅπως ἄρουραν ἔκτοπον λαβὼν,
σπείρων μόνον προσεῖδε, κἀξαμῶν ἅπαξ.
τοιοῦτος αἰὼν εἰς δόμους τε κἀκ δόμων
ἀεὶ τὸν ἄνδρ' ἔπεμπε λατρεύοντά τῳ.
νῦν δ' ἡνίκ' ἄθλων τῶνδ' ὑπερτελὴς ἔφυ,
ἐνταῦθα δὴ μάλιστα ταρβήσασ' ἔχω.
ἐξ οὗ γὰρ ἔκτα κεῖνος Ἰφίτου βίαν,
ἡμεῖς μὲν ἐν Τραχῖνι τῇδ' ἀνάστατοι
ξένῳ παρ' ἀνδρὶ ναίομεν. κεῖνος δ' ὅπου
βέβηκεν, οὐδεὶς οἶδε. πλὴν ἐμοὶ πικρὰς
ὠδῖνας αὐτοῦ προσβαλὼν, ἀποίχεται.
σχεδὸν δ' ἐπίσταμαι τι πῆμ' ἔχοντα νιν.
χρόνον γὰρ οὐχὶ βαιὸν, ἀλλ' ἤδη δέκα
μῆνας, πρὸς ἄλλοις πέντ' ἀκήρυκτος μένει.
κἄστιν τι δεινὸν πῆμα. τοιαύτην ἐμοὶ

Ὑπερτελής. ἀντὶ τοῦ ὑπὲρ τὸ τέλος γέγονεν. ὃ ἐστιν τοῦ τέλους τῶν ἄθλων κρείσσων ὤφθη κατορθώσας αὐτούς. ἢ ὑπέρτερος αὐτῶν ἐστιν. ἐντελὴς καὶ ὑπεράνω. Ἐν Τραχῖνι. πόλις Θετταλίας, εἰς ἣν Ἡρακλῆς κατῴκησε διὰ τὸν τοῦ Ἰφίτου φόνον κατὰ τὸν νόμον. Ξένῳ παρ' ἀνδρί. τῷ Κήϋκι, ὃς ἦν παῖς Ἀμφιτρύωνος ἀδελφιδοῦς. καὶ Ἡσίοδος, Τραχῖνα δέ τοι προσελαύνων ἐς Κήϋκα ἄνακτα. ¶ Ἀκήρ

κτα. ¶ Ἀκήρυκτος μένει. ἄσημος. οὐ μηνυόμενος ὅπου ποτ' ἐστίν. ὃν οὐδεὶς ἐλθὼν κηρύττει καὶ ἀπαγγέλλει, ποῦ ποτ' ἐστί. ¶ Σχεδὸν δ' ἐπίσταμαι. ὑποπτεύω. ὑπονοῶ. οἴομαι. ¶ Δέλτον λιπὼν ἔστειχεν. ὡς τοῦ Ἡρακλέους τὴν διαθήκης γράψαντος εἰς δέλτον, καὶ καταλελοιπότος, ὡς εἰ μὴ ἔλθοι διὰ τοσούτου χρόνου, γνῶναι αὐτὴν τελευτῆσαι. μετὰ τοὺς πεντεκαίδεκα μῆνας ἀναγνοῦσαν, τηνικαῦτα αὐτὴν τὰ ἐντεταλμένα. ¶ Θεοῖς ἀρῶμαι. εὔχομαι τοῖς θεοῖς μηδὲν λυπηρὸν ἐγγεγραμμένον ἔχουσαν λαβεῖν, πημονῆς ἄτερ.

δέλτον λιπὼν ἔστειχε. τὴν ἐγὼ θαμὰ
θεοῖς ἀρῶμαι πημονῆς ἄτερ λαβεῖν.

ΘΕΡ Δέσποινα Δηιάνειρα, πολλὰ μέν σ' ἐγὼ
κατεῖδον ἤδη πανδάκρυτ' ὀδύρματα,
τὴν Ἡράκλειον ἔξοδον γοωμένην.
νῦν δ' εἰ δίκαιον τοὺς ἐλευθέρους φρενοῦν
γνώμαισι δούλαις, κἀμὲ χρὴ φράσαι τόσον.
πῶς παισὶ μὲν τοσοῖσδε πληθύεις, ἀτὰρ
ἀνδρὸς κατὰ ζήτησιν οὐ πέμπεις τινά;
μάλιστα δ' ὅνπερ εἰκὸς, Ὕλλον, εἰ πατρὸς
νέμοι τιν' ὤραν τοῦ καλῶς πράσσειν δοκεῖν.
ἐγγὺς δ' ὅδ' αὐτὸς ἀρτίπους θρώσκει δόμους.
ὥστ' εἴ τι σοὶ πρὸς καιρὸν ἐννέπειν δοκῶ,
πάρεστι χρῆσθαι τἀνδρὶ τοῖς τ' ἐμοῖς λόγοις.

ΔΗ ὦ τέκνον, ὦ παῖ, κἀξ ἀγεννήτων ἄρα
μῦθοι καλῶς πίπτουσιν. ἥδε γὰρ γυνὴ,
δούλη μὲν, εἴρηκεν δ' ἐλεύθερον λόγον.

ΥΛ ποῖον; δίδαξον μῆτερ εἰ διδακτά μοι.

ΔΗ σὲ πατρὸς οὕτω δαρὸν ἐξενωμένου
τὸ μὴ πυθέσθαι ποῦ 'στιν, αἰσχύνην φέρει.

ΥΛ ἀλλ' οἶδα, μύθοις γ' εἴ τι πιστεύειν χρεών.

ΔΗ καὶ ποῦ κλύεις νιν τέκνον ἱδρῦσθαι χθονός;

ΥΛ τὸν μὲν παρελθόντ' ἄροτον ἐν μήκει χρόνου,
Λυδῇ γυναικί φασί νιν λάτριν πονεῖν.

ΔΗ. πᾶν τοίνυν, εἰ καὶ τοῦτ' ἔτλη, κλύοι τις ἄν.

ΥΛ ἀλλ' ἐξαφεῖται τοῦδέ γ' ὡς ἐγὼ κλύω.

ΔΗ ποῦ δῆτα νῦν ζῶν ἢ θανὼν ἀγγέλλεται;

ΥΛ Εὐβοΐδα χώραν φασὶν Εὐρύτου πόλιν
ἐπιστρατεύειν αὐτὸν, ἢ μέλλειν ἔτι.

ΔΗ ἆρ' οἶσθα δῆτ' ὦ τέκνον ὡς ἔλειπέ μοι
μαντεῖα πιστὰ τῆσδε τῆς χώρας πέρι;

Πανδάκρυτ' ὀδύρματα. διὰ πανδάκρυτον ὀδυρμάτων, ὡς τὸ, Διά τ' ἔντεα καὶ μέλαν αἷμα. ¶ Φρενοῦν. νουθετεῖν. εἰς φρόνησιν ἄγειν. Τόσον. τὸ σοὶ συμφέρον. ἢ τόσον, ἀντὶ τοῦ ὀλίγον. ¶ Πῶς παισὶ μὲν τοσοῖσδε πληθύεις. ἤγουν αὕτη ἡ παῖδας ἐξ Ἡρακλέους, Ὕλλος, Κτήσιππος, Γληνὸς, Ὀνίτης. ἔστι δὲ Ἡρακλέους καὶ ἕτερος Ὕλλος ἐκ Μελίτης. ¶ Εἰ πατρὸς νέμοι τιν' ὤραν. ἤγουν φροντίδα, ὡς καὶ ὅσιος. ὤρη γάρ τ' ὀλίγη πέλει. ὁ νοῦς. ἵνα μάθῃς εἰ φροντίζει τοῦ πατρὸς, ὑπὲρ τοῦ δοκεῖν καλῶς διαπράττεσθαι. ¶ Ἀρτίπους. ὁ ἔχων ἀρτίως καὶ ἡρμοσμένως τοὺς πόδας κοῦφα πορεύεται. ¶ Κἀξ ἀγεννήτων. δυσγενῶν. Ἐλεύθερον λόγον. σπουδαῖον. ἐλευθέρῳ πρέποντα. ¶ Εἰ διδακτά μοι. προσήκει μαθεῖν. ¶ Ἐξενωμένου. ἐν ξένῃ διατρίβοντα. ¶ Ἄροτον. ἐνιαυτόν. ἅπαξ γὰρ τοῦ ἔτους ἀροτριᾶται ἡ γῆ. ¶ Πᾶν τοίνυν. ἀκούσεται τοίνυν τις, ὅτι Ἡρακλῆς πᾶν αἰσχρὸν ὑπέμεινεν, εἰ ἀληθῶς ὑπέστη τὸ δουλεύειν τῇ Ὀμφάλῃ. ¶ Ἀλλ' ἐξαφεῖται. ἀφείθη. ἀπηλλάγη τοῦ δουλεύειν. ¶ Εὐβοΐδα χώραν. ἔνιοί φασι καὶ Θεσσαλίας εἶναι Οἰχαλίαν. οὐδὲν δὲ ἄτοπον ὁμωνυμεῖν. ¶ Χώρας πέρι. τῆς Εὐβοίας.

ΩΣ ἢ τελευτήν. ἐλλείπει φησίν, ὅτι ἐν Οἰχαλίᾳ τεθνήξομαι. ἢ σωθεὶς εὐδαιμονήσω τὸν ἐπίλοιπον χρόνον. ¶ Εν οὖν ῥοπῇ. ἐν κινδύνῳ καὶ ἐπὶ ξυροῦ ἀκμῆς ἱσταμένῳ, οὐ πορεύσῃ συλληψόμενος αὐτῷ, καὶ συναγωνιούμενος. ¶ Ηνίκ' ἢ σεσώσμεθα. τῷ παιδί. ¶ Εἰ δὲ θεσφάτων ἐγώ. εἰ δὲ καὶ ἠπιστάμην, ἢ προηκηκόειν φησίν, ὅτι ταῦτα πρόκειται, πάλαι ἂν ἔσω συμπαρήμην αὐτῷ.

Χλ. τὰ ποῖα μῆτερ; τὸν λόγον γὰρ ἀγνοῶ.
Δη. ὡς ἢ τελευτὴν τοῦ βίου μέλλει τελεῖν,
ἢ τοῦτον ἄρας ἆθλον, εἰς τὸν ὕστερον
τὸν λοιπὸν ἤδη βίοτον εὐαίων' ἔχειν.
ἐν οὖν ῥοπῇ τοιᾷδε κειμένῳ τέκνον,
οὐκ εἶ ξυνέρξων; ἡνίκ' ἢ σεσώσμεθα,
ἢ πίπτομεν, σοῦ πατρὸς ἐξολωλότος,
κείνου βίον σώσαντος, ἢ οἰχόμεσθ' ἅμα.
Χλ. ἀλλ' εἶμι μῆτερ. εἰ δὲ θεσφάτων ἐγὼ
βάξιν κατῄδειν τῶνδε, κἂν πάλαι παρῆν.
νῦν δ' ὁ ξυνήθης πότμος, οὐκ εἴα πατρὸς
ἡμᾶς προταρβεῖν, οὐδὲ δειμαίνειν ἄγαν.
νῦν δ' ὡς ξυνίημ', οὐδὲν ἐλλείψω, τὸ μὴ
πᾶσαν πυθέσθαι τῶνδ' ἀλήθειαν πέρι.
Δη. χώρει νῦν ὦ παῖ. καὶ γὰρ ὑστέρῳ τό γ' εὖ
πράσσειν, ἐπεὶ πύθοιτο, κέρδος ἐμπολᾷ.
Χο. ὃν αἰόλα νὺξ ἐναριζομένα
τίκτει, κατευνάζει τε φλογιζόμενον
ἅλιον ἅλιον αἰτῶ
τοῦτο καρύξαι τὸν Ἀλκμή-
νας, πόθι μοι πόθι μοι παῖς
ναίει ποτ', ὦ λαμπρᾷ στεροπᾷ φλεγέθων,
ἢ ποντίους αὐλῶνας, ἢ
δισσαῖσιν ἀπείροισι κλιθείς,
εἴπ' ὦ κρατιστεύων κατ' ὄμμα.
ποθουμένᾳ γὰρ φρενὶ πυνθάνομαι
τὰν ἀμφινεικῆ Δηιάνειραν ἀεί,
οἷά τιν' ἄθλιον ὄρνιν

¶ Χώρει νῦν ὦ παῖ. καὶ νῦν φησιν ὦ παῖ ἄπιθι. καὶ γὰρ τῷ βραδέως τὰ δέοντα ποιοῦντι, ἐπειδὰν ἀκούσῃ τις, κέρδος ἀποφέρεται. τουτέστι, καὶ εἰ βραδέως ἤκουσας, καὶ ὠφελήσεις αὐτὸν παραγενόμενος, κέρδος σοι ἔσται. ¶ Ον αἰόλα νύξ. μέλαινα, ὡς οἱ νεώτεροι. ἢ ποικίλη, διὰ τὰ ἄστρα. ἢ ταχεῖα, διὰ τὸ νυκτὶ θοῇ παρ' Ὁμήρῳ. ¶ Τίκτει. αὐτὴ τὸν ἀνατέλλοντα ποιεῖ. Φλογιζόμενον. λάμποντα.
Α Αλιον αἰτῶ. παρακαλῶ. Τὸν Αλκμήνας παῖδα. ¶ Πόθι μοι. λείπει οἰκεῖ. διάγει. ¶ Η ποντίους αὐλῶνας. τοὺς παραθαλαττίους τόπους στενούς. ἐκ δὲ τούτου τὰ πλάτη φησίν. ἄρα ἢ ἐν θαλάττῃ ἐστίν. ἢ ἀντὶ τοῦ νήσους. αὐλὼν γὰρ τὸ στενόμακρον πέλαγος. ἀπὸ δὲ τοῦ πελάγους, τὸ περιερχόμενον ὑπ' αὐτοῦ δηλοῖ, ὅ ἐστι, τὰς νήσους. ἢ δισσαῖσιν ἀπείροισιν. ἀντὶ τοῦ, καὶ πρὸς τὰ ἑῷα καὶ δυτικά. καὶ Ὅμηρος, ἠέλιος ὃς πάντ' ἐφορᾷ. ¶ Ω κρατιστεύων. ὦ νικῶν πάντας τοὺς θεοὺς κατὰ τὸ ὀπτικόν. ¶ Τὰν ἀμφινεικῆ Δηιάνειραν λείπει ἡ διά. τὴν περιμάχητον ὑπερβατικῶς πυνθάνομαί φησι τὴν ἀμφινεικῆ Δηιάνειραν, μηδέποτε τοὺς ὀφθαλμοὺς ἀδακρύτους ἔχειν. ἀλλ' ἀεὶ τῷ πόθῳ τῶν δακρύων νικωμένην, ὀδύρεσθαι. ¶ Οἷά τιν' ἄθλιον ὄρνιν; τὴν ἀηδόνα. γράφεται καὶ ἄλιον ὄρνιν. ἤγουν τὴν ἀλκυόνα. ἢ τίκτει ἐν τοῖς ὑφάλοις πέτραις. εἶτα τῶν ᾠῶν ἀφανιζομένων δακρύει.

οὔ ποτ' εὐνάζειν. τὸν πόθον τῶν δακρύων κοιμίζειν, ἀλλ' ἢ τετάσθαι ἀεὶ δακρύειν. ℂ Ἀδακρύτων. πολυδακρύτων. ¶ Ἀλλ' εὔμναστον ἀνδρός. ἀλλὰ δεῖμα τὸ ὑπὲρ τοῦ ἀνδρὸς ἀεὶ μνημονεύουσαν ἐν ταῖς ἀνάνδροις κοίταις, τρύχεσθαι κατὰ ψυχήν. Ἐνθυμίοις εὐναῖς. ταῖς μεριμνητικαῖς. ταῖς πολυφροντίστοις. ¶ Ἀνανδρώτοισι. ταῖς ἐρήμαις τοῦ ἀνδρός. ¶ Πολλὰ γάρ. τὰ πολλὰ, πρὸς τὰ κύματα. ℂ Ὡς ἀκάμαντος ἢ νότου. ὥσπερ γὰρ ἄν τις θεωροίη κυμαινομένην τὴν θάλατταν, ἢ νότου πνέοντος ἢ βορέου, τῶν δὲ κυμάτων τὰ μὲν ἀπιόντα, τὰ δὲ ἐπερχόμενα, οὕτω καὶ τὸν Ἡρακλέα καθάπερ τι πέλαγος κακῶν, τὸ μέν τι πρὸς λυπεῖ, τὸ δ' αὐξόμενον, ἀπόκειται. ℂ Καδμογενῆ. τὸν Θηβαγενῆ Ἡρακλέα. Ἡσίοδος, ὄφρ' Ἡρακλῆος Θηβαγενέος κλέος εἴη. ¶ Τρέφει. ἀντὶ τοῦ ἔχει. ℂ Αὔξει. ἀντὶ τοῦ αὔξεται. ἢ τροφῆς καθημερινῆς καὶ αὐξήσεως, εἰσὶν αὐτῷ οἱ πόνοι. ὅν φησι τὸ μὲν τῶν κακῶν, ἔχει αὐτόν. τὸ δὲ, αὔξεται κατ' αὐτοῦ. Ἄλλως. Τρέφει. ἀντὶ τοῦ τρίβει κατὰ ἀντίφρασιν. ἔχει δὲ οὕτως. τὸ μὲν, αὐτὸν καταπονεῖ πρότερον, τὸ δ' αὔξει καὶ κορυφοῦται. ἢ ὅτι οἰκεῖον τῷ ἥρωι τὸ τρέφει καὶ αὔξει, ὥστε τρέφεσθαι αὐτοῦ τὴν ἀρετὴν διὰ τῶν πόνων. καὶ Ἰσοκράτης. οἷς ἡ τῶν τρόπων ἀρετὴ, τηλικοῦτον εὐδοξίας χαρακτῆρα τοῖς ἔργοις ἐπέβαλε. βίου δὲ πέλαγος, τὸν χειμαζόμενον βίον. ¶ Κρήσιον. ὡς πάνυ χειμαζομένης τῆς περὶ Κρήτην θαλάσσης. Ἀμπλάκιον. ἄπταιστον. Ἀλλά τις θεῶν. θάρρει φησὶν ὦ Δηιάνειρα. θεῶν γάρ τις αὐτὸν ἀναμάρτητον καὶ δίκαιον ὄντα, κωλύει ἀπὸ τοῦ ᾅδου. ἢ ἀμπλάκητον, ἀποτυχῆ. παρὰ τὸ μὴ ἀναπλακεῖν. οἷον, κωλύει αὐτὸν μὴ ἐπιτυχεῖν τοῦ ᾅδου. ¶ Ὧν ἐπιμεμφομένα σοι. περὶ ὧν μεμφομένη σοι, ὅτι οὐ προσηκόντως ὀδύρῃ. θεοὶ γὰρ αὐτὸν σώζουσιν. ℂ Ἀδεῖα μὲν, ἀντία δ' οἴσω. ἐναντία οἷς περὶ τοῦ Ἡρακλέους φρονεῖς. παραιτουμένη δὲ τὸ ἀδεῖα, ὡς ἐναντία λέγουσα τῇ ἀνάσσῃ, ἐπάγει μὴ χρῆναι αὐτὴν ἀποβάλλειν τὴν ἀγαθὴν ἐλπίδα περὶ τοῦ ἀνδρός. φησὶ γὰρ αὐτὸν ζῆν. ἀντία δὲ, ὅτι τὸ ἐναντίον νομίζει ἡ Δηιάνειρα, ἀποθανεῖν αὐτόν. ¶ Οὐκ ἀποτρύειν. οὐκ ἀπογνῶναι. οὐκ ἀποκάμνειν. οὐκ ἀποβάλλειν. οὐκ ἀποδοκιμάζειν.

οὔ ποτ' εὐνάζειν ἀδακρύτων
βλεφάρων πόθον, ἀλ-
λ' εὔμναστον ἀνδρὸς δεῖμα φέρουσαν ὁδοῦ,
ἐνθυμίοις εὐναῖς ἀναν-
δρώτοισι τρύχεσθαι, κακὰν
δύστανον ἐλπίζουσαν αἶσαν.
πολλὰ γὰρ ὥστ' ἀκάμαντος
ἢ νότου ἢ βορέα τις
κύματ' εὐρεῖ πόντῳ
βάντ' ἐπιόντα τ' ἴδοι,
οὕτω δὲ τὸν Καδμογενῆ, τὸ μὲν
τρέφει, τὸ δ' αὔξει βιότου
πολύπονον ὥστε πέλαγος
Κρήσιον. ἀλλά τις θεῶν
αἰὲν ἀμπλάκητον ἀΐδα
σφε δόμων ἐρύκει.
ὧν ἐπιμεμφομένα σ', ἁ-
δεῖα μὲν, ἀντία δ' οἴσω.
φαμὶ γὰρ οὐκ ἀποτρύειν

Ἀνάλγητα γάρ. οὐδὲ γὰρ ἄλυπα τοῖς ἀνθρώποις ὁ Ζεὺς τὰ πράγματα πεποίηκε.
» Δοιοὶ γάρ τε πίθοι. οἷον, συμμιγνύουσιν οἱ θεοὶ τὰ πράγματα τοῖς ἀνθρώποις πήματι καὶ χαρᾷ. καὶ στρέφουσιν ὀξέως τὰ πράγματα, ὥσπερ τὰς τῆς ἄρκτου στροφάς. ¶ Ἀλλ' ἐπὶ πῆμα καὶ χαρά. ἐπὶ χαρᾷ δὲ καὶ πήματι, πᾶσι κυκλοῦσιν οἱ θεοί. πῆμα δέ, ἀντὶ τοῦ πήματι κατὰ ἀποκοπήν. ¶ Πᾶσι κυκλοῦσιν. ἀντὶ τοῦ κυκλοῦνται τὰ τῶν ἀνθρώπων πράγματα. ἢ τὸ κυκλοῦσιν, ἐπὶ τῶν θεῶν. ¶ Οἷον ἄρκτου στροφάδες. τὰς ἄρκτου στροφὰς παρέλαβον, ἐπεὶ διαφανεῖς τέ εἰσι καὶ ἡσυχαιτέραν ποιοῦνται τὴν κίνησιν. καθόλου γὰρ ὀξύτερον τὰ νότια κινοῦνται, διὰ τὸ μείζονα κύκλον ὁδεύειν. » Ἄρατος, αὐτὰρ καὶ κρειοῖο, » θοώτεραι εἰσὶ κέλευθοι. Στέρεσθαι. ἀντὶ τοῦ λυπεῖσθαι καὶ στέρεσθαι χαρᾶς. τίνος δὲ στέρεσθαι, δηλονότι τοῦ χαίρειν. ¶ Ἃ καὶ σὲ τὰν ἄνασσαν. ἅπερ καὶ σὲ λέγω χρῆναι φρονεῖν. καὶ χρησταῖς ἐλπίσι βόσκεσθαι. ἢ οὕτως. ἃ καὶ σὲ βούλομαι φροντίζειν. ὅτι ἐναλλάττονται καὶ ἐκ κακῶν τὰ ἀγαθὰ τὰ ἀνθρώπινα. Ζῆν' ἄβουλον. δύσβουλον, καὶ κακόβουλον, μὴ βουλευόμενον τοῖς ἰδίοις παισὶ τὸ συμφέρον. διὸ μηδὲν φαῦλον περὶ Ἡρακλέους ἔλπιζε. οὐ γὰρ περιορᾷ τοῦ ἑαυτοῦ παιδὸς ὁ Ζεύς. ¶ Πεπυσμένη. ἐξ ἀκοῆς ἐλήλυθας, τῶν ἐμῶν αἰσθομένη κακῶν. ¶ Τὸ γὰρ νεάζον. ἡ γὰρ νέα ἡλικία ἐν τοῖς τόποις δι' ἀμεριμνίας βόσκεται. ¶ Χώροισιν αὑτοῦ. τὸ αὑτοῦ τινὲς ψιλοῦσι, καὶ νοοῦσιν αὐτόθι. ἔνιοι δὲ δασύνουσιν, ἀντὶ τοῦ ἑαυτοῦ. τοῖς ἰδίοις ἑαυτοῦ τόποις, ἀμερίμνως βόσκεται τὸ νεάζον. καὶ οὔτε καύματι φθείρεται, οὔτε ὑετῷ, οὔτε ἀνέμων σφοδρότητι. ¶ Οὐ θάλπος θεοῦ. ἀντὶ τοῦ οὐδεμία μεταβολή. ¶ Ἀλλ' ἡδοναῖς. ἀλλὰ ταῖς ἡδοναῖς εἰς ὕψος εὐθυμίας αἴρεται, ἕως ἂν γαμηθῇ. οὐδέν φησι ταράττει τὴν νέαν ἡλικίαν, ἀλλ' ὡς τεῖχος ἀρραγὲς οὐ φθείρεται ὑπό τινος, οὕτως οὐδὲ ἡ νεότης ἐστηριγμένη ὑπὸ ἀμεριμνίας τῶν ἐν τῷ βίῳ κακῶν. νέα γὰρ φροντὶς οὐκ ἀλγεῖν φιλεῖ. ¶ Ἐς τὸ θ' ἕως τις. τὸ τηνικαῦτα ἐπειδὰν γαμηθείη τις, εἰς τὰ κα-

ἐλπίδα τὰν ἀγαθὰν
χρῆναί σ'. ἀνάλγητα γὰρ οὐ-
δ' ὁ πάντα κραίνων βασιλεὺς
ἐπέβαλε θνατοῖς Κρονίδας.
ἀλλ' ἐπὶ πῆμα καὶ χαρὰ
πᾶσι κυκλοῦσιν, οἷον ἄρκτου
στροφάδες κέλευθοι.
μένει γὰρ οὔτ' αἰόλα νὺξ
βροτοῖσιν, οὔτε κῆρες, οὔ-
τε πλοῦτος, ἀλλ' ἄφαρ
βέβακε, τῷ δ' ἐπέρχεται,
χαίρειν τε, καὶ στέρεσθαι.
ἃ καὶ σὲ τὰν ἄνασσαν ἐλπίσιν λέγω
τάδ' αἰὲν ἴσχειν, ἐπεὶ
τίς ὧδε τέκνοισι Ζῆν' ἄβουλον εἶδεν;
Δηι. πεπυσμένη μὲν ὡς ἀπεικάσαι πάρει
πάθημα τοὐμόν. ὡς δ' ἐγὼ θυμοφθορῶ
μήτ' ἐκμάθοις παθοῦσα, νῦν δ' ἄπειρος εἶ.
τὸ γὰρ νεάζον, ἐν τοιοῖσδε βόσκεται
χώροισιν αὑτοῦ, καί νιν οὐ θάλπος θεοῦ
οὐδ' ὄμβρος, οὐδὲ πνευμάτων οὐδὲν κλονεῖ,
ἀλλ' ἡδοναῖς ἄμοχθον ἐξαίρει βίον.

θ' ἑαυτὴν

ὁ ἑαυτὴν ἀποβλέπουσα ἡ ἀνορθοῦσα. ἔξω τῆς ἀμεριμνίας εἰς φροντίδας εἰσῆλθεν. οἰκτείρει τὰ κατ' ἐμέ. ¶ Τὴν αὐτοῦ. τὸ αὐτοῦ ὡς πρὸς τὸν νέον ἀποδίδωσι. Πάθη μὲν οὖν δή. τὰ μὲν ἄλλα πάθη τοῦ ἡρακλέους, πολλάκις ἀπωδυράμην. ἓν δὲ εἰπεῖν νῦν βούλομαι, οἷον οὐκ εἴρηκα πω. ¶ Ὁδὸν γὰρ ἦμος. ὅτι περὶ τοῦ τελευταίου χρόνου χρησμὸς ἦν αὐτῷ δεδομένος. ¶ Νῦν δ' ὡς ἔτ' οὐκ ὤν. ἀεὶ μὲν ἐξήει ὡς τῷ ὁμολογουμένῳ κατορθώματι. νῦν δὲ, ὡς τεθνηξόμενος ἐνετείλατό μοι, ἵνα πρόνοιαν ἄλλου ἀνδρὸς ἐμαυτῇ ποιήσωμαι. εἶπε δὲ καὶ περὶ διαιρέσεως ἑκάστου τῶν τέκνων μερίδος. ¶ Χρεῖ' ἦν μ' ἑλέσθαι κτῆσιν. ἔλεγε πρὸς ἐκεῖνον ἐμὲ λαβεῖν τὴν προῖκα, καὶ τὰ δῶρα ἃ ὑπὲρ τοῦ λέχους ἐκτησάμην. Ἄλλως. Χρεῖ' ἦν μ' ἑλέσθαι κτῆσιν. ἤγουν, προνοεῖσθαι ἑτέρου ἀνδρὸς, ἢ σώζειν τὸ λέχος. ¶ Ὑπεκδραμόντα. διαφυγόντα τὸν θάνατον. ¶ Τοιαῦτ' ἔφραζε. ἡ δὲ λέξις τοιαῦτα ἔλεγε παρὰ θεῶν εἱμάρθαι. ὥστε τούτων θάτερον αὐτῷ τέλος ἔσεσθαι τῶν πόνων. ¶ Τῶν ἡρακλείων. τῶν ἑαυτοῦ πόνων τὸ τέλος. πλὴν δὲ τὸ τοιοῦτον εἶδος παρὰ ποιηταῖς. ¶ Δωδῶνι. Τὴν ἐν Δωδῶνι τῆς Θεσπρωτίας φηγόν. ἐφ' ἧς δύο περιστεραὶ καθήμεναι ἐμαντεύοντο. ὡς ἀπ' εὐθείας τῆς ἡ Δωδών. Ὅμηρος δὲ Δωδώνην εἶπεν. εἰς τὸ αὐτό. Δωδῶνι, δισσῶν ἐκ πελειάδων. ὑποδράμω τῆς ἐν Δωδώνῃ μαντείας, δύο ἦσαν πέλειαι, δι' ὧν ἐμαντεύετο ὁ Ζεὺς, ὡς Ἀπόλλων ἀπὸ τρίποδος. οἱ μὲν, οὕτω λέγουσι θεσπίζειν. οἱ δὲ οὕτω· τὰς ἱερείας γραίας οὔσας. καὶ γὰρ τοὺς γέροντας οἱ Μολοσσοὶ πελίους ὀνομάζουσιν. Ἡρόδοτος δὲ ἐν δευτέρᾳ φησὶ, Πελειάδες δέ μοι δοκέουσι κεκλῆσθαι πρὸς Δωδωναίων αἱ γυναῖκες, διότι βάρβαροι οὖσαι, ἐδόκουν ὁμοίως ὄρνισι φθέγγεσθαι. μετὰ δὲ χρόνον δοκοῦσιν ἀνθρωπίνῃ φωνῇ φθέγξασθαι, ἐπεὶ γὰρ ἐκ Θηβῶν Αἰγυπτίων ἦσαν. Εὐελπίδης δὲ ἐς περιγενέσθαι φησὶν αὐτάς. οἱ δὲ, δύο καὶ τὴν μὲν, ἐς Λιβύην ἀφικέσθαι Θήβα

ἐς τοῦθ', ἕως τις αὐτὶ παρθένου γυνὴ
κληθῇ, λάβῃ τ' ἐν νυκτὶ φροντίδων μέρος,
ἤτοι πρὸς ἀνδρὸς ἢ τέκνων φοβουμένη.
τότ' ἄν τις εἰσίδοιτο τὴν αὐτοῦ σκοπῶν
πρᾶξιν, κακοῖσιν οἷς ἐγὼ βαρύνομαι.
πάθη μὲν οὖν δὴ πόλλ' ἔγωγ' ἐκλαυσάμην.
ἓν δ' οἷον οὔπω πρόσθεν, αὐτίκ' ἐξερῶ.
ὁδὸν γὰρ ἦμος τὴν τελευταίαν ἄναξ
ὡρμᾶτ' ἀπ' οἴκων ἡρακλῆς, τότ' ἐν δόμοις
λείπει παλαιὰν δέλτον ἐγγεγραμμένην
ξυνθήμαθ', ἅ μοι πρόσθεν οὐκ ἔτλη ποτὲ
πολλοὺς ἀγῶνας ἐξιὼν, οὔπω φράσαι.
ἀλλ' ὥς τι δράσων εἷρπε, κοὐ θανούμενος.
νῦν δ' ὡς ἔτ' οὐκ ὤν, εἶπε μὲν λέχους ὅτι
χρεῖ' ἦν μ' ἑλέσθαι κτῆσιν. εἶπε δ' ἣν τέκνοις
μοῖραν πατρῴας γῆς διαιρετὸν, νέμοι
χρόνον προτάξας ὡς τρίμηνον. ἡνίκ' ἂν
χώρας ἀπείη, κἀνιαύσιος βεβώς,
τότ' ἢ θανεῖν χρείη σφε τῷδε τῷ χρόνῳ,
ἢ τοῦθ' ὑπεκδραμόντα τοῦ χρόνου τέλος,
τὸ λοιπὸν ἤδη ζῆν ἀλυπήτῳ βίῳ.
τοιαῦτ' ἔφραζε πρὸς θεῶν εἱμαρμένα
τῶν Ἡρακλείων ἐκτελευτᾶσθαι πόνων,
ὡς τὴν παλαιὰν φηγὸν αὐδῆσαί ποτε
Δωδῶνι, δισσῶν ἐκ πελειάδων ἔφη.

θεῷ εἰς τὸ τοῦ Ἄμμωνος χρηστήριον τὸ περὶ τὴν Δωδώνην. ὡς καὶ Πίνδαρος παιᾶσιν.

Καὶ τῶνδε ναμέρτεια. ἡ τῶν εἰρημένων ὑπὸ Ἡρακλέους, ἀλήθεια νῦν ἀποβαίνει, ἐν τῷ παρόντι χρόνῳ, ὥστε ὁπότερον πραχθῆναι. εἴ με χρὴ νέμειν. ἀντὶ τοῦ ζῆν.

Πρὸς χαρὰν λόγων. πρὸς ἡδονήν. πρὸς χαρὰν ἀπαγγελοῦντα λόγων ἡδονὴν διδόντα. ἐκ τοῦ στεφάνου δὲ στοχάζεται, ὅτι μέλλει χρηστὰ ἀπαγγέλλειν. ¶ Τάχ᾽ ἐς δόμους. ἀντὶ τοῦ ταχέως. εὐθέως.

ΕΝ βουθερεῖ λειμῶνι. μέγα θέρος ἔχοντι. ὅ ἐστι, λήϊον. τὸ γὰρ βου ἐπιτατικόν. ἢ τῷ σφόδρα βαλλομένῳ καὶ καταθερομένῳ. ἤγουν θερμαινομένῳ ὑπὸ τοῦ ἡλίου. Ἄλλως. Βουθορεῖ. ἢ ὄνομα τοῦ λειμῶνος, ἢ πολυθορεῖ. τὸ γὰρ βου, ἐπιτατικόν ἐστιν. ὅ ἐστι πολλάκις θοριζομένῳ. ἵν᾽ εἴπῃ πολυφόρῳ. ἢ ὑπὸ βοῶν θεριζομένῳ τοῖς ὀδοῦσι. τουτέστι, βοῦς τρέφοντι. ¶ Πρὸς χαράν. πρὸς ἡδονήν. ¶ Αὐτὸς δὲ πῶς ἄπεστιν. εἰ εὐτυχεῖ ὁ Ἡρακλῆς, πῶς ἄπεστιν ὁ Λίχας, καὶ οὐκ ἦλθε ταχέως ἀπαγγέλλων.

Οὐκ εὐμαρείᾳ. οὐ ῥαστώνῃ. κατα φονήσει σοῦ ἄπεστιν, ἀλλὰ κεινόμενος ὑπὸ τοῦ πλήθους. τὸ δὲ οὐ πολλῇ, ἀντὶ τοῦ οὐδὲ ὀλίγῃ. οἱ δὲ οὕτως. Οὐκ εὐμαρείᾳ. οὐκ εὐχερείᾳ. ἀντὶ τοῦ οὐκ ἔστιν αὐτῷ εὐχερὲς παραγενέσθαι. ¶ Μηλιεὺς ἅπας λεώς. Μηλιεῖς ἔθνος Θετταλικόν, πλησίον Τραχῖνος. Μηλία δὲ ἡ πόλις καλεῖται. ¶ Τὸ γὰρ ποθοῦν. τὸ ποθούμενον. Οὐχ ἑκών, ἑκοῦσι δέ. τοῖς Μηλιεῦσιν αὐτὸς ὁ Λίχας σύνεστιν οὐχ ἑκών. βούλεται γὰρ αὐτῶν ἀποστὰς, ἐλθεῖν πρὸς σέ. ¶ Ω Ζεῦ τὸν Οἴτης ἄτομον. τὸν ἀπόρθητον. συμβαλόντες γὰρ οἱ δυσμαθεῖς διήκουσι τὰ χωρία. ἄμεινον δὲ τὸν ἀφιερωμένον θεοῖς καὶ ἀπώριστον, ὃν οὐδὲ βοτὰ καταβόσκεται. τὰ δὲ ἱερὰ τὰ χωρία, ὀργάδας ἐκάλουν.

καὶ τῶνδε ναμέρτεια συμβαίνει χρόνου
τοῦ νῦν παρόντος, ὡς τελεσθῆναι χρεών.
ὥσθ᾽ ἡδέως εὕδουσαν, ἐκπλαγῆν ἐμὲ
φόβῳ φίλαι ταρβοῦσαν, εἴ με χρὴ μένειν,
πάντων ἀρίστου φωτὸς ἐστερημένην.
ΧΟ. εὐφημίαν νῦν ἴσχ᾽. ἐπεὶ καταστεφῆ
στείχονθ᾽ ὁρῶ τιν᾽ ἄνδρα πρὸς χαρὰν λόγων
ΑΓ. δέσποινα Δηϊάνειρα, πρῶτος ἀγγέλων
ὄκνου σε λύσω. τὸν γὰρ Ἀλκμήνης τόκον
καὶ ζῶντ᾽ ἐπίστω, καὶ κρατοῦντα, κἀκ μάχης
ἄγοντ᾽ ἀπαρχὰς θεοῖσι τοῖς ἐγχωρίοις.
ΔΗ. τίν᾽ εἶπας ὦ γεραιὲ τόνδε μοι λόγον;
ΑΓ. τάχ᾽ ἐς δόμους σοὺς τὸν πολύζηλον πόσιν
ἥξειν φανέντα σὺν κράτει νικηφόρῳ.
ΔΗ. καὶ τοῦ τόδ᾽ ἀστῶν, ἢ ξένων μαθὼν λέγεις;
ΑΓ. ἐν βουθορεῖ λειμῶνι πρόσπολος θροεῖ
Λίχας ὁ κῆρυξ ταῦτα. τοῦ δ᾽ ἐγὼ κλύων,
ἀπῇξ᾽, ὅπως σοι πρῶτος ἀγγείλας τάδε,
πρὸς σοῦ τι κερδάναιμι καὶ κτῴμην χάριν.
ΔΗ. αὐτὸς δὲ πῶς ἄπεστιν, εἴπερ εὐτυχεῖ;
ΑΓ. οὐκ εὐμαρείᾳ χρώμενος πολλῇ γύναι.
κύκλῳ γὰρ αὐτὸν Μηλιεὺς ἅπας λεὼς
κρίνει παραστάς. οὐδ᾽ ἔχει βῆναι πρόσω.
„ τὸ γὰρ ποθοῦν ἕκαστος ἐκμαθεῖν θέλων,
„ οὐκ ἂν μεθεῖτο πρὶν καθ᾽ ἡδονὴν κλύειν.
οὕτως ἐκεῖνος οὐχ ἑκών, ἑκοῦσι δὲ
ξύνεστιν, ὄψει δ᾽ αὐτὸν αὐτίκ᾽ ἐμφανῆ.
ΔΗ. ὦ Ζεῦ τὸν Οἴτης ἄτομον ὃς λειμῶν᾽ ἔχεις
ἔδωκας ἡμῖν, ἀλλὰ σὺν χρόνῳ χαράν.

φωνήσατ' ὦ γυναῖκες. ἀντὶ τοῦ ὀλολύξατε καὶ βοήσατε, χάριν ὁμολογοῦσαι τοῖς θεοῖς. ¶ Ὄμμ' ἐμοὶ φήμης. ὄμμα φήμης φησὶν αὐτὸν τὸν φανερῶς ἀπαγγείλαντα. ἢ τὸ ἀπὸ τῆς φήμης φῶς. ¶ Ἀνασχόν. ἀναφανέν. ἀνατεῖλαν. ἐκ μεταφορᾶς τοῦ ἡλίου. ¶ Ἐφεστίοις ἀλαλαγαῖς.

φωνήσατ' ὦ γυναῖκες, αἵ τ' εἴσω στέγης,
αἵ τ' ἐκτὸς αὐλῆς, ὡς ἄελπτον ὄμμ' ἐμοὶ
φήμης ἀνασχὸν τῆσδε νῦν καρπούμεθα.
Χο. Ἀνολολύξετε δόμοις ἐφεστίοις
ἀλαλαγαῖς ὁ μελλόνυμφος, ἐν δὲ κοι-
νὸς ἀρσένων ἴτω
κλαγγά. τὸν εὐφαρέτραν
Ἀπόλλωνα προστάταν,
ὁμοῦ δὲ παιᾶνα παιᾶνα
ἀνάγετ' ὦ παρθένοι.
βοᾶτε τὰν ὁμόσπορον
Ἄρτεμιν ὀρτυγίαν,
ἐλαφοβόλον, ἀμφίπυρον,
γείτονάς τε νύμφας.
ἀείρομ' οὐδ' ἀπώσομαι
τὸν αὐλόν. ὦ τύραννε τᾶς ἐμᾶς φρενός.
ἰδού μ' ἀναταράσσει
εὐοῖ μ' ὁ κισσὸς, ἄρτι βακχείαν
ὑποστρέφων ἅμιλλαν.
ἰὼ ἰὼ παιάν.
ἴδε ἴδ' ὦ φίλα
γύναι. τάδ' ἀντίπρωρα δή σοι βλέπειν
πάρεστ' ἐναργῆ.
Δη. Ὁρῶ φίλαι γυναῖκες, οὐδέ μ' ὄμματος
φρουρὰ παρῆλθε τόνδε μὴ λεύσσειν στόλον.
χαίρειν δὲ τὸν κήρυκα προὐννέπω χρόνῳ
πολλῷ φανέντα χαρτὸν, εἴ τι καὶ φέρει.

ταῖς ἐπὶ τῶν θυσιῶν εὐχαῖς. ἀντὶ τοῦ ὁ πᾶς οἶκος ἡρακλέους, θυσίας καὶ εὐχὰς ποιείτω. ¶ Ὁ μελλόνυμφος. εἴ τις μελλόνυμφός ἐστιν. εἴτε γεγαμηκώς, ἡκέτω. κοινὴ γὰρ πάντων ἐστὶν εὐχή. ἡκέτω δὲ πᾶσα κλαγγὴ ἀρσένων τε καὶ θηλειῶν. καὶ κοινὴν εὐχὴν ποιησάτω. ¶ Ἐν δὲ κοινός. τὸ κοινὸς ἀττικόν. ὡς κλυτὸς ἱπποδάμεια. ¶ Ἀνάγετ' ὦ παρθένοι. ἀνυμνεῖτε πάντες καὶ πᾶσαι τὸν σωτῆρα καὶ παιᾶνα ἀπόλλωνα ¶ Βοᾶτε τὰν ὁμόσπορον. ἀνυμνεῖτε καὶ τιμᾶτε τὴν ἅμα τῷ ἀπόλλωνι σπαρεῖσαν, τὴν ἐν ὀρτυγίᾳ τιμωμένην. ¶ Ἀμφίπυρον. παρ' ὅσον ἀμφοτέραις ταῖς χερσὶ δᾳδουχεῖ, ἢ αὐτὴ οὖσα τῇ ἑκάτῃ. νύμφας δέ φησι τὰς ὀρεστιάδας. παρ' ὅσον ἐν τοῖς ὄρεσι διατρίβει ἡ Ἄρτεμις. ¶ Ἀείρομ' οὐδ' ἀπώσομαι. μετεωρίζομαι ἐν τῷ χορεύειν εἰς τὸν ἀέρα. καὶ ἄνω αἴρομαι. τὸ γὰρ μελισδάρι οὐκ ἔστι σάλσιμον. ἀλλ' ὑπὸ τῆς ἡδονῆς ὀρχοῦνται. ¶ Τὸν αὐλὸν ὦ τύραννε. ὦ αὐλέ. ὦ ἡράκλεις. ἢ ὦ διόνυσε. Ἄλλως. ὦ αὐλὲ τῆς ἐμῆς φρενὸς τύραννε. ἐρεθίζει γὰρ ὁ αὐλὸς τὰς παρθένους πρὸς τὴν χορείαν. ἀντὶ τοῦ ὦ κρατῶν τῆς ἐμῆς φρενός. ἐν δὲ τῷ ταῦτα λέγειν, ὀρχοῦνται ὑπὸ χαρᾶς. ¶ Ἀναταράσσει εὐοῖ μ' ὁ κισσός. εἰς βακχικὴν ἅμιλλαν. τουτέστι χορείαν, παρορμᾷ με ὁ κισσός. τὸ δὲ ὑποστρέφων, ἀντὶ τοῦ ἀπὸ λύπης εἰς ἡδονὴν μετάγων ἢ ὑπερβάλλων. ¶ Ἀντίπρωρα. ἐναντία. ἀντικείμενα τοῖς προτέροις κακοῖς ἀγαθά. ἢ ἀντιπρόσωπα. ὑπ' ὄψιν ὁρώμενα. ὑποδεικνύουσα δὲ τὸν λίχαν ἐρχόμενον. ¶ Χαρτόν. ἄξιον χαρᾶς.

Κ ατ' ἔργου κτῆσιν. κατὰ τὴν ἀπαγγελίαν. κατὰ τὴν τῶν ἔργων πρᾶξιν. τουτέστιν ἀξίως τῆς τοῦ Ἡρακλέους ἀρετῆς προσφωνούμεθα. ἀντὶ τοῦ οἵων ἔδει τυχεῖν προσφωνημάτων τοὺς τοιαῦτα κατειργασμένους, ἐτύχομεν. ¶ Γῆς πατρῴας. ἀντὶ τῆς Ἑλλάδος. Ἀργεῖος γὰρ ὁ Ἡρακλῆς.

Λι. Ἀλλ' εὖ μὲν ἵγμεθ', εὖ δὲ προσφωνούμεθα
γύναι κατ' ἔργου κτῆσιν. ἄνδρα γὰρ καλῶς
πράσσοντ', ἀνάγκη χρηστὰ κερδαίνειν ἔπη.
Δη. Ω φίλτατ' ἀνδρῶν, πρῶθ', ἃ πρῶτα βούλομαι
δίδαξον, εἰ ζῶνθ' Ἡρακλέα προσδέξομαι.
Λι. Ἔγωγέ τοι σφ' ἔλειπον ἰσχύοντά τε,
καὶ ζῶντα, καὶ θάλλοντα, κοὐ νόσῳ βαρύν.
Δη. Ποῦ γῆς πατρῴας, εἴτε βαρβάρου; λέγε.
Λι. Ἀκτή τις ἔστ' Εὐβοιίς, ἔνθ' ὁρίζεται
βωμούς, τέλη τ' ἔγκαρπα Κηναίῳ Διί.
Δη. Εὐκταῖα φαίνων, ἢ 'πὸ μαντείας τινός;
Λι. Εὐκταῖ', ὅθ' ᾕρει τῶνδ' ἀνάστατον δορὶ
χώραν γυναικῶν, ὧν ὁρᾷς ἐν ὄμμασιν.
Δη. Αὗται δὲ πρὸς θεῶν τοῦ ποτ' εἰσί; καὶ τίνες;
οἰκτραὶ γάρ, εἰ μὴ ξυμφοραὶ κλέπτουσί με.
Λι. Ταύτας ἐκεῖνος Εὐρύτου πέρσας πόλιν,
ἐξείλεθ' αὑτῷ κτῆμα, καὶ θεοῖς κριτόν.
Δη. Ἦ κἀπὶ ταύτῃ τῇ πόλει τὸν ἄσκοπον
χρόνον βεβὼς ἦν ἡμερῶν ἀνήριθμον;
Λι. Οὔκ, ἀλλὰ τὸν μὲν πλεῖστον ἐν Λυδοῖς χρόνον
κατείχεθ', ὥς φησ' αὐτός, οὐκ ἐλεύθερος,
ἀλλ' ἐμπληθείς. τοῦ λόγου δ' οὐ χρὴ φθόνον
γύναι προσεῖναι, Ζεὺς ὅτου πράκτωρ φανῇ.
κεῖνος δὲ πραθεὶς Ὀμφάλῃ τῇ βαρβάρῳ,
ἐνιαυτὸν ἐξέπλησεν, ὡς αὐτὸς λέγει.
χοὔτως ἐδήχθη τοῦτο τοὔνειδος λαβών,
ὥσθ' ὅρκον αὑτῷ προσβαλὼν διώμοσεν,
ἦ μὴν τὸν ἀγχιστῆρα τοῦδε τοῦ πάθους,
ξὺν παιδὶ καὶ γυναικὶ δουλώσειν ἔτι.
κοὐχ ἡλίωσε τοὔπος. ἀλλ' ὅθ' ἁγνὸς ἦν,

Τ έλη τ' ἔγκαρπα. τέλη, θυσίας. ἔγκαρπα δέ, θυμιάματα τὰ ἀπὸ ἀνθῶν ἢ καρπῶν. ¶ Κηναίῳ Διί. Κήναιον Εὐβοίας ἀκρωτήριον. ἀπὸ Κηναίου τοῦ Εὐφορίωνος, ἢ τοῦ ἐλεφόρου. Εὐκταῖα φαίνων, ἢ 'πὸ μαντείας τινός. πότερον αὐτὸς φθεγξάμενος ἢ ὑπισχόμενος ἐν τῇ νίκῃ τοῦτο ποιεῖν, ἢ ἀπὸ μαντείας θεοῦ τινος κελεύσαντος. ¶ Εὐκταῖ', ὅθ' ᾕρει. κατ' εὐχήν φησιν αὐτὸν τελέσαι τὰς θυσίας. ὅτε γὰρ ἐκράτησεν Οἰχαλίας, εὐχαριστήσας τὰς θυσίας προσῆγεν. ¶ Τοῦ ποτ' εἰσίν. ἀντὶ τοῦ τίνος δεσπότου. ¶ Οἰκτραὶ γάρ. εὐγενεῖς γὰρ δοκοῦσιν εἶναι, εἰ μὴ ἄρα με σφάλλουσιν αἱ κατ' αὐτὰς συμφοραί, τουτέστιν, εἰ μὴ ἄρα διὰ τὴν τύχην ὑποπτεύω οἰκτρόν. ¶ Ταύτας ἐκεῖνος. ἵνα τὰς μὲν αὐτὸς ἔχῃ. τὰς δὲ ἀνιερώσῃ τοῖς θεοῖς.

Η κἀπὶ ταύτῃ. ἄρ' οὖν τὸν πολὺν τοῦτον καὶ ἀνάριθμον χρόνον τῶν ἡμερῶν ἐν τῇ Οἰχαλίᾳ διέτριψεν. ¶ Ἄσκοπον. πολύν. ὃν οὐκ ἄν τις ἐπιλογίσαιτο. κατὰ μάθοι, διὰ τὸν χρόνον. ¶ Ἀνήριθμον. ἀντὶ τοῦ ἀναρίθμητον. ¶ Τοῦ λόγου δ' οὐ χρὴ φθόνον. μέμψιν. οὐ χρή φησι μέμφεσθαι οἷς ἂν πράξῃ ὁ Ζεύς. ἰδίῳ γὰρ λογισμῷ πάντα πράττει ὡς θέλει. ἢ οὕτως. οὐ χρὴ παραιτεῖσθαι λέγειν τὰ παρὰ τοῦ Διὸς γινόμενα, κἂν ᾖ χαλεπά. ¶ Ἐνιαυτόν. ὁ Ἡρόδοτος τρία ἔτη λέγει τὸν ἐνιαυτόν. ¶ Τὸν ἀγχιστῆρα τοῦδε. τὸν αἴτιον τοῦ πάθους. λέγει δὲ τὸν Εὔρυτον. ¶ Δουλώσειν ἔτι. πλεονάζει τὸ ἔτι. ¶ Ἀλλ' ὅθ' ἁγνὸς ἦν.

στρατὸν λαβὼν ἐπακτὸν, ἔρχεται πόλιν
τὴν Εὐρυτείαν. τόνδε γὰρ μεταίτιον
μόνον βροτῶν ἔφασκε τοῦδ' εἶναι πάθους.
ὃς αὐτὸν ἐλθόντ' ἐς δόμους ἐφέστιον,
ξένον παλαιὸν ὄντα, πολλὰ μὲν λόγοις
ἐπερρόθησε, πολλὰ δ' ἀτηρᾷ φρενὶ
λέγων, χεροῖν μὲν ὡς ἄφυκτ' ἔχων βέλη,
τῶν ὧν τέκνων λείποιτο πρὸς τόξου κρίσιν.
φώνει δὲ δοῦλος ἀνδρὸς ὡς ἐλευθέρου
ῥαίοιτο. δείπνοις δ' ἡνίκ' ἦν οἰνωμένος,
ἔρριψεν ἐκτὸς αὐτὸν, ὧν ἔχων χόλον.
ὡς ἵκετ' αὖθις Ἴφιτος Τιρυνθίαν
πρὸς κλιτὺν, ἵππους νομάδας ἐξιχνοσκοπῶν.
τότ' ἄλλοσ' αὐτὸν ὄμμα, θἠτέρᾳ δὲ νοῦν
ἔχοντ', ἀπ' ἄκρας ἧκε πυργώδους πλακός.
ἔργου δ' ἕκατι τοῦδε μηνίσας ἄναξ
ὁ τῶν ἁπάντων Ζεὺς πατὴρ Ὀλύμπιος,
πρατόν νιν ἐξέπεμψεν, οὐδ' ἠνέσχετο,
ὁθ' οὕνεκ' αὐτὸν μοῦνον ἀνθρώπων δόλῳ
ἔκτεινεν. εἰ γὰρ ἐμφανῶς ἠμύνατο,
Ζεύς τ' ἂν συνέγνω ξὺν δίκῃ χειρουμένῳ.
ὕβριν γὰρ οὐ στέργουσιν οὐδὲ δαίμονες.
κεῖνοι δ' ὑπερχλιδῶντες ἐκ γλώσσης κακῆς,
αὐτοὶ μὲν ᾅδου πάντες εἰσ' οἰκήτορες.
πόλις δὲ δούλη. τάσδε δ' ἅσπερ εἰσορᾷς,

γυνὴ ἦν. ὅτε ἡγνίσθη ἀπὸ τοῦ φόνου. ὅ ἐστιν, ὅτε ἐπλήρωσε τὴν ὑπὲρ τοῦ φόνου δουλείαν. ¶ Στρατὸν λαβὼν ἐπακτόν. ἤγουν συμμαχικὸν, οὐκ ἴδιον. ¶ Ἐφέστιον ξένον. φίλον. ¶ Ἐπερρόθησε. σφοδρῶς ὕβρισεν. ἢ εἰς τὴν παιδοκτονίαν τῶν ἀπὸ Μεγάρας τέκνων. ἢ ὅτι πολλαῖς πρώην ὡμίλησε γυναιξὶν, ὡς Ἀπολλόδωρος. ¶ Ἀτηρᾷ φρενί. ἀπηνεῖ καὶ σκληρᾷ γνώμῃ. Λέγων, χεροῖν μέν. λέγων αὐτὸν ἡττᾶσθαι τῶν αὐτοῦ τέκνων, εἰ καὶ ἄφυκτα βέλη ἔχει. Τῶν ὧν τέκνων λείποιτο. τῶν ἰδίως. οὐ γὰρ ἠλαζονεύετο μόνον περὶ τῶν παίδων ἑαυτοῦ, ἀλλὰ καὶ δῶρον τοξείας προθεὶς, τὴν Ἰόλην νικήσαντι Ἡρακλεῖ οὐκ ἠγγύησε. διαφωνεῖται δὲ ὁ τῶν Εὐρυτίδων ἀριθμός. Ἡσίοδος μὲν γὰρ τέσσαρας φησὶν Εὐρύτου καὶ Ἀντιόχης παῖδας οὕτως, Ἣ δ' ὑποκυσαμένη καλλίζωνος Στρατονίκη, Εὔρυτον ἐν μεγάροισιν ἐγείνατο φίλτατον υἱόν. Τοῦ δ' υἷες ἐγένοντο Δηΐων, Κλυτίος τε, Τοξεύς τ' ἀντίθεος ἠδ' Ἴφιτος ὄζος Ἄρηος. Τοὺς δὲ μεθ' ὁπλοτάτην τέκετο ξανθὴν Ἰόλειαν, Ἀντιόχη κρείουσα παλαιὸν γένος Ναυβολίδαο. Κρεόφυλος δὲ δύο. Ἀριστοκράτης δὲ τρεῖς. Τοξέα, Κλύτιον, Δηΐονα. ¶ Ὡς ἐλευθέρου. λείπει ἡ ὑπὸ, ὡς ὑπὸ ἐλευθέρου ἀνδρὸς ὑβρίζοιτο. λέγει δὲ τὸ ῥαισθέν. ¶ Ἔρριψεν ἐκτὸς αὐτόν. τῆς οἰκίας αὐτὸν ἀπέωσεν. Ὧν ἔχων χόλον. ὑπὲρ δὲ τούτων ὀργιζόμενος Ἡρακλῆς, ἐφόνευσε τὸν Ἴφιτον εἰς τὸ τῆς Τιρυνθίας ὄρος παραγεγονότα διὰ τὴν τῶν ἵππων ἀναζήτησιν. Τότ' ἄλλοσ' αὐτὸν ὄμμα. ἀλλαχόσε τὸν νοῦν ἔχοντα. καὶ οὐδὲν δεινὸν πείσεσθαι προσδοκῶντα, ἀπὸ τοῦ ὄρους ἐδίσκευσεν. ¶ Ἔργου δ'. τοῦ φόνου. Οὐδ' ἠνέσχετο. οὐχ ὑπήνεγκεν αὐτοῦ τὴν μιαιφονίαν, ὅτι τὰς ἄλλας αὐτοῦ σεμνὰς πράξεις διὰ ταύτης κατῄσχυνεν. ¶ Ὕβριν γὰρ οὐ στέργουσιν. τὴν ἀδικίαν, οἷον οὐδ' αὐτὸ τὸ θεῖον ὑβριζόμενον καρτερεῖ, ὃ λίαν ἐστὶν ἀνεκτότερον.
Κεῖνοι δ' ὑπερχλιδῶντες. οἱ παῖδες τοῦ Εὐρύτου ὑπερηφάνως λοιδορησάμενοι τῷ Ἡρακλεῖ, ἀνῃρέθησαν, ὑπερσυμφήσαντες τῇ καθ' Ἡρακλέους λοιδορίᾳ.

ζηλον. κακοδαίμονα, ὃν οὐκ ἄν τις ζηλώσειεν. Ὅμηρος. ἀμέγαρτε συβῶτα. ¶ Αὐτὸν δ' ἐκεῖνον. τὸ ἑξῆς, αὐτὸν φρόνει ἥξοντα. τουτέστι προσδόκα ὅταν δὴ τῆς θυσίας καθάρῃ αὐτὸν ἀπὸ τοῦ φόνου. ¶ Ἐφεῖτο. ἐνετείλατο. ¶ Τοῦτο γὰρ λόγου. τὸ ἥξειν ἐκεῖνον. ¶ Νῦν σοι τέρψις. αἰτία τῆς ἐν τούτῳ τῷ χρόνῳ, καθ' ὃν ἀπαγγέλλει τὰ χρηστά. ἢ κατὰ τοῦτον τὸν τρόπον. ¶ Ὅμως δ' ἔνεστι. γνωμολογεῖ ὁρῶσα τὰς αἰχμαλώτους, καὶ τὴν τοῦ ἀνδρὸς εὐφορίαν ὅταν καλῶς πράσσῃ τις ἐλπίζειν κακά. ¶ Ὦ Ζεῦ τροπαῖε. ἀποτρεπτικέ. ἀλεξίκακε. ἱκετεύει δὲ μὴ παθεῖν παραπλήσια ταῖς αἰχμαλώτοις τὰ τέκνα αὐτῆς. ¶ Πρὸς τοὐμὸν οὕτω σπέρμα. ἀντὶ τοῦ κατὰ τῶν ἐμῶν παίδων. ¶ Τῆσδέ γε ζώσης. δεικτικῶς. ἀντὶ τοῦ ἐμοῦ. ὁ δὲ νοῦς. εἰ καὶ μέλλεις τι δρᾶν, κατὰ τῶν ἐμῶν παίδων, τοῦτο ἐμοῦ ζώσης ἀναβαλοῦ. ¶ Ἄνανδρος ἢ τεκοῦσα. τέκνα ἔχουσα. ὥσπερ καὶ Καλλίμαχός φησι, παιδοῦσα. ¶ Πρὸς μὲν γὰρ φύσιν. ὅσον μὲν γὰρ ἐκ τῆς ἡλικίας καὶ φύσεως τοῦ σώματος ἔστιν στοχάζεσθαι, ἄπειρος εἶ τῶν ἐκ τοῦ γάμου προσγινομένων. ἔοικας δὲ ὅμως τις εἶναι εὐγενής.

Τί δ' ἄν με καὶ κρίνοις. τί με καὶ μάτην ἀνακρίνῃς; ἀγνοῶ γάρ. ¶ Γέννημα τῶν ἐκεῖθεν οὐκ ἐν ὑστάτοις. οὐκ ἐν ταῖς ἀπερριμμέναις καὶ εὐτελέσι τεταγμένη, ἀλλὰ δῆλον ὅτι πρωτεύουσα ἐν εὐγενείᾳ. ¶ Τῶν ξυνεμπόρων. τῶν ξυναιχμαλωτίδων. τὸ δὲ ἔχεις ἀντὶ τοῦ ἔγνως. ¶ Ἤνυτον. ἀττικῶς ἀντὶ τοῦ ἤνυον. ¶ Οὐδ' ἀνιστόρουν μακράν. ἐπολυπραγμόνουν. περιειργαζόμην μακρὰν δὲ πολύ. καλῶς δὲ ὁ Λίχας δὴ τὸ ὕστερον οὐδὲ ἔπος αὐτοῦ ὡμολόγησεν εἰδέναι.

δὲ ὀλβίων ἄζηλον εὑροῦσαι βίον
χωροῦσι πρὸς σέ. ταῦτα γὰρ πόσις τε σὸς
ἐφεῖτ', ἐγὼ δὲ πιστὸς ὢν κείνῳ τελῶ.
αὐτὸν δ' ἐκεῖνον, εὖτ' ἂν ἁγνὰ θύματα
ῥέξῃ πατρῴῳ Ζηνὶ τῆς ἁλώσεως,
φρόνει νιν ὡς ἥξοντα. τοῦτο γὰρ λόγου
πολλοῦ καλῶς λεχθέντος ἥδιστον κλύειν.
Χο ἄνασσα, νῦν σοι τέρψις ἐμφανὴς κυρεῖ,
τῶν μὲν παρόντων, τὰ δὲ πεπυσμένη λόγῳ.
Δη πῶς δ' οὐκ ἐγὼ χαίροιμ' ἂν ἀνδρὸς εὐτυχῆ
κλύουσα πρᾶξιν τήνδε πανδίκῳ φρενί.
πολλή 'στ' ἀνάγκη τῇδε τοῦτο συντρέχειν.
ὅμως δ' ἔνεστι τοῖσιν εὖ σκοπουμένοις
ταρβεῖν τὸν εὖ πράσσοντα, μὴ σφαλῇ ποτε.
ἐμοὶ γὰρ οἶκτος δεινὸς εἰσέβη φίλαι
ταύτας ὁρώσῃ δυσπότμους ἐπὶ ξένης
χώρας ἀοίκους ἀπάτοράς τ' ἀλωμένας.
αἳ πρὶν μὲν ἦσαν ἐξ ἐλευθέρων ἴσως
ἀνδρῶν, τανῦν δὲ δοῦλον ἴσχουσιν βίον.
ὦ Ζεῦ τροπαῖε, μή ποτ' εἰσίδοιμί σε
πρὸς τοὐμὸν οὕτω σπέρμα χωρήσαντά ποι,
μηδ' εἴ τι δράσεις, τῆσδέ γε ζώσης ἔτι.
οὕτως ἐγὼ δέδοικα τάσδ' ὁρωμένη.
ὦ δυστάλαινα, τίς ποτ' εἶ νεανίδων
ἄνανδρος, ἢ τεκοῦσα; πρὸς μὲν γὰρ φύσιν,
πάντων ἄπειρος τῶνδε, γενναία δέ τις,
Λίχα, τίνος ποτ' ἐστὶν ἡ ξένη βροτῶν;
τίς ἡ τεκοῦσα; τίς δ' ὁ φιτύσας πατήρ;
ἔξειπ'. ἐπεί νιν τῶνδε πλεῖστον ᾤκτισα,
βλέπουσ', ὅσῳ περ καὶ φρονεῖν οἶδεν μόνη.
Λι τί δ' οἶδ' ἐγώ; τί δ' ἄν με καὶ κρίνοις; ἴσως
γέννημα τῶν ἐκεῖθεν οὐκ ἐν ὑστάτοις.
Δη μὴ τῶν τυράννων Εὐρύτου σπορά τις ἦν;
Λι οὐκ οἶδα. καὶ γὰρ οὐδ' ἀνιστόρουν μακράν.
Δη οὐδ' ὄνομα πρός του τῶν ξυνεμπόρων ἔχεις;
Λι ἥκιστα. σιγῇ τοὐμὸν ἔργον ἤνυτον.

ΕΚ σαυτῆς. ἀπὸ σαυτῆς μὴ ἀφ' ἡμῶν ἀναγκαζομένη. συμφορὰ γάρ ἐστι τὸ μὴ γινώσκεσθαί σε ἥτις τυγχάνεις. ἄλλως. λέ φησιν ὡς μέλλουσα αὐτῇ δεξιῶς χρήσασθαι, εἰ γνοίη τὰ κατ' αὐτήν. Οὔτ' ἄρα τῷ γε πρόσθεν. ἐὰν αἰδουμένη σε φθέγξηται. κατ' οὐδὲν ἄρα ἐξ ἴσου τῷ πρόσθεν χρόνῳ προκομίσειεν αὐτὴν τὴν γλῶτταν. ὃν γὰρ πρὸ τούτου χρόνον ἐσιώπα, καὶ οὐδὲν πρὸς ἐμὲ τὸ καθ' ἑαυτὴν ἐδημοσίευσεν, οὔτε μικρὸν οὔτε μέγα παντελῶς. ἄλλως. Οὔτ' ἄρα τῷ γε. ὡς οὐκ ἐλάλησε πρώην, οὐδὲ νῦν λαλήσει. ¶ Ἀλλ' αἰὲν ὠδίνουσα. καταπονουμένη. ¶ Διήνεμον. ἔρημον. ὑψηλήν. ἣν Ὅμηρος ἠνεμόεσσάν φησιν. Ἡ δέ τοι τύχη. αὐτὴ δὲ ἡ τύχη καθ' ἣν σώζεται, ἐπιβλαβὴς μὲν αὐτῇ ἐστι καθ' ὃ οὐ τυγχάνει τῆς πρὶν ἀξιότητος. ὅμως δὲ συγγνώμην ἔχει. Ἡ δ' οὖν ἐάσθω. μὴ ἀναγκαζέσθω λέγειν. ἀλλὰ πραττέτω ὥσπερ αὐτῇ φίλον, ἵνα μὴ δόξωμεν αὐτὴν λυπεῖν. ¶ Αὐτοῦ γε πρόσθεν βαιόν. ὁ προαγγείλας μὲν πρὸς κατέχει αὐτήν, ἵνα εἴπῃ περὶ ὧν ἤκουσε παρὰ τοῦ Λίχα ἐν τῷ πλατείῳ λέγοντος. Οὕστινας ἄγεις. ἄγεις. ἀντὶ τοῦ ἔπεμψας. ἢ ἔχεις δὲ καὶ ἄρσενας τῶν αἰχμαλώτων. ¶ Ὧν τ' οὐδὲν εἰσήκουσας. περὶ τούτων καὶ πάντων προσήκει σε μαθεῖν. τούτων γὰρ ἔχω τὴν γνῶσιν. ¶ Τοῦ κε τήνδ' ἐφίστασαι βάσιν. τίνος ἕνεκεν τὴν πορείαν καὶ τὴν εἴσοδον ἵστασαι καὶ κωλύεις.

Δη. Εἶπ' ὦ τάλαιν' ἀλλ' ἡμὶν ἐκ σαυτῆς. ἐπεὶ
καὶ ξυμφορά τοι μὴ εἰδέναι σέ γ' ἥτις εἶ.
Λι. Οὔτ' ἄρα τῷ γε πρόσθεν οὐδὲν ἐξ ἴσου
χρόνῳ διοίσει γλῶσσαν, ἥτις οὐδαμὰ
προὔφηνεν, οὔτε μείζον', οὔτ' ἐλάσσονα.
ἀλλ' αἰὲν ὠδίνουσα συμφορᾶς βάρος,
δακρυρροεῖ δύστηνος, ἐξ ὅτου πάτραν
διήνεμον λέλοιπεν. ἡ δέ τοι τύχη,
κακὴ μὲν αὐτῇ γ', ἀλλὰ συγγνώμην ἔχει.
Δη. Ἡ δ' οὖν ἐάσθω, καὶ πορευέσθω στέγας,
οὕτως ὅπως ἥδιστα. μὴ δὲ πρὸς κακοῖς
τοῖς οὖσι, λύπην πρός γ' ἐμοῦ λύπης λάβοι.
ἅλις γὰρ ἡ παροῦσα. πρὸς δὲ δώματα
χωρῶμεν ἤδη πάντες. ὡς σύ θ' οἷ θέλεις
σπεύδῃς. ἐγὼ δὲ τἄνδον ἐξαρκῆ τιθῶ.
Αγ. Αὐτοῦ γε πρῶτον βαιὸν ἐμμείνασ', ὅπως
μάθῃς ἄνευ τῶνδ', οὕστινάς γ' ἄγεις ἔσω.
ὧν τ' οὐδὲν εἰσήκουσας, ἐκμάθῃς γ' ἃ δεῖ.
τούτων ἔχω γὰρ πάντ' ἐπιστήμην ἐγώ.
Δη. Τί δ' ἔστι; τοῦ με τήνδ' ἐφίστασαι βάσιν;
Αγ. Σταθεῖσ' ἄκουσον. καὶ γὰρ οὐδὲ τὸν πάρος
μῦθον μάτην ἤκουσας, οὐδὲ νῦν δοκῶ.
Δη. Πότερον ἐκείνους δῆτα δεῦρ' αὖθις πάλιν
καλῶμεν, ἢ 'μοὶ ταῖσδέ τ' ἐξειπεῖν θέλεις;
Αγ. Σοὶ ταῖσδέ τ' οὐδὲν εἴργεται, τούτους δ' ἔα.
Δη. Καὶ δὴ βεβᾶσι, χὠ λόγος σημαινέτω.
Αγ. Ἁνὴρ ὅδ' οὐδὲν ὧν ἔλεξεν ἀρτίως,
φωνεῖ δίκης ἐς ὀρθόν. ἀλλ' ἢ νῦν κακός,
ἢ πρόσθεν οὐ δίκαιος ἄγγελος παρῆν.
Δη. Τί φῄς; σαφῶς μοι φράζε πᾶν ὅσον νοεῖς.

¶ Σοὶ ταῖσδέ τ' οὐδέν. ἀντὶ τοῦ οὔτε πρὸς σέ, οὔτε πρὸς ταύτας ἀπόρρητον. τούτους δέ, ἤγουν τοὺς αἰχμαλώτας καὶ τοὺς ἅμα δοῦντας ἄρσενας, ἢ τοὺς περὶ τὸν Λίχαν. ¶ Φωνεῖ δίκης ἐς ὀρθόν. ἀντὶ τοῦ ἐφώνει δικαίως καὶ μετὰ ἀληθείας. Ἀλλ' ἢ νῦν κακός. ἀντὶ τοῦ, ἢ τὰ πρότερον, ἢ τὰ νῦν ψεύδεται.

ἃ μὲν γὰρ ἐξείρηκας, ἀγνοία μ' ἔχει.
Αγ. τούτου λέγοντος τἀνδρὸς, εἰσήκουσ' ἐγὼ
πολλῶν παρόντων μαρτύρων, ὡς τῆς κόρης
ταύτης ἕκατι κεῖνος Εὔρυτόν θ' ἕλοι,
τήν θ' ὑψίπυργον Οἰχαλίαν. ἔρως δέ νιν
μόνος θεῶν θέλξειεν αἰχμάσαι τάδε.
οὐ τἀπὶ Λυδοῖς, οὐδ' ἐπ' ὀμφάλῃ πόνων
λατρεύματ', οὐδ' ὁ ῥιπτὸς Ἰφίτου μόρος.
ὃν νῦν παρώσας οὗτος, ἔμπαλιν λέγει.
ἀλλ' ἡνίκ' οὐκ ἔπειθε τὸν φυτοσπόρον
τὴν παῖδα δοῦναι, κρύφιον ὡς ἔχοι λέχος,
ἔγκλημα μικρὸν αἰτίαν θ' ἑτοιμάσας,
ἐπιστρατεύει πατρίδα τὴν ταύτης, ἐν ᾗ
τὸν Εὔρυτον τῶνδ' εἶπε δεσπόζειν θρόνων,
κτείνει τ' ἄνακτα πατέρα τῆσδε, καὶ πόλιν
ἔπερσε. καὶ νῦν ὡς ὁρᾷς ἥκει δόμοις
ὡς τούσδε πέμπων, οὐκ ἀφροντίστως γύναι,
οὐδ' ὥστε δούλην. μηδὲ προσδόκα τόδε.
οὐδ' εἰκὸς, εἴπερ ἐντεθέρμανται πόθῳ.
ἔδοξεν οὖν μοι πρὸς σὲ δηλῶσαι τὸ πᾶν
δέσποιν', ὃ τοῦδε τυγχάνω μαθὼν πάρα.
καὶ ταῦτα πολλοὶ πρὸς μέσῃ Τραχινίων
ἀγορᾷ, συνεξήκουον ὡσαύτως ἐμοὶ,
ὥστ' ἐξελέγχειν. εἰ δὲ μὴ λέγω φίλα,
οὐχ ἥδομαι. τὸ δ' ὀρθὸν ἐξείρηχ' ὅμως.
Δηι. οἴμοι τάλαινα, ποῦ ποτ' εἰμὶ πράγματος;
τίν' εἰσδέδεγμαι πημονὴν ὑπόστεγον,
λαθραῖον; ὢ δύστηνος. ἆρ' ἀνώνυμος
πέφυκεν, ὥσπερ οὑπάγων διώμνυτο;
Αγ. ἦ κάρτα λαμπρὰ, καὶ κατ' ὄμμα, καὶ φύσιν,

Αγνοία μ' ἔχει. ἤγουν ἀγνοῶ καὶ οὐ συνίημι. ❡ Ὡς τῆς κόρης. τῆς ἰόλης. Εὔρυτόν θ' ἕλοι. ἑλόντ' εἴη. εἰ γὰρ ὑφ' ἓν, θέλοι ἄν. ❡ Τήν θ' ὑψίπυργον οἰχαλίαν. Φερεκύδης φησὶν οὕτω. μετὰ δὲ τὸν ἀγῶνα ἡρακλῆς ἀφικνεῖται πρὸς εὔρυτον τὸν μέλανος τοῦ ἀρκεσιλάου εἰς τὴν οἰχαλίαν. ᾤκει δὲ αὕτη ἐν θούλῃ τῆς ἀρκαδίας, καὶ ᾔτει τὴν θυγατέρα ὕλλῳ γυναῖκα. τοῦ δὲ μὴ δόντος, ἡρακλῆς εἷλε τὴν οἰχαλίαν, καὶ τοὺς υἱοὺς ἔκτεινεν. ἴφιτος δὲ ἔφυγεν εἰς εὔβοιαν. Μενεκράτης δὲ οὕτω λέγει. ἡρακλέα εἰς ἐπιθυμίαν ἰόλης ἀφικέσθαι τῆς εὐρύτου. τὸν δὲ μὴ θέλειν διδόναι, ἤρα γὰρ ὅτι αὐτὸς καὶ μίγνυσθαι ἔμελλε τῇ θυγατρὶ, εἰ μὴ ἄρτι οἱ ἐξῆλθον εἰς τὴν εὔβοιαν. ¶ Θέλξειεν. πεπεικὼς εἴη. ¶ Αἰχμάσαι τάδε. καταπράξασθαι τῇ αἰχμῇ. ὅ ἐστι, διὰ πολέμου καταστρέψασθαι.

Ὃν νῦν παρώσας. τὸν ἔρωτα αὐτοῦ ἀπωσάμενος, καὶ παραπεμψάμενος, τἀναντία εἶπεν ὁ λίχας. ❡ Κρύφιον ὡς ἔχει λέχος. λαθραῖόν σοι μὴ εἰδυίας σου. ἀλλ' ἵνα ὡς παλλακίδα αὐτὴν λάβῃ. ❡ Ἐν ᾗ. τῇ οἰχαλίᾳ τῇ πατρίδι τῆς ἰόλης. ¶ Καὶ νῦν ὡς ὁρᾷς. ἀντὶ τοῦ ὡς ἀκούεις. ἥκει δὲ ἀντὶ τοῦ ἐλεύσεται. δηλοῖ δὲ τοῦτο τὴν ταχεῖαν αὐτοῦ ἄφιξιν ἐπαγγέλλεται. ❡ Οὐκ ἀφροντίστως δέ. ἀντὶ τοῦ οὐχ ὡς ἔτυχεν. ἀλλὰ δηλονότι πολλὴν φροντίδα ἔχων αὐτῆς καὶ ἀγαπῶν. ¶ Μὴ δὲ προσδόκα τόδε. τὸ ἐν δούλης μέρει ἔχειν αὐτήν. ❡ Ἐντεθέρμανται. ἐκκέκαυται. ¶ Ἀγορᾷ. ἀθροίσματι. ¶ Συνεξήκουον ὡσαύτως ἐμοί. ὥστε με καὶ μαρτύρων εὐπορεῖν, εἰ ἀρνήσαιτο. ¶ Οὐχ ἥδομαι. λυποῦμαι μὲν οὐκ εἰπών σοι τὰ κεχαρισμένα. ἀλλ' ὅμως ἀληθείας ἐγγύς. ❡ Ἆρ' ἀνώνυμος πέφυκεν. ἆρα ἄσημος οὕτω καὶ δυσγενὴς, ὡς μηδὲ τὸ ὄνομα αὐτῆς γινώσκεσθαι. ¶ Ἦ καὶ τὰ λαμπρά. ταῦτα τοῦ ἀγγέλου πρόσωπόν φησι, τὸ δέ. ❡ Κατ'

ὄμμα

πατρὸς μὲν οὖσα γένεσιν Εὐρύτου ποτὲ
Ἰόλη καλεῖτο. τῆς ἐκεῖνος οὐδαμὰ
βλάστας ἐφώνει δῆθεν οὐδὲν ἱστορῶν.
Χο. ὄλοιντο μή τι πάντες οἱ κακοί. τὰ δὲ
λαθραῖ' ὃς ἀσκεῖ μὴ πρέποντ' αὐτῷ κακά.
Δη. τί χρὴ ποιεῖν γυναῖκες; ὡς ἐγὼ λόγοις
τοῖς νῦν παροῦσιν, ἐκπεπληγμένη κυρῶ.
Χο. πεύθου μολοῦσα τἀνδρός. ὡς τάχ' ἂν σαφῆ
λέξειεν, εἴ νιν πρὸς βίαν κρίνειν θέλοις.
Δη. ἀλλ' εἶμι. καὶ γὰρ οὐκ ἀπὸ γνώμης λέγεις.
Χο. ἡμεῖς δὲ προσμένωμεν, ἢ τί χρὴ ποιεῖν;
Δη. μίμν', ὡς ὅδ' ἀνὴρ, οὐκ ἐμῶν ὑπ' ἀγγέλων,
ἀλλ' αὐτόκλητος ἐκ δόμων πορεύεται.
Λι. τί χρὴ γύναι μολοῦντά μ' Ἡρακλεῖ λέγειν;
δίδαξον, ὡς ἕρποντος εἰσορᾷς ἐμοῦ.
Δη. ὡς ἐκ ταχείας σὺν χρόνῳ βραδεῖ μολὼν
ᾄσσεις, πρὶν ἡμᾶς καὶ νεώσασθαι λόγους.
Λι. ἀλλ' εἴ τι χρῄζεις ἱστορεῖν, πάρειμ' ἐγώ.
Δη. ἦ καὶ τὸ πιστὸν τῆς ἀληθείας νέμεις;
Λι. ἴστω μέγας Ζεύς, ὧν γ' ἂν ἐξειδὼς κυρῶ.
Δη. τίς ἡ γυνὴ δῆτ' ἐστὶν, ἣν ἥκεις ἄγων;
Λι. Εὐβοιίς. ὧν δ' ἔβλαστεν, οὐκ ἔχω λέγειν.
Δη. οὗτος, βλέφ' ὧδε. πρὸς τίν' ἐννέπειν δοκεῖς;
Λι. σὺ δ' εἰς τί δή με τοῦτ' ἐρωτήσασ' ἔχεις;
Δη. τόλμησον εἰπεῖν εἰ φρονεῖς ὅσ' ἱστορῶ.
Λι. πρὸς τὴν κρατοῦσαν Δηιάνειραν Οἰνέως
κόρην, δάμαρτά θ' Ἡρακλέους, εἰ μὴ κυρῶ
λεύσσων μάταια, δεσπότιν τε τὴν ἐμήν.
Δη. τοῦτ' αὐτ' ἔχρῃζον τοῦτό σου μαθεῖν. λέγεις
δέσποιναν εἶναι τήνδε σήν; Λι. δίκαια γάρ.
Δη. τί δῆτα, ποίαν ἀξιοῖς δοῦναι δίκην,
ἢν εὑρεθῇς ἐς τήνδε μὴ δίκαιος ὤν;
πῶς μὴ δίκαιος; τί ποτε ποικίλας ἔχεις;

ὄμμα καὶ φύσιν. ἀντὶ τοῦ εὐπρεπὴς τὴν ὄψιν. καὶ τὸ πᾶν σῶμα. ℭ Ἠ. ἀντὶ τοῦ ἄρα τῆς θέας καὶ τὸ ἔπανος ἐφάμιλλον. ¶ Δῆθεν. προσποιούμενος μηδένα ἠρωτηκέναι μηδὲ ἐγνωκέναι. ¶ Βλάστας. τοὺς γονεῖς ἀφ' ὧν ἐβλάστησεν. ℭ Ὄλοιντο μή τι πάντες. ὄλοιντο μὴ πάντες οἱ ἄνθρωποι, ἀλλ' οἱ κακοί, καὶ ὅσοι μηχανῶνται λάθρα, καὶ κακούργοις λόγοις ἑαυτοῖς συντιθέασιν. ¶ Οὐκ ἀπὸ γνώμης. ἀλλ' ἀρεστά. οὐκ ἄνευ συνέσεως. ἤγουν κἀμοὶ ἀρέσκει. ¶ Ἡμεῖς. κατ' ἐρώτησιν. ℭ Αὐτόκλητος. αὐτόματος. ¶ Ὡς ἕρποντος. ὡς τὸ, κατεάγη τῆς κεφαλῆς. Ὡς ἕρποντος εἰσορᾷς ἐμοῦ. ὁρᾷς γάρ με ἕρποντα καὶ σπεύδοντα πρὸς τὸν Ἡρακλέα. ¶ Ἄσσεις ἀντὶ τοῦ ἀΐσσεις. ℭ Καὶ νεώσασθαι. ἀνακοινώσασθαι καὶ αὖθις ὁμιλῆσαι ἀκριβῶς ἐκ νέου. ἢ οὕτως. πρὶν ἡμῖν καινοτέροις ἀνακοινώσασθαι λόγοις. ℭ Ἴστω μέγας Ζεύς. ὅτι ὅσων ὧν οἶδα ἀκριβῶς σοι διηγήσομαι. ¶ Ὧν δ' ἔβλαστεν. ἀντὶ τοῦ ὑπό τινος ἐτέχθη. Οὗτος, βλέφ' ὧδε. ὡς εἰκὸς κάτω νένευκεν ὁ Λίχας. καταχοῦσα ἐπ' αὐτὸν τῆς χειρός, φησὶν ἀπόβλεψον εἰς ἐμέ. ὁ δὲ ἀνανεύσας ἔφη. πρὸς τίνα με νομίζεις λέγειν. Ἄλλως. πρὸς τίνα ἐννέπειν δοκεῖς. ὅτι πρὸς βασιλίδα. τὸ δὲ χ, ὅτι τὸ ὧδε τοπικόν ἐστι. ℭ Τόλμησον εἰπεῖν, καλῶς τὸ τόλμησον, ὡς ἀπειλοῦντος εἰπεῖν διὰ τὴν δεσπότιν. ℭ Δεσπότιν τε τὴν ἐμήν. τοῦτο πρὸς τὸ, τίν' ἐννέπειν δοκεῖς. ¶ Δίκαια γάρ. ἀντὶ τοῦ ἀληθῆ. ¶ Ἐς τήνδε μὴ δίκαιος ὤν. δεικτικῶς εἰς τήνδε μὴ ἀληθεύων. ℭ Τί ποτε ποικίλας ἔχεις. τί ποτε πανούργηκας κατ' ἐμοῦ, τί ἐμηχανήσω, ἢ ἐδολιεύσω.

Κλύων σέθεν. εἰκῇ ὁμιλούσης δηλονότι. ⸿ Ἱστορούμενος. ἐρωτώμενος. ¶ Καὶ γὰρ οὐ σιγηλὸς εἶ. ἀντὶ τοῦ σιγηλή. οὐ σιωπᾷς φησι πρὶν ἂν πολλὰ φλυαρήσῃς εἰς ἡμᾶς. ἢ πρὶν ἂν μάθῃς ὅ,τι βούλει. ¶ Οὔκουν σὺ ταύτην. οὐ σύ φησι ταύτην, ἣν προσποιῇ ἀγνοεῖν ἔλεγες εἶναι Ἰόλην.

Ταὐτὸ γ' οὐχὶ γίνεται. οὐ ταὐτόν ἐστι δόκησις καὶ ἀληθὴς λόγος. θέλει δὲ εἰπεῖν, ὅτι κἀγὼ ἤκουσα. ¶ Ἀποστήτω. ἀπολιαστὴ ἢ ἄπο. ἢ γράφεται παραστήτω. ἤγουν ὁ ἄνθρωπος στήτω παρελθὼν εἰς μέσον ὁ διελέγχων με. ¶ Νοσοῦντι. ἀντὶ τῇ νοσούσῃ ὑπὸ ζηλοτυπίας. ἀρσενικῶς δὲ εἶπεν. ἢ καθόλου ὁ λόγος ὡς μὴ δόξῃ αὐτὴν διελέγχειν οὕτω. τὸ γὰρ μαινομένῳ συμφλυαρεῖν, ἀνδρός ἐστιν οὐ σώφρονος. παραστήτω γοῦν φησιν ὁ ἄνθρωπος. οὐ γὰρ φιλονεικήσω πρὸς αὐτόν. ¶ Ληρεῖν. ἀντὶ τοῦ φλυαρεῖν καὶ ἀδολεσχεῖν.

Ἔρωτι μὲν νῦν. εὐήθης γάρ, ὅς τις προσδοκᾷ ἀντιπυκτεῦσαι τῷ ἔρωτι. ¶ Οὗτος γὰρ ἄρχει. ἀπὸ κοινοῦ τὸ, ἄρχει. ⸿ Μεμπτός εἰμι. μεμπτική εἰμι. τουτέστιν εἰ μέμφομαι. ἢ ἀντὶ τοῦ ἐπίμεμπτος, ὡς πληκτική. ¶ Ἀλλ' εἰ μὲν ἐκείνου μαθών. εἰ μὲν παρ' Ἡρακλέους ἐκελεύσθης ψεύσασθαι, κακὴν μάθησιν ἐκμανθάνεις. εἰ δὲ σὺ σαυτὸν εἰς τὴν ψευδολογίας ἄγεις, ἴσθι ὅτι κἂν θελήσῃς ποτὲ εἰπεῖν ἀληθές, οὐ δυνήσῃ ὑπὸ τῆς

Δη. Οὐδ' ἐμοῦ. σὺ μέντοι κάρτα τῶν δρώντων κυρεῖς.
Λί. ἄπειμι. μῶρος δ' ἦν πάλαι κλύων σέθεν.
Δη. οὔ, πρίν γ' ἂν εἴπῃς ἱστορούμενος βραχύ.
Λί. λέγ' εἴ τι χρῄζεις. καὶ γὰρ οὐ σιγηλὸς εἶ.
Δη. Τὴν αἰχμάλωτον, ἣν ἔπεμψας ἐς δόμους
κάτοισθα δήπου; Λί. φημί. πρὸς τί δ' ἱστορεῖς;
Δη. Οὔκουν σὺ ταύτην, ἣν ὑπ' ἀγνοίας ὁρᾷς,
Ἰόλην ἔφασκες Εὐρύτου σποράν ἄγειν;
Λί. ποίοις ἐν ἀνθρώποισι; τίς πόθεν μολών,
σοὶ μαρτυρήσει ταῦτ' ἐμοῦ κλύειν παρών;
Δη. πολλοῖσιν ἀστῶν ἐν μέσῃ Τραχινίων
ἀγορᾷ, πολύς σου ταῦτά γ' εἰσήκουσ' ὄχλος.
Λί. Ναί.
κλύειν γ' ἔφασκον. ταὐτὸ δ' οὐχὶ γίνεται
δόκησιν εἰπεῖν, κἀξακριβῶσαι λόγον.
Δη. ποίαν δόκησιν; οὐκ ἐπώμοτος λέγων
δάμαρτ' ἔφασκες Ἡρακλεῖ ταύτην ἄγειν;
Λί. ἐγὼ δάμαρτα; πρὸς θεῶν φράσον φίλη
δέσποινα τόνδε, τίς ποτ' ἐστὶν ὁ ξένος;
Δη. ὃς σοῦ παρὼν ἤκουσεν ὡς ταύτης πόθῳ
πόλις δαμείη πᾶσα, κοὐχ ἡ Λυδία
πέρσειεν αὐτήν, ἀλλ' ὁ τῆσδ' ἔρως φανείς.
Λί. Ἄνθρωπος ὦ δέσποιν' ἀποστήτω. τὸ γὰρ
,, Νοσοῦντι ληρεῖν, ἀνδρὸς οὐχὶ σώφρονος.
Δη. Μὴ πρὸς σὺ τοῦ κατ' ἄκρον Οἰταῖον νάπος
Διὸς καταστράπτοντος ἐκκλέψῃς λόγον.
οὐ γὰρ γυναικὶ τοὺς λόγους ἐρεῖς κακῇ.
οὐδ' ἥτις οὐ κάτοιδε τἀνθρώπων, ὅτι
χαίρειν πέφυκεν οὐχὶ τοῖς αὐτοῖς ἀεί.
,, Ἔρωτι μὲν νῦν ὅστις ἀντανίσταται
,, πύκτης ὅπως ἐς χεῖρας, οὐ καλῶς φρονεῖ.
,, οὗτος γὰρ ἄρχει καὶ θεῶν ὅπως θέλει,
,, κἀμοῦ γε. πῶς δ' οὐχ ἁτέρας, οἵας γ' ἐμοῦ;
ὥς εἴ τι τὠμῷ τἀνδρὶ τῇδε τῇ νόσῳ
ληφθέντι μεμπτός εἰμι, κάρτα μαίνομαι
ἢ τῇδε τῇ γυναικὶ τῇ μεταιτίᾳ
τοῦ μηδὲν αἰσχροῦ, μηδ' ἐμοὶ κακοῦ τινος.
οὐκ ἔστι ταῦτ'. ἀλλ' εἰ μὲν ἐκ κείνου μαθὼν

ψεύδῃ, μάθησιν οὐ καλὴν ἐκμανθάνεις·
εἰ δ' αὐτὸς αὑτὸν ὧδε παιδεύεις, ὅταν
θέλῃς γενέσθαι χρηστὸς, ὀφθήσῃ κακός.
,, Ἀλλ' εἰπὲ πᾶν τἀληθές. ὡς ἐλευθέρῳ
,, ψευδεῖ καλεῖσθαι, κὴρ πρόσεστιν οὐ καλή.
ὅπως δὲ λήσεις, οὐδὲ τοῦτο γίνεται.
πολλοὶ γὰρ οἷς εἴρηκας, οἳ φράσουσ' ἐμοί.
κεἰ μὲν δέδοικας, οὐ καλῶς ταρβεῖς. ἐπεὶ
τὸ μὴ πυθέσθαι, τοῦτό μ' ἀλγύνειεν ἄν.
τὸ δ' εἰδέναι, τί δεινόν; οὐχὶ χἀτέρας
πλείστας ἀνὴρ εἷς Ἡρακλῆς ἔγημε δή;
κοὔπω τις αὐτῶν ἔκ γ' ἐμοῦ λόγον κακὸν
ἠνέγκατ', οὐδ' ὄνειδος. ἥδε τ', οὐδ' ἂν εἰ
κάρτ' ἐντακείη τῷ φιλεῖν. ἐπεί σφ' ἐγὼ
ᾤκτειρα δὴ μάλιστα, προσβλέψασ' ὅτι
τὸ κάλλος αὐτῆς τὸν βίον διώλεσεν,
καὶ γῆν πατρῴαν οὐχ ἑκοῦσα δύσμορος
ἔπερσε, κἀδούλωσεν. ἀλλὰ ταῦτα μὲν
ῥείτω κατ' οὖρον. σοὶ δ' ἐγὼ φράζω κακὸν
πρὸς ἄλλον εἶναι, πρὸς δ' ἔμ' ἀψευδεῖν ἀεί.

Χο Πείθου λεγούσῃ χρηστά. κοὐ μέμψῃ χρόνῳ
γυναικὶ τῇδε, κἀπ' ἐμοῦ κτήσῃ χάριν.

Λι Ἀλλ', ὦ φίλη δέσποιν', ἐπεί σε μανθάνω
θνητὴν, φρονοῦσαν θνητὰ κοὐκ ἀγνώμονα,
πᾶν σοι φράσω τἀληθὲς, οὐδὲ κρύψομαι.
ἔστιν γὰρ οὕτως, ὥσπερ οὗτος ἐννέπει.
ταύτης ὁ δεινὸς ἵμερός ποθ' Ἡρακλῆ
διῆλθε, καὶ τῆσδ' οὕνεχ' ἡ πολύφθορος
καθῃρέθη πατρῷος Οἰχαλία δορί.
καὶ ταῦτα, δεῖ γὰρ καὶ τὸ πρὸς κείνου λέγειν,
οὔτ' εἶπε κρύπτειν, οὔτ' ἀπηρνήθη ποτέ.
Ἀλλ' αὐτὸς, ὦ δέσποινα, δειμαίνων τὸ σὸν
μὴ στέρνον ἀλγύνοιμι τοῖσδε τοῖς λόγοις,
ἥμαρτον, εἴ τι τήνδ' ἁμαρτίαν νέμεις.
ἐπεί γε μὲν δὴ πάντ' ἐπίστασαι λόγον,
κείνου τε καὶ σὴν ἐξ ἴσου κοινὴν χάριν,
καὶ στέργε τὴν γυναῖκα, καὶ βούλου λόγους
οὓς εἶπας ἐς τήνδ', ἐμπέδως εἰρηκέναι.

συνηθείας νικώμενος. ἢ κἂν θέλῃς ἀληθεῦσαι, οὐ πιστευθήσῃ.

¶ Κὴρ πρόσεστι. μετέστι. κλῆρος. μοῖρα. τύχη. ¶ Ὅπως δὲ λήσῃς. ἀντὶ τοῦ μὴ λήσῃς. ἀττικὴ δὲ ἡ φράσις. λυπήσομαι εἰ μὴ εἴπῃς, καὶ παρ' ἐμοῦ προσδόκα βλαβήσεσθαι. ¶ Πλείστας. δηλονότι ἀνάνδρους παρθένους. ὡς μήδειαν τὴν φιλάνορος. αὔγην τὴν ἀλέου. μέγαραν τὴν κρέοντος, τὰς θεστίου θυγατέρας, ἀστυδάμειαν τὴν ἀμύντορος. ¶ Οὐδ' ὄνειδος, ἥδε τ' οὐδ' ἂν, εἰ κάρτ' ἐντακείη. οὐδὲ ἡ ἰόλη ὀνειδισθήσεται. οὐδ' εἰ μεγάλως αὐτῆς ἐρᾷ ὁ ἡρακλῆς.

ℭ Τῷ φιλεῖν. τῷ φιλεῖν αὐτὴν τὸν ἡρακλέα. ¶ Ἀλλὰ ταῦτα μὲν ῥείτω κατ' οὖρον. ὁ περὶ τούτων λόγος. ἐρρίφθω φησὶν εἰς τὸν ἀέρα. ¶ Πείθου λεγούσῃ χρηστά. πείθητι φησιν. ὁρᾷς γὰρ ὅτι φιλανθρώπως ὁμιλεῖ. ℭ Ὥσπερ οὗτος ἐννέπει. ὁ ἐν τῷ λειμῶνι ἀκηκοὼς, καὶ ἀπαγγείλας τῇ δηϊανείρᾳ. ℭ Οὔτ' εἶπε κρύπτειν. τὸ ἑξῆς, καὶ ταῦτα οὔτ' εἶπε κρύπτειν. τὰ περὶ τοῦ ἔρωτός φησι τοῦ ἰόλης οὔτε κρύπτειν μοι ὁ Ἡρακλῆς εἶπεν, οὔτε μὴν ὁμολογεῖν.

¶ Εἴ τι τήνδ' ἁμαρτίαν νέμεις. καλῶς δὲ διὰ λέξεως συγγνώμην ἑαυτῷ προξενεῖται.

¶ Ἐπεί γε μὲν δὴ πάντ' ἐπίστασαι. ἐπεὶ τοίνυν πᾶν τὸ λοιπὸν ἐπίστασαι, λέγω ὅτι καὶ ἕτερον, ὅπερ ὁμοίως κεχαρισμένον σοί τε καὶ τῷ ἡρακλεῖ γενήσεται.

Α ἀλλ' ὧδε καὶ φρονοῦμεν. ἤγουν, ὥσπερ προείρηκα ταῦτα, καὶ ποιήσω. ¶ κοὔτι νόσον ἐπακτόν. τὴν θεομαχίαν. ἐπακτὸν δὲ ἐνταῦθα, ἀντὶ τοῦ αὐθαίρετον τὴν θεομαχίαν. τὸ γὰρ πρὸς ἔρωτα φιλονεικεῖν, θεομαχεῖν ἐστὶν ἄντικρυς. ¶ ἅ τ' ἀντὶ δώρων. ὅπως ἂν αὐτῷ παρ' ἡμῶν κομίσῃς ἀντίτινα καὶ σύμφωνα οἷς ἔπεμψε. λέγει δὲ ἀντὶ τῶν αἰχμαλώτων. ¶ σὺν πολλῷ στόλῳ. ἤγουν, σὺν ταῖς ἀπεσταλμέναις αἰχμαλωτίσι. ¶ μέγα τι σθένος. γράφεται καὶ μέγα τι σθένουσα Κύπρις, νικηφορεῖ ἐν παντὶ πράγματι. ἢ οὕτως. ἀποφέρεται τὰς νίκας κατὰ πάντων, καὶ πάσης κρατεῖ φύσεως. σθένος δὲ νίκης, περιφραστικῶς τὴν νίκην. εἰκότως δὲ ὁ χορὸς τοιαύτην ἀρχὴν πεποίηται. πέπαυται γὰρ ὁ λόγος περὶ τοῦ ἔρωτος.

Π παρέβαν, καὶ ὅπως. ἀντὶ τοῦ παραβήσομαι, καὶ ὅσα μὲν εἰς θεούς φησιν ἐνεδείξατο, ὑπερβήσομαι. ¶ τὸν ἔννυχον ἅιδαν. τὸν ἐν σκότῳ διατρίβοντα. ¶ ἀλλ' ἐπὶ τάνδ' ἄρ' ἄκοιτιν. τὴν δηϊάνειραν. ὁ δὲ νοῦς οὗτος. τὰ μὲν εἰς θεοὺς γεγονότα παρίημι. ἐκεῖνα δὲ λέγω. τινὲς ἠγωνίσαντο περὶ τοῦ γάμου δηϊανείρας, καὶ κατέβησαν εἰς τὸν ἀγῶνα. ¶ ἀμφίγυοι κατέβαν. ἀντίπαλοι, ἢ ἰσχυροί, ἐν τοῖς γυίοις μαχησάμενοι. χερσὶ καὶ ποσίν. ἢ ἀμφότεροι τεθωρακισμένοι. ἢ ἄμφω παρωξυμμένοι. ¶ πάμπληκτα. ἀγωνίσματα πληγῶν μεστά. ¶ ἐξῆλθον ἄεθλ' ἀγώνων. ἀντὶ τοῦ διήνυσαν. ἐπεξῆλθον. ἠγωνίσαντο. λέγει δὲ ὅτι πᾶν εἶδος ἀγωνίσματος κατ' ἀλλήλων ἐνεδείξαντο. ἠγωνίσαντο. ¶ τετραόρου. τετρασκελοῦς. ¶ φάσμα. φάντασμα. σχῆμα. ¶ ἀπ' οἰνιαδᾶν. ἀπὸ αἰτωλίας. ἢ οὕτως. οἰνίαι πόλις ἀκαρνανίας, δι' ἧς ῥεῖ ὁ ἀχελῷος. πληθυντικῶς δὲ λέγεται. ¶ βακχείας ἄπο. τῆς τὸν βάκχον ἐχούσης. καλεῖται δὲ ἡ βακχεία, πρὸς ἀντιδιαστολήν. ¶ τόξα καὶ λόγχας. ἀφ' ἱστορίας φησὶ λόγχην ἔχειν τὸν ἡρακλέα.

ὡς τἄλλ' ἐκεῖνος πάντ' ἀριστεύων χεροῖν
τοῦ τῆσδ' ἔρωτος εἰς ἅπανθ' ἥσσων ἔφυ.

Δηϊ. ἀλλ' ὧδε καὶ φρονοῦμεν, ὥστε ταῦτα δρᾶν,
κοὔτι νόσον γ' ἐπακτὸν ἐξαρούμεθα
θεοῖσι δυσμαχοῦντες, ἀλλ' εἴσω στέγης
χωρῶμεν, ὡς λόγων τ' ἐπιστολὰς φέρῃς,
ἅ τ' ἀντὶ δώρων δῶρα χρὴ προσαρμόσαι,
καὶ ταῦτ' ἄγῃς. κενὸν γὰρ οὐ δίκαιά σε
χωρεῖν προσελθόνθ' ὧδε σὺν πολλῷ στόλῳ.

Χο. μέγα τι σθένος ἁ
Κύπρις ἐκφέρεται νίκας ἀεί.
καὶ τὰ μὲν θεῶν,
παρέβαν. καὶ ὅπως
Κρονίδαν ἀπάτασεν, οὐ λέγω.
οὐδὲ τὸν ἔννυχον ἅιδαν,
ἢ Ποσειδάωνα τινάκτορα γαίας.
ἀλλ' ἐπὶ τάνδ' ἄρ' ἄκοιτιν,
ἀμφίγυοι κατέβαν πρὸ γάμων τινές.
πάμπληκτα παγκόνιτά τ' ἐ-
ξῆλθον ἄεθλ' ἀγώνων.
ὁ μὲν, ἦν ποταμοῦ
σθένος, ὑψίκερω τετραόρου
φάσμα ταύρου
Ἀχελῷος ἀπ' Οἰ-
νιαδᾶν. ὁ δὲ, βακχείας ἄπο
ἦλθε παλίντονα Θήβας
τόξα, καὶ λόγχας, ῥόπαλόν τε τινάσσων

ἀολλέες

Α ἀέθλοις ἰσάμ. καταχρηστικῶς εἶπεν ἀντὶ δύο τῶν ἀέθλων. ἀντὶ τοῦ λίαν ἀλγεινῶν. ὁμήρου, οἴμησε δ' ἀέθλους. ¶ Ἱέμενοι. ἐπιθυμοῦντες. ¶ Μόνα δ' εὔλεκτρος. μόνη δὲ ἡ εὔλεκτρος κύπρις παροῦσα, ἐβράβευε, καὶ διέταττε. ¶ Τότ' ἦν χερός. τότε γὰρ ὁ ἡρακλῆς, καὶ χερσὶ καὶ τόξοις ἐμάχετο. ὁ δὲ ἀχελῷος, τοῖς κέρασιν. ¶ Ἀνάμιγδα. ἀναμεμιγμένως. ¶ Ἦν δὲ ἀμφίπλεκτοι κλίμακες. ἦν, ἀντὶ τοῦ ὑπῆρχον. ἡσίοδος. Τῆς δ' ἦν τρεῖς κεφαλαί. κλίμακες δὲ, αἱ ἐπαναβάσεις, παρὰ τὸ ἄνω τε καὶ κάτω αὐτὰς στρέφεσθαι ἐν τῇ μάχῃ. ἔστι δὲ εἶδος παλαίσματος ἡ κλίμαξ. τοῦτο δὲ τὸ σχῆμα ἐπὶ ἡρακλέους ἀκουστέον. ¶ Ἦν δὲ μετώπων. τοῦτο ἐπὶ ἀχελώου. οἱ γὰρ ταῦροι, τοῖς κέρασι καὶ μετώποις μάχονται. ¶ Ἁ δ' εὐῶπις. ἡ δηϊάνειρα. ¶ Ἐγὼ δὲ μάτηρ μέν. ἐγώ φησιν ἐνδιαθέτως ὡσεὶ μήτηρ λέγω. ἐγὼ παρεῖσα τὰ πολλὰ, τὰ τέλη λέγω τῶν πραγμάτων. ¶ Ἀμφινείκητον ὄμμα νύμφας. ἀντὶ τοῦ ἡ περιμάχητος νύμφη περιφραστικῶς. ἀπὸ γὰρ τοῦ καλλιστεύοντος αὐτὴν εἶπε μέρους. Ἄλλως. ¶ Ὄμμα νύμφας. ἔτι δὲ καὶ νύμφη ἐλεεινὴ οὖσα, ὑπέμεινεν ἡ περικαλλὴς δηϊάνειρα. ¶ Ἀμμένει. ἀντὶ τοῦ ἀνέμενε. ¶ Κἀπὸ ματρὸς ἄφαρ. παραχρῆμα γαμηθεῖσα τῶν τῆς μητρὸς ἀφωρίσθη πραγμάτων. ¶ Ἦμος φίλαι. ἡ δηϊάνειρα πρὸς τὸν χορὸν ἐξελθοῦσα διαλέγεται. καὶ φησίν, ἐν ὅσῳ ὁ λίχας κατὰ τὸν οἶκον διαπράττεται ταῖς αἰχμαλώτισ, ἐξῆλθον ἵνα ἅπερ ἐμηχανησάμην δηλώσω ὑμῖν. ¶ Ὡς ἐπ' ἐξόδῳ. ὡς μέλλων αὖθις ἐξιέναι πρὸς τὸν ἡρακλέα. ¶ Συγκατοικτιουμένη. σὺν ὑμῖν θρηνοῦσα. ¶ Ἀλλ' ἐξευγμένην. καὶ γεγαμημένην τῷ ἡρακλεῖ, προσδεξαμένη φορτίον, λωβητὸν τῆς ἐμῆς φρενός. ἤγουν βλαβερὸν φορτίον καὶ ἐφύβριστον.

παῖς Διός. οἳ τότ' ἀολλεῖς ἴσαν,
ἐς μέσον ἱέμενοι λεχέων. μόνα
δ' εὔλεκτρος ἐν μέσῳ Κύπρις
ῥαβδονόμει ξυνοῦσα.
τότ' ἦν χερός, ἦν δὲ
τόξων πάταγος, ταυ-
ρείων τ' ἀνάμιγδα κεράτων.
ἦν δὲ ἀμφίπλεκτοι
κλίμακες. ἦν δὲ μετώπων ὀλόεντα
πλήγματα, καὶ στόνος ἀμφοῖν.
ἁ δ' εὐῶπις ἁβρά,
τηλαυγεῖ παρ' ὄχθῳ
ἧστο, τὸν ὃν προσμένουσ' ἀκοίταν.
ἐγὼ δὲ μάτηρ μὲν οἷα φράζω
τὸ δ' ἀμφινείκητον ὄμμα νύμφας
ἐλεεινὸν ἀμμένει.
κἀπὸ ματρὸς ἄφαρ
βέβακεν, ὥστε πόρτις ἐρήμα.
Δη. ἦμος φίλαι κατ' οἶκον ὁ ξένος θροεῖ
ταῖς αἰχμαλώτισ παισὶν ὡς ἐπ' ἐξόδῳ,
τῆμος θυραῖος ἦλθον ὡς ὑμᾶς λάθρα,
τὰ μὲν, φράσουσα, χερσὶν ἃ 'τεχνησάμην.
τὰ δ' οἷα πάσχω συγκατοικτιουμένη.
κόρην γάρ, οἶμαι δ' οὐκέτ', ἀλλ' ἐξευγμένην,
παρεσδέδεγμαι φόρτον ὥστε ναυτίλος
λωβητὸν, ἐμπόλημα τῆς ἐμῆς φρενός.

Μιᾶς ὑπὸ χλαίνης. ὑπὸ μιᾶς κοίτης. ¶ Οἰκούρι' ἀντέπεμψε. τοιαῦτα τῆς οἰκουρίας δῶρα ἔπεμψέ μοι ὑπὲρ τοῦ χρόνου παντός, οὗ συνῴκησα αὐτῷ. ὅ ἐστιν εὐχαριστήρια τῆς πολυχρονίας ἡμῶν οἰκουρίας. ¶ Τὴν μὲν ἕρπουσαν πρόσω. τὴν Ἰόλην προκόπτουσαν, καὶ αὐξανομένην τὴν ἥβην.

Τὴν δὲ φθίνουσαν. ἑαυτὴν λέγει, δι' ἐκποδὼν. φθίνουσαν δὲ ἀντὶ τοῦ βεβηκυῖαν.

Ὀφθαλμὸς ἄνθος. τὸ ἄνθος τῶν νέων γυναικῶν φιλεῖ ἁρπάζειν ὁ ὀφθαλμὸς τοῦ ἀνδρός. ¶ Τῶν δ' ὑπεκτρέπει. τῶν δὲ, ὑπαναχωρεῖ δηλονότι τῶν πρεσβυτέρων. ὧν δύο ἡλικιῶν τὴν νεάζουσαν ἁρπάζειν εἴωθεν ὁ τοῦ ἀνδρὸς ὀφθαλμός. ¶ Μὴ πόσις μὲν Ἡρακλῆς. διαφορὰν ταύτην ἔχει ὁ πόσις πρὸς τὸν ἄνδρα. πόσις μὲν γὰρ λέγεται καὶ ὁ πρὸ πολλοῦ ἀποστὰς τῆς γυναικός. ἀνὴρ δὲ ὁ συνών, καὶ ὁ πρὸ ὀλίγου χωρισθείς. ὡς τὸ, Ἄνερ ἀπ' αἰῶνος νέος ὤλεο. δέδοικα οὖν φησι μὴ ἐμὲ καταλιπών, πόσις ἐμὸς κληθῇ, ὡς συνοικήσας μοι ποτέ. ταύτης δὲ ἀνὴρ ὡς αὐτῇ συνοικῶν.

Ἄλλως. Πόσις μέν. πόσις, πρόσις τις ὢν παρὰ τὸ προσιέναι. ¶ Ἀλλ' οὐ γὰρ ὥσπερ εἶπον. οὐ χρὴ τὴν συνετὴν γυναῖκα θυμοῦσθαι τῷ ἀνδρί. ᾧ δὲ τρόπῳ τῆς λύπης ἴαμα σχοίην, ὑμῖν ἐρῶ. ¶ Λυτήριον λύπημα. ἀντὶ τοῦ τῆς λύπης ἴαμα. ¶ Λέβητι χαλκέῳ. δύο ὀνόματα, ὡς κρατερὸν αἰχμητήν. ὡς εἴπερ τε ἀποτεθειμένην λέβητι, τοῦτο κατὰ καιρὸν χρήσασθαι αὐτῷ. ¶ Ὁ παῖς ἔτ' οὖσα. νεωτέρα. ἔτι παρθένος. ¶ Ἐκ φόνων ἀνειλόμην. ἀντὶ τοῦ ἐκ τοῦ αἵματος τῶν σφαγῶν. „ Ὅμηρος, Ἄκρον ἐρευγόμενοι φόνον αἵματος. ἢ τοῦ τόπου, ὅθεν ἐφονεύθη ὁ Νέσ„σος. Ὅμηρος, Ἐν ἀργαλέῃσι φονῇσιν. ¶ Μισθοῦ πόρευε. διεπέρα. διεπόρθμευεν. ¶ Ἡνίκα στόλον ξὺν Ἡρακλεῖ. στόλον φησὶ τὸ πλῆθος τῶν ἐν τῇ οἰκίᾳ δούλων τε καὶ ἀδελφῶν. ἡνίκα οὖν καταλιποῦσα τὸν οἶκον τοῦ πατρὸς, ἔρημος ἐπηκολούθησα τῷ Ἡρακλεῖ.

καὶ νῦν δύ' οὖσαι, μίμνομεν μιᾶς ὑπὸ
χλαίνης ὑπαγκάλισμα. τοιάδ' Ἡρακλῆς
ὁ πιστὸς ἡμῖν κἀγαθὸς καλούμενος,
οἰκούρι' ἀντέπεμψε τοῦ μακροῦ χρόνου.
ἐγὼ δὲ θυμοῦσθαι μὲν οὐκ ἐπίσταμαι
νοσοῦντι κείνῳ πολλὰ τῇδε τῇ νόσῳ.
τὸ δ' αὖ ξυνοικεῖν τῇδ' ὁμοῦ, τίς ἂν γυνὴ
δύναιτο, κοινωνοῦσα τῶν αὐτῶν γάμων.
ὁρῶ γὰρ ἥβην τὴν μὲν, ἕρπουσαν πρόσω,
τὴν δὲ, φθίνουσαν. ὧν ἀφαρπάζειν φιλεῖ
ὀφθαλμὸς ἄνθος. τῶν δ' ὑπεκτρέπει πόδα.
ταῦτ' οὖν φοβοῦμαι, μὴ πόσις μὲν Ἡρακλῆς
ἐμὸς καλῆται, τῆς νεωτέρας δ' ἀνήρ.
ἀλλ' οὐ γὰρ ὥσπερ εἶπον ὀργαίνειν καλὸν
γυναῖκα νοῦν ἔχουσαν. ᾗ δ' ἔχω φίλαι
λυτήριον λύπημα, τῇδ' ὑμῖν φράσω.
ἦν μοι παλαιὸν δῶρον ἀρχαίου ποτὲ
θηρὸς, λέβητι χαλκέῳ κεκρυμμένον.
ὃ παῖς ἔτ' οὖσα, τοῦ δασυστέρνου παρὰ
Νέσσου φθίνοντος ἐκ φόνων ἀνειλόμην
ὃς τὸν βαθύρρουν ποταμὸν Εὔηνον, βροτοὺς
μισθοῦ πόρευε χερσίν. οὔτε πομπίμοις
κώπαις ἐρέσσων, οὔτε λαίφεσιν νεώς.
ὃς κἀμὲ τὸν πατρῷον ἡνίκα στόλον
ξὺν Ἡρακλεῖ τὸ πρῶτον εὖνις ἑσπόμην.
φέρων ἐπ' ὤμοις, ἡνίκ' ἦν μέσῳ πόρῳ,

ψαύει

ψαύει ματαίαις χερσίν. ὅτι οὐδ᾽ ἄλλον ἤνυσεν. ἔφθασε γὰρ ὁ ἡρακλῆς τοξεύσας καὶ ἀνελὼν αὐτόν. ¶ Ἐπιστρέψας χεροῖν. ὑποστρέψας, ἢ στρέψας καὶ κάμψας τὴν νευράν. ἢ εἰς αὐτὸν στραφεὶς καὶ βλέψας. ¶ Ἧκε κομήτην ἰόν. ἢ διὰ τοὺς ὄγκους, ἢ διὰ τὴν πτέρωσιν. τὸ δὲ πνεύμονας, ἀντὶ ἑνικοῦ. ¶ Διερροίζησεν. μετ᾽ ἤχου ὥρμησε. ¶ Τοσόνδ᾽ ὀνήσῃ. ὠφεληθήσῃ καὶ ὄνησιν λήψῃ ἐκ τῶν ἐμῶν πορθμῶν. ¶ Ἐὰν πύθῃ. γράφεται ἐὰν πιθῇ. ¶ Ἀμφίθρεπτον. τὸ περιπηγές. θρέψαι γὰρ τὸ πῆξαι. ¶ Ἡ μελαγχόλους. ὅπου. ἢ ἐν ᾧ. ¶ Θρέμμα λερναίας ὕδρας. περιφραστικῶς ἡ ὕδρα. ¶ Ἔσται φρενός σοι τοῦτο κηλητήριον. ἐπιτήδειον πρὸς τὸ παύσασθαι καὶ κηλῆσαι. καταπαυστήριον τῆς φρενὸς τοῦ ἡρακλέους τοῦ πρὸς ἄλλην ἔρωτος. ἢ κατακηλοῦντος τὴν ψυχὴν τοῦ ἡρακλέους τοῦ πρὸς τὴν Δηϊάνειραν ἔρωτι. ¶ Ἐγκεκλεισμένον. τηρούμενον. ¶ Χιτῶνα τόνδε. τοῦτό φησιν, ὡς κατὰ ἐντολὴν Νέσσου. καὶ ἄλλα τινὰ συμμίξασα. ¶ Καὶ πεπείρανται τάδε. κατείργασται, τετελείωται. καὶ ἤνυσται. ¶ Κακὰς δὲ τόλμας. τὰς φαρμακείας. μὴ εἰδείην φησὶ κακοῖς πράγμασιν ἐπιχειρεῖν. ἢ δολοφονῆσαι αὐτόν, ἢ τι τοιοῦτον ἀλλ᾽ ἄχρι τοῦ μεταθεῖναι αὐτοῦ τὴν γνώμην διὰ τοῦ κατασκευάσματος τούτου. εἰ μὴ μάταιόν ἐστι τοῦτο τὸ κατασκεύασμα προσδοκῶ ταύτην ὑπερβαλέσθαι τῇ πρὸς τὸν ἡρακλέους εὐνοίᾳ. εἰ δὲ μὴ ἐπιτυγχάνω, παύσομαι τῆς ἐπιχειρήσεως. ¶ Μεμηχάνηται τοὔργον. τοῦτό φησι τὸ ἔργον μεμηχάνηται. οὐκ ἐπ᾽ ὀλέθρῳ, ἀλλ᾽ ἵνα ταύτην φίλτροις ὑπερβαλώμεθα. Εἰ δὲ μή, πεπαύσομαι. εἰ δὲ μὴ ἐνεργήσῃ, πεπαύσομαι τῆς ἐπιχειρήσεως. ¶ Ἀλλ᾽ εἴ τις ἐστὶ πίστις. ἀλλ᾽ εἰ πεπίστευκας ὅτι δρᾷ τι τοῦτο, ἀρεστά μοι δοκεῖς βεβουλεῦσθαι. ¶ Οὕτως ἔχει γ᾽ ἡ πίστις. πιστεύω μὲν ἀληθὲς εἶναι, οὐ μὴν πεπείραμαι.

ψαύει ματαίαις χερσίν. ἐκ δ᾽ ἤϋσ᾽ ἐγώ.
χὡ Ζηνὸς εὐθὺς παῖς ἐπιστρέψας χεροῖν,
ἧκεν κομήτην ἰόν. ἐς δὲ πλεύμονας
στέρνων διερροίζησεν. ἐκθνήσκων δ᾽ ὁ θὴρ
τοσοῦτον εἶπε, παῖ γέροντος Οἰνέως,
τοσόνδ᾽ ὀνήσῃ τῶν ἐμῶν ἐὰν πιθῇ
πορθμῶν, ὅθ᾽ οὕνεχ᾽ ὑστάτην ἔπεμψ᾽ ἐγώ.
ἐὰν γὰρ ἀμφίθρεπτον αἷμα τῶν ἐμῶν
σφαγῶν ἐνέγκῃ χερσίν, ᾗ μελαγχόλους
ἔβαψεν ἰοὺς θρέμμα Λερναίας Ὕδρας,
ἔσται φρενός σοι τοῦτο κηλητήριον
τῆς ἡρακλείας, ὥστε μή τιν᾽ εἰσιδὼν
στέρξαι γυναῖκα κεῖνος ἀντὶ σοῦ πλέον.
τοῦτ᾽ ἐννοήσασ᾽ ὦ φίλαι, δόμοις γὰρ ἦν
κείνου θανόντος ἐγκεκλεισμένον καλῶς,
χιτῶνα τόνδ᾽ ἔβαψα, προσβαλοῦσ᾽ ὅσα
ζῶν κεῖνος εἶπε, καὶ πεπείρανται τάδε.
κακὰς δὲ τόλμας, μήτ᾽ ἐπισταίμην ἐγώ,
μήτ᾽ ἐκμάθοιμι. τάς τε τολμώσας στυγῶ.
φίλτροις δ᾽ ἐάν πως τήνδ᾽ ὑπερβαλώμεθα
τὴν παῖδα, καὶ θέλκτροισι τοῖς ἐφ᾽ ἡρακλεῖ,
μεμηχάνηται τοὔργον, εἴ τι μὴ δοκῶ
πράσσειν μάταιον. εἰ δὲ μή, πεπαύσεται.

Χο. ἀλλ᾽ εἴ τις ἐστὶ πίστις ἐν τοῖς δρωμένοις,
δοκεῖς παρ᾽ ἡμῖν οὐ βεβουλεῦσθαι κακῶς.

Δηι. οὕτως ἔχει γ᾽ ἡ πίστις. ὡς τὸ μὲν δοκεῖν
ἔνεστι, πείρᾳ δ᾽ οὐ προσωμίλησά πω.

Ἀλλ' εἰδέναι χρὴ δρῶσαν. δεῖ σε φησὶν τὸ χειρουργεῖν γνῶναι, ἢ δεῖ σε δρῶσαν ἔχειν τὴν πίστιν, καὶ μὴ μόνον δοκεῖν ἐπίστασθαι, οὔπω γὰρ ἔχεις τὴν γνῶσιν, ἕως οὐ πεπείρασαι. Ἔχοις ἂν γνῶμα. γράφεται ἄγνωμα. ¶ Εἰσόμεσθα. γνωσόμεθα φησὶ τὴν δύναμιν τοῦ σκευάσματος. βλέπω γὰρ τὸν Λίχαν πλησίον ἐρχόμενον, ὃς ἀποκομίσει τὸν πέπλον τῷ Ἡρακλεῖ. καὶ ἔσται ἡμῖν διὰ τούτου πεῖρα. ¶ Εὖ στεγοίμεθα. κρυπτοίμεθα, οἷον, σιωπὴ γένοιτο. ¶ Τῷ μακρῷ χρόνῳ. ἀντὶ τοῦ δι' ὃ ἐνταῦθα χρόνῳ ἐνδιατρίψαι. ¶ Εὐυφῆ πέπλον. ἰσχυρόν. οὐκ εὖ δὲ τὸν αὐτὸν δρᾶσθαι χιτῶνα πέπλον φησίν, ἀντὶ λεπτουφῆ. ¶ Μήτ' ἐφέστιον σέλας. ἀντὶ τοῦ, τὸ κατ' οἶκον πῦρ. ἕρκος δὲ ἱερόν, ὁ βωμὸς ἢ τὸ ἱερόν. Πρὶν κεῖνος. πρὶν αὐτὸς ἐκδυσάμενος τῆς οἰκίας φανερὸς καὶ ὑπὸ ὄψεσι πάντων προελθών. καθ' ἣν μέλλοι ταύροις θύσειν τοῖς θεοῖς εὐχαριστήρια. Πανδίκως. ἀνενδοιάστως. ¶ Στελεῖν χιτῶνι τῷδε. σκεπάσειν. ἐνδύσειν. περιβαλεῖν αὐτὸν τούτῳ τῷ χιτῶνι, ὡς φανῆναι αὐτὸν σφαγέα τῶν θυμάτων. Καινόν. καινοπρεπῆ. ¶ Σῆμ', ὃ κεῖνος εὐμαθές. σημεῖον κομίσεις, ὅπερ ἐκεῖνος τὸ γνώσεται τὸ θεὶς τὸ ὄμμα τῇ σφραγῖδι, γνοὺς ὅτι παρ' ἐμοῦ εἴη ἡ σφραγίς. Σφραγῖδος ἕρκει. περιφραστικῶς τῇ σφραγῖδι. ¶ Ἀλλ' ἕρπε καὶ φύλασσε. οὗτος ἐστὶν ὁ προσήκων νόμος τοῖς διακονοῦσιν, ὥστε μηδὲν περαιτέρω δρᾶν τῶν προσταττομένων αὐτοῖς. ἐμφαίνει δὲ αὐτῷ μὴ ἀποσφραγίσαντα περιεργάζεσθαι τί ἐστιν. ¶ Ἔπειθ' ὅπως ἂν ἡ χάρις. γνησίως διακονούμενος ἀπαλλάξῃς τὴν χάριν. καὶ ἴσως φιληθῇς ἡμῖν παρ' ἑκατέρου. ¶ Ἀλλ' εἴπερ Ἑρμοῦ. κῆρυξ γὰρ ὁ θεός. Ἄγγος. κιβώτιον.

Χο. ἀλλ' εἰδέναι χρὴ δρῶσαν, ὡς οὐδ' εἰ δοκεῖς
ἔχειν, ἔχοις ἂν γνῶμα μὴ πειρωμένη.
Δη. ἀλλ' αὐτίκ' εἰσόμεσθα. τόνδε γὰρ βλέπω
θυραῖον ἤδη. διὰ τάχους δ' ἐλεύσεται.
μόνον παρ' ὑμῶν εὖ στεγοίμεθ'. ὡς σκότῳ
κἂν αἰσχρὰ πράσσῃς, οὔποτ' αἰσχύνῃ πεσῇ.
Λι. Τί χρὴ ποιεῖν σήμαινε τέκνον Οἰνέως.
ὡς ἐσμὲν ἤδη τῷ μακρῷ χρόνῳ βραδεῖς.
Δη. ἀλλ' αὐτὰ δή σοι ταῦτα καὶ πράσσω Λίχα,
ἕως σὺ ταῖς ἔσωθεν ἠγορῶ ξέναις.
ὅπως φέρῃς μοι τόνδε γ' εὐυφῆ πέπλον
δώρημ' ἐκείνῳ τἀνδρὶ τῆς ἐμῆς χερός.
διδοὺς δὲ τόνδε, φράζ' ὅπως μηδεὶς βροτῶν
κείνου παροιθεν ἀμφιδύσεται χροΐ.
μηδ' ὄψεταί νιν μήτε φέγγος ἡλίου,
μήθ' ἕρκος ἱερὸν, μήτ' ἐφέστιον σέλας,
πρὶν κεῖνος αὐτὸν φανερὸς ἐμφανῶς σταθεὶς
δείξῃ θεοῖσιν ἡμέρᾳ ταυροσφάγῳ.
οὕτω γὰρ ηὔγμην, εἴ ποτ' αὐτὸν ἐς δόμους
ἴδοιμι σωθέντ' ἢ κλύοιμι, πανδίκως
στελεῖν χιτῶνι τῷδε, καὶ φανεῖν θεοῖς
θυτῆρα καινῷ καινὸν ἐν πεπλώματι.
καὶ τῶνδ' ἀποίσεις σῆμ', ὃ κεῖνος εὐμαθὲς
σφραγῖδος ἕρκει τῷδ' ἐπ' ὄμμα θήσεται.
ἀλλ' ἕρπε καὶ φύλασσε πρῶτα μὲν νόμον
τὸ μὴ 'πιθυμεῖν πομπὸς ὢν, περισσὰ δρᾶν.
ἔπειθ', ὅπως ἂν ἡ χάρις κείνου τέ σοι
κἀμοῦ ξυνελθοῦσ', ἐξ ἁπλῆς διπλῆ φανῇ.
Λι. ἀλλ' εἴπερ Ἑρμοῦ τήνδε πομπεύω τέχνην
βέβαιον, οὔ τι μὴ σφαλῶ γ' ἐν σοί ποτε,
τὸ μὴ οὐ τόδ' ἄγγος ὡς ἔχει δεῖξαι φέρων
λόγων τε πίστιν ὧν ἔχεις ἐφαρμόσαι.

¶ Λόγων τε

α ὄργον τε πίστιν ὧν ἔχεις. ἔντελλε δέ μοι φησὶ περὶ πραγμάτων ἄλλων μυστικῶν, καὶ λόγους ἀνακοινῶσαί μοι καὶ φυλάξω. ¶ Ἐφάρμοσαι. ἐπίθες φησὶν, ἣν θέλξας σφραγῖδα. ¶ Προσδέγματα. ὑποδοχάς λέγει· ἢ ὅτι οἶσθα πῶς φιλοφρόνως αὐτὴν προσηκάμην. καὶ τοῦτο δὲ ἐπαγωγὸν πρὸς Ἡρακλέα, εἰπεῖν τὴν ὑπονοουμένην φιλοφρόνως προσδέξασθαι. ¶ Ὡς ἐκπλαγῆναι. ὅτι ἀσμένως αὐτὴν ὑπεδέξω, ὥστε θαυμάσαι με καὶ ὑπὸ τοῦ χαρῆναι.

Δηι. Στείχοις ἂν ἤδη. καὶ γὰρ ἐξεπίστασαι
τά τ' ἐν δόμοισιν ὡς ἔχοντα τυγχάνει.
Λι. Ἐπίσταμαί τε, καὶ φράσω σεσωσμένα.
Δηι. Ἀλλ' οἶσθα μὲν δὴ καὶ τὰ τῆς ξένης ὁρῶν
προσδέγματ', αὐτὴν ὡς ἐδεξάμην φίλως;
Λι. ὥστ' ἐκπλαγῆναι τοὐμὸν ἡδονῇ κέαρ.
Δηι. Τί δῆτ' ἂν ἄλλο γ' ἐννέποις; δέδοικα γὰρ
μὴ πρῷ λέγοις ἂν τὸν πόθον τὸν ἐξ ἐμοῦ,
πρὶν εἰδέναι τἀκεῖθεν εἰ ποθούμεθα.
Χο. Ὦ ναύλοχα καὶ πετραῖα
θερμὰ λουτρὰ, καὶ πάγους
Οἴτας παραναιετάοντες, οἵ τε μέσσαν
Μηλίδα παρὰ λίμναν,
χρυσαλακάτου τ' ἀκτὰν κόρας.
ἔνθ' Ἑλλάνων ἀγοραὶ
Πυλάτιδες καλέονται,
ὁ καλλιβόας τάχ' ὑμῖν

¶ Δέδοικα γάρ. δέδοικα γάρ φησι μὴ πρὸ καιροῦ εἴπῃς τὸν ἐξ ἐμοῦ πόθον, ἕως μάθωμεν εἰ καὶ αὐτὸς ἡμᾶς ποθεῖ, δεῖ δὲ τούτων ἐρεθίζειν αὐτὸν πλέον εἰπεῖν. ¶ Ὦ ναύλοχα καὶ πετραῖα. δοκεῖ τοῦτο περὶ ἱστορίαν εἶναι. φασὶ γὰρ πρῶτον ἐν Τραχῖνι τῷ Ἡρακλεῖ ἀναδοθῆναι. ἐνταῦθα δὲ ὡς προυπερχόντων αὐτῷ φησιν, ὦ ναύλοχα. ὁ χορὸς τοὺς περὶ τὴν Οἴτην οἰκοῦντας προσκαλεῖται ἐπὶ τὸ πανηγυρίσαι, διὰ τὴν προσδοκωμένην ἐπιδημίαν τοῦ Ἡρακλέους. ὁ δὲ νοῦς. οἱ τὰ παραθαλάσσια θερμὰ λουτρὰ ἐνοικοῦντες, καὶ οἱ παρὰ τοὺς Τραχῖνας καὶ ὀρεινοὺς τόπους τῆς Οἴτης, καὶ τὸν Μηλιακὸν κόλπον, ἔτι τε καὶ τὴν ἀρχὴν τῆς χρυσοτόξου Ἀρτέμιδος, ἔνθα φησὶν εἶναι τῶν Ἑλλήνων τὰ συνέδρια. ἄρτι ὁ καλλιφωνότατος πάλιν ἥξει αὐλὸς, καὶ καταλήψεται ὑμῶν τὰς ἀκοὰς, ἠχῶν τι καὶ μουσικὸν προσπνέων, οὐκ ἐχθρὰν οὐδ' ἀποκτὴν φωνὴν, ἀλλὰ θείας μούσης ἀντίλυρον, ὅ ἐστι, φωνῆς γλυκείας. ¶ Ὦ ναύλοχα. παραθαλάττια λουτρά. φησὶ δὲ τὰ Ἡράκλεια. ἅπερ λέγεται αὐτῷ ἡ Ἀθηνᾶ ἀνεῖναι. ¶ Πετραῖα δὲ, διὰ τὸ ἐν ὄρει τῇ Οἴτῃ κεῖσθαι. ἔνιοι δὲ ἐν Σικελίᾳ φασὶν ἀναδοθῆναι τῷ Ἡρακλεῖ τὰ θερμὰ λουτρά. ¶ Καὶ πάγους. πάγοι εἰσὶν οἱ ὑψηλοὶ τόποι. ἢ αἱ ὀξεῖαι πέτραι, καὶ οἱ παρὰ τοὺς Τραχῖνας καὶ ὀρεινοὺς τόπους τῆς Οἴτης οἰκοῦντες. ¶ Μηλίδα παρὰ λίμναν. λίμναν φησὶ τὴν θάλασσαν. Ὅμηρος, Αἰθέρα δ' οἴκῃα ἀπὸ τῆς ἀνελύσατο λίμνης. ὁ δὲ Μηλιακὸς κόλπος παρὰ Τραχῖνί ἐστιν. εἰς τὸ αὐτὸ, Μηλίδα παρὰ λίμναν, τὴν Μαγνησίαν, ἔνθα τὸ τῆς Ἀρτέμιδος παραθαλάσσιον ἱερὸν, πλησίον Τραχῖνος, ὅπου καὶ ἡ ἐπ' Ἀρτεμισίῳ ναυμαχία συνέβη τοῖς Ἕλλησιν ἐν Θερμοπύλαις. ¶ Ἔνθ' Ἑλλάνων ἀγοραί. ὅπου συνάγονται οἱ Ἀμφικτύονες εἰς τὴν λεγομένην Πυλαίαν, περὶ ἧς Ἀγάθων φησὶ, Πυλάδη τὸν Στροφίου πρῶτον κεισθῆναι ἐν τῇ Φωκίδι, καθαιρόμενον τὸ ὑπὸ Κλυταιμνήστρας μύσος. καὶ ἀπ' αὐτοῦ τὴν σύνοδον Πυλαίαν φησὶ προσαγορευθῆναι. ἢ ὅτι ὁ τόπος πύλαι τῆς Ἑλλάδος. ¶ Χρυσαλακάτου. ἐν Εὐβοίᾳ τιμᾶται χρυσότοξος Ἄρτεμις.

Ο οὐκ ἀναρσίαν ἰάχων. οὐκ ἐχθρὰν. οὐδὲ θρήνων βοήν. ¶ Ἀντίλυρον μούσας. ἀντίτιμιον. ἰσόλυρον. ἀντῳδόν. ἀντὶ τοῦ μουσικὴν φωνήν. ἀλλὰ τὴν ἐκ τοῦ ἐναντίου μέρους τῆς λύρας φωνήν, ἀφ' οὗ δηλοῦται ὅτι ὁμοῦ αὐλὸς καὶ λύρα ἀναφωνήσουσιν.

Σ σεῦται. ἐνορμᾶται, ἥξει. ¶ Ὃν ἀπόπτολιν εἴχομεν. ὃν ἐκτὸς εἴχομεν τῆς πόλεως εἰς δωδεκάμηνον ἀναμένουσαι. τὸ δὲ ἑξῆς. ὃν ἀπόπτολιν πελάγιον. ἀντὶ τοῦ ἀπόθεν τῆς πόλεως ἐν τῷ πελάγει. ¶ Πελάγιον. ὅτι πολλάκις καὶ διὰ θαλάττης ἔπλεεν, εἴτε εἰς νῆσον ἀπῄει. Ἁ δέ οἱ. ἡ Δηιάνειρα. ¶ Νῦν δ' Ἄρης οἰστρηθείς. μανεὶς ὁ περὶ τὴν Οἰχαλίαν πόλεμος, ἐξέλυσεν ἡμᾶς τῆς ἀνίας, ἣν ἐφ' ἑκάστης ἡμέρας εἴχομεν, εἰς τὸ αὐτό. Νῦν δ' Ἄρης. ὁ πρὸς τὸν Εὔρυτον. ἐξ αὐτοῦ γὰρ εὐθὺς ἐπανῆλθε. ¶ Μὴ σταίη πολύκωπον. μηδαμοῦ ἡ ναῦς ἀλλαχοῦ ὁρμίζοιτο, ἕως ἐνταῦθα ἀφίκοιτο τὴν Εὔβοιαν νῆσον ὑπερβὰς καὶ καταλιπών. καταστρεψάμενος γὰρ τὴν Οἰχαλίαν ἐκεῖ ἔμεινε θῦσαι τῷ πατρί. ¶ Πανάμερος. ἀντὶ τοῦ, τὴν σήμερον ἡμέραν ἔλθοι τῷ πέπλῳ τῆς πειθοῦς θελχθεὶς ἐκ προφάσεως τοῦ Νέσσου κατεσκευασμένῳ. πειθοῦς δὲ τὸν πέπλον εἶπεν, ὅτι ἔμελλεν ἐπὶ τὸ μεταπείθειν καὶ μεταθεῖναι τὴν Ἡρακλέους γνώμην ἐπὶ τὴν Δηιάνειραν. ἢ πανήμερος, εὐμενὴς ἐν τῇ αὐτῇ ἡμέρᾳ ἔλθοι εἰς ἔρωτα τῆς γυναικός, διὰ τὸ τοῦ Νέσσου φάρμακον. ¶ Παγχρίστῳ. λείπει τὸ πέπλῳ συγκεκραμμένος. ἢ ἁρμοσθεὶς τῇ πειθοῖ τοῦ θηρός. ¶ Μὴ περαιτέρω. ὑπὲρ τὴν συμφέρουσαν χρείαν, ἢ πλέον τοῦ συμφέροντος. ¶ Μάλιστά γ'. ὥστε. ναὶ φησὶ περὶ τούτου φοβοῦμαι οὕτως,

αὐλὸς οὐκ ἀναρσίαν
ἰάχων καναχὰν ἐπάνεισιν, ἀλλὰ θείας
ἀντίλυρον μούσας.
ὁ γὰρ Διὸς Ἀλκμήνας τε κοῦρος,
σεῦται πάσας ἀρετᾶς
λάφυρ' ἔχων ἐπ' οἴκους.
ὃν ἀπόπτολιν εἴχομεν
πάντα δυοκαιδεκάμηνον ἀμμένουσαι
χρόνον πελάγιον ἴδριες οὐδέν.
ἁ δέ οἱ φίλα δάμαρ
τάλαινα δυστάλαινα καρδίαν
πάγκλαυτος αἰὲν ὤλλυτο.
Νῦν δ' Ἄρης οἰστρηθείς,
ἐξέλυσ' ἐπίπονον ἁμέραν.
ἀφίκοιτ' ἀφίκοιτο. μὴ
σταίη πολύκωπον ὄχημα ναὸς αὐτῷ
πρὶν τάνδε πρὸς πόλιν ἀνύσειε.
νασιῶτιν ἑστίαν
ἀμείψας. ἔνθα κλῄζεται θυτήρ,
ὅθεν μόλοι πανάμερος
τᾶς πειθοῦς παγχρίστῳ
συγκραθεὶς ἐπὶ προφάσει θηρός.

Δη γυναῖκες, ὡς δέδοικα μὴ περαιτέρω
πεπραγμέν' ᾖ μοι πάνθ' ὅσ' ἀρτίως ἔδρων.
Χο τί δ' ἔστι Δηιάνειρα τέκνον Οἰνέως;
Δη οὐκ οἶδ'. ἀθυμῶ δ' εἰ φανήσομαι τάχα
κακὸν μέγ' ἐκπράξασ' ἀπ' ἐλπίδος καλῆς.
Χο οὐ δή τι τῶν σῶν Ἡρακλεῖ δωρημάτων;
Δη μάλιστά γ'. ὥστε μήποτ' ἂν προθυμίαν
ἄδηλον ἔργου τῳ παραινέσαι λαβεῖν.
Χο δίδαξον, εἰ διδακτὸν ἐξ ὅτου φοβῇ.
Δη τοιοῦτον ἐκβέβηκεν, οἷον ἂν φράσω

ὥστε μὴ δέ

ὥστε μηδέποτε προσαινέσαι τινὶ ἀλλ' ἢ ἄλλου πράγματος προθυμίαν λαβεῖν. ὅ ἐστιν, ἀδήλῳ πράγματι τὸ χαίρειν. ¶ Θαῦμ' ἀνέλπιστον. θαυμαστὸν, καὶ οἷον οὐκ ἄν τις ἐλπίζει μαθεῖν καὶ παθεῖν. ¶ Κατ' ἄκρας σπιλάδος. σπιλὰς ἡ πέτρα. ὡς ἐπὶ τοῦ λίθου θεμένη αὐτὸ τοῦτό φησι, κατατήκεται ἐπὶ τῆς πέτρας καὶ διαλύεται ἀπὸ τοῦ λίθου διερρέον. Ὡς δ' εἰδῇς ἅπαν. ὅπως γνῷς ἀκριβῶς ὅλον τὸ πρᾶγμα. εἰς μῆκος ἀπλώσω τὸν λόγον. ¶ Ἐγὼ γὰρ ὧν ὁ θήρ με. ὧν εἶπέ μοι ὁ Νέσσος, ὅτε τὴν πλευρὰν ἤλγει ὑπὸ βέλει τρωθείς. γλωχῖνι δὲ, ἀπὸ μέρους τῷ βέλει. γλωχὶν γὰρ ἡ ἀκίς. ὃ λέγει ὁ Ὅμηρος ὄγκον. ¶ Παρῆκα θεσμῶν οὐδέν. λείπει, ἄπρακτον. ¶ Ἀλλ' ἐσωζόμην. ἀντὶ τοῦ ἔσωσα καὶ ἐφύλαξα. διεφύλαξα ἐπὶ ὅσα μοι παρήγγειλεν ὡσανεὶ δέλτῳ χαλκῇ ἔχουσα ἐγκεχαραγμένα. δύσνιπτον δὲ, ἀντὶ τοῦ δυσαπάλειπτον. ¶ Πρόρρητα. πρὸς ἐμὲ ὑπὸ Νέσσου προειρημένα. προμεμελετημένα μοι, ἢ ἀπόρρητα. ¶ Θερμῆς ἄθικτον. ἀπροσπέλαστον πυρὸς, καὶ ἡλιακῆς ἀκτῖνος. ¶ Ἀρτίχριστον. προσφάτως χριομένην. ¶ Νῦν δ' ὅτ' ἦν ἐργαστέον. νῦν δ' ὅτ' ἐνέστη ὁ καιρὸς τοῦ χρίσαι, ἔχρισα μαλλὸν ἐρίου. ¶ Κτησίου βοτοῦ λάχνην. ἀπὸ κτήνους προβάτου, τὸν μαλλὸν σπάσασα. κτήνη δὲ τὰ πρόβατα λέγονται καὶ βοτά. ¶ Ἀλαμπὲς ἡλίου. μὴ καταυγασθέν. Κοίλῳ ζυγάστρῳ. ἀντὶ τοῦ εἰς ξύλινον στρόν. τουτέστι κιβωτόν. ¶ Ἄφραστον, ἀφανὲς, ἀνεκδιήγητον, ἀξύμβλητον δὲ, ἀσυνείκαστον πρὸς τὸ μαθεῖν ἀνθρώπῳ. ἢ ἀντὶ τοῦ ἀπαράβλητον. οἷον οὐκ ἔχον ἄλλῳ παραβληθῆναι, ὥστε πιστεῦσαι τὸ μαθεῖν τὸν ἀκούοντα. ¶ Τὸ γὰρ κάταγμα. τὸ ἔριον τοῦ προβάτου μεθ' οὗ ἔχρισα τὸν πέπλον ἔρριψα ὑπὸ τόπον καταλαμβανόμενον ὑπὸ τοῦ ἡλίου. τὴν δὲ αὐγὴν, ἀκτῖνα ἡλιῶτιν εἶπεν. ἢ κάταγμα, τὸ ἄγνον μήρυμα. ¶ Ὡς δ' ἐθάλπετο. ὡς δὲ ἐθερμάνθη, ἐξέρρευσεν, ἀφανῶς λέλυται.

γυναῖκες ὑμῖν θαῦμ' ἀνέλπιστον μαθεῖν.
ὧ γὰρ τὸν ἐνδυτῆρα πέπλον ἀρτίως
ἔχριον, ἀργῆτ' οἰὸς εὐέρῳ πόκῳ,
τοῦτ' ἠφάνισται διάβορον πρὸς οὐδενὸς
τῶν ἔνδον, ἀλλ' ἐδεστὸν ἐξ αὑτοῦ φθίνει,
καὶ ψῇ κατ' ἄκρας σπιλάδος. ὡς δ' εἰδῇς ἅπαν
ᾗ τοῦτ' ἐπράχθη, μείζον' ἐκτενῶ λόγον.
ἐγὼ γὰρ ὧν ὁ θήρ με Κένταυρος πονῶν
πλευρὰν πικρᾷ γλωχῖνι προὐδιδάξατο
παρῆκα θεσμῶν οὐδὲν, ἀλλ' ἐσωζόμην
χαλκῆς ὅπως δύσνιπτον ἐκ δέλτου γραφήν.
καί μοι τάδ' ἦν πρόρρητα, καὶ τοιαῦτ' ἔδρων·
τὸ φάρμακον τοῦτ' ἄπυρον, ἀκτῖνός τ' ἀεὶ
θερμῆς ἄθικτον ἐν μυχοῖς σώζειν ἐμέ,
ἕως ἂν ἀρτίχριστον ἁρμόσαιμί που.
κἄδρων τοιαῦτα. νῦν δ' ὅτ' ἦν ἐργαστέον,
ἔχρισα μὲν κατ' οἶκον ἐν δόμοις κρυφῇ
μαλλῷ, σπάσασα κτησίου βοτοῦ λάχνην.
κἄθηκα συμπτύξασ' ἀλαμπὲς ἡλίου
κοίλῳ ζυγάστρῳ δῶρον, ὥσπερ εἴδετε.
εἴσω δ' ἀποστείχουσα δέρκομαι φάτιν
ἄφραστον, ἀξύμβλητον ἀνθρώπῳ μαθεῖν.
τὸ γὰρ κάταγμα τυγχάνω ῥίψασά πως
τῆς οἰὸς, ᾧ προὔχριον, ἐς μέσην φλόγα,
ἀκτῖν' ἐς ἡλιῶτιν. ὡς δ' ἐθάλπετο,
ῥεῖ πᾶν ἄδηλον, καὶ κατέψηκται χθονί.

Πρίονος ἐκβρώματα. ἐοικὸς πρίσματι ξύλου. θαυμαστῶς δὲ λέγει ἐκβρώματα πρίονος εἶπε τὰ πρίσματα. ἐσθίειν γάρ τινα ἔοικε τὸ ξύλον ὁ πρίων, ἐκεῖνο δὲ λεπτὸν ἀποβάλλει. ¶ Προπετές. ἐῤῥιμμένον καὶ προπεσὸν χαμαί. ¶ Θρομβώδεις ἀφροί. ἐπηρμένοι. θρόμβος γὰρ ὁ ὄγκος. ἢ πολυφόροι φυσήματα. ¶ Ἀναζέουσιν. ἀνακαχλάζουσιν. ¶ Γλαυκῆς ὀπώρας. τοῦ γλεύκους τοῦ ἀρτίως ἐκπιεσθέντος ἤτοι νέου· μάλιστα γὰρ ὁ νέος οἶνος θερμὸς ὤν, εἰ πέσοι χαμαὶ ἀφρίζει. γλαυκὴν δὲ ὀπώραν τὸν νέον οἶνον εἶπε, διὰ τὴν λαμπρότητα. ¶ Ἧς ἔθνῃσχ' ὕπο. ὑπὲρ ἧς, ὑφ' ἧς. δι' ἥν. ¶ Τὸν βαλόντα. τὸν τοξεύσαντα. ¶ Ὧν ἐγὼ μεθύστερον. ὧν τῶν εἰρημένων μοι ὑπ' ἐκείνου, νῦν τὴν γνῶσιν μανθάνω, ὅτε οὐκ ἔστι με ὠφελεῖν. ¶ Οὐκέτ' ἀρκεῖ. ὠφελεῖ. Ὅμηρος, ἄρκιον ἐσσεῖται. ¶ Εἴ τι μὴ ψευσθήσομαι. εἰ μὴ διαμαρτήσομαι τῆς γνώμης, ἣν ἔχουσα περὶ αὐτοῦ τυγχάνω. ¶ Χ' ὥσπερ ἂν θίγῃ. καὶ ὅσα ἂν θίγῃ τοῦ ἡρακλείου βέλους, εἴτε ἄνθρωπος εἴτε θηρία, ἀπόλλυται. ¶ Ἐκ δὲ τοῦδε. τοῦ Νέσσου. ἀντὶ τοῦ διὰ τοῦ νέσσου. ¶ Καίτοι δέδοκται. κἀγώ φησιν ἀποθανεῖν βουλήσομαι. ἵνα μὴ δόξω πονηρίᾳ ἀνῃρηκέναι τὸν ἡρακλέα, ἀλλ' ἀκουσίῳ γνώμῃ. ¶ Ταύτῃ σὺν ὀργῇ. τούτῳ τῷ τρόπῳ. τουτέστι διὰ τοῦ πέπλου. ¶ Ζῆν γὰρ κακῶς. γυναῖκα κακοδοξοῦσαν οὐ δεῖ ζῆν. ἥ τις μὴ θέλει δοκεῖν ἐκ φύσεως εἶναι κακή. ¶ Ταρβεῖν μὲν ἔργα. ἀναγκαῖον μὲν εὐλαβεῖσθαι τὰ δεινὰ ἔργα. οὐ χρὴ δὲ πρὸ τῆς ἐκβάσεως ἤτοι τῶν συμβησομένων αἱρεῖσθαι τὰ δεινά. ¶ Οὐκ ἔστιν ἐν τοῖς. πονηροῖς βουλεύμασιν, οὐχ ὑπολείπεται χρηστὴ ἐλπίς. ἥ τις παρέχει πεποίθησιν καὶ θάρσος. ἀντὶ τοῦ δυσέλπις εἰμί.

μορφῇ μάλιστ' εἰκαστόν, ὥστε πρίονος
ἐκβρώματ' ἂν βλέψειας ἐν τομῇ ξύλου.
τοιόνδε κεῖται προπετές. ἐκ δὲ γῆς ὅθεν
προὔκειτ', ἀναζέουσι θρομβώδεις ἀφροί,
γλαυκῆς ὀπώρας ὥστε πίονος ποτοῦ
χυθέντος εἰς γῆν βακχίας ἀπ' ἀμπέλου.
ὥστ' οὐκ ἔχω τάλαινα ποῖ γνώμης πέσω.
ὁρῶ δέ μ' ἔργον δεινὸν ἐξειργασμένην.
πόθεν γὰρ ἄν ποτ', ἀντὶ τοῦ, θνῄσκων ὁ θὴρ
ἐμοὶ παρέσχ' εὔνοιαν, ἧς ἔθνῃσχ' ὕπερ;
οὐκ ἔστιν. ἀλλὰ τὸν βαλόντ' ἀποφθίσαι
χρῄζων ἔθελγεν, ὧν ἐγὼ μεθύστερον
ὅτ' οὐκέτ' ἀρκεῖ, τὴν μάθησιν ἄρνυμαι.
μόνη γὰρ αὐτόν, εἴ τι μὴ ψευσθήσομαι
γνώμης, ἐγὼ δύστηνος ἐξαποφθερῶ.
τὸν γὰρ βαλόντ' ἄτρακτον οἶδα, καὶ θεὸν
χείρωνα πημήναντα. χὤσπερ ἂν θίγῃ
φθείρει τὰ πάντα κνώδαλ'. ἐκ δὲ τοῦδ' ὅδε
σφαγῶν διελθὼν ἰὸς αἵματος μέλας,
πῶς οὐκ ὀλεῖ καὶ τόνδε; δόξει γοῦν ἐμοί.
καίτοι δέδοκται. κεῖνος εἰ σφαλήσεται,
ταύτῃ σὺν ὀργῇ κἀμὲ συνθανεῖν ἅμα.
„ Ζῆν γὰρ κακῶς κλύουσαν, οὐκ ἀνασχετόν,
„ Ἥτις προτιμᾷ μὴ κακὴ πεφυκέναι.
Χο Ταρβεῖν μὲν ἔργα δείν' ἀναγκαίως ἔχει.
„ Τὴν δ' ἐλπίδ' οὐ χρὴ τῆς τύχης κρίνειν πάρος.
Δη Οὐκ ἔστιν ἐν τοῖς μὴ καλοῖς βουλεύμασιν
οὐδ' ἐλπίς, ἥτις καὶ θράσος τι προξενεῖ.

Χο. ἀλλ' ἀμφὶ τοῖς σφαλεῖσι μὴ 'ξ ἑκουσίας,
ὀργὴ πέπειρα, τῆς σε τυγχάνειν πρέπει.
Δη. τοιαῦτα δ' ἂν λέξειεν, οὐχ ὁ τοῦ κακοῦ
κοινωνός, ἀλλ' ᾧ μηδὲν ἐς οἴκοις βαρύ.
Χο. σιγᾶν ἂν ἁρμόζοι σε τὸν πλείω χρόνον,
εἰ μή τι λέξεις παιδὶ τῷ σαυτῆς. ἐπεὶ
πάρεστι μαστὴρ πατρὸς, ὃς πρὶν ᾤχετο.
Υλ. ὦ μῆτερ, ὡς ἂν ἐκ τριῶν σ' ἓν εἱλόμην,
ἢ μηκέτ' εἶναι ζῶσαν, ἢ σεσωσμένην
ἄλλου κεκλῆσθαι μητέρ', ἢ λῴους φρένας
τῶν νῦν παρουσῶν τῶνδ' ἀμείψασθαί ποθεν.
Δη. τί δ' ἐστὶν ὦ παῖ πρός γ' ἐμοῦ στυγούμενον;
Υλ. τὸν ἄνδρα τὸν σὸν ἴσθι, τὸν δ' ἐμὸν λέγω
πατέρα, κατακτείνασα τῇδ' ἐν ἡμέρᾳ.
Δη. Οἴμοι. τίν' ἐξήνεγκας ὦ τέκνον λόγον;
Υλ. ὃν οὐχ οἷόν τε μὴ τελεσθῆναι. τὸ γὰρ
„ φανθὲν, τίς ἂν δύναιτ' ἀγέννητον ποεῖν;
Δη. πῶς εἶπας ὦ παῖ. τοῦ, πρὸς ἀνθρώπων μαθὼν
ἄζηλον οὕτως ἔργον εἰργάσθαι με φῄς;
Υλ. αὐτὸς βαρεῖαν ξυμφορὰν ἐν ὄμμασι
πατρὸς δεδορκὼς, κοὐ κατὰ γλῶσσαν κλύων.
Δη. ποῦ δ' ἐμπελάζεις τἀνδρὶ, καὶ παρίστασαι;
Υλ. Εἰ χρὴ μαθεῖν σε, πάντα δὴ φωνεῖν χρεών.
ὅθ' εἷρπε κλεινὴν Εὐρύτου πέρσας πόλιν,
νίκης ἄγων τρόπαια, κἀκροθίνια,
ἀκτή τις ἀμφίκλυστος Εὐβοίας ἄκρον
Κήναιόν ἐστιν. ἔνθα πατρῴῳ Διὶ
βωμοὺς ὁρίζει, τεμενίαν τε φυλλάδα.
οὗ νιν τὰ πρῶτ' ἐσεῖδον ἄσμενος πόθῳ.
μέλλοντι δ' αὐτῷ πολυθύτους τεύχειν σφα- (γάς,
κῆρυξ ἀπ' οἴκων ἵκετ' οἰκεῖος Λίχας,
τὸ σὸν φέρων δώρημα θανάσιμον πέπλον.
ὃν κεῖνος ἐνδὺς, ὡς σὺ προὐξεφίεσο,
ταυροκτονεῖ μὲν δώδεκ' ἐντελεῖς ἔχων
λείας ἀπαρχὴν βοῦς. ἀτὰρ τὰ πάνθ' ὁμοῦ,
ἑκατὸν προσῆγε συμμιγῆ βοσκήματα.
καὶ πρῶτα μὲν δείλαιος, ἵλεῳ φρενὶ
κόσμῳ τε χαίρων καὶ στολῇ, κατηύχετο.

¶ Ἀλλ' ἀμφὶ τοῖς σφαλεῖσι. τοῖς ἀκουσίως σφαλεῖσιν ἡ ἐπαγομένη ὀργὴ πεπεμμένη ἐστὶ καὶ πραεῖα καὶ συγγνωστή. ἧς σε δίκαιον τυχεῖν παρὰ τοῦ Ἡρακλέους. ἀκουσίως ἐφ' ᾗ ἥμαρτες. ¶ Οὐχ ὁ τοῦ κακοῦ κοινωνός. ὁ μὴ δυστυχῶν τοιαῦτα ἂν εἴποι. ¶ Σιγᾶν ἂν ἁρμόζοι σε τὸν πλείω χρόνον. γράφεται λόγον. πρέποι σοι λοιπὸν σιωπᾶν, καὶ μηκέτι τοῦτο πλείω λέγειν. εἰ μὴ ἄρα τι τῷ σῷ παιδὶ μέλλεις ἐρεῖν παραγινομένῳ. ¶ Ἄλλου μητέρα. αἰσχύνομαι γὰρ ὅτι σοί. ¶ Τὸ γὰρ φανθέν. τὸ ἅπαξ πραχθὲν, καὶ ὥσπερ τέρας ἐλθὸν, πῶς ἄν τις μὴ γενέσθαι ποιήσειε. Πίνδαρος, τῶν δὲ πεπραγμένων, ἀποίητον οὐδ' ἂν χρόνος ὁ πάντων πατὴρ δύναιτο θέμεν ἔργων τέλος. ¶ Στυγούμενον. λυπηρὸν καὶ μύσους ἄξιον. ¶ Ἄζηλον. φαῦλον. ὃ οὐδεὶς ζηλώσειεν. ¶ Αὐτὸς βαρεῖαν ξυμφοράν. τὰ μὲν ἑώρακα πάσχοντα, τὰ δὲ ἀνοιμώζοντος ἤκουσα κατὰ τὴν γλῶσσαν. Ποῦ δ' ἐμπελάζεις. προσπελάζεις. Παρίστασαι. πλησίον γέγονας. ¶ Ὅθ' εἷρπε. καινοπρεπὴς ἡ φράσις. ἦλθεν εἰς τὴν Εὔβοιαν, ἧς ἀκρωτήριόν ἐστι τὸ Κήναιον. ¶ Τεμενίαν τε φυλλάδα. τὸν ἀπὸ τῶν τεμενῶν στέφανον. ἢ τέμενος πολύφυλλον. ¶ Ὡς σὺ προὐξεφίεσο. ὡς σὺ ἐνετείλω. ¶ Δείλαιος ἵλεῳ φρενί. ὁ Ἡρακλῆς ἱλαρᾷ τῇ φρενὶ κατηύξατό σοι χαίρων ἐπὶ τῷ πέπλῳ.

Ὅπως δὲ σεμνῶν ὀργίων ἐδαίετο
φλὸξ αἱματηρὰ, κἀπὸ πιείρας δρυὸς,
ἱδρὼς ἀνῄει χρωτὶ καὶ προσπτύσσεται
πλευραῖσιν ἀρτίκολλος, ὥστε τέκτονος
χιτὼν ἅπαν κατ' ἄρθρον. ἦλθε δὲ ὀστέων
ὀδαγμὸς ἀντίσπαστος. εἶτα φοινίας
ἐχθρᾶς ἐχίδνης ἰὸς ὣς ἐδαίνυτο,
ἐνταῦθα δὴ 'βόησε τὸν δυσδαίμονα
Λίχαν, τὸν οὐδὲν αἴτιον τοῦ σοῦ κακοῦ
ποίαις ἐνέγκοι τόνδε μηχαναῖς πέπλον.
ὁ δ' οὐδὲν εἰδὼς δύσμορος, τὸ σὸν μόνης
δώρημ' ἔλεξεν, ὥσπερ ἦν ἐσταλμένον.
κἀκεῖνος ὡς ἤκουσε, καὶ διώδυνος
σπαραγμὸς αὐτοῦ πλευμόνων ἀνθήψατο,
μάρψας ποδός νιν ἄρθρον ᾗ λυγίζεται,
ῥιπτεῖ πρὸς ἀμφίκλυστον ἐκ πόντου πέτραν,
κόμης δὲ λευκὸν μυελὸν ἐκραίνει μέσου
κρατὸς διασπαρέντος, αἵματός θ' ὁμοῦ.
ἅπας δ' ἀνευφώνησεν οἰμωγῇ λεώς.
τοῦ μὲν, νοσοῦντος. τοῦ δὲ, διαπεπραγμένου.
κοὐδεὶς ἐτόλμα τἀνδρὸς ἀντίον μολεῖν.
ἐσπᾶτο γὰρ πέδονδε. καὶ μετάρσιος
βοῶν, ἰύζων. ἀμφὶ δ' ἐκτύπουν πέτραι
Λοκρῶν ὄρειοι πρῶνες, Εὐβοίας τ' ἄκραι.

Ὅπως δὲ σεμνῶν ὀργίων. ὅτε δὲ ἀπὸ τῶν θυμάτων καὶ τῶν ξύλων ἡ φλὸξ ἀνεκαίετο, τότε ἱδρὼς ἀνῄει περὶ τὸ σῶμα αὐτοῦ. ¶ Φλὸξ αἱματηρά. αἱματηρὰ, ὅτι ἐκ τοῦ αἵματος τῶν ἱερείων συνίσταται. ¶ Κἀπὸ πιείρας δρυός. ἀπὸ λιπαροῦ ξύλου. δρῦν δὲ λέγει πᾶν δένδρον. ¶ Πλευραῖσιν ἀρτίκολλος. ὡς ὑπὸ τέκτονος καλῶς συγκεκολλημένος. τὸ δὲ ἑξῆς, προσκολλᾶται ὁ χιτὼν κατὰ πᾶν μέρος ὡς ἂν ξύλῳ νεαρὰ κόλλη ὑπὸ τέκτονος προσχιαθεῖσα. ¶ Ὀδαγμὸς ἀντίσπαστος. κνησμός. δήξασθαι δὲ τὸ κνήθεσθαι. ἀντίσπαστος δὲ, ἴσος σπασμῷ, ἢ μετὰ σπασμοῦ.

Ἐχθρᾶς ἐχίδνης. Τυφῶνος μὲν δὲ καὶ ἐχίδνης ὕδρα. ¶ Ἰὸς ὡς ἐδαίνυτο. ὡς κατήσθιεν αὐτὸν ὁ ἰός. ☾ Τὸ σὸν μόνης δώρημ' ἔλεξεν. εἶπεν ὅτι σὺ αὐτῷ προσήνεγκας τὸν πέπλον. ὡς ἀπεστάλη ὑπὸ σοῦ. οἷον οὐδὲν ἀφ' ἑαυτοῦ πανουργήσας. ☾ Μάρψας ποδός νιν. δραξάμενος τοῦ ποδὸς τοῦ Λίχα κατ' ἐκεῖνο τὸ μέρος ἔνθα δεσμεῖται τὸ ἄρθρον. λέγεται δὲ τὸ περὶ τὸν ἀστράγαλον μέρος, ᾧ εἰώθαμεν δεσμεῖν τὸ ὑπόδημα, ἢ τὸ σφυρόν. εἴρηται δὲ ἀπὸ τῶν λύγων. εὐέλικτον γὰρ τὸ φυτὸν νέον ὄν. Ὅμηρος, Δίδη μόσχοισι λύγοισιν. Ἀμφίκλυστον. τὴν ἐκ τοῦ πόντου ἀμφοτέρωθεν κλυζομένην. ☾ Ἡ λυγίζεται. ἁρμόζεται. κάμπτεται. συστρέφεται. ὅπου ἐστὶν ὁ δεσμὸς τῶν νεύρων ἔνθα ὑποδεσμούμεθα. Κόμης δὲ λευκὸν μυελόν. διὰ δὲ τῆς κόμης τὸν ἐγκέφαλον ἐκραίνει, κατὰ μέρος τῆς κεφαλῆς διαχωθείσης. ὅτι διαιρεθείσης τῆς κεφαλῆς, διὰ τῆς κόμης ἀνεπέμπετο ὁ ἐγκέφαλος σὺν τῷ αἵματι. ¶ Ἀνευφώνησε. κατὰ τὸ ἐναντίον, ἀντὶ τοῦ ἐστέναξε. ☾ Τοῦ μὲν νοσοῦντος. τοῦ Ἡρακλέους νοσοῦντος, τοῦ δὲ Λίχου ἤδη ἀναιρεθέντος, ὅ ἐστι πεφονευμένου. ☾ Ἐσπᾶτο γάρ. σπασμῷ γὰρ εἰλημμένος κείμενος ἐπὶ τῆς γῆς. ☾ Λοκρῶν ὄρειοι πρῶνες. Ὅμηρος, Λοκρῶν δ' ἡγεμόνευεν Οἰλῆος ταχὺς Αἴας. Λοκρῶν οἳ ναίουσι πέραν ἱερῆς Εὐβοίης.

Ἐπὶ δ'

Ἐπὶ δ' ἀπεῖπεν. ἀπέκαμεν. ἀπηγόρευσεν ἑαυτόν. ὑπερκέκμηκε πρὸς τὰς ὀδύνας ὑπὸ γῆς κυλιόμενος. ¶ Ἐνδακρυόμενος. σφοδρῶς λοιδορούμενος. ἐνδατεῖσθαι γὰρ τὸ σφοδρῶς ἐσθίειν. λοιδορῶν. μεμφόμενος. κατὰ μέρος τῶν λεγομένων ἀνακαλῶν. ἐνδατεῖσθαι γὰρ τὸ μερίζεσθαι. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν δαινυμένων. ἄλλως. ἐνδακρυόμενος. νῦν σφόδρα κακῶς λέγων. δυσφημῶν. συνεχῶς μεμφόμενος. ἐπιπλώμενος. ἔνιοι δὲ γράφουσιν, ἐμματιούμενος. ἀντὶ τοῦ μαστιζόμενος. κατακτήσαιτο. πλεονασμὸς ἡ κατά, ἀντὶ τοῦ ἔσχε. ¶ Τότ' ἐκ προσέδρου. ὅτε ἀπέκαμε κυλιόμενος, τότε ἀνατείνας τὸν ὀφθαλμὸν διὰ τῆς κεχυμένης τοῦ σώματος λιγνύος, εἶδέ με δακρυρροοῦντα. λιγνύος δὲ, τῆς παρακειμένης, καὶ περικεχυμένης αὐτὸν φλογώδους νόσου. ¶ Ἀλλ' ἆρον. προστακτικῶς. ¶ Εἰ δ' οἶκτον ἴσχεις. ἀχθέεται γὰρ αὐτοῦ θανεῖν, μὴ ἐγγελασθῇ ὑπὸ τῶν οἰχαλίων. ¶ Βρυχώμενον. ἀνοιμώζοντα μεγάλως ἐκ τῶν σπασμῶν. ¶ Ποίνιμος δίκη. ἡ τιμωρός. ἡ ποινὴν ἀπαιτοῦσα. ¶ Θέμις δ', ἐπεί μοι τὴν θέμιν. θέμις δέ ἐστιν ἡμᾶς καταρᾶσθαί σοι, ἐπεὶ σὺ προτέρα τὴν θέμιν ἀπέρριψας καὶ παρῆλθες. ἐὰν δὲ προὔλαβεν. ἀντὶ τοῦ φθάσασα τὴν θέμιν, καὶ οὐκ ἀνέδεξω, ἕως τὶ κατὰ τὸ δίκαιον πράξῃς. γράφεται καὶ προὔβαλεν. ¶ Τί σῖγ' ἀφέρπεις. σιγᾷ ὑπεξορματικῶς, ἀντὶ τοῦ σιωπηλῶς. τουτέστι, διατί οὐ λόγον ἀποκρίνῃ πρὸς τὸν Ὕλλον. ¶ Ξυνηγορεῖς. συνάδεις. συμφωνεῖς. ¶ Οὖρος ὀφθαλμῶν ἐμῶν. εἴθε οὖρος καλὸς ἐπιπνεύσοι αὐτῇ ἀπιούσῃ, ἵνα μηκέτι αὐτὴν ἴδοιμι. φορτικῶς δὲ τὸ οὖρος ὡς ἐπὶ νεώς. ἀντὶ τοῦ οὐριοδρομείτω.

ἐπεὶ δ' ἀπεῖπε, πολλὰ μὲν τάλας χθονὶ
ῥίπτων ἑαυτὸν, πολλὰ δ' οἰμωγῇ βοῶν,
τὸ δυσπάρευνον λέκτρον ἐνδατούμενος
σοῦ τῆς ταλαίνης, καὶ τὸν Οἰνέως γάμον,
οἷον κατακτήσαιτο λυμαντὴν βίου,
τότ' ἐκ προσέδρου λιγνύος διάστροφον
ὀφθαλμὸν ἄρας, εἶδέ μ' ἐν πολλῷ στρατῷ
δακρυρροοῦντα. καί με προσβλέψας, καλεῖ
ὦ παῖ, πρόσελθε. μὴ φύγῃς τοὐμὸν κακὸν,
μηδ' εἴ σε χρὴ θανόντι συνθανεῖν ἐμοί.
ἀλλ' ἆρον ἔξω. καὶ μάλιστα μὲν μέθες
ἐνταῦθ', ὅπου με μή τις ὄψεται βροτῶν.
εἰ δ' οἶκτον ἴσχεις, ἀλλά μ' ἔκ γε τῆσδε γῆς
πόρθμευσον ὡς τάχιστα, μηδ' αὐτοῦ θάνω.
τοσαῦτ' ἐπισκήψαντος, ἐν μέσῳ σκάφει
θέντες σφε, πρὸς γῆν τήνδ' ἐκέλσαμεν, μόλις
βρυχώμενον σπασμοῖσι. καί νιν αὐτίκα
ἢ ζῶντ' ἐσόψεσθ', ἢ τεθνηκότ' ἀρτίως.
τοιαῦτα μῆτερ πατρὶ βουλεύσασ' ἐμῷ,
καὶ δρῶσ' ἐλήφθης, ὧν σε ποίνιμος δίκη
τίσαιτ', ἐρινύς τ'. εἰ θέμις δ' ἐπεύχομαι.
θέμις δ', ἐπεί μοι τὴν θέμιν σὺ προὔβαλες,
πάντων ἄριστον ἄνδρα τῶν ἐπὶ χθονὶ
κτείνασ', ὁποῖον ἄλλον οὐκ ὄψει ποτέ.
ΧΟ τί σῖγ' ἀφέρπεις; οὐ κάτοισθ' ὁθούνεκα
ξυνηγορεῖς σιγῶσα τῷ κατηγόρῳ.
ΥΛ ἐᾶτ' ἀφέρπειν. οὖρος ὀφθαλμῶν ἐμῶν
αὐτῇ γένοιτ' ἄπωθεν ἑρπούσῃ καλῶς.

Ὄγκον γὰρ ἄλλως ὀνόματος. τί γὰρ μάτην ἐπαιρόμεθα τῷ τῆς μητρὸς ὀνόματι, οὐδὲν ἄξιον αὐτῆς διαπραξαμένης, ὧν ἡ φύσις καὶ ὁ θεσμὸς ἀπαιτεῖ. ¶ Τρέφειν. ἀντὶ τοῦ ἔχειν. ¶ Ἴδ᾽ οἷον ὦ παῖδες. ὁ χορὸς πρὸς ἀλλήλας διαλέγεται περὶ τῆς δεδομένης μαντείας τῷ ἡρακλεῖ ἐν τῇ δωδώνῃ, ὅτι νῦν ἀπέβη. τὸ δὲ οἷον ἀντὶ τοῦ οἵως, οἷον, ὁρᾶτε ὦ φίλαι οἵως ἡμῖν ἀθρόως συνέπεσε, καὶ εἰς οἷον κακὸν ἀπέβη τὸ ἔπος ἐκ τῆς μαντείας πάλαι χρησθέν. προσέμιξε δὲ, ἀντὶ τοῦ προσήγγισεν ὀξέως. ¶ Τᾶς παλαιφάτου προνοίας. γράφεται παλαιφοίτου, ἵν᾽ ᾖ, τῆς πάλαι μαντευσαμένης. φοιβασθῆναι γὰρ τὸ μαντεύεσθαι. Ὅτ᾽ ἔλακεν. ὅπερ ἐφθέγξατο, ἐπειδὰν ἐνιαυτὸς περιέλθοι. τότε διαδοχὴν γενέσθαι τῶν πόνων τῷ ἡρακλεῖ τῷ διὸς παιδί. ἀναδοχὰν δὲ ἀνάπαυσιν, ἀνακωχὴν, ἀναδοχήν. ¶ Αὐτόπαιδι. γνησίῳ παιδί. ¶ Τελεόμηνος ἐκφέροι. ὁ ἐνιαυτὸς ὁ τέλειον ἔχων τὸν δωδεκάμηνον. ¶ Ἄροτος ὁ ἐνιαυτὸς, ἀπὸ τοῦ ἅπαξ κατ᾽ ἐνιαυτὸν ἀροῦν. ¶ Καὶ τάδ᾽ ὀρθῶς. ταῦτα δὲ τὰ χρησθέντα ἀσφαλῶς νῦν ἡμῖν ἀποβαίνει. τροπικῶς δὲ καρουρίζει, ὥσπερ οὐρίῳ πνεύματι προσορμίζει ἡμῖν κατ᾽ ὀρθὸν ἀνυόμενα. ¶ Καρουρίζει. προσάγει. ¶ Πῶς γὰρ ἂν ὁ μὴ λεύσσων. πῶς γὰρ ὁ μηκέτι ὁρῶν τὸ φῶς, παρὰ Εὐρυσθέως κελεύοιτο. Εἰ γάρ σφε κενταύρου. εἰ γὰρ αὐτὸν τὸν ἡρακλέα τὸ αἷμα τὸ θανάσιμον τοῦ κενταύρου περιέχει πλευρᾶς προστακέντος ἰοῦ, πῶς ἂν ἕτερον ἥλιον ἢ τανῦν ἴδοι. ¶ Χρίει δολοποιός. χρίει δὲ τὸ ἱμάτιον τῷ αἵματι ἡ ἀνάγκη τῆς Δηϊανείρας. ἡ μετὰ δόλῳ τεχνησαμένη. ἠναγκάσθη γὰρ ὑπὸ ζήλου τεχνάσασθαι. ¶ Ὃν τέκετο θάνατος. τοῦτον τὸν ἰὸν ἐγέννησεν ὁ αἰόλος δράκων, μᾶλλον δὲ ὁ θάνατος. ¶ Προστακὼς φάσματι. προσκεκολλημένος τῷ ἰῷ τῆς ὕδρας. τοῦτο δὲ καθ᾽ ἑαυτὸ, ἐπιτακτικὴν γὰρ ἐπιφέρει. Ἄλλως. Προσκεκολλημένος τῷ ἰῷ, ἢ τῷ ὀλεθρίῳ, παρὰ τὸ πεφονεῦσθαι τῷ φάσματι, τουτέστι, τῷ ἱματίῳ τῷ κεχρισμένῳ τῷ φαρμάκῳ τῆς ὕδρας, τουτέστι τῇ χολῇ.

ὄγκον γὰρ ἄλλως ὀνόματος, τί δεῖ τρέφειν
μητρῷον, ἥτις μηδὲν ὡς τεκοῦσα δρᾷ.
ἀλλ᾽ ἑρπέτω χαίρουσα. τὴν δὲ τέρψιν, ἣν
τῷ 'μῷ δίδωσι πατρὶ, τήνδ᾽ αὐτὴ λάβοι.
Χο. Ἴδ᾽ οἷον ὦ παῖδες προσέμιξεν ἄφαρ
τοὔπος τὸ θεοπρόπον ἡμῖν
τᾶς παλαιφάτου προνοίας,
ὅτ᾽ ἔλακεν ὁπότε τελεόμηνος ἐκφέροι
δωδέκατος ἄροτος ἀναδοχὰν τελεῖν πόνων
τῷ Διὸς αὐτόπαιδι. καὶ τάδ᾽ ὀρθῶς
ἔμπεδα καρουρίζει.
πῶς γὰρ ἂν ὁ μὴ λεύσσων
ἔτι ποτὲ,
ἔτ᾽ ἐπίπονον ἔχοι
θανὼν λατρείαν.
εἰ γάρ σφε κενταύρου φονίᾳ νεφέλᾳ
χρίει δολοποιὸς ἀνάγκα
πλευρὰ προστακέντος ἰοῦ,
ὃν τέκετο θάνατος, ἔτεκε δ᾽ αἰόλος δράκων.
πῶς ὅδ᾽ ἂν ἅλιον ἕτερον ἢ τανῦν ἴδοι.
δεινοτάτῳ μὲν ὕδρας προστετακὼς

Μελαγχαίτα

Μελαγχαίτα τ' ἄμμιγα. τοῦ δασυτρίχου, καὶ ἅμα τῷ φάσματι τῆς ὕδρας, καὶ τὰ κέντρα τοῦ Νέσσου. αἰκίζει αὐτόν. δῆλον δὲ, ὅτι φόνια τὰ κέντρα τοῦ Νέσσου. λέγει δὲ τὸ αἷμα αὐτοῦ τὸ συμμεμιγμένον τῇ χολῇ τῆς ὕδρας. ¶ Φοίνια δολόμυθα. ὅτι τοῖς δολίοις τοῦ Νέσσου λόγοις ἀπατηθεῖσα τετόλμηκεν. Ἄλλως. Φοίνια δολόμυθα. τὰ δόλια φάρμακα. καὶ γὰρ ἕτερά τινα ἐκέλευσεν αὐτῇ συμμίξαι τῷ αἵματι ὡς ὀπίσω εἴπεν.

φάσματι μελαγχαίτα
τ' ἄμμιγά νιν αἰκίζει,
Νέσσου θ' ὕπο,
φοίνια δολόμυθα κέν-
τρ' ἐπιζέσαντα.
ὧν ἅδ' ἁ τλάμων ἄοκνον
μεγάλαν προσορῶσα δόμοις βλάβαν
νέων ἀϊσσόντων γάμων,
τὰ μὲν, οὔ τι προσέβαλε. τὰ δ' ἀπ' ἀλλοθρόου
γνώμας μολόντ' ὀλεθρίαις ξυναλλαγαῖς,
ἦ που ὀλοὰ στένει,
ἦ που ἀδινῶν χλωρὰν
τέγγει δακρύων ἄχναν.
ἁ δ' ἐρχομένα
μοῖρα προφαίνει δολίαν
καὶ μεγάλαν ἄταν.

¶ Ἐπιζέσαντα. ἐκχυθέντα, ἀνακαχλάσαντα ἀπὸ τῆς θέρμης τοῦ πυρός. ¶ Ὧν ἅδ' ἁ τλάμων. ὧν τὴν βλάβην ὁρῶσα ἡ Δηϊάνειρα τοῖς οἴκοις συμβᾶσαν, αὐτὴν μὲν ἐξ ἀρχῆς αὐτὴ οὐ συνεῖδεν. ἐκ κατασκευῆς δὲ τοῦ Νέσσου ὅτι τοῦ πόρρω φωνῆς γενομένην, ὡς δῆθεν ἐπὶ τὸ διαλλάξαι αὐτῇ τὸν ἡρακλέα λίαν ὀδύρεται καὶ στένει. Ἄλλως. Ὧν ἅδ' ἁ τλάμων. τῶν νεωστὶ δρωμένων, καὶ εἰς τὴν ἀμέλλητον βλάβην συμβάντων τοῖς οἴκοις. ἡ Δηϊάνειρα τὰ κακὰ μὲν ἐξ ἀρχῆς αὐτὴ οὐ συνεῖδεν, ἐπὶ τὸ διαλλάττειν τὸν ἡρακλέα. ¶ Ἄοκνον δὲ, τὴν ὀξεῖαν ὅτι ἀμέλλητον, ἢ πολύοκνον, ὅ ἐστι πολύφοβον. κατ' ἐπίτασιν δὲ τὸ α. ¶ Νέων ἀϊσσόντων. νεωστὶ προσβαλόντων. ¶ Οὔ τι προσέβαλεν. οὐ συνῆκεν ἀπὸ τοῦ Νέσσου. ¶ Τὰ δ' ἐπ' ἀλλοθρόου. ἀλλοφώνου. ἀπὸ τοῦ Νέσσου φωνῆς γέγονεν. ἢ καθ' ἡρακλέους συμφορά. ἢ τὰ ἄλλα εἰπούσης. ἢ τὰ ἀληθῆ. ἢ ἀλλοφώνου, ὡς ἀλλαγμένην τοῦ Νέσσου φωνὴν ἔχοντος. ¶ Ὀλεθρίαις ξυναλλαγαῖς. ἢ ὀλεθρίαις καὶ ἐπιβλαβέσι φιλίαις. ἢ ἐπεὶ ἀντὶ τοῦ ἰδίου θανάτου ὁ Νέσσος ἀντήλλαξεν αὐτῇ τὸ αἷμα. ἢ ὅτι ὁ μὲν Νέσσος εἶπεν αὐτῇ πόθου καὶ διαλλαγῆς ἐραστήριον εἶναι τὸ φάρμακον. γέγονε δὲ ὄλεθρος ἡρακλέους. ¶ Ἦ που ὀλοὰ στένει. ὄντως δὴ ἡ ἀθλία καταστάζει καὶ διαβρέχει πολλῶν δακρύων ἀφρόν. ἐμφατικὸν δὲ τὸ ἄχνα διὰ τὸ πλῆθος. χλωρὰν δὲ ἄχναν, τὸν νεαρὸν ἀφρόν. ¶ Ἦ που ἀδινῶν. ἀθρόων. ἢ πληθυνόντων. ¶ Δακρύων ἄχναν. περιφραστικῶς τὰ δάκρυα. ¶ Ἁ δ' ἐρχομένα μοῖρα. ἡ προσδοκωμένη κακομοῖρα τοῦ ἡρακλέους, ἐμφαίνει μεγάλην ἑτέραν ἄτην. προσδοκῶσι δὲ ὅτι ἀπολλυμένου ἡρακλέους, αὐτόχειρ ἑαυτῆς γενήσεται. ¶ Καὶ μεγάλαν ἄταν. δόλῳ γὰρ αὐτὴν ὅτι λάθρα ἀναιρήσει.

Ἔῤῥωγε παγὰ δακρύων. ἀντὶ τοῦ πάρεστιν ἡμῖν δακρύειν, ὡς ἀπὸ πηγῆς κρουνηδόν. ἐκτέταται γὰρ τὸ κακὸν καὶ πανταχοῦ διαβέβηκεν ἡ κατὰ τὸν ἡρακλέα συμφορά.

Α πέμολε πάθος. ἀντὶ τοῦ ἀπεμόλοι. οἷον, οὐδέ ποτε ἀπὸ τῶν πολεμίων γένοιτο.

Ω πόποι. φεῦ φεῦ κακὴ φήμη πέρ γινε περὶ ἡρακλέα. οἷον, οὐδέ ποτε πολεμίοις αὐτοὶ κτίσιν σιωπηθήσεται. τὸ γὰρ οὔπω, ἀντὶ τοῦ οὐχί. ἢ οὕτως. οἷον κακὴ φήμη οὐδέ ποτε ὑπὸ τῶν ἐχθρῶν συνέβη περὶ ἡρακλέα. ὅτι ἀπὸ τῶν ἰδίων αὐτοῦ γεγένηται. ¶ Ἰὼ κελαινὰ λόγχα. κελαινὴν εἶπε τὴν λόγχην, διὰ τὸ διὰ αὐτῆς ἀποτελούμενον θάνατον. μέλας δὲ ὁ θάνατος. δυσφορεῖ δὲ ἐπὶ τῷ αἰχμάλωτον εἰλῆφθαι τὴν Ἰόλην. διὰ γὰρ ταύτην ἡ συμφορά. λόγχα δὲ δορὸς, περιφραστικῶς ἡ λόγχη. προμάχου δὲ, τοῦ προβεβλημένου. τὸ δὲ λόγχα, πρὸς τὸ αἷμα. ὁ δὲ λόγος. ὦ θανατοποιὲ λόγχη, ἥτις τότε ἀνελοῦσα τὸν Εὔρυτον, ἐνταῦθα τὴν Ἰόλην ἤγαγες ἐκ τῆς ὑψηλῆς οἰχαλίας, ὡς εἴθε μή ποτε. τουτέστι φεῦ τῆς λόγχης ἐκείνης, ἐν ᾗ ἐπόρθησε τὴν οἰχαλίαν ὁ ἡρακλῆς, ἵνα ἐνέγκῃ τὴν Ἰόλην. διὰ γὰρ ταύτην ἡ συμφορὰ ἐγένετο. τὸ δὲ ἄρθρον τῇ λόγχῃ συναπτέον, ἥτις λόγχη.

ἔῤῥωγεν παγὰ δακρύων. κέχυται
νόσος. ὦ πόποι. οἷον ἀναρσίων
οὔπω ἀγακλειτὸν
Ἡρακλέους ἀπέμολε πάθος οἰκτίσαι.
ἰὼ κελαινὰ λόγχα προμάχου δορὸς,
ἃ τότε θοὰν νύμφαν
ἄγαγες ἀπ' αἰπεινᾶς
τάνδ' Οἰχαλίας αἰχμᾷ.
ἁ δ' ἀμφίπολος
Κύπρις ἄναυδος φανερὰ
τῶνδ' ἐφάνη πράκτωρ.

Χο Πότερον ἐγὼ μάταιος, εἰ κλύω τινὸς
οἴκτου δι' οἴκων ἀρτίως ὁρμωμένου.
τί φημι.
ἠχεῖ τις οὐκ ἄσημον, ἀλλὰ δυστυχῆ
κωκυτὸν εἴσω, καί τι καινίζει στέγη.
ξύνες δὲ
τήνδ' ὡς ἀήθης καὶ συνωφρυωμένη
χωρεῖ πρὸς ἡμᾶς γραῖα σημανοῦσά τι.

Τρο ὦ παῖδες, ὡς ἄρ' ἡμὶν οὐ σμικρῶν κακῶν

Π ρομάχου δορός. τὸ προμάχου ἐπὶ τοῦ ἡρακλέους ληπτέον. οἷον τοῦ πρὸ πάντων μαχομένου. τὸ νύμφαν δὲ συναπτέον περὶ τάνδε. ¶ Α τότε θοὰν νύμφαν. ἀντὶ τοῦ θοῶς. τινὲς δὲ τὴν ταχέως νυμφευθεῖσαν. ¶ Απ' αἰπεινᾶς. ἀπὸ τῆς ἐν ὕψει κειμένης. ¶ Αἰχμᾷ. νόμῳ πολέμου. ¶ Α δ' ἀμφίπολος Κύπρις. ὑπηρετησαμένη περὶ ἡρακλέα πρὸς τὸν ἔρωτα. ὁ νοῦς. ἡ δὲ Κύπρις ἦν ἄρα φανερῶς ἡ πάντων ῥύτωρ ἐργάτης εἰς ἔρωτα Ἰόλης βαλοῦσα τὸν ἡρακλέα. ¶ Πράκτωρ. πρακτική. ¶ Πότερον ἐγὼ μάταιος. ὁ χορὸς τοῦ ψόφου ἀκούων θρηνούσης, ἐπὶ τῇ ἀναιρέσει τῆς Δηϊανείρας φησὶ ταῦτα. ἆρ' ἀναίσθητός εἰμι; κατακούω θρήνου τινός. ¶ Δυστυχῆ κωκυτὸν εἴσω. ἔοικέ τι νεώτερον ἔχειν ὁ οἶκος. ¶ Ξύνες δέ. ἀλλήλους παρακελεύονται αἱ ἀπὸ τοῦ χοροῦ. ¶ Οὐκ ἄσημον, ἀλλὰ δυστυχῆ. οὐ μικρὸν ἀλλὰ μέγα καὶ διάγνωστον. ταῦτα δὲ ὡς ἠθισμένη μείζονος βοῆς. Ἄλλως. Ξύνες δέ. ἀντὶ τοῦ τόδε ἄκουσον. παρὰ τὸ ἔθος γὰρ κατεστυγνακυῖα πρόσεισι.

Τὸ πόμπιμον. τὸ πομφθέν. λέγει δὲ τὸν χιτῶνα. ¶ Βέβηκε Δηϊάνειρα. εἰς ἅδου. οὐ ποσὶ βεβηκυῖα. τὸ γὰρ σῶμα οὐκ ἀπῆειν εἰς ἅδου. ¶ Οὐ δή ποθ' ὡς θανοῦσα. κατ' ἐρώτησιν. οὐχὶ ὡς θανοῦσα. βέβηκε δὲ, ἐπεὶ καὶ ζῶντά ἐστι πού προβεβηκέναι.

Σχετλιώτατα. σχετλιώτατα ἦλθε πρὸς τὴν ἀναίρεσιν, τουτέστιν, ὡς ἄν τις ἰδὼν ἢ ἀκούσας σχετλιάσειε τὴν πρᾶξιν. ¶ Εἰπὲ τῷ μόρῳ. τίνι θανάτῳ συνέπεσεν. ἀντὶ τοῦ τίνι τρόπῳ ἐτελεύτησεν. ¶ Αὐτὴν διηΐστωσεν. αὐτὴ ἑαυτὴν ἀφανῆ ἀπὸ τοῦ βίου ἐποίησεν. ¶ Τίς θυμός, ἢ τίνες νόσοι. τίνι θυμῷ χρησαμένη ἑαυτὴν ἀνεῖλεν. ἢ τίς θυμός φησιν ἀνεῖλε τὴν Δηϊάνειραν. ¶ Τὰν δ' αἰχμὰν βέλεος κακοῦ. περίφρασις τοῦ βέλους. βέλος δὲ εἶπε τὴν Δηϊάνειραν, ὅτι τρόπον βέλους ἀνεῖλεν ἑαυτήν. ἢ, ἥ τις ὡς βέλος ἰοβόλον μέγα κακὸν περιετέθειτο τῷ Ἡρακλεῖ.

¶ Πρὸς θανάτῳ θάνατον. τὸν ἑαυτῆς πρὸς τῷ τοῦ Ἡρακλέους. ¶ Ἐπεῖδες ὦ ματαία. τεθέασαι τὴν ἐκείνης τόλμαν. ἐκ στερήσεως ἰδίαν τὴν ὠμότητα. οὕτως γὰρ εἶπε τὴν ὕβριν. καὶ νῦν δὲ τὸ ματαία κατὰ ἀντίφασιν, ἀντὶ τοῦ ὦ μελέα. ὁ Ὅμηρος γὰρ τὸ μάταιον, μέλεον καλεῖ,
„ Οὐ μὲν γάρ τι μέλεος
„ εἰρήσεται αἶνος. ¶ Πῶς φέρ' εἰπέ. ἀντὶ τοῦ, τίνα θυμὸν εἶχε τότε. ¶ Χειροποιεῖται τάδε. ταῦτα τῇ χειρὶ ἑαυτῆς διεπράξατο.

¶ Τί φωνεῖς; ἀντὶ τοῦ, ἄπιστα λέγεις. ¶ Ἀνέορτος ἅδε. ἡ νεωστὶ ἐνταῦθα ὁρμήσασα Ἰόλη. ἀνέορτος δὲ ἀντὶ τοῦ ἡ αἰσχρὰ καὶ ἀπρεπής.

ἤξεν τὸ δῶρον Ἡρακλεῖ τὸ πόμπιμον.
Χο τί δ' ὦ γεραιὰ καινοποιηθὲν λέγεις;
Τρ βέβηκε Δηϊάνειρα τὴν πανυστάτην
ὁδῶν ἁπασῶν ἐξ ἀκινήτου ποδός.
Χο οὐ δή ποθ' ὡς θανοῦσα;
Τρ πάντ' ἀκήκοας.
Χο τέθνηκεν ἡ τάλαινα;
Τρ δεύτερον κλύεις.
Χο τάλαιν' ὀλεθρία. τίνι τρόπῳ θανεῖν σφε φής;
Τρ σχετλιώτατα πρός γε πρᾶξιν.
Χο εἰπὲ τῷ, μόρῳ γύναι ξυντρέχει.
Τρ αὐτὴν διηΐστωσε.
Χο τίς θυμός, ἢ τίνες νόσοι
τάν δ' αἰχμὰν βέλεος κακοῦ
ξυνεῖλε; πῶς ἐμήσατο
πρὸς θανάτῳ θάνατον
ἀνύσασα μόνα;
Τρ στονόεντος ἐν τομᾷ σιδήρου.
Χο ἐπεῖδες ὦ ματαία τάνδ' ὕβριν;
Τρ ἐπεῖδον ὡς δὴ πλησία παραστάτις.
Χο τίς ἦν; πῶς; φέρ' εἰπέ.
Τρ αὐτὴ πρὸς αὑτῆς χειροποιεῖται τάδε.
Χο τί φωνεῖς;
Τρ σαφηνῆ.
Χο ἔτεκεν ἔτεκεν μεγά-
λαν ἀνέορτος ἅδε νύμφα
δόμοισι τοῖσδ' Ἐρινύν.
Τρ ἄγαν γε. μᾶλλον δ' εἰ παροῦσα πλησία
ἔλευσσες οἷ' ἔδρασε, κάρτ' ἂν ᾤκτισας.
Χο καὶ ταῦτ' ἔτλη τις χεὶρ γυναικεία κτίσαι;

Τίς χεὶρ γυναικεία κτίσαι. κατασκευάσαι, καὶ ποιῆσαι. καλῶς δὲ ὡς ἐπὶ μεγάλῳ τολμήματι εἶπε τὴν λέξιν. οὕτως ἀκριβῶς διηγήσομαί σοι τὸ πρᾶγμα, ὡς πεισθῆναί σε ὅτι ἀληθῆ λέγω.

Εἶδε κοῖλα δέμνια. γράφεται κοινά. ἢ τὰ τοῦ θανάτου. ἢ τὰ αὐτῆς καὶ τοῦ Ἡρακλέους. ¶ Στορνῦνθ' ὅπως. τὸν Ὕλλον στρωννύντα. ¶ Κλαῖε δ' ὀργάνων ὅτου. ἢ τῶν ἱστουργικῶν. ἢ τῶν ἐργαλείων, οἷς τὸν πέπλον ἔχεισεν. Ἄλλως. ἢ ἀπὸ τοῦ γένους ἐργαλείου, ὧν εἰώθει μεταχειρίζεσθαι, ζῶντος αὐτῇ τοῦ Ἡρακλέους· οἷον, ἱστοῦ, ἢ τινος τοιούτου, ὀδυρομένη ὡς λειπὸν καταλιμπάνουσα αὐτά. ἱστοῦ δὲ ἴσως ἐφήψατο, διὰ τὸ κατασκευασθέντα πέπλον ἐπὶ συμφοραῖς. ¶ Ἄλλῃ δὲ κἄλλῃ. ἀντὶ τοῦ τῇδε, κἀκεῖσε.

Καὶ τὰς ἀπαιδας. ἐπεὶ μηκέτι ἔμελλε παῖδας τίκτειν, ἤτοι λέγειν, ὅτι τοῦ λοιποῦ οὐ γενήσονται συνουσίαι πρὸς τὸν Ἡρακλέα εἰς παιδοποιΐαν. ¶ Οὐσίας. κοίτας, συνουσίας. ¶ Ἐπεσκιασμένη. περικεκαλυμμένη. ¶ Φρούρουν. ἐφύλαττον. ¶ Στρωτὰ βάλλουσαν φάρη. ἔνθα συνεκαθεῦδον. ἄλλο γὰρ ἦν ὅπερ ἐστόρεσεν ὁ Ὕλλος. ¶ Ἐπενθοροῦσ' ἄνω. ἐναλλομένη ἄνω εἰς τὴν κλίνην. ¶ Εὐνήτειραν. συναζομένην. κοιμωμένην. ¶ Προὔκειτο μαστῶν. πρὸς τῷ στήθει γὰρ ἐπορπῶνται αἱ γυναῖκες. ¶ Ἐκ δ' ἐλώπισεν. ἐγύμνωσεν, ἐξέδυσεν. λῶπος γὰρ τὸ ἱμάτιον. ¶ Τῷ παιδὶ φράζω. τῷ Ὕλλῳ τῷ παιδὶ τὰ τοιαῦτα τολμώσης. ¶ Κἀν ᾧ. καὶ ἐν ᾧ. ἐν ὅσῳ διεξερχόμεθα πρὸς τὸν Ὕλλον. εἶτα πάλιν πρὸς τὴν Δηιάνειραν ἔφθασεν ἑαυτὴν ἀνελοῦσα. ¶ Ἀμφί νιν. περὶ αὐτήν.

Δεινῶς γε. πεύσῃ δ' ὥστε μαρτυρεῖν ἐμοί.
ἐπεὶ παρῆλθε δωμάτων εἴσω μόνη,
καὶ παῖδ' ἐν αὐλαῖς εἶδε κοῖλα δέμνια
στορνῦνθ' ὅπως ἄψορρον αὐτρίκ πατρί,
κρύψασ' ἑαυτὴν ἔνθα μή τις εἰσίδοι.
βρυχᾶτο μὲν βωμοῖσι προσπίπτουσ', ὅτι
γένοιτ' ἐρήμη. κλαῖε δ' ὀργάνων ὅτου
ψαύσειεν, οἷς ἐχρῆτο δειλαία πάρος.
ἄλλῃ δὲ κἄλλῃ δωμάτων στρωφωμένη
εἴ του φίλων βλέψειεν οἰκετῶν δέμας,
ἔκλαιεν ἡ δύστηνος εἰσορωμένη,
αὐτὴ τὸν αὑτῆς δαίμονα καλουμένη,
καὶ τὰς ἀπαιδας ἐς τὸ λοιπὸν οὐσίας.
ἐπεὶ δὲ τῶνδ' ἔληξεν, ἐξαίφνης σφ' ὁρῶ
τὸν ἡράκλειον θάλαμον εἰσορμωμένην.
κἀγὼ λαθραῖον ὄμμ' ἐπεσκιασμένη,
φρούρουν. ὁρῶ δὲ τὴν γυναῖκα δεμνίοις
τοῖς ἡρακλείοις στρωτὰ βάλλουσαν φάρη.
ὅπως δ' ἐτέλεσε τοῦτ', ἐπενθοροῦσ' ἄνω,
καθέζετ' ἐν μέσοισιν εὐναστηρίοις,
καὶ δακρύων ῥήξασα θερμὰ νάματα,
ἔλεξεν, ὦ λέχη τε καὶ νυμφεῖ' ἐμά,
τὸ λοιπὸν ἤδη χαίρεθ', ὡς ἔμ' οὔποτε
δέξετ' ἔτ' ἐν κοίταισι ταῖσδ' εὐνήτειραν.
τοσαῦτα φωνήσασα, συντόνῳ χερὶ
λύει τὸν αὑτῆς πέπλον, ᾧ χρυσήλατος
προὔκειτο μαστῶν περονίς. ἐκ δ' ἐλώπισε
πλευρὰν ἅπασαν, ὠλένην τ' εὐώνυμον.
κἀγὼ δρομαία βᾶσ', ὅσον περ ἔσθενον,
τῷ παιδὶ φράζω τῆς τεχνωμένης τάδε.
κἀν ᾧ τὸ κεῖσε δεῦρό τ' ἐξορμώμεθα,
ὁρῶμεν αὐτὴν ἀμφιπλῆγι φασγάνῳ.

Πλευρὰν ὑφ' ἧπαρ. κατὰ τὸ ἧπαρ φρένες ταχεῖαι. ὅμηρος. ὅθι τε φρένες ἧπαρ ἔχουσιν. ¶ Ἔγνω γὰρ τάλας. ἔγνω γὰρ κατὰ ποῖον τρόπον τοῦτο ἐποίησεν ἡ μήτηρ αὐτοῦ. συνεῖδεν ὡς ὀργισθεῖσα διὰ τὸ ἠπατῆσθαι παρὰ τοῦ Νέσσου, τὸ ἔργον τοῦτο διεπράξατο.

πλευρὰν ὑφ' ἧπαρ καὶ φρένας πεπληγμένην.
ἰδὼν δ' ὁ παῖς, ᾤμωξεν. ἔγνω γὰρ τάλας
τοὔργον κατ' ὀργὴν ὡς ἐφάψειεν τόδε.
ὀψ' ἐκδιδαχθεὶς τῶν κατ' οἶκον, οὕνεκα
ἄκουσα πρὸς τοῦ θηρὸς ἔρξειεν τάδε.
κἀνταῦθ' ὁ παῖς δύστηνος, οὔτ' ὀδυρμάτων
ἐλείπετ' οὐδὲν ἀμφί νιν γοώμενος
οὔτ' ἀμφιπίπτων στόμασιν. ἀλλὰ πλευρόθεν
πλευρὰν παρεὶς, ἔκειτο πόλλ' ἀναστένων,
ὥς νιν ματαίως αἰτίᾳ βάλοι κακῇ.
κλαίων δ' ὁθούνεκ' ἐκ δυοῖν ἔσοιθ' ἅμα
πατρός τ' ἐκείνης τ' ὠρφανισμένος βίου.
τοιαῦτα τἀνθάδ' ἐστὶν, ὥστ' εἴ τις δύο
ἢ καὶ πλέους τις ἡμέρας λογίζεται
μάταιός ἐστιν. οὐ γάρ ἐσθ' ἥ γ' αὔριον,
πρὶν εὖ πάθῃ τις τὴν παροῦσαν ἡμέραν.
Χο. πότερ' ἂν πρότερα ἐπιστένω;
πότερα τέλεα περαιτέρω
δύσκριτ' ἔμοιγε δυστάνῳ;
τάδε μὲν ἔχομεν ὁρᾶν δόμοις,
τάδε δὲ μέλλομεν ἐπ' ἐλπίσιν.
κοινὰ δ' ἔχειν τε καὶ μέλλειν.
εἴθ' ἀνεμόεσσά τις
γένοιτ' ἔπουρος ἑστιῶτις αὔρα,
ἥτις μ' ἀποικίσειεν ἐκ τόπων, ὅπως
τὸν Διὸς ἄλκιμον γόνον
μὴ ταρβαλέα θάνοιμι
μοῦνον εἰσιδοῦσ' ἄφαρ.

¶ Πλευρὰν παρείς. παρεὶς ἐκτείνας ἑαυτὸν ἢ προσκολλήσας, ὀδυρόμενος, ὅτι αὐτὴν ματαίως ᾐτιάσατο, ὡς κακοήθως ἀποστείλασαν τὸν χιτῶνα. ¶ Ὥστ' εἴ τις δύο καὶ πλείους. τῶν ἀνθρωπίνων ἀδήλων ὄντων ἀνόητοί εἰσιν οἱ λογιζόμενοι δύο καὶ πλείους ἡμέρας, καὶ οὐ προσδοκῶντες καθ' ἑκάστην ὥραν τὸν θάνατον. πολλάκις γὰρ λύπῃ τινὶ, ἢ δυστυχίᾳ περιπεσόντες, ἑαυτοὺς ὑπεξάγουσι τοῦ βίου παραχρῆμα. καὶ οὐκ ἀναμένουσι τὴν παροῦσαν ἡμέραν, ὡς καὶ ἡ Δηϊάνειρα. ¶ Πότερ' ἂν πρότερα. ποῖά φησι στένω, τὰ κατὰ τὸν ἡρακλέα, ἢ τὰ κατὰ τὴν Δηϊάνειραν. ποῖα χαλεπώτερα καὶ περαιτέρω δεινότητος. δυσκατάληπτά ἐστιν ἰσομεγέθη ὄντα. ¶ Τάδε μὲν ἔχομεν. τὰ μὲν κατὰ τὴν Δηϊάνειραν αὐταῖς ὄψεσιν ἔξεστι θεωρεῖν ἐν τῷ οἴκῳ. τὰ δὲ κατὰ τὸν ἡρακλέα, ἐκδεχόμεθα. ¶ Κοινὰ δὲ ἔχειν τε καὶ μέλλειν. κοινὰ δέ ἐστι τὰ ἀμφοτέρων κακά. καὶ τὰ μὲν ἔχομεν, τὰ δὲ μέλλομεν. ἴσον δέ ἐστι τὸ ἔχειν κακὰ, καὶ τὸ προσδοκᾶν. ¶ Εἴθ' ἀνεμόεσσά τις. ἀνεμόεσσα αὔρα, περιφανὴς ἄνεμος. ἔπουρος, οὔριος. ἑστιῶτις, κατοικίδιος. ὁ δὲ νοῦς. εἴθε ὡς ἕστηκα πνεύσειεν ἄνεμος οὔριος διὰ τῆς οἰκίας, ἵνα με λαβὼν, ταύτης ἀπαγάγῃ τῆς ἑστίας, καὶ ἀποχωρισθείσῃ, ὅπως μὴ παραχρῆμα ἀποθάνω θεασαμένη τὸν ἡρακλέα κακῶς διακείμενον. τοῦτο δὲ λέγει, ὡς μὴ καρτεροῦσα ἰδεῖν τὰς συμφοράς. ¶ Ἥ τις μ' ἀποικίσειεν. ἀποχωρήσειεν ἀπὸ τούτων τῶν τόπων.

Δυσαπαλλάκτοις. δυσιάτοις. ¶ Χωρεῖν πρὸ δόμων λέγουσιν. λέγουσί τι πάμμεγεθες κακὸν πλησίον τοῦ τῆς οἰκίας χωρεῖν, δυσιάτους ὀδύνας ἡμῖν ἐφελκόμενον.

Προὔκλαιον ὀξύφωνος. ἀντὶ τοῦ προκλαίουσιν. ὁ χορὸς αἰσθάνεται τοῦ ἡρακλέους πλησίον φερομένου καὶ πλήθους θρηνούντων ἐπακολουθούντων αὐτῷ. ¶ Ξένων γὰρ ἐξόμιλος. ἐκ τῆς βαδίσεως συνῆκεν, ὃ φαινόμενον ἄθροισμα ξένων ἀνδρῶν ἐστίν. οἷον βάσις ξένων ἀνδρῶν ἐστι. καὶ ἀλλ' οὐ πλήθους συνέστηκε. ¶ Πᾷ δ' αὖ φορεῖ νιν. ποῦ φορεῖ καὶ φέρει αὐτὸν ὁ ὅμιλος. ὡς γὰρ ὑπὲρ φίλου κηδομένη ἄψοφον φέρει τὴν βάσιν. ¶ Ἄναυδος. μηδὲ φωνὴν προΐεσθαι δυνάμενον. ¶ Τί χρὴ θανόντα νιν. τί φησὶ δεῖ κρῖναι περὶ αὐτοῦ, καὶ τί ἄν τις δόξειε, πότερον τέθνηκεν, ἢ ὕπνῳ βεβάρηται. ¶ Ὤμοι ἐγὼ σοῦ πάτερ. ὁ Ὕλλος ὑπαντήσας τῷ πατρὶ, θρηνεῖ. ¶ Μήσομαι. τεχνάσομαι, μηχανήσομαι, ὅπως σωθείης. ¶ Σίγα τέκνον. ὁ γέρων τις ἀκολουθῶν τῷ ἡρακλεῖ ἀπὸ εὐβοίας πρὸς τὸν Ὕλλον φησί, μὴ ἀνεγείρῃς αὐτόν. ἔστι γὰρ αἴτιον ὀδύνης τοῖς κάμνουσιν. ¶ Ἀγρίαν ὀδύνην πατρὸς ὠμόφρονος. ἐκ τῶν ὀδυνῶν ἠγριωμένου. ¶ Ζῇ γὰρ προπετής. προπετὴς εἰς τὸν θάνατον προνενευκώς. ἢ ἐρριμμένος εἰς τὴν γῆν πεσών. ἢ ἐπὶ πρόσωπον κοιμώμενος. ἢ καὶ μόνον κείμενος.

ἐπεὶ ἐν δυσαπαλλάκτοις ὀδύναις
χωρεῖν πρὸ δόμων λέγουσιν
ἄσπετόν τι θαῦμα.
ἀγχοῦ δ' ἄρα κοὐ μακρὰν
προὔκλαιον ὀξύφωνος ὡς ἀηδών.
ξένων γὰρ ἐξόμιλος ἥδε τις βάσις.
πᾷ δ' αὖ φορεῖ νιν; ὡς φίλου
προκηδομένα, βαρεῖαν
ἄψοφον φέρει βάσιν.
αἶ. αἶ. αἶ. αἶ. ὅδ' ἄναυδος φέρεται.
τί χρὴ θανόντα νιν, ἢ καθ' ὕπνον ὄντα κρῖναι;

ΥΛ ὤμοι ἐγὼ σοῦ πάτερ.
ὤμοι ἐγὼ σοῦ μέλεος.
τί πάθω; τί δὲ μήσομαι; οἴμοι.

πρε σίγα τέκνον, μὴ κινήσῃς
ἀγρίαν ὀδύνην πατρὸς ὠμόφρονος.
ζῇ γὰρ προπετής. ἀλλ' ἴσχε δακὼν
στόμα σόν.

ΥΛ πῶς φῄς γέρον; ἦ ζῇ;

πρε οὐ μὴ 'ξεγερεῖς τὸν ὕπνῳ κάτοχον,
κἀκκινήσεις, κἀναστήσεις
φοιτάδα δεινὴν νόσον ὦ τέκνον.

ΥΛ ἀλλ' ἐπί μοι μελέῳ
βάρος ἄπλετον ἐμμέμονε φρήν.

ἡρα ὦ Ζεῦ, ποῖ γᾶς ἥκω; παρὰ τοῖσι βροτῶν κεῖμαι πεπονημένος ἀλλήκτοις ὀδύναις; οἴμοι ἐγὼ τλάμων.
ἡ δ' αὖ μιαρὰ βρύκει. φεῦ.

Ἀλλ' ἐπί μοι μελέῳ. ἀλλ' ἐνθυμεῖταί μοι τῷ μελέῳ ἡ φρὴν διὰ τὸ ἄπλετον βάρος. ἐν ἐπιθυμίᾳ φησὶν ἔχω τὸ βάρος καὶ σιωπᾶν οὐ δύναμαι. ¶ Τὸν ὕπνῳ κάτοχον. τὸν μανιώδη. ¶ Ὦ Ζεῦ ποῖ γᾶς ἥκω. ἡρακλῆς ὡς διαναστὰς καὶ ἀγνοῶν ποῦ μετενήνεκται. ¶ Βρύκει. ἐσθίει με ἡ νόσος. οὐκ ἀναλίσκει.

Ἆρ' ἐξήλλης ὅσον. πρὸς Ὕλλον λέγει. ἆρά φησιν, ὅσον ἦν κέρδος τὸ σιωπῆσαι ἐν γνώσει, καὶ μὴ διασκεδάσαι τὸν ὕπνον. Οὐ γὰρ ἔχω πῶς ἄν. ἀδυνάτως ἔχω καρτερεῖν ἐπὶ τηλικούτῳ κακῷ. Ὦ Κηναία κρηπίς. τὸ ἔδαφος. προφασιστικῶς δὲ, ἀντὶ τοῦ ὦ Κήναιον. μέμφεται δὲ τῷ τόπῳ, ὅτι οὐκ ἐπὶ αἰσίοις αὐτῷ ἐγένετο τὰ ἐκεῖ θύματα. οἵαν δὲ φησι χάριν ἀπὸ τῶν θυμάτων διεπράξω. Οἵαν. οἵαν μοι φησὶ προσετείψω βλάβην, ὦ Ζεῦ τὴν μανίας ἀκμάζουσαν. λέγει δὲ ταῦτα ἀφορῶν εἰς τὸ ἑαυτοῦ σῶμα.

Πρ. ἆρ' ἐξήδης ὅσον ἦν κέρδος
σιγῇ κεύθειν, καὶ μὴ σκεδάσαι
τῷδ' ἀπὸ κρατὸς βλεφάρων θ' ὕπνον;
Υλ. Οὐ γὰρ ἔχω πῶς ἂν
στέρξαιμι, κακὸν τόδε λεύσσων.
Ηρ. ὦ Κηναία κρηπὶς βωμῶν
ἱερῶν, οἵαν ἀνθ' οἵων
θυμάτων ἐπί μοι μελέῳ χάριν ἠνύσω. ὦ Ζεῦ.
οἵαν μ' ἄρ' ἔθου λώβαν, οἵαν,
ἣν μή ποτ' ἐγὼ προσιδεῖν ὁ τάλας
ὤφελον ὄσσοις, τόδ' ἀκήλητον
μανίας ἄνθος καταδερχθῆναι.
τίς γὰρ ἀοιδός; τίς ὁ χειροτέχνης
ἰατορίας, ὃς τήνδ' ἄτην
χωρὶς Ζηνὸς κατακηλήσει;
θαῦμ' ἂν πόρρωθεν ἰδοίμην.
ἒ, ἔ.
ἐᾶτέ μ', ἐᾶτέ με
δύσμορον εὐνάσαι.
ἐᾶτέ με δύστανον εὐνάσαι.
πᾷ μου ψαύεις; ποῖ κλίνεις;
ἀπολεῖς μ', ἀπολεῖς.
ἀντέτροφας ὅ τι καὶ μύσῃ.
ἧπταί μου τοτοτοῖ.
ἥδ' αὖθ' ἕρπει. πόθεν ἐστ', ὦ

Ὤφελον ὄσσοις τόδ' ἀκήλητον. ἀνίατον, ἀκατάπραϋντον. ἀπὸ κοινοῦ δὲ τὸ ὤφελον. Καταδερχθῆναι. θεωρῆσαι. ἤγουν τὴν ἀκμὴν τῆς μανίας. ¶ Τίς γὰρ ἀοιδός. τίς φησιν ἐπῳδὸς ἢ ἰατρὸς διὰ χειρῶν τὴν τέχνην τῆς ἰατρικῆς ἐνδεικνύμενος θεραπεύσει τὸ πάθος μου εἰ μὴ ὁ Ζεὺς βούλοιτο. ¶ Θαῦμ' ἂν πόρρωθεν. ἥδιστα ἂν καὶ εἰ μακρόθεν μεταπέμψαιτό τις τὸν θεραπεύσοντα, θεασαίμην μεταπεμψαμένων ὑμῶν. Δύσμορον. γράφεται δύστανον. ¶ Εὐνάσαι. ἢ τὸ καθευδῆσαι, ἢ τὸ ἀποθανεῖν.
Πᾷ μου ψαύεις. ὡς ἐφαπτομένου αὐτοῦ τοῦ παιδός. πῇ τὸ γνῶναι πῶς ἔχει τῷ σώματι. ἢ πᾷ ψαύεις, ἀντὶ τοῦ πάνυ ψηλαφῶν καὶ μεταφέρων τὴν κάκωσιν τὸ σῶμά μου.
Ποῖ κλίνεις. ποῦ προσάγεις τὰς χεῖρας. ¶ Ἀντέτροφας. ὅτι ἂν ἡσυχάσῃ τοῦ κακοῦ τοῦτο, πάλιν κινήσας ἀνέτρεψας, οἷον ὅτι ἂν τῶν ὀδυνῶν παύσῃ, ταῦτα διήγειρας.
¶ Τοῦτό τοι. τὸ κινηθῆναι ὑπὸ σοῦ καθήψατό μου. ¶ Ἥδ' αὖ ἕρπει. ἡ νόσος φησὶ, πάλιν ἐπίκειται. Πόθεν ἐστ', ὦ πάντων Ἑλλάνων. οὐ πρὸς τοὺς φέροντάς φησιν, ἀλλὰ καθόλου πρὸς πάντας τοὺς εὐεργετηθέντας πρώην ὑπ' αὐτοῦ. ποῦ φησιν ἄρα εἰσὶν ὦ πάντων Ἑλλήνων ἀδικώτατοι, τουτέστιν ἀχαριστότατοι. οὓς ἐγὼ πῇ μὲν κατὰ θάλατταν, πῇ δὲ ἐν γῇ ἔσωζον πάντα τόπον καθαί-

ρων ὑπὲρ σωτηρίας ἐκείνων ἐγγὺς θανάτου ἐπενόμην. τὴν δὲ ἐκ τόπου σχέσιν εἶπεν ἀντὶ τοῦ ἐν τόπῳ. ὡς σχεδόθεν ἦλθεν Ἀθήνη, ἀντὶ τοῦ σχεδόν. ℂ Ὠλεκόμαν ὁ τάλας. ἔκαμνον, καὶ ἐγγὺς θανάτου ἐπενόμην. ℂ Καὶ νῦν ἐπὶ τῷδε νοσοῦντι. δωρικῶς ἀντὶ τοῦ ἐμοί. καὶ νῦν φησιν οὐδεὶς ἐκείνων ἐπ' ἐμοὶ νοσοῦντι. ¶ Οὐ πῦρ οὐκ ἔγχος. λείπει προσφαγών. οἷον, οὐ πῦρ, οὐ ξίφος σωτήριον προσφαγὼν, ἀπαλλάξει με τοῦ ζῆν. Οὐδ' ἀπαράξαι. οὐδεὶς ἐκείνων φησὶ βούλεται ἐλθεῖν τὴν κεφαλήν μ' ἀποτεμεῖν. καὶ ἐλευθερῶσαι τοῦ μοχθηροῦ βίου. ¶ Τοὔργον τόδε. τὸ βοηθῆσαι ἢ βαστάξαι τὸν Ἡρακλέα μεῖζόν ἐστιν ἢ κατ' ἐμέ. ἀνήκει δὲ ἀντὶ τοῦ ὁρμᾷ. ὥρμηται μεῖζόν φησιν ἢ κατὰ τὴν ἐμὴν δύναμιν. τοὔργον δὲ τὴν νόσον φησίν. ¶ Ὦ παῖ τοῦδ' ἀνδρός. εἷς τῶν παρόντων ἀκολούθων ἐξ Εὐβοίας τῷ Ἡρακλεῖ πρὸς τὸν Ὕλλον τοῦτό φησιν. ¶ Σὺ δὲ σύλλαβε. σὺ γὰρ νέος εἶ καὶ ὀξύτερόν σοι τὸ ὄμμα πρὸς τὸ σώζειν τὸν πατέρα μᾶλλον ἢ δι' ἐμοῦ. Ψαύω μὲν ἔγωγε. εἰ τὸ κατασχεῖν ἀντὶ τοῦ ἰᾶται. ἰδοὺ ἐφάπτομαι αὐτοῦ. ἰᾶσθαι δέ φησιν ὅτι τὴν λαθίπονον ἴασιν τῶν ὀδυνῶν, οὔτε διὰ στόματος οὔτε ἔξωθεν προσάπτειν δύναμαι. οὐκ οἶδα γάρ. τοιαῦτα γὰρ ἀλγήματα δίδωσιν ὁ Ζεύς. ℂ Οὔτ' ἔνδοθεν οὔτε θύραζε οὔτε ἀπὸ αὐτοῦ οὔτε ἀπό τινος τῶν ξένων δύναμαι ἐξανύσαι. ¶ Ὦ παῖ. παῖ. αἰσθάνεται τοῦ τοῦ παιδὸς φωνῆς ὁ Ἡρακλῆς. ¶ Θρώσκει. ἀναζωπυρεῖται. ¶ Δειλαία. ἀλλότριος. Ἀποτίβατος. ἀπροσπέλαστος. ℂ Ἰὼ Παλλάς. ἐπικαλεῖται τὴν Ἀθηνᾶν εἰς βοήθειαν. ¶ Ἰὼ παῖ. καὶ σὺ ὦ παῖ τὸν φύσαντα οἰκτείρας ἐπισπάσαι μοι ξίφος ἀνεμέσητον, ἐφ' ᾧ οὐδεὶς δὲ μέμ

πάντων Ἑλλήνων
ἀδικώτατοι ἀνέρες, οὓς δὴ
πολλὰ μὲν ἐν πόντῳ,
κατά τε δρία πάντα καθαίρων,
ὠλεκόμαν ὁ τάλας.
καὶ νῦν ἐπὶ τῷδε νοσοῦντι,
οὐ πῦρ, οὐκ ἔγχος
τις ὀνήσιμον οὐκ ἀποτρέψει.
ἒ. ἒ.
οὐδ' ἀπαράξαι κρᾶτα
βίου θέλει μολὼν
τοῦ στυγεροῦ. φεῦ. φεῦ.
Πρε. ὦ παῖ τοῦδ' ἀνδρὸς,
τοὔργον τόδε μεῖζον ἀνήκει,
ἢ κατ' ἐμὰν ῥώμαν,
σὺ δὲ σύλλαβε. σοί τε γὰρ ὄμμα
ἔμπλεον ἢ δι' ἐμοῦ
σώζειν.
Υλ. Ψαύω μὲν ἔγωγε.
λαθίπονον δ' ὀδυνᾶν
οὔτ' ἔνδοθεν οὔτε θύραζ' ἔν-
εστί μοι ἐξανύσαι
βιότου. τοιαῦτα νέμει Ζεύς.
Ηρ. ὦ παῖ, παῖ, ποῦ ποτ' εἶ;
τᾷδέ με τᾷδέ με
πρόσλαβε κουφίσας.
ἒ. ἒ.
ἰὼ ἰὼ δαῖμον.
θρώσκει δ' αὖ θρώσκει
δειλαία διολοῦσ' ἡμᾶς
ἀποτίβατος ἀγρία
νόσος. ἰὼ Παλλὰς
τόδε μ' αὖ λωβᾶται. ἰὼ παῖ.

τὸν φύτορ' οἰκτείρας,
ἀνεπίφθονον εἴρυσον ἔγχος.
παῖσον ἐμᾶς ὑπὸ κλη-
δός. ἀκοῦ δ' ἄχος, ὅ μ' ἐχόλωσε
σὰ μάτηρ ἄθεος,
ἂν ὧδ' ἐπίδοιμι πεσοῦσαν
αὔτως ὧδ' αὔτως, ὥς μ' ὤλεσεν.
ὦ Διὸς αὐθαίμων,
ὦ γλυκὺς Ἀΐδας.
Εὔνασόν μ' εὔνασον,
ὠκυπέτᾳ μόρῳ
τὸν μέλεον φθίσας.

Χο. Κλύουσ' ἔφριξα τάσδε συμφορὰς φίλαι
ἄνακτος, οἵαις οἷος ὢν ἐλαύνεται.

Ηρ. ὦ πολλὰ δὴ καὶ θερμὰ καὶ λόγῳ κακὰ,
καὶ χερσὶ καὶ νώτοισι μοχθήσας ἐγώ.
κοὔπω τοιοῦτον οὔτ' ἄκοιτις ἡ Διὸς
προὔθηκεν, οὔθ' ὁ στυγνὸς Εὐρυσθεὺς ἐμοί,
οἷον τόδ' ἡ δολῶπις Οἰνέως κόρη
καθῆψεν ὤμοις τοῖς ἐμοῖς, Ἐρινύων
ὑφαντὸν ἀμφίβληστρον, ᾧ διόλλυμαι.
πλευραῖσι γὰρ προσμαχθὲν, ἐκ μὲν ἐσχάτας
βέβρωκε σάρκας, πλεύμονός τ' ἀρτηρίας
ῥοφεῖ ξυνοικοῦν. ἐκ δὲ χλωρὸν αἷμά μου
πέπωκεν ἤδη καὶ διέφθαρμαι δέμας
τὸ πᾶν, ἀφράστῳ τῇδε χειρωθεὶς πέδῃ.
κοὐ ταῦτα λόγχη πεδιὰς, οὔθ' ὁ γηγενὴς
στρατὸς γιγάντων, οὔτε θήρειος βία,
οὔθ' Ἑλλὰς, οὔτ' ἄγλωσσος, οὔθ' ὅσην ἐγὼ
γαῖαν καθαίρων ἱκόμην, ἔδρασέ πω.
γυνὴ δὲ, θῆλυς οὖσα, κοὐκ ἀνδρὸς φύσιν,
μόνη με δὴ καθεῖλε φασγάνου δίχα.
ὦ παῖ, γενοῦ μοι παῖς ἐτήτυμος γεγὼς,
καὶ μὴ τὸ μητρὸς ὄνομα πρεσβεύσῃς πλέον.
δός μοι χεροῖν σαῖν αὐτὸς ἐξ οἴκου λαβὼν
ἐς χεῖρα τὴν τεκοῦσαν, ὡς εἰδῶ σάφα

φέτῃ ὡς πατροκτόνον. ¶ Ὅ μ' ἐχόλωσε. γράφεται ἐχόλησεν. οἷον, χολῆς ἔχρισε τὸν χιτῶνα. ¶ Ἂν ὧδ' ἐπίδοιμι. ἣν ἴδοιμι τῷ αὐτῷ νοσήματι περιπεσοῦσαν. ¶ Ὦ Διὸς αὐθαίμων. ὦ τοῦ Διὸς ἀδελφὲ Ἀϊδωνεῦ. ¶ Οὔθ' ὁ στυγνός. στυγνότερος δὲ τὰς τῶν ἄθλων προστάξεις. ¶ Ἀμφίβληστρον. τὸν χιτῶνα ὡς ἀμφίβληστρον. ¶ Προσμαχθέν. προσκολληθέν. ¶ Ἀρτηρίας. τὰς φλέβας. ¶ Ῥοφεῖ. ἐκπίνει. ¶ Ἐκ δὲ χλωρόν. νέον ἢ νεκρόν. ¶ Ἀφράστῳ τῇδε. ἀπροσδοκήτῳ. ἀνεννοήτῳ. ἢ ἀλέκτῳ. ἢ περὶ ἧς οὐκ ἔχει τὶς φράσασθαι, τίς εἴη τὴν φύσιν. ¶ Λόγχη πεδιάς. ἡ ἐν πεζομαχίᾳ. θέλει δὲ εἰπεῖν, ὅτι οὔτε στρατευόμενος οἷον πρὸς Λαομέδοντα, οὔτε πρὸς Αὐγείαν, ἢ κενταύρους. Ἄλλως. λόγχη πεδιάς. ἡ ἐν τῷ πεδίῳ βαλλομένη. ἢ ἐπεὶ ἐν τῷ θεσσαλικῷ πεδίῳ ἐμαχέσατο πρὸς κενταύρους. ¶ Θήριος βία. λέοντος. ὕδρας. κερβέρου καὶ λοιπῶν. ¶ Οὔτ' ἄγλωσσος. κακόγλωσσος. βάρβαρος. ἢ ἀλλόγλωσσος. ¶ Οὐκ ἀνδρὸς φύσιν. λείπει ἔχουσα. ¶ Ὦ παῖ. ὦ Ὕλλε δεῖξον τοῖς ἔργοις ὅτι ἀληθῶς ἐξ Ἡρακλέους ἔχεις τὸ γένος, καὶ μή μου προκρίνῃς τὴν Δηϊάνειραν, ἀλλὰ ταῖς σαῖς χερσὶ τῆς οἰκίας αὐτὴν ἐξάγε καὶ παράδος μοι. ταῦτα δὲ ἀγνοῶν ὅτι τέθνηκε λέγει. ¶ Ὡς εἰδῶ σάφα. ἵνα μάθω πότερον ὑπὲρ ἐμοῦ νοσοῦντος λυπῇ, ὅταν εἴδῃς τὸ σῶμα τῆς Δηϊανείρας ὑπ' ἐμοῦ βλαπτόμενον καὶ δικαίως καταπονούμενον.

Ὅστις ὥστε παρθένος. Ὅμηρος, ἥ τε κούρη νηπίη, ἥθ᾽ ἅμα μητρὶ κλαίουσ᾽ ἀνελέσθαι ἀνώγει. ¶ Νῦν δ᾽ ἐκ τοιούτου. ἀντὶ ἰσχυροῦ γέγονα ἀσθενής. ἢ ἀπὸ τοιούτου κακοῦ. ¶ Ἀλλ᾽ ἀστένακτος αἰὲν ἑσπόμην κακοῖς. ἤγουν ὑπέφερον πᾶν κακόν. Ἰδού, θεᾶσθε. ὁ λόγος πρὸς τοὺς παρεστῶτας. ¶ Αἶ, αἶ. ὀδυνώμενος ἀναβοᾷ. Ἔθαλψεν ἄτης. πάλιν διεπύρωσέ με ὁ τῆς νόσου σπασμός. ¶ Οὐδ᾽ ἀγύμναστόν με. ὀδύνης ἄπειρον. ἄνευ ὀδυνῶν. ἀντὶ τοῦ οὐκ ἐνδίδωσί μοι. Ἐγκατάσκηψον βέλος. τόξευσον κατ᾽ ἐμοῦ τὸν κεραυνόν. ¶ Δαίνυται. ἐσθίει με. ἡ νόσος δηλονότι. τὸ δέ, ὦ πάτερ κεραυνοῦ, ἀντὶ τοῦ ὦ κεραυνέ, εἴθε με λάβοις. Ὦ νῶτα, καὶ στέρνα. ἀφορῶν εἰς ἓν ἕκαστον μέλος δυσφορεῖ. ὅτι ἀφ᾽ οἵου εἰς οἷον γέγονεν αὐτοῦ τὸ σῶμα. Ὑμεῖς ἐκεῖνοι δή. ἆρα ὑμεῖς ἐστὲ οἱ τὸν Νεμεαῖον χειρωσάμενοι λέοντα, τὸν τὴν Νεμέαν λυμαινόμενον. Λέοντ᾽ ἄπλατον θρέμμα. ἀπρόσιτον, καὶ ἀναγόρευτον, ἀδιήγητον. ἢ φαῦλον καὶ μεμισημένον, ὃ οὐκ ἄν τις προσφθέγξαιτο. ¶ Διφυῆ τ᾽ ἄμικτον. τὸν τῶν κενταύρων ἀπροσπέλαστον. ᾧ οὐκ ἦν συμμῖξαι καὶ συμβαλεῖν. ¶ Ὑπέροχον βίαν. ὑπερέχοντα κατὰ τὴν δύναμιν. ὑβριστὴν δέ, μάχιμον. ὠμόν. οὐ σώφρονα. διὰ τὸν Νέσσον, καὶ τὸν Πειρίθου γάμον. ¶ Ἅιδου τρίκρανον σκύλακα. τὸν Κέρβερον. Ἡσίοδος πεντηκοντακέφαλον φησὶν εἶναι. οὗτος δὲ τρίκρανον. Τόν τε χρυσέων δράκοντα. φασὶ τὸν Ἄτλαντα τῷ Ἡρακλεῖ κεκομικέναι τὰ μῆλα, ὅτε καὶ αὐτὸς διαδεξάμενος τὸν οὐρανὸν ἐβάστασεν.

εἰ τοὐμὸν ἀλγεῖς μᾶλλον, ἢ κείνης ὁρῶν
λωβητὸν εἶδος ἐν δίκῃ κακούμενον.
ἴθ᾽ ὦ τέκνον, τόλμησον. οἴκτειρόν τέ με
πολλοῖσιν οἰκτρόν, ὅστις ὥστε παρθένος
βέβρυχα κλαίων, καὶ τόδ᾽ οὐδ᾽ ἂν εἷς ποτε
τόνδ᾽ ἄνδρα φαίη πρόσθ᾽ ἰδεῖν δεδρακότα,
ἀλλ᾽ ἀστένακτος αἰὲν ἑσπόμην κακοῖς.
Νῦν δ᾽ ἐκ τοιούτου θῆλυς εὕρημαι τάλας.
καὶ νῦν προσελθὼν, στῆθι πλησίον πατρός:
σκέψαι δ᾽ ὁποίας ταῦτα συμφορᾶς ὕπο
πέπονθα. δείξω γὰρ τάδ᾽ ἐκ καλυμμάτων.
ἰδού, θεᾶσθε πάντες ἄθλιον δέμας.
ὁρᾶτε τὸν δύστηνον ὡς οἰκτρῶς ἔχω.
αἶ, αἶ. ὦ τάλας, ἒ, ἔ.
ἔθαλψεν ἄτης σπασμὸς ἀρτίως. ὅδ᾽ αὖ
διῇξε πλευρῶν, οὐδ᾽ ἀγύμναστόν μ᾽ ἐᾶν
ἔοικεν ἡ τάλαινα διάβορος νόσος.
ὦναξ Ἀΐδη, δέξαι με.
ὦ Διὸς ἀκτίς, παῖσον.
ἔνσεισον ὦναξ, ἐγκατάσκηψον βέλος
πάτερ κεραυνοῦ. δαίνυται γὰρ αὖ πάλιν,
ἤνθηκεν, ἐξώρμηκεν. ὦ χέρες, χέρες,
ὦ νῶτα, καὶ στέρν᾽, ὦ φίλοι βραχίονες,
ὑμεῖς ἐκεῖνοι δὴ καθέσταθ᾽, οἵ ποτε
Νεμέας ἔνοικον βουκόλων ἀλάστορα
λέοντ᾽ ἄπλατον θρέμμα, κἀπροσήγορον
βίᾳ κατειργάσασθε, Λερναίαν θ᾽ ὕδραν,
διφυῆ τ᾽ ἄμικτον ἱπποβάμονα στρατὸν
θηρῶν, ὑβριστὴν ἄνομον, ὑπέροχον βίαν,
Ἐρυμάνθιόν τε θῆρα, τόνθ᾽ ὑπὸ χθονὸς
Ἅιδου τρίκρανον σκύλακ᾽ ἀπρόσμαχον τέρας,
δεινῆς Ἐχίδνης θρέμμα, τόν τε χρυσέων

Ἐπ᾽ ἐσχάτοις τόποις. τοῖς τῆς Λιβύης. ¶ Ἐχυσάμην. ἐπειράθην. πεῖραν ἔσχον. Ἄναρθρος. οὐκ ἔχων τὰ ἄρθρα τῶν μελῶν, διὰ τὸ συστῆφθαι αὐτά. κατερρακωμένος δὲ, τὰς σάρκας σπασθείς, καὶ ἔχων αὐτὰς κρεμαμένας ὡς ῥάκη. ¶ Τυφλῆς ὑπ᾽ ἄτης. ὑπὸ νόσου ἀφανοῦς καὶ ἀκαταλήπτου, ἣν οὐκ ἔστιν ἰδεῖν. ¶ Κἂν τὸ μηδὲν ὦ. κἂν μηδὲν ἕρπω. ἀντὶ τοῦ, ὦ παρόντες, κἂν μηδὲν ἕρπων, καὶ οὕτως ἔχων, καὶ οὕτω διακείμενος. ¶ Εἰ σφαλήσεται. εἰ ἀποτεύξεται τούτου. Σιγὴν παρασχών. ἀντὶ τοῦ σιωπήσας καὶ ἡσυχάσας. ¶ Οὐ γὰρ ἂν γνοίης. τουτέστιν, ἐὰν μὴ τοῦ θυμοῦ παύσῃ πρότερον, οὐ δυνήσῃ γνῶναι ὑπὸ τῆς ὀργῆς σκοτούμενος, ὅτι ἀδίκως αὐτὴν ἀνελεῖν βούλει. ὅπερ σοι ἐστὶ μετὰ χαρᾶς. οὐδὲ ὅτι μάτην ἀλγεῖς τὴν ψυχήν, νεμεσῶν τὴν οὐδὲν ἀδικήσασαν, ἢ μάτην ἀλγεῖς ἀνελεῖν αὐτὴν βουλόμενος.

δράκοντα μήλων φύλακ᾽ ἐπ᾽ ἐσχάτοις τόποις.
ἄλλων τε μόχθων μυρίων ἐγευσάμην,
κοὐδεὶς τρόπαι᾽ ἔστησε τῶν ἐμῶν χερῶν.
νῦν δ᾽ ὧδ᾽ ἄναρθρος καὶ κατερρακωμένος
τυφλῆς ὑπ᾽ ἄτης ἐκπεπόρθημαι τάλας,
ὁ τῆς ἀρίστης μητρὸς ὠνομασμένος,
ὁ τοῦ κατ᾽ ἄστρα Ζηνὸς αὐδηθεὶς γόνος.
ἀλλ᾽ εὖ γέ τοι τόδ᾽ ἴστε, κἂν τὸ μηδὲν ὦ,
κἂν μηδὲν ἕρπω, τήν γε δράσασαν τάδε
χειρώσομαι. κἀκ τῶνδε, προσμόλοι μόνον,
ἵν᾽ ἐκδιδαχθῇ πᾶσιν ἀγγέλλειν, ὅτι
καὶ ζῶν κακούς γε καὶ θανὼν ἐτισάμην.
ΧΟ ὦ τλῆμον Ἑλλάς, πένθος οἷον εἰσορῶ
ἕξουσαν, ἀνδρὸς τοῦδέ γ᾽ εἰ σφαλήσεται.
ΥΛ Ἐπεὶ παρέσχες ἀντιφωνῆσαι πάτερ
σιγὴν παρασχών, κλῦθί μου νοσῶν ὅμως.
αἰτήσομαι γάρ σ᾽, ὧν δίκαια τυγχάνειν.
δός μοι σεαυτόν, μὴ τοσοῦτον ὡς δάκνῃ
θυμῷ δύσοργος. οὐ γὰρ ἂν γνοίης ἐν οἷς
χαίρειν προθυμῇ, κἀν ὅτοις ἀλγεῖς μάτην.
Ηρ. Εἰπὼν ὃ χρῄζεις λῆξον. ὡς ἐγὼ νοσῶν,
οὐδὲν ξυνίημ᾽, ὧν σὺ ποικίλλεις πάλαι.
ΥΛ τῆς μητρὸς ἥκω τῆς ἐμῆς φράσων, ἐν οἷς
νῦν ἐστιν, οἷς θ᾽ ἥμαρτεν οὐχ ἑκουσία.
Ηρ. ὦ παγκάκιστε, καὶ παρεμνήσω γὰρ αὖ
τῆς πατροφόντου μητρὸς ὡς κλύειν ἐμέ;
ΥΛ ἔχει γὰρ οὕτως, ὥστε μὴ σιγᾶν πρέπειν.
Ηρ. οὐ δῆτα τοῖς γε πρόσθεν ἡμαρτημένοις;
ΥΛ ἀλλ᾽ οὐδὲ μὴν δὴ τοῖς γε ἐφ᾽ ἡμέραν ἐρεῖς.
Ηρ. λέγ᾽. εὐλαβοῦ δὲ μὴ φανῇς κακὸς γεγώς.
ΥΛ λέγω. τέθνηκεν ἀρτίως νεοσφαγής.

¶ Ὧν σὺ ποικίλλεις. σοφίζεις, καὶ καλλωπίζεις τῷ λόγῳ.
¶ Ὦ παγκάκιστε. αὐτὴ τοῦ μίσους ἐπίτασις, ὅτι καὶ μνήμην τῆς μητρὸς ἐποιήσατο. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ Ἡρακλέους ἀκούοντος.
¶ Ἔχει γὰρ οὕτως. τὸ γὰρ κατ᾽ αὐτὴν φησὶ πρᾶγμα, ἐκτός ἐστιν ἀδικίας, ὡς μηδὲ εἶναι τοῦτο σιωπῇ παραδοῦναι. ¶ Λέγ᾽. εὐλαβοῦ δέ. εὐλαβοῦ μὴ δι᾽ ὧν ὑπὲρ τῆς μητρὸς λέγεις, τοιοῦτος ἐμὲ φαῦλος ἐξελεγχθῇς.

Πρὸς τοῦ; τέρας τοι. πρὸς τίνος. ἄπιστον γὰρ διὰ δυσφημιῶν, ὥσπερ ἐμαντεύσω. τὸ πιστὸν, ἄπιστον λέγεις, ὅτι ἑαυτὴν ἀνεῖλεν. εἰ μὴ ἄρα μαντικῆς μετέχων τοῦτο ἔγνως ὡς μάντευμα ἄπιστον. τοῦτο δὲ εἶπεν, ἐπειδὴ πολλάκις τὰ μὴ προσδοκώμενα μαντεύονται. Οὐδενὸς πρὸς ἐκτόπου. ἀντὶ τοῦ ὑπὸ ἄλλου ξένου. Στραφείη θυμός. λήξειεν ἡ ὀργή. Ἅπαν τὸ χρῆμα ἥμαρτε. ζητοῦσα φησὶ χρηστόν τι διαπράξασθαι, τοῦ ὅλου πράγματος ἥμαρτεν. Ἰοὺ, ἰού. ἀναμιμνησκόμενος τῆς ἀπὸ Δωδώνης μαντείας, ταῦτα λέγει ἄρτι θυμήσας τὸν χρόνον. ἄρτι ἔγνων ὅτι εἰς ἔσχατον ἦλθε συμφορᾶς.

Τὸ πᾶν σπέρμα σῶν ὁμαιμόνων. ἀντὶ τοῦ πάντας τοὺς σοὺς ἀδελφούς. Μάτην ἄκοιτιν. τὴν Ἀλκμήνην. τοῦτο δέ φησιν, ὡς ἀνάξια πάσχων. Ὡς τελευταίαν ἐμοῦ. ἵνα τὴν ὑστάτην τοῦ τελευτᾶν μου φήμην μάθητε. Ἀλλ' ἐπακτία. παραθαλαττίᾳ. Ἕδρα. διατριβή. Ἐξήκεις. εἰς ἡλικίαν ἥκεις. Ἵνα φανῇς ὁποῖος. ἵνα φανῇς ἄξια πράττων, παῖς ἐμὸς εἶναι. Ἐμοὶ γὰρ ἦν πρόσφαντον. προμεμαντευμένον. προειρημένον ὑπὸ τοῦ Διός. οὕτω δὲ διὰ τοῦ σ. ἐν τῇ τραγικῇ λέξει. Πρὸς τῶν πνεόντων. τῶν ζώντων. πνεῦμα γὰρ
» ἡ ψυχή. Ψυχὴν ἐκάπυσε. καὶ,
» Ὅσα γαῖαν ἔπι πνείει τε καὶ ἕρπει.
Φανῶ δ' ἐγώ. ἐρῶ σοι ἄλλην μαντείαν νεωτέραν, συμφωνοῦσαν τῇ προτέρᾳ.

Ηρα. πρὸς τοῦ; τέρας τοι διὰ κακῶν ἐθέσπισας.
Υλ. αὐτὴ πρὸς αὑτῆς, οὐδενὸς πρὸς ἐκτόπου.
Ηρα. οἴμοι. πρὶν ὡς χρῆν σφ' ἐξ ἐμῆς θανεῖν χερός;
Υλ. κἂν σοῦ στραφείη θυμὸς, εἰ τὸ πᾶν μάθοις.
Ηρα. δεινοῦ λόγου κατῆρξας, εἰπὲ δ' ᾗ νοεῖς.
Υλ. ἅπαν τὸ χρῆμ' ἥμαρτε, χρηστὰ μωμένη.
Ηρ. χρήστ', ὦ κάκιστε, πατέρα σὸν κτείνασα δρᾷ;
Υλ. στέργημα γὰρ δοκοῦσα προσβαλεῖν σέθεν,
ἀπήμπλακ', ὡς προσεῖδε τοὺς ἔνδον γάμους.
Ηρ. καὶ τίς τοσοῦτος φαρμακεὺς Τραχινίων;
Υλ. Νέσος πάλαι κένταυρος ἐξέπεισέ νιν
ῥοιῷδε φίλτρῳ, τὸν σὸν ἐκμῆναι πόθον.
Ηρ. ἰοὺ ἰοὺ δύστηνος, οἴχομαι τάλας.
ὄλωλ', ὄλωλα. φέγγος οὐκέτ' ἐστί μοι.
οἴμοι. φρονῶ δὴ ξυμφορᾶς ἵν' ἕσταμεν.
ἴθ' ὦ τέκνον. πατὴρ γὰρ οὐκέτ' ἐστί σοι.
κάλει τὸ πᾶν μοι σπέρμα σῶν ὁμαιμόνων.
κάλει δὲ τὴν τάλαιναν Ἀλκμήνην, Διὸς
μάτην ἄκοιτιν, ὡς τελευταίαν ἐμοῦ
φήμην πύθησθε θεσφάτων, ὅσ' οἶδ' ἐγώ.
Υλ. ἀλλ' οὔτε μήτηρ ἐνθάδ', ἀλλ' ἐπακτίᾳ
Τίρυνθι συμβέβηκεν, ὥστ' ἔχειν ἕδραν.
παίδων δὲ τοὺς μὲν, ξυλλαβοῦσ' αὐτὴ τρέφει,
τοὺς δ' ἂν τὸ Θήβης ἄστυ ναίοντας μάθοις.
ἡμεῖς δ' ὅσοι πάρεσμεν, εἴ τι χρὴ πάτερ
πράττειν, κλύοντες ἐξυπηρετήσομεν.
Ηρα. σὺ δ' οὖν ἄκουε τοὔργον. ἐξήκεις δ' ἵνα
φανῇς ὁποῖος ὢν ἀνὴρ, ἐμὸς καλῇ.
ἐμοὶ γὰρ ἦν πρόφαντον ἐκ πατρὸς πάλαι,
πρὸς τῶν πνεόντων μηδενὸς θανεῖν ὕπο,
ἀλλ' ὅστις Ἅιδου φθίμενος οἰκήτωρ πέλοι.
ὅδ' οὖν ὁ θὴρ κένταυρος, ὡς τὸ θεῖον ἦν
πρόφαντον, οὕτω ζῶντά μ' ἔκτεινεν θανών.
φανῶ δ' ἐγὼ τούτοισι συμβαίνοντ' ἴσα
μαντεῖα καινὰ, τοῖς πάλαι ξυνήγορα.
ἃ τῶν ὀρείων καὶ χαμαικοιτῶν ἐγὼ

Σελλῶν ἐσελθών. ἀκούσας ἔγραψα. ἔθος γὰρ τοὺς χρησμὸν δεχομένους, παραχρῆμα γράφειν, ἵνα μὴ ἐπιλάθωνται. ἔνιοι δὲ χωρὶς τοῦ σ. γράφουσιν, ἑλλοὺς ἀποδεχόμενοι, καὶ ἑλλοπίαν τὴν δωδώνην νομίζουσιν εἶναι. τὴν γὰρ χώραν οὕτως Ἡσίοδος ὀνομάζει ἐν ἠοίαις λέγων οὕτως,
» ἔστι τις ἑλλοπίη πολυλήϊος ἠδ᾽ εὐλείμων,
» ἀφνειὴ μήλοισι καὶ εἰλιπόδεσσι βόεσσιν.
» ἐν δ᾽ ἄνδρες ναίουσι πολύρρηνες πολυβοῦται.
» πολλοὶ ἀπειρέσιοι φῦλα θνητῶν ἀνθρώπων.
» ἔνθα δωδώνη τις ἐπ᾽ ἐσχατιῇ πεπόλισται,
» τὴν δὲ ζεὺς ἐφίλησε, καὶ ὃν χρηστήριον εἶναι,
» τίμιον ἀνθρώποις, ναῖον δ᾽ ἐν πυθμένι φηγοῦ.
» ἔνθεν ἐπιχθόνιοι μαντεύματα πάντα φέρονται,
» ὃς δὴ κεῖθι μολὼν θεὸν ἄμβροτον ἐξερεείνῃ.
» δῶρα φέρων ἔλθῃσι σὺν οἰωνοῖς ἀγαθοῖσιν.
ἐντεῦθεν λέγουσιν εἶναι ἑλλοπιεῖς, καὶ τοὺς ἐν εὐβοίᾳ οἰκήσαντας.

Σελλῶν ἐσελθὼν ἄλσος εἰσεγραψάμην,
πρὸς τῆς πατρῴας καὶ πολυγλώσσου δρυός.
ἥ μοι χρόνῳ τῷ ζῶντι καὶ παρόντι νῦν,
ἔφασκε μόχθων τῶν ἐφεστώτων ἐμοὶ,
λύσιν τελεῖσθαι, κἀδόκουν πράξειν καλῶς.
τὸ δ᾽ ἦν ἄρα οὐδὲν ἄλλο, πλὴν θανεῖν ἐμέ.
» Τοῖς γὰρ θανοῦσι, μόχθος οὐ προσγίνεται.
ταῦτ᾽ οὖν ἐπειδὴ λαμπρὰ συμβαίνει τέκνον,
δεῖ σ᾽ αὖ γενέσθαι τῷδε τἀνδρὶ ξύμμαχον,
καὶ μὴ ᾽πιμεῖναι τοὐμὸν ὀξῦναι στόμα,
ἀλλ᾽ αὐτὸν εἰκαθόντα συμπράσσειν, νόμον
κάλλιστον ἐξευρόντα, πειθαρχεῖν πατρί.
ΥΛ Ἀλλ᾽ ὦ πάτερ, ταρβῶ μὲν εἰς λόγου στάσιν
τοιάνδ᾽ ἐπελθών. πείσομαι δ᾽ ἅ σοι δοκεῖ.
Ηρ ἔμβαλλε χεῖρα δεξιὰν πρώτιστά μοι.
ΥΛ ὡς πρὸς τί πίστιν τήνδ᾽ ἄγαν ἐπιστρέφεις;
Ηρ οὐ θᾶσσον οἴσεις, μηδ᾽ ἀπιστήσεις ἐμοί;
ΥΛ ἰδοὺ προτείνω, κοὐδὲν ἀντειρήσεται.
Ηρ ὄμνυ Διὸς νῦν τοῦ με φύσαντος κάρα.
ΥΛ ἦ μὴν τί δράσειν; καὶ τόδ᾽ ἐξειρήσεται.
Ηρ ἦ μὴν ἐμοὶ τὸ λεχθὲν ἔργον ἐκτελεῖν.
ΥΛ ὄμνυμ᾽ ἔγωγ᾽ Ζῆν᾽ ἔχων ἐπώμοτον.

¶ Καὶ πολυγλώσσου δρυός. ἤτοι πολλὰ μαντευομένης, καὶ διὰ τὸ πολλὰ φθεγγομένης. ἢ τὸ διαφόροις διαλέκτοις χρησμῳδούσης, κατὰ τὴν ἑκάστου τῶν μαντευομένων γλῶσσαν. ¶ Χρόνῳ τῷ ζῶντι. τῷ ὑφεστῶτι. ὁ γὰρ παρελθὼν οἱονεὶ διέφθαρται. ὁ δὲ μέλλων, ἄδηλος. ¶ Ταῦτ᾽ οὖν ἐπειδὴ λαμπρά. φανερά. σαφῆ. πρόδηλα· ἐπὶ ὧν φησιν ὁ χρησμὸς ἀπέβη, δεῖ σε γενέσθαι σύμμαχον ἐμοί. ¶ Καὶ μὴ ᾽πιμεῖναι. καὶ μὴ ἀπειθήσας μοι, παροξύνῃς με εἰς λοιδορίαν κατὰ σοῦ. ¶ Ἀλλ᾽ αὐτὸν εἰκαθόντα. ἀπὸ κοινοῦ τὸ, δεῖ δέ σε εἴκοντα τῇ ἐμῇ προστάξει, πράττειν ὃ βούλομαι. τὸ γὰρ τοῖς γονεῦσι πείθεσθαι, νόμος ἐστὶ κάλλιστος, καὶ εὐκλεής. ¶ Ταρβῶ μὲν εἰς λόγου στάσιν. περιφραστικῶς εἰς λόγους. εὐλαβοῦμαι μὲν εἰς τοιαύτην ὁμιλίαν ἐλθών, μὴ οὐχ αἱρετά μοι προτείνῃς. πράξω δὲ ὅμως, κἂν δεινὰ ᾖ. ¶ Μηδ᾽ ἀπιστήσεις ἐμοί. γράφεται προστήσεις ἐμοί. ἐναντιωθήσῃ. ἀπὸ μεταφορᾶς τῶν ἐν τῇ βρώσει ψωμῶν προσισταμένων. ¶ Ἐπώμοτον. ὅρκιον.

Ηρ εἰ δ' ἐκστὰς ἔλθοις, πημονὰς εὔχου λαβεῖν.
Υλ οὐ μὴ λάβω. δράσω γάρ. εὔχομαι δ' ὅμως.
Ηρ οἶσθ' οὖν τὸν Οἴτης Ζηνὸς ὕψιστον πάγον;
Υλ οἶδ', ὡς θυτήρ γε πολλὰ δὴ σταθεὶς ἄνω.
Ηρ ἐνταῦθα νῦν χρὴ τοὐμὸν ἐξάραντά σε
σῶμ' αὐτόχειρα, καὶ ξὺν οἷς χρήζεις φίλων,
πολλὴν μὲν ὕλην τῆς βαθυρρίζου δρυὸς
κείραντα, πολλὸν δ' ἄρσεν' ἐκτεμόνθ' ὁμοῦ
ἄγριον ἔλαιον, σῶμα τοὐμὸν ἐμβαλεῖν.
καὶ πευκίνης λαβόντα λαμπάδος σέλας
πρῆσαι. γόου δὲ μηδὲν εἰσίτω δάκρυ.
ἀλλ' ἀστένακτος κἀδάκρυτος, εἴπερ εἶ
τοῦδ' ἀνδρὸς, ἔρξον. εἰ δὲ μή, μενῶ σ' ἐγώ,
καὶ νέρθεν ὤν, ἀραῖος εἰσαεὶ βαρύς.
Υλ οἴμοι πάτερ, τί ν' εἶπας; οἷά μ' εἴργασαι;
Ηρ ὁποῖα δραστέ' ἐστίν. εἰ δὲ μή, πατρὸς
ἄλλου γενοῦ του, μηδ' ἐμὸς κληθῇς ἔτι.
Υλ Οἴμοι μάλ' αὖθις. οἷά μ' ἐκκαλῇ πάτερ;
φονέα γενέσθαι καὶ παλαμναῖον σέθεν;
Ηρ οὐ δῆτ' ἔγωγ'. ἀλλ' ὧν ἔχω παιώνιον,
καὶ μοῦνον ἰατῆρα τῶν ἐμῶν κακῶν.
Υλ καὶ πῶς ὑπαίθων, σῶμ' ἂν ἰῴμην τὸ σόν;
Ηρ ἀλλ' εἰ φοβῇ πρὸς τοῦτο, τἄλλα γ' ἔργασαι.
Υλ φορᾶς πέρι φθόνησις οὐ γενήσεται.
Ηρ ἢ καὶ πυρᾶς πλήρωμα τοῦ εἰρημένου;
Υλ ὅσον γ' ἂν αὐτὸς μὴ ποτιψαύων χεροῖν.
τὰ δ' ἄλλα πράξω κοὐ καμῇ τοὐμὸν μέρος.
Ηρ. ἀλλ' ἀρκέσει καὶ ταῦτα. πρόσνειμαι δέ μοι
χάριν βραχεῖαν πρὸς μακροῖς ἄλλοις δι-
Υλ εἰ καὶ μακρὰ κάρτ' ἐστίν, ἐργασθήσεται. (δούς.
Ηρ τὴν Εὐρυτείαν οἶσθα δῆτα παρθένον;
Υλ Ἰόλην ἔλεξας, ὥστ' ἐπεικάζειν ἐμέ.
Ηρ ἔγνως. τοσοῦτον δή σ' ἐπισκήπτω τέκνον,
ταύτην ἐμοῦ θανόντος εἴπερ εὐσεβεῖν
βούλει, πατρῴων ὁρκίων μεμνημένος,
πρόσθου δάμαρτα, μηδ' ἀπιστήσεις πατρί.

Εἰ δ' ἐκστὰς ἔλθοις. εἰ παραβαίης τοὺς ὅρκους. ¶ Οὐ μὴ λάβω. οὐ χρὴ λαβεῖν με πημονὰς δηλονότι. ποιήσω γὰρ ἃ προστάξεις μοι. ἢ ποιήσω δέ, εἰ βούλει σύ.

¶ Οἴτης Ζηνὸς ὕψιστον πάγον. ὑψηλὸν ὄρος ἐστὶ Οἴτης. πάγος δὲ ὄρος, ὄρος τοῦ Διὸς ὀνομάζεται. ἐπεί φησιν ὑψίστῳ ὄντι τῷ θεῷ, ἐν ὕψει τὰς θυσίας ποιεῖσθαι. ℭ Ἐξάραντά σε. ταῖς σεαυτοῦ χερσὶ μεθ' ὧν θέλεις φίλων. οὐ γὰρ μόνος ἐδύνατο φέρειν αὐτόν. ℭ Εἰ δὲ μὴ μενῶ σ' ἐγώ. εἰ δὲ μὴ ταῦτα ποιήσεις, διατελέσω ταῖς κατάραις, ἢ καθ' ἅδου βαρύνων σε. ¶ Ὢν ἀραῖος. ἐπάρατος. τιμωρὸς δαίμων. ¶ Οἷά μ' εἴργασαι. οἷα θέλεις ἐργάσασθαι κατ' ἐμοῦ. πατροφόντην γενέσθαι παρακελευόμενος. ¶ Ὁποῖα δραστέ' ἐστίν. τοιαῦτά σοι παρακελεύομαι, οἷα δρᾶσαι ὀφείλεις. ὑβριστήσεις γάρ με. ℭ Εἰ δὲ μὴ πατρὸς ἄλλου. ξένου, ἀλλ' οὐκ ἐμὸς ὢν υἱός. ¶ Ἀλλ' εἰ φοβῇ. ἀλλ' εἰ παραιτῇ τοῦ ἀνελεῖν με, τὰ ἄλλα ποίησον. τουτέστι, τὴν ὕλην συνάξαι. ¶ Ἢ καὶ πυρᾶς πλήρωμα. ὄντως οὖν πληρώσεις τὴν πυρὰν τῆς ὕλης; ¶ Ὅσον γ' ἂν αὐτός. πάντα φησὶ ποιήσω πλὴν τοῦ σώματός σου ἅψασθαι.

¶ Ἀλλ' ἀρκέσει καὶ ταῦτα. καὶ ταῦτα μὲν ἀρκέσει. βραχὺ δὲ χάριν πρόσθες. οἷον, ταῖς ἄλλαις εὐεργεσίαις, καὶ ἑτέραν βραχεῖαν χάριν πρόσθες γήμας τὴν Ἰόλην. ℭ Ἐπισκήπτω. ἐντέλλομαί σοι. παρεγγυῶ. ¶ Πρόσθου δάμαρτα. γυναῖκα ποίησον.

ἴδοις τὸ σύγκρημα τοῦτον, εἴπερ ἐστὶ σῶν.
ἅ μοι προσελθὼν σῖγα σήμαιν', εἴτ' ἔχει
χῶρον πρὸς αὐτὸν τόνδε γ', εἴτ' ἄλλῃ κυρεῖ.
ὡς τἀπίλοιπα τῶν λόγων σὺ μὲν κλύοις,
ἐγὼ δὲ φράζω, κοινὰ δ' ἐξ ἀμφοῖν εἴη.
ΝΕ ἄναξ Ὀδυσσεῦ, τοὔργον οὐ μακρὰν λέγεις.
δοκῶ γὰρ οἷον εἶπας ἄντρον εἰσορᾶν.
ΟΔ ἄνωθεν, ἢ κάτωθεν; οὐ γὰρ ἐννοῶ.
ΝΕ τόδ' ἐξύπερθε, καὶ στίβου γ' οὐδεὶς τύπος.
ΟΔ ὅρα καθ' ὕπνον μὴ κατακλιθεὶς κυρῇ.
ΝΕ ὁρῶ κενὴν οἴκησιν ἀνθρώπων δίχα.
ΟΔ οὐδ' ἔνδον οἰκοποιός ἐστί τις τροφή;
ΝΕ στειπτή γε φυλλάς, ὡς ἐναυλίζοντί τῳ.
ΟΔ τὰ δ' ἄλλ' ἔρημα, κοὐδέν ἐσθ' ὑπόστεγον;
ΝΕ αὐτόξυλόν γ' ἔκπωμα φλαυλουργοῦ τινος
τεχνήματ' ἀνδρός, καὶ πυρεῖ' ὁμοῦ τάδε.
ΟΔ κείνου τὸ θησαύρισμα σημαίνεις τόδε;
ΝΕ Ἰού, ἰού. καὶ ταῦτά γ' ἄλλα θάλπεται
ῥάκη, βαρείας του νοσηλείας πλέα.
ΟΔ ἁνὴρ κατοικεῖ τούσδε τοὺς τόπους σαφῶς.
κἄστ' οὐχ ἑκάς που. πῶς γὰρ ἂν νοσῶν ἀνὴρ
κῶλον παλαιᾷ κηρὶ προσβαίη μακράν.
ἀλλ' ἢ 'πὶ φορβῆς νόστον ἐξελήλυθεν,
ἢ φύλλον εἴ τι νώδυνον κάτοιδέ που.
τὸν οὖν παρόντα πέμψον εἰς κατασκοπήν,
μὴ καὶ λάθῃ με προσπεσών. ὡς μᾶλλον ἂν
ἕλοιτό μ' ἢ τοὺς πάντας Ἀργείους μολεῖν.
ΝΕ ἀλλ' ἔρχεταί τε, καὶ φυλάξεται στίβος.
σὺ δ' εἴ τι χρῄζεις, φράζε δευτέρῳ λόγῳ.
ΟΔ Ἀχιλλέως παῖ, δεῖ σ' ἐφ' οἷς ἐλήλυθας,
γενναῖον εἶναι, μὴ μόνον τῷ σώματι,
ἀλλ' ἤν τι καινόν, ὧν πρὶν οὐκ ἀκήκοας,
κλύῃς, ὑπουργεῖν ὡς ὑπηρέτης πάρει.
ΝΕ Τί δῆτ' ἄνωγας; ΟΔ. τὴν Φιλοκτήτου σε δεῖ
ψυχὴν ὅπως λόγοισιν ἐκκλέψῃς λέγων,
ὅταν σ' ἐρωτᾷ τίς τε καὶ πόθεν πάρει,
λέγειν Ἀχιλλέως παῖς. τόδ' οὐχὶ κλεπτέον.
πλεῖς δ' ὡς πρὸς οἶκον ἐκλιπὼν τὸ ναυτικὸν

Κοινὰ δ' ἐξ ἀμφοῖν εἴη. γένοιτο, διανοοῖτο, προβαίνοι. ἢ εἴη. οἱ δωρικοὶ γὰρ τῇ ει διφθόγγῳ χρῶνται ἀντὶ βραχείας. ¶ Τοὔργον οὐ μακράν. οὐ μακροῦ πόνου δεόμενον. ἤδη γὰρ εἰσιδεῖν τὸ ἄντρον ὃ λέγεις. ¶ Ἄνωθεν, ἢ κάτωθεν. ταπεινὸν ἢ ὑψηλόν.

Οἰκοποιός. οἰκοποιὸς λέγεται ἡ ἐν οἴκῳ γινομένη τροφή. ¶ Στειπτή γε φυλλάς. χαμαιστρωσία ἐκ φύλλων. ἡ πλεκομένη, καὶ πατουμένη, ὡς κοιμωμένου ἐπ' αὐτῇ τινός. Ὑπόστεγον. ὑπὸ τῇ στέγῃ. ¶ Αὐτόξυλόν γ' ἔκπωμα. ποτήριον μονόξυλον τέχνημα ἀνδρὸς φαύλως ἐργαζομένου. ὅ ἐστιν ἰδιώτου καὶ οὐ τεχνίτου.
¶ Πυρεῖ' ὁμοῦ. πυρόβολα. ¶ Ἰού. ἰού. ὁρᾷ τὰ ῥάκη τοῖς τραύμασι τοῦ Φιλοκτήτου ξηραινόμενα, καὶ ἐκπλήττεται ὡς βαρέως αὐτοῦ νοσοῦντος. ¶ Βαρείας τῆς νοσηλείας. νόσου βαρείας πεπληρωμένα. ἢ νοσοκομίας. ἢ τῆς ἐκ νόσου ἀκαθαρσίας. ¶ Κῶλον. πόδα.
¶ Κηρί. νόσῳ. ¶ Νόστον. ὁδόν.
¶ Νώδυνον. βοτάνην τινὰ παυσώδυνον. ¶ Τὸν οὖν παρόντα. ὡς τινὸς ἐπισταμένου αὐτοῦ. Προσπεσών. ἀπαντήσας. ἐπιπεσών.
¶ Ἀλλ' ἔρχεται. ἀπέρχεταί φησιν ὁ θεράπων εἰς κατασκοπήν.
Φυλάξεται. φυλαχθήσεται παρ' ὑμῶν ἡ ὁδὸς αὐτοῦ. ¶ Τόδ' οὐχὶ κλεπτέον. τοῦτο γὰρ οὐχὶ ψευσόμεθα.

στράτευμ' Ἀχαιῶν, ἔχθος ἐχθήρας μέγα,
οἵ σ' ἐν λιταῖς στείλαντες ἐξ οἴκων μολεῖν,
μόνην ἔχοντες τήνδ' ἅλωσιν Ἰλίου,
οὐκ ἠξίωσαν τῶν Ἀχιλλείων ὅπλων
ἐλθόντι δοῦναι κυρίως αἰτουμένῳ,
ἀλλ' αὔτ' Ὀδυσσεῖ παρέδοσαν, λέγων ὅσ' ἂν
θέλῃς καθ' ἡμῶν ἔσχατ' ἐσχάτων κακά.
τούτων γὰρ οὐδέν μ' ἀλγυνεῖς. εἰ δ' ἐργάσῃ
μὴ ταῦτα, λύπην πᾶσιν Ἀργείοις βαλεῖς.
εἰ γὰρ τὰ τοῦδε τόξα μὴ ληφθήσεται,
οὐκ ἔστι πέρσαι σοὶ τὸ Δαρδάνου πέδον.
ὡς δ' ἔστ' ἐμοὶ μὲν οὐχί, σοὶ δ' ὁμιλία
πρὸς τόνδε πιστὴ καὶ βέβαιος, ἔκμαθε.
σὺ μὲν πέπλευκας, οὔτ' ἔνορκος οὐδενί,
οὔτ' ἐξ ἀνάγκης, οὔτε τοῦ πρώτου στόλου.
ἐμοὶ δὲ τούτων οὐδέν ἐστ' ἀρνήσιμον.
ὥστ' εἴ με τόξων ἐγκρατὴς αἰσθήσεται,
ὄλωλα. καὶ σὲ προσδιαφθερῶ ξυνών.
ἀλλ' αὐτὸ τοῦτο δεῖ σοφισθῆναι, κλοπεὺς
ὅπως γενήσῃ τῶν ἀνικήτων ὅπλων.
ἔξοιδα καὶ φύσει σε μὴ πεφυκότα
τοιαῦτα φωνεῖν, μηδὲ τεχνᾶσθαι κακά.
„ Ἀλλ' ἡδὺ γάρ τι κτῆμα τῆς νίκης λαβεῖν.
τόλμα. δίκαιοι δ' αὖθις ἐκφανούμεθα.
νῦν δ' εἰς ἀναιδὲς ἡμέρας μέρος βραχὺ
δός μοι σεαυτόν. κᾆτα τὸν λοιπὸν χρόνον
κέκλησο πάντων εὐσεβέστατος βροτῶν.
ΝΕΟ. Ἐγὼ μὲν οὓς ἂν τῶν λόγων ἀλγῶ κλύων,
Λαερτίου παῖ, τούσδε καὶ πράσσειν στυγῶ.
ἔφυν γὰρ οὐδὲν ἐκ τέχνης πράσσειν κακῆς,
οὔτ' αὐτὸς, οὔθ' ὥς φασιν οὑκφύσας ἐμέ.
ἀλλ' εἴμ' ἕτοιμος πρὸς βίαν τὸν ἄνδρ' ἄγειν,
καὶ μὴ δόλοισιν. οὐ γὰρ ἐξ ἑνὸς ποδὸς
ἡμᾶς τοσούσδε πρὸς βίαν χειρώσεται.
πεμφθείς γε μέντοι σοὶ ξυνεργάτης, ὀκνῶ
„ προδότης καλεῖσθαι. βούλομαι δ' ἄναξ καλῶς
„ δρῶν ἐξαμαρτεῖν μᾶλλον, ἢ νικᾶν κακῶς.
ΟΔ. ἐσθλοῦ πατρὸς παῖ, καὐτὸς ὢν νέος ποτὲ,

γλῶσ-

Ἔχθος ἐχθήρας. οἱ γὰρ ἐξ ἑνὸς ἠδικημένοι φιλοῦσιν ἀλλήλους.
Στείλαντες. καλέσαντες.
Τήνδ' ἅλωσιν. τὸ σε ἐλθεῖν εἰς Ἴλιον. ¶ Οὐκ ἠξίωσαν. οὐκ ἄξιον ἡγήσαντο. ¶ Ἔσχατ' ἐσχάτων κακά. αἰσχρότατα. ¶ Εἰ γὰρ τὰ τοῦδε τόξα. προξενητικῶς εἰς τὴν συμμαχίαν. οὐ τὸν ἄνδρα, ἀλλὰ ψιλῶς τὰ τόξα ὠνόμασεν. εἰς δὲ τὴν πόρθησιν, τὸν Νεοπτόλεμον. ¶ Οὔτ' ἔνορκος. ὤμοσαν γὰρ οἱ Τυνδάρεω πάντες Ἕλληνες συνελθεῖν, ἐὰν ἁρπαγῇ ἡ Ἑλένη.

Βούλομαι δ' ἄναξ καλῶς. ἀντὶ τοῦ ἀληθεύων. ¶ Ἢ νικᾶν κακῶς. ἀντὶ τοῦ μετὰ ψευδολογίας. ὅ ἐστι, θέλω εἰπὼν τὸ ἀληθὲς ἀποτυχεῖν μᾶλλον, ἢ ἐξαπατῆσαι τὸν ἄνδρα καὶ ἐπιτυχεῖν. εἰσάγει δὲ αὐτὸν ὁ Σοφοκλῆς τὸν τοῦ πατρὸς λόγον λέγοντα,
„ Ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς
„ ἀΐδαο πύλῃσι.

» γλῶσσαν μὲν ἀργόν, χεῖρα δ' εἶχον ἐργάτιν.
» νῦν δ' εἰς ἔλεγχον ἐξιών, ὁρῶ βροτοῖς
» τὴν γλῶσσαν, οὐχὶ τἄργα πάνθ' ἡγουμένην.
ΝΕ. τί οὖν μ' ἄνωγας ἄλλο, πλὴν ψευδῆ λέγειν;
ΟΔ. λέγω σ' ἐγὼ δόλῳ Φιλοκτήτην λαβεῖν.
ΝΕ. τί δ' ἐν δόλῳ δεῖ μᾶλλον, ἢ πείσαντ' ἄγειν;
ΟΔ. οὐ μὴ πίθηται. πρὸς βίαν δ' οὐκ ἂν λάβοις.
ΝΕ. οὕτως ἔχει τι δεινὸν ἰσχύος θράσος;
ΟΔ. ἰοὺς ἀφύκτους καὶ προπέμποντας φόνον.
ΝΕ. οὐκ ἆρ' ἐκείνῳ γ' οὐδὲ προσμῖξαι θρασύ;
ΟΔ. οὔ, μὴ δόλῳ λαβόντα γ' ὡς ἐγὼ λέγω.
ΝΕ. οὐκ αἰσχρὸν ἡγῇ δῆτα τὰ ψευδῆ λέγειν;
ΟΔ. οὔκ, εἰ τὸ σωθῆναί γε τὸ ψεῦδος φέρει.
ΝΕ. πῶς οὖν βλέπων τις, ταῦτα τολμήσει λαλεῖν;
ΟΔ. ὅταν τι δρᾷς ἐς κέρδος, οὐκ ὀκνεῖν πρέπει.
ΝΕ. κέρδος δ' ἐμοὶ τί τοῦτον ἐς Τροίαν μολεῖν;
ΟΔ. αἱρεῖ τὰ τόξα ταῦτα τὴν Τροίαν μόνα.
ΝΕ. οὐκ ἆρ' ὁ πέρσων γ' ὡς ἐφάσκετ' εἴμ' ἐγώ;
ΟΔ. οὔτ' ἂν σὺ κείνων χωρίς, οὔτ' ἐκεῖνα σοῦ.
ΝΕ. θηρατέα γίγνοιτ' ἄν, εἴπερ ὧδ' ἔχει.
ΟΔ. ὡς τοῦτό γ' ἔρξας, δύο φέρῃ δωρήματα.
ΝΕ. ποίω; μαθὼν γάρ, οὐκ ἂν ἀρνοίμην τὸ δρᾶν.
ΟΔ. σοφός τ' ἂν αὐτὸς κἀγαθὸς κεκλῇ ἅμα.
ΝΕ. ἴτω. ποιήσω πᾶσαν αἰσχύνην ἀφείς.
ΟΔ. ἦ μνημονεύεις οὖν ἅ σοι παρῄνεσα;
ΝΕ. σάφ' ἴσθ', ἐπείπερ εἰσάπαξ συνῄνεσα.
ΟΔ. σὺ μὲν μένων νῦν κεῖνον ἐνθάδ' ἐκδέχου.
ἐγὼ δ' ἄπειμι μὴ κατοπτευθῶ παρών.
καὶ τὸν σκοπὸν πρὸς ναῦν ἀποστελῶ πάλιν.
καὶ δεῦρ' ἐάν μοι τοῦ χρόνου δοκῆτέ τι
κατασχολάζειν, αὖθις ἐκπέμψω πάλιν
τοῦτον τὸν αὐτὸν ἄνδρα ναυκλήρου τρόποις
μορφὴν δολώσας, ὡς ἂν ἀγνοία προσῇ.
οὗ δῆτα τέκνον ποικίλως αὐδωμένου,
δέχου τὰ συμφέροντα τῶν ἀεὶ λόγων.
ἐγὼ δὲ πρὸς ναῦν εἶμι σοὶ παρεὶς τάδε.
Ἑρμῆς δ' ὁ πέμπων δόλιος ἡγήσαιτο νῷν,
νίκη τ' Ἀθηνᾶ πολιάς, ἣ σώζει μ' ἀεί.

¶ Γλῶσσαν μὲν ἀργόν. κρείσσονα τοῦ ἔργου οὖσαν τὴν γλῶσσαν. διαβάλλει τοὺς καθ' ἑαυτὸν ῥήτορας ὁ ποιητής, ὡς διὰ γλώσσης πάντα κατορθοῦντας. ¶ Ηγουμένην. προηγουμένην. εἰς ἅπαντα τὴν ἀπάτην ἀνύουσαν. ¶ Τί οὖν μ' ἄνωγας. ὃ θέλεις κέλευε πλὴν τοῦ ψεύδεσθαι. ¶ Ιοὺς ἀφύκτους. ἄφυκτα γὰρ ἦν τὰ ἡράκλεια βέλη. ἐκ τοῦ σκοποῦ μὴ ἀποτυγχάνοντα, ἢ ἀπανερχόμενα εἰς ἑαυτόν. ¶ Οὐκ ἆρ' ἐκείνῳ. οὐκοῦν οὐδὲ προσελθεῖν ἑαυτῷ, εὐθαρσές ἐστι καὶ ἀσφαλές. ¶ Εἰ σωθῆναι. εἰ σωτηρία διὰ αὐτοῦ προσγίνεται. ¶ Πῶς οὖν βλέπων. πῶς οὖν ἀναβλέπων τις εἰς τὸ ψεῦδος ἐρεῖ αὐτό, νοῦν ἢ λογισμὸν ἔχων. ¶ Αἱρεῖ. πορθεῖ. ¶ Θηρατέα. ληπτέα. ἄξια τοῦ θηραθῆναι. ¶ Δύο φέρῃ δωρήματα. δύο τιμήματα ἀποφέρῃ. ¶ Ποίω μαθών. ἀντὶ τοῦ, ποῖα δυϊκῶς. ¶ Κεκλῇ ἅμα. ἀντὶ τοῦ κεκλημένος εἴης. ¶ Σοφός τ' ἄν. σοφὸς μὲν διὰ τὸ κλέψαι. ἀγαθὸς δὲ διὰ τὸ πορθῆσαι. ἢ σοφοῦ μὲν ὄντος καθόλου τοῦ δολῶσαι δυναμένου. νῦν δὲ καὶ τοῦ δόλου ἀπαθοῦ ὄντος. ¶ Συνῄνεσα. συνεθέμην. ¶ Καὶ τὸν σκοπόν. τὸν σκοπὸν τοῦτον, πρὸς τὴν ναῦν ἀποπέμψω. καὶ πάλιν ἐὰν καιρὸς καλῇ, ἐνταῦθα, ἐάν μοι δόξητε βραδύνειν. ¶ Μορφὴν δολώσας. ἵνα μὴ γνωσθῇ. ¶ Οὗ δῆτα τέκνον. τοῦ Φιλοκτήτου ἀπατωμένου. ἢ τοῦ ναυκλήρου δόλιά σοι διαλεγομένου, καὶ ἀσυμφανῆ. ¶ Πολιάς. πολιοῦχος.

Στέγειν, κρύπτειν. ¶ Ἄνδρ' ὑπόπταν. ἀντὶ τοῦ ἐμὲ φανερὸν γεγονότα, καὶ ἐλθόντα εἰς ὄψιν. ἢ τὸν Φιλοκτήτην τὸν ὑφ' ἡμῶν κατασκοπευόμενον. Ἄλλως. πρὸς τὸν ὑφορώμενον ἡμᾶς ἄνδρα, τί δεῖ λέγειν ἢ σιωπᾶν. ¶ Τέχνα γὰρ τέχνας. τοῦτο ἐν τῷ καθόλου. ἡ γὰρ τέχνη φησὶ καὶ ἡ γνώμη τῶν βασιλέων πρού-
,, χει τῶν ἄλλων τεχνῶν. καὶ ἐν Οἰδίποδι, Ἃ γὰρ δρῶσιν οἱ κρατοῦντες οὐχ ὁρᾷς.
,, Καὶ Ἡσίοδος, τοὔνεκα γὰρ βασιλῆες ἐχέφρονες. ¶ Παρ' ὅτῳ. ἐφ' ᾧ ἐστὶ τὸ θεῖον σκῆπτρον. ¶ Τόδ' ἐλήλυθε.

Χο. τί χρὴ τί χρή με δέσποτ' ἐν ξένᾳ ξένον
στέγειν, ἢ τί λέγειν πρὸς ἄνδρ' ὑπόπταν;
,, φράζε μοι. τέχνα γὰρ
,, τέχνας ἑτέρας προύχει.
,, καὶ γνώμα, παρ' ὅτῳ τὸ θεῖον
,, Διὸς σκῆπτρον ἀνάσσεται.
σὲ δ' ὦ τέκνον τόδ' ἐλήλυθε
πᾶν κράτος ὠγύγιον. τό μοι ἔννεπε
τί σοι χρεὼν ὑπουργεῖν.
νῦν μὲν ἴσως γὰρ τόπον ἐσχατιαῖς
προσιδεῖν ἐθέλεις ὄντινα κεῖται,
δέρκου θαρσῶν. ὁπόταν δὲ μόλῃ
δεινὸς ὁδίτης τῶνδ' ἐκ μελάθρων,
πρὸς ἐμὴν αἰεὶ χεῖρα προχωρῶν,
πειρῶ τὸ παρὸν θεραπεύειν.
μέλον πάλαι μέλημά μοι λέγεις ἄναξ τὸ
φρουρεῖν ὄμμ' ἐπὶ σῷ μάλιστα καιρῷ. (σὸν
νῦν δέ μοι λέγ' αὐλὰς
ποίας ἔνεδρος ναίει,
καὶ χῶρον τίν' ἔχει. τὸ γάρ μοι
μαθεῖν, οὐκ ἀποκαίριον,
μή με λάθῃ προσπεσὼν ποθεν,
τίς τόπος, ἢ τίς ἕδρα, τίν' ἔχει στίβον
ἔναυλον, ἢ θυραῖον.
Νε. οἶκον μὲν ὁρᾷς τόνδ' ἀμφίθυρον
πετρίνης κοίτης.
Χο. ποῦ γὰρ ὁ τλήμων αὐτὸς ἄπεστι;
Νε. δῆλον ἔμοιγ' ὡς φορβῆς χρείᾳ
στίβον ὀγμεύει τόνδε πέλας που.
ταύτην ἔχειν βιοτὴν αὐτὸν
λόγος ἐστὶ φύσιν, θηροβολοῦντα

τοῦτο τὸ ἀξίωμα ἐκ προγόνων ἦλθεν εἰς σέ. δίκαιοι εἰσὶ σοι πείθεσθαι. Πᾶν κράτος. τὸ ἐξ ἀρχῆς τιθέμενον κράτος. ¶ Ὑπουργεῖν. ὑπηρετεῖν. ¶ Νῦν μὲν ἴσως γάρ. νῦν μέν φησιν εἰσελθών, ὅρα τὸν τόπον. ἐπὰν δὲ ἔλθῃ, τότε σὺ τῶν μελάθρων ἀποστάς, ὑπηρέτει μοι πρὸς τὴν παροῦσαν χρείαν. ¶ Τόπον ἐσχατιαῖς. τὸν ἐν τῷ ἐσχάτῳ τόπῳ. ¶ Προχωρῶν, πειρῶ τὸ παρόν. ὥσπερ ἐγὼ προχωρῶ, οὕτως ἀκολουθῶν πειρῶ με θεραπεύειν ἀεί. κυρίως δέ ἐστιν ἀκούειν τὸ προχωρῶ, οἷον ὡς ἂν ἐγὼ προστάσσω, τοῦτον τὸν τρόπον ποιῶν. ¶ Μέλον πάλαι. ἀντὶ τοῦ πρᾶγμά μοι λέγεις, ἐκ πολλοῦ μοι μεμεληκός. τὸ φρουρεῖν τὸ σὸν ὄμμα, καὶ τὴν ἀπὸ σοῦ εὐκαιρίαν. ¶ Τὸ σὸν φρουρεῖν ὄμμα. τὰ σὰ νεύματα φυλάττειν. ¶ Οὐκ ἀποκαίριον. οὐκ ἄκαιρον. οὐκ ἄκαιρον γάρ ἐστι τὸ τοῦτο μαθεῖν. ¶ Προσπεσών. προσπελάσας. ¶ Ἔναυλον ἢ θυραῖον. ἐντός, ἢ ἐκτός, ἐγγὺς, ἢ μακράν. ¶ Στίβον ὀγμεύει. ὄγμος ἡ εὐθεῖα στίχος φυτείας. νῦν δὲ ἀντὶ τοῦ ἐφεξῆς πορεύεται.

μηδ' ἄλλος ἀνδρῶν. ἄριστον γάρ φησιν ἅπαξ ἀνακλιθεῖσαν μοι ἑτέρῳ ἀνδρὶ ξένῳ παρακαθευδῆσαι. ¶ Κήδευσον λέχος. οἰκείωσαι. ¶ Οἴμοι τὸ μὲν νοσοῦντι. τὸ θυμοῦσθαι εἰ μὴ πεισθείην αὐτῷ, καὶ τὸ πείθεσθαι ὧδε φρονοῦντι, δυσχερές. ¶ Ὡς ἐργασείων οὐδὲν λέγω. οὕτω λαλεῖς, ὡς μηδὲν πράξων ὧν λέγω. ¶ Τίς γὰρ ποθ' ἥ μοι. τὸ τίς, ἐφ' ἑαυτοῦ ἔθηκεν.

μηδ' ἄλλος ἀνδρῶν τοῖς ἐμοῖς πλευροῖς ὁμοῦ
κλιθεῖσαν αὐτὴν, ἀντὶ σοῦ λάβοι ποτέ.
ἀλλ' αὐτὸς ὦ παῖ τοῦτο κήδευσον λέχος.
„ πιθοῦ. τὸ γάρ τοι μεγάλα πιστεύσαντ' ἐμοὶ
„ Σμικροῖς ἀπιστεῖν, τὴν πάρος συγχεῖ χάριν.
ΥΛ οἴμοι. τὸ μὲν νοσοῦντι θυμοῦσθαι, κακόν.
τὸ δ' ὧδ' ὁρᾶν φρονοῦντα, τίς ποτ' ἂν φέροι;
Ηρ ὡς ἐργασείων οὐδὲν ὧν λέγω θροεῖς.
ΥΛ τίς γάρ ποθ'. ἥ μοι μητρὶ μὲν θανεῖν μόνη
μεταίτιος, σοί τ' αὖθις ὡς ἔχεις ἔχειν,
τίς ταῦτ' ἂν ὅστις μὴ 'ξ ἀλαστόρων νοσοῖ,
ἕλοιτο. κρεῖσσον κἀμέ γ' ὦ πάτερ θανεῖν,
ἢ τοῖσιν ἐχθίστοισι συνναίειν ὁμοῦ.
Ηρ ἀνὴρ ὅδ' ὡς ἔοικεν, οὐ νέμει γ' ἐμοὶ
φθίνοντι μοῖραν, ἀλλά τοι θεῶν ἀρὰ
μενεῖ σ' ἀπιστήσαντα τοῖς ἐμοῖς λόγοις.
ΥΛ οἴμοι τάχ' ὡς ἔοικας, ὡς νοσεῖς, φάσεις.
Ηρ σὺ γάρ μ' ἀπευνασθέντος ἐκκινεῖς κακοῦ.
ΥΛ δείλαιος, ὡς ἐς πολλὰ τἀπορεῖν ἔχω.
Ηρ οὐ γὰρ δικαιοῖς τοῦ φυτεύσαντος κλύειν.
ΥΛ ἀλλ' ἐκδιδαχθῶ δῆτα δυσσεβεῖν πάτερ;
Ηρ οὐ δυσσέβεια τοὐμὸν εἰ τέρψεις κέαρ.
ΥΛ πράσσειν ἄνωγας οὖν με πανδίκως τάδε;
Ηρ ἔγωγε. τούτων μάρτυρας καλῶ θεούς.
ΥΛ τοιγὰρ ποιήσω, κοὐκ ἀπώσομαι τὸ σὸν
θεοῖσι δεικνὺς ἔργον. οὐ γὰρ ἄν ποτε
κακὸς φανείην σοί γε πιστεύσας πάτερ.
Ηρ. Καλῶς τελευτᾷς. κἀπὶ τοῖσδε, τὴν χάριν
ταχεῖαν ὦ παῖ πρόσθες, ὡς πρὶν ἐμπεσεῖν
σπαραγμὸν ἤ τιν' οἶστρον, ἐς πυράν με θῇς.
ἄγ', ἐγκονεῖτ', αἴρεσθε. παῦλά τοι κακῶν

ἀντὶ τοῦ, πῶς ἂν ἐγὼ ἑλοίμην γῆμαι αὐτὴν, τὴν τῶν κακῶν αἰτίαν οὖσαν. ¶ Τίς ταῦτ' ἂν ὅστις. τίς ἂν ταῦτα πράττειν ἕλοιτο ἐκτὸς ὢν μανίας, καὶ θηλασίας. ἀντὶ τοῦ, οὐκ ἂν ἑλοίμην, εἰ μὴ μαινοίμην. ¶ Οὐ νέμει γ' ἐμοὶ φθίνοντι μοῖραν. ἀντὶ τοῦ, μέρος δυπίας οὐ νέμει μοι φθειρομένῳ. ¶ Οἴμοι τάχ' ὡς ἔοικας, ὡς νοσεῖς. ὡς φανερὸς εἶ νοσῶν χαλεπῶς, οὕτω καὶ χαλεπῶς διαλεγόμενος. ¶ Σὺ γάρ μ' ἀπευνασθέντος. σύ με φησὶν ἀναταράττεις ἀπὸ τοῦ καταπραϋνθέντος κακοῦ μὴ πειθόμενος. ¶ Ὡς εἰς πολλὰ τ' ἀπορεῖν ἔχω. ἄρτι γὰρ καὶ ἐναντιοῦσθαι, καὶ πείθεσθαι. διὸ ἀπορῶ. ¶ Δικαιοῖς. δίκαιον νομίζεις. ¶ Ἀλλ' ἐκδιδαχθῶ δῆτα. τοῦτο κατ' ἐρώτησιν. δίκαιόν σοι τοῦτο φαίνεται τὸ συναφθῆναί με τῇ Ἰόλῃ; τὸ σόν. ὅτι οὐκ ἄδικον τοῦτο ἡγοῦμαι, ἀλλ' εὐσεβὲς, τὸ πειθαρχεῖν τῷ πατρί. ¶ Θεοῖσι δεικνὺς ἔργον. διαμαρτυράμενος τοὺς θεοὺς, γαμήσω τὴν Ἰόλην. ¶ Καλῶς τελευτᾷς. ἀντὶ τοῦ καλῶς τὸν λόγον ἐπεραίωσας. ¶ Ὡς πρὶν ἐμπεσεῖν. ὡς πρὶν εἰς πυράν με θῇς, πρὶν ταραχθῆναι ὑπὸ τῆς νόσου. ¶ Ἄγ' ἐγκονεῖτε. ἐνεργεῖτε, καὶ ἀνακουφίζετε. ¶ Παῦλά τοι κακῶν. μόνη γὰρ ἀνάπαυσις, τὸ τελευτῆσαι.

με τῷ πυρί, ἐν τοιαύτῃ τελευτῇ χρήσασθαι. ¶ Ἄγε νῦν πρὶν τήνδε. ἑαυτὸν παραθαρρύνει, ὥστε μὴ βοὴν κομιζόμενον εἰς τὴν πυράν. ἄγε οὖν φησιν ὦ σκληρὰ ψυχὴ ὡς ἀπὸ χαλυβικοῦ σιδήρου πεποιημένη, πρὶν τήνδε ἀνακινῆσαι νόσον ἐνδῦσα τοῦ σεαυτοῦ στόμα ἐμφαστῆναι, ὥσπερ εἰ στόμα φρέατος λίθῳ κεκολλημένου, πρὸς τὸ μηκέτι ὕδωρ ἀνιμᾶσθαι. λείπει δὴ τὸ ὡς. ἵν' ᾖ, ὡς ἀπὸ χάλυβος γενομένη. ἢ λιθοκόλλητον στόμιον, ἀντὶ τοῦ λίθινον καὶ σκληρὸν χαλινὸν σαυτῇ ἐπιβαλοῦσα. ¶ Ἀνάπαυε βοήν. ἀνάπαυσον τὴν βοήν, ὡς εἰς ἐπίχαρτον ἅμα καὶ ἀκούσιον πρᾶγμα χωροῦσα, τὴν πυράν. πῶς δὲ ἐπίχαρτον καὶ ἀκούσιον; ἐπίχαρτον μέν, ὅτι ἀπαλλάττεται τῆς νόσου. ἀκούσιον δέ, ὅτι λυπεῖ πάντας ἡ
» ἀποστέρησις τοῦ βίου. παρὰ τό, ἑκὼν
» ἀέκοντί γε θυμῷ. ¶ Αἴρετ' ὀπαδοί. οὐκ οἰκέταις, ἀλλὰ τοῖς ἀκολουθοῦσιν αὐτῷ ἐξ Εὐβοίας. Συγγνωμοσύνην. ἀντὶ τοῦ συγγνώμην. ὅτι κατὰ γνώμην πατρῴαν τῶν θεῶν. ¶ Οἱ φύσαντες. πρὸς τὸν Δία ἡ ἀπότασις τοῦ λόγου. ἐκείνους φησὶν ἀγνώμονας ἡγεῖσθε, οἵτινες γεννήσαντες αὐτὸν, περιορῶσι τοιαῦτα πάσχοντα. ¶ Ἐφορᾷ. περιττὴ ἡ πρόθεσις. ¶ Λείπου μηδὲ σύ. τοῦτο λέγει ὁ χορός, ἢ ὁ Ὕλλος. ἔοικε γὰρ ὁ Ὕλλος ἀποστραφεὶς ταῖς ἀπὸ τοῦ χοροῦ λέγειν τὸ μὴ ἀπολιμπάνεσθαι τῶν οἴκων, ἕως ἂν ἐπέλθωσιν ἀπὸ τῆς πυρᾶς. Ἀπ' οἴκων. γράφεται ἐπ' οἴκων. τουτέστι, μηδὲ ὑμεῖς ἀπολείπεσθε ἐνταῦθα, ἀλλ' ἀκολουθήσατε. ¶ Κοὐδὲν τούτων. λείπει, ἐποίησε, διὰ τὴν εἱμαρμένην, ἤ τις κακῶν καὶ ἀγαθῶν ἐστιν αἰτία. Ἄλλως. Κοὐδὲν τούτων, ὅ, τι μὴ Ζεύς. οὐδὲν τούτων οὐδεὶς ἔπραξεν, εἰ μὴ μόνος ὁ Ζεύς.

αὕτη τελευτὴ τοῦδε τἀνδρὸς ὑστάτη.
ΥΛ. Ἀλλ' οὐδὲν εἴργει σοὶ τελειοῦσθαι τάδε,
ἐπεὶ κελεύεις κἀξαναγκάζεις, πάτερ.
ΗΡΑ. Ἄγε νῦν πρὶν τήνδ' ἀνακινῆσαι
νόσον, ὦ ψυχὴ σκληρά, χάλυβος
λιθοκόλλητον στόμιον παρέχουσ',
ἀνάπαυε βοήν, ὡς ἐπίχαρτον
τελέως ἀεκούσιον ἔργον.
αἴρετ' ὀπαδοί, μεγάλην μὲν ἐμοὶ
τούτων θέμενοι συγγνωμοσύνην,
μεγάλην δὲ θεῶν ἀγνωμοσύνην,
εἰδότες ἔργων τῶν πρασσομένων,
οἳ φύσαντες, καὶ κληζόμενοι
πατέρες, τοιαῦτ' ἐφορῶσι πάθη.
τὰ μὲν οὖν μέλλοντ', οὐδεὶς ἐφορᾷ.
τὰ δὲ νῦν ἑστῶτ', οἰκτρὰ μὲν ἡμῖν,
αἰσχρὰ δ' ἐκείνοις.
χαλεπώτατα δ' οὖν ἀνδρῶν πάντων,
τῷ τήνδ' ἄτην ὑπέχοντι.
ΧΟ. Λείπου μηδὲ σὺ παρθέν' ἀπ' οἴκων,
ἢ ΥΛ. μεγάλους μὲν ἰδοῦσα νέους θανάτους,
πολλὰ δὲ πήματα καινοπαθῆ,
κοὐδὲν τούτων, ὅ, τι μὴ Ζεύς.

ΤΕΛΟΣ ΤΩΝ ΣΟΦΟΚΛΕΟΥΣ ΤΡΑΧΙΝΙΩΝ.

# ΥΠΟΘΕΣΙΣ ΦΙΛΟΚΤΗΤΟΥ.

Ἀπαγωγὴ Φιλοκτήτου ἐκ Λήμνου εἰς Τροίαν ὑπὸ Νεοπτολέμου καὶ Ὀδυσσέως καθ' Ἑλένου μαντείαν. ὃς κατὰ μαντείαν Κάλχαντος, ὡς εἰλὼς χρησμοὺς συντελοῦντας πρὸς τὴν τῆς Τροίας ἅλωσιν, ὑπὸ Ὀδυσσέως νύκτωρ ἐνεδρευθεὶς, δέσμιος ἤχθη τοῖς Ἕλλησιν. Ἡ δὲ σκηνὴ, ἐν Λήμνῳ. Ὁ δὲ χορὸς ἐκ γερόντων τῶν τῷ Νεοπτολέμῳ συμπλεόντων. κεῖται καὶ παρ' Αἰσχύλῳ ἡ μυθοποιΐα. ἐδιδάχθη ἐπὶ Γλαυκίππου. πρῶτος ἦν Σοφοκλῆς

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

Ὀδυσσεύς.
Νεοπτόλεμος.
Χορός.
Φιλοκτήτης.
Ἔμπορος.
Ἡρακλῆς ἐπιφαινόμενος.

Προλογίζει δὲ ὁ Ὀδυσσεύς.

# ΣΟΦΟΚΛΕΟΥΣ

## ΦΙΛΟΚΤΗΤΗΣ.

Ἀκτὴ μὲν ἥδε τῆς περιρρύτου χθονός. ἐν παρὰ τούτῳ προλογίζει ὁ Ὀδυσσεὺς, καθάπερ καὶ παρ' Εὐριπίδῃ. ἐκεῖνο μέντοι διαφέρει, παρ' ὅσον ὁ μὲν Εὐριπίδης πάντα τῷ Ὀδυσσεῖ περιτίθησιν. οὗτος δὲ τὸν Νεοπτόλεμον παρεισάγων, διὰ τούτου οἰκονομεῖται. τὸ δὲ ἀκτὴ, διὰ τὸ εἰπεῖν αὐτὴν νῆσον.

¶ Λήμνου, βροτοῖς ἄστιπτος. ἐν ἐρήμῳ γὰρ μέρει τῆς Λήμνου ἐξετέθη ὑπὸ τῶν Ἑλλήνων. ἢ ἄστιπτος, ἀπάτητος, ἀνόδευτος. ἐν ἐρήμῳ γὰρ τόπῳ τῆς νήσου ἦν ἐκτεθείς. ¶ Ἔνθ' ὦ κρατίστου πατρός. τραφεὶς ἐκ πατρὸς Ἑλλήνων κρατίστου. λείπει τὸν ἢ δὲ. τὸ δὲ ἑξῆς. ἔνθα ποτὲ ἐγὼ ἐξέθηκα τὸν Μηλιᾶ Ποίαντος υἱὸν, ὦ Νεοπτόλεμε παῖ Ἀχιλλέως.

Τὸν Μηλιᾶ. τὸν Θεσσαλόν. ἀπὸ πόλεως. ἀττικὸν δὲ τὸ, Μηλιᾶ.

Διαβόρῳ. τῇ τὸν πόδα ἐσθιούσῃ. σηπτικῇ, τῇ διαβιβρωσκούσῃ, τῇ καλουμένῃ φαγεδαίνῃ. πάθος δὲ τοῦτό ἐστιν, οὕτω λεγόμενον παρὰ τοῖς ἰατροῖς. ¶ Καταστάζοντα. οἷον καταρρέοντα. τηκόμενον, λυόμενον. ¶ Κἀκχέω τὸ πᾶν. ταράξω. ἀπὸ μεταφορᾶς τῶν ἀμελγόντων. ¶ Ἵν' ἐν ψύχει μέν. ἐν χειμῶνι μὲν, ἐν κρύει, πάρεστι θερμαίνεσθαι, τῆς ἀκτῖνος τοῦ ἡλίου ἑκατέρωθεν βαλλούσης. οὐκ ἐν ταυτῷ δὲ, ἀλλ' ὅτε μὲν κατὰ τὸ ἀνατολικὸν μέρος ἐλαύνει ὁ ἥλιος, διὰ τοῦ ἀνατολικοῦ στόματος. ὅτε δὲ εἰς τὸ δυτικὸν ὁμοίως. ἐν δὲ θέρει τῆς πνοῆς ἀπολαύειν. ¶ Διπλῆ πάρεστιν ἐνθάκησις. διπλῆ καθέδρα πρὸς ἥλιον θερμαινομένη. ¶ Δι' ἀμφιτρῆτος. τοῦ ἀμφοτέρωθεν τετρημένου.

Ἀκτὴ μὲν ἥδε τῆς περιρρύτου χθονὸς
Λήμνου, βροτοῖς ἄστιπτος, οὐδ' οἰκουμένη.
Ἔνθ' ὦ κρατίστου πατρὸς Ἑλλήνων τραφεὶς
Ἀχιλλέως παῖ Νεοπτόλεμε, τὸν Μηλιᾶ
Ποίαντος υἱὸν ἐξέθηκ' ἐγώ ποτε,
ταχθεὶς τόδ' ἔρδειν τῶν ἀνασσόντων ὕπο,
νόσῳ καταστάζοντα διαβόρῳ πόδα.
ὅτ' οὔτε λοιβῆς ἡμῖν, οὔτε θυμάτων
παρῆν ἑκήλοις προσθιγεῖν. ἀλλ' ἀγρίαις
κατεῖχ' ἀεὶ πᾶν στρατόπεδον δυσφημίαις
βοῶν, στενάζων. ἀλλὰ ταῦτα μὲν, τί δεῖ
λέγειν. ἀκμὴ γὰρ οὐ μακρῶν ἡμῖν λόγων.
μὴ καὶ μάθῃ μ' ἥκοντα, κἀκχέω τὸ πᾶν
σόφισμα, τῷ νιν αὐτίχ' αἱρήσειν δοκῶ.
ἀλλ' ἔργον ἤδη σὸν τὰ λοίφ' ὑπηρετεῖν,
σκοπεῖν θ' ὅπου 'στ' ἐνταῦθα δίστομος πέτρα
τοιάδ', ἵν' ἐν ψύχει μὲν ἡλίου διπλῆ
πάρεστιν ἐνθάκησις, ἐν θέρει δ' ὕπνον
δι' ἀμφιτρῆτος αὐλίου πέμπει πνοή.
βαιὸν δ' ἔνερθεν ἐξ ἀριστερᾶς τάχ' ἂν

στυγερῶς. ἐπιμόνως. ¶ Οὐδέ τιν' αὐτῷ. ἀντὶ τοῦ ἑαυτῷ. ¶ Παιῶνα κακῶν. θεραπείαν. ¶ Ἐπινωμᾶν. ἐξευρίσκειν. ¶ Οἰκτείρω νιν. ἐλεῶ φησὶν αὐτὸν, πῶς δύναται διάγειν, μήτε συνοικῶν τινι, μήτε κηδόμενόν τινα ἔχων. ¶ Μή του κηδομένου.

πτηνοῖς ἰοῖς, στυγερὸν στυγερῶς
οὐδέ τιν' αὐτῷ
παιῶνα κακῶν ἐπινωμᾶν.
Χο. Οἰκτείρω νιν ἔγωγ' ὅπως
μή του κηδομένου βροτῶν,
μηδὲ σύντροφον ὄμμ' ἔχων
δύστανος μόνος αἰεὶ,
νοσεῖ μὲν νόσον ἀγρίαν,
ἀλύει δ' ἐπὶ παντί τῳ
χρείας ἱσταμένῳ. πῶς ποτε πῶς
δύσμορος ἀντέχει
ὦ παλάμαι θνητῶν,
ὦ δύστανα γένη βροτῶν,
οἷς μὴ μέτριος αἰών.
οὗτος πρωτογόνων ἴσως
οἴκων οὐδενὸς ὕστερος,
πάντων ἄμμορος ἐν βίῳ
κεῖται μοῦνος ἀπ' ἄλλων,
στικτῶν ἢ λασίων μετὰ
θηρῶν. ἔν τ' ὀδύναις ὁμοῦ
λιμῷ τ' οἰκτρὸς, ἀνήκεστα μερι-
μνήματ' ἔχων. βοᾷ-
α δ' ἀθυρόστομος
ἀχὼ τηλεφανὴς πικρᾶς
οἰμωγᾶς ὑπόκειται.
Νε. Οὐδὲν τούτων θαυμαστὸν ἐμοί.
θεῖα γὰρ, εἴπερ κἀγώ τι φρονῶ,
καὶ τὰ παθήματ' ἐκεῖνα πρὸς αὐτὸν
τῆς ὠμόφονος Χρύσης ἐπέβη.

μή τινος αὐτοῦ τῶν ἀνθρώπων κηδομένου. ¶ Μὴ σύντροφον ὄμμα. μηδὲ ὁρῶν εἰς ἄνθρωπον σύνοικον. ¶ Ἀλύει δὲ ἐπὶ παντί. ἐπὶ παντὶ ἐν τῷ χρείᾳ γινομένῳ ἀπορεῖ. ἢ ὁπηνίκα χρείας καλέσῃ καιρὸς, ἀδημονεῖ διὰ τὸ πάντων ἀπορεῖν. ¶ Ὦ παλάμαι θνητῶν. ὦ τέχναι καὶ γνῶμαι. ἔστι θαυμάζων τὸν Φιλοκτήτην φησί. πῶς μόνος ὢν, ἐξευρίσκει τὰ πρὸς τὴν ζωὴν ἑαυτῷ. ¶ Οἷς μὴ μέτριος αἰών. οἷς ὁ βίος οὐκ ἔχει τῶν κακῶν μέτρον. ἢ οὕτως. οἷς μὴ σύμμετρος ὁ βίος καὶ ἐπαρκῶν. ¶ Ὕστερος. ἀντὶ τοῦ ὑστερίζων. ¶ Ἄμμορος. ἔρημος νῦν κεῖται. ¶ Στικτῶν. ποικίλων, καὶ δασυτρίχων. ¶ Ἀθυρόστομος. πολυλάλητος. μὴ εἰργομένη τοῦ φθέγγεσθαι. ἀθυρόστομον δὲ εἶπε τὴν ἠχὼ, ἐπεὶ πρὸς πάντων ἀντιφθέγγεται. ὁ δὲ νοῦς, ἀεὶ μὲν ὀδυρομένου αὐτοῦ, ἠχὼ πρὸς τὸν ὀδυρμὸν ἀντιφθέγγεται. ¶ Τηλεφανής. μήκοθεν φαινομένη διὰ τῆς φωνῆς. ἀντὶ τοῦ οἰμώζει, καὶ τὴν φωνὴν πόρρωθεν ἀνεγείρει.

¶ Οὐδὲν τούτων θαυμαστόν. οὐδέν φησι τούτων θαυμαστὸν ἐμοὶ, ὅτι κακὰ πάσχει ὁ Φιλοκτήτης. ἐκ θεῶν γὰρ ὡς οἶμαι ταῦτα πέπονθε. καὶ τὸ πάθος ὑπέμεινε, κατὰ βούλησιν τῶν θεῶν. ἵνα μὴ τὰ βέλη εὐθέως ἀπελθόντος αὐτοῦ, πορθήσῃ τὴν Τροίαν πρὸ τοῦ εἱμαρμένου, ἀλλὰ ἐκδέξηται τὸν καιρόν. ¶ Τῆς ὠμόφονος χρύσης. Χρύση νῆσος πρὸ τῆς Λήμνου, ἔνθα διέτριβε Χρύση τις νύμφη, ἣ ἐρασθεῖσα τοῦ Φιλοκτήτου, καὶ μὴ πείσασα, κατηράσατο αὐτῷ. διὸ καὶ ὠμόφονα αὐτὴν ἐκάλεσεν. εἰς τὸ αὐτό. Τῆς ὠμόφονος Χρύσης. Χρύσης Ἀθηνᾶς ἄγαλμα οὗ

πω καλεῖται. ἔστι δὲ καὶ πόλις Χρύση, πλησίον Λήμνου, ἔνθα ὑπὸ τοῦ ὄφεως ἐδήχθη, τὸν βωμὸν ζητῶν ἐν ᾧ ἔθυσεν Ἡρακλῆς, ἡνίκα κατὰ Τροίας ἐστράτευσεν. ¶ Ἀμάχητα. ἀνίκητα. ℭ Ὧ λέγεται. ᾧ χρόνῳ. ¶ Πρὶν ὅδ' ἐξήκοι χρόνος. αὐτὴν τὴν Τροίαν εἰς τὸν εἱμαρμένον πρὶν ἐλθεῖν χρόνον, ἐν ᾧ εἵμαρται αὐτὴν πορθηθῆναι. ¶ Ὑπὲρ τοῦδε. τῶν βελῶν δηλονότι. ¶ Εὔστομ' ἔχε παῖ. εἰώθασιν οὕτω λέγειν, ἀντὶ τοῦ σιώπα. τὸ δὲ τοιοῦτο κεχίασται, ὅτι Ἑλλάνικός ποτε ἀναγινώσκων „τὰ Ἡροδότου ἔλεγε, Περὶ δὲ τοῦ δέ „μοι εὔστομα κείσθω. οὐ διαιρῶν εἰς δύο λέξεις, ἀλλ' ὡς ἄν τις εἴποι, ταῦτα εὔστομα. ἐπεὶ δέ φησιν ὁ χορὸς κτύπον ἀκούσας ἐπερχομένου τοῦ Φιλοκτήτου, καὶ στένοντος ἐν τῇ πορείᾳ διὰ τὸ ἄλγος. Φωτὸς σύντροφος. φωνῆς τῆς συντραφείσης αὐτῷ. δῆλον δὲ ὅτι κακῆς καὶ οἰμωκτικῆς. ὡς κατὰ τὸ σύνηθες αὐτοῦ τειρομένου. ℭ Ἢ που τῇδε. ἄρα ὧδε, ἢ ἐνθάδε. ¶ Φθογγά του. φθογγή τινος. ¶ Στίβου κατ' ἀνάγκαν. ἔξωθεν προσληπτέον τὴν ἐπί. ¶ Τρυσάνωρ. ἐπίπονος, ἢ κατατρύχουσα τὸν ἄνδρα. ¶ Διάσημα. φανερά. ¶ Φροντίδας νέας. τὸ ἑξῆς, ἔχε φροντίδας νέας, οἷον, καινότερόν τι βουλεύσαι, τί πρὸς αὐτὸν ἐρεῖς.

Οὐκ ἔξεδρος. οὐ μακρὰν, ἀλλ' ἐγγὺς, καὶ ἐντόπιος. ¶ Οὐ μολπὰν σύριγγος ἔχων. οὐ βοᾷ τερπόμενος σύριγγι ὡς ποιμήν. ¶ Ἀλλ' ἤ που πταίων. ἀλλὰ τάχα προσκόπτων ὑπὸ τῶν βασάνων βοᾷ. ἢ δύσορμον τὸν λιμένα ὁρῶν, προβοᾷ ἡμῖν μὴ πελάζειν εἰς αὐτόν. ὅμηρος, „Λῆμνον ἀμιχθαλόεσσαν, τὴν ἀπροσόρμιστον.

καὶ νῦν ἃ πονεῖ δίχα κηδεμόνων,
οὐκ ἔσθ' ὅπως οὐ θεῶν του μελέτῃ
τοῦ μὴ πρότερον τόνδ' ἐπὶ Τροίᾳ
τεῖναι τὰ θεῶν ἀμάχητα βέλη,
πρὶν ὅδ' ἐξήκοι χρόνος, ᾧ λέγεται
χρῆναί σφ' ὑπὸ τῶνδε δαμῆναι.

Χο. Εὔστομ' ἔχε παῖ.
Νε. τί τόδε;
Φι. προὐφάνη κτύπος
φωτὸς σύντροφος ὡς τειρομένου.
Νε. ἤ που τῇδ', ἢ τῇδε τόπων;
Χο. βάλλει βάλλει μ' ἐτοίμα φθογγαὶ
του στίβου κατ' ἀνάγκαν
ἕρποντος, οὐδέ με λήθει
βαρεῖα τηλόθεν αὐδὰ
τρυσάνωρ. διάσημα γὰρ θροεῖ.
ἀλλ' ἔχε τέκνον.
Νε. λέγ' ὅτι.
Χο. φροντίδας νέας.
ὡς οὐκ ἔξεδρος, ἀλλ' ἔντοπος ἀνήρ.
οὐ μολπὰν σύριγγος ἔχων
ὡς ποιμὴν ἀγροβότας, ἀλλ' ἤ
που πταίων ὑπ' ἀνάγκας
βοᾷ τηλωπὰν ἰωάν,
ἢ ναὸς ἄξενον αὐγά-
ζων ὅρμον. προβοᾷ γάρ τι δεινόν.
Φι. Ἰὼ ξένοι,
τίνες ποτ' ἐς γῆν τήνδε ναυτίλῳ πλάτῃ
κατέσχετ' οὔτ' εὔορμον, οὔτ' οἰκουμένην;
ποίας πάτρας ὑμᾶς ἂν ἢ γένους ποτὲ
τύχοιμ' ἂν εἰπών; σχῆμα μὲν γὰρ Ἑλλάδος

στολῆς

στολῆς ὑπάρχει προσφιλεστάτης ἐμοί.
φωνῆς δ᾽ ἀκοῦσαι βούλομαι. καὶ μή μ᾽ ὄκνῳ
δείσαντες, ἐκπλαγῆτ᾽ ἀπηγριωμένον.
ἀλλ᾽ οἰκτίσαντες ἄνδρα δύστηνον μόνον
ἔρημον ὧδε κἄφιλον καλούμενον,
φωνήσατ᾽, εἴπερ ὡς φίλοι προσήκετε.
ἀλλ᾽ ἀνταμείψασθ᾽. οὐ γὰρ εἰκὸς οὔτ᾽ ἐμὲ
ὑμῶν ἁμαρτεῖν τοῦτό γ᾽, οὔθ᾽ ὑμᾶς ἐμοῦ.
ΝΕ ἀλλ᾽ ὦ ξέν᾽, ἴσθι τοῦτο πρῶτον, οὕνεκα
Ἕλληνές ἐσμεν. τοῦτο γὰρ βούλει μαθεῖν.
ΦΙ ὦ φίλτατον φώνημα, φεῦ τὸ καὶ λαβεῖν
πρόσφθεγμα τοιοῦδ᾽ ἀνδρὸς ἐν χρόνῳ μακρῷ.
τίς σ᾽ ὦ τέκνον προσέσχε; τίς προσήγαγε
χρεία; τίς ὁρμή; τίς ἀνέμων ὁ φίλτατος;
γέγωνέ μοι πᾶν τοῦθ᾽, ὅπως εἰδῶ τίς εἶ.
ΝΕ ἐγὼ γένος μέν εἰμι τῆς περιῤῥύτου
Σκύρου. πλέω δ᾽ ἐς οἶκον. αὐδῶμαι δὲ παῖς
Ἀχιλλέως Νεοπτόλεμος. οἶσθ᾽ ἤδη τὸ πᾶν.
ΦΙ ὦ φιλτάτου παῖ πατρὸς, ὦ φίλης χθονὸς,
ὦ τοῦ γέροντος θρέμμα Λυκομήδους, τίνι
στόλῳ προσέσχες τήνδε γῆν; πόθεν πλέων;
ΝΕ ἐξ Ἰλίου τοι δῆτα νῦν γε ναυστολῶ.
ΦΙ πῶς εἶπας; οὐ γὰρ δὴ σύ γ᾽ ἦσθα ναυβάτης
ἡμῖν κατ᾽ ἀρχὴν τοῦ πρὸς Ἴλιον στόλου.
ΝΕ ἦ γὰρ μετέσχες καὶ σὺ τοῦδε τοῦ πόνου;
ΦΙ ὦ τέκνον, οὐ γὰρ οἶσθά μ᾽ ὅντιν᾽ εἰσορᾷς;
ΝΕ πῶς γὰρ κάτοιδ᾽, ὅν γ᾽ εἶδον οὐδεπώποτε;
ΦΙ οὐδ᾽ ὄνομ᾽, οὐδὲ τῶν ἐμῶν κακῶν κλέος
ᾔσθου ποτ᾽ οὐδὲν, οἷς ἐγὼ διωλλύμην;
ΝΕ ὡς μηδὲν εἰδότ᾽ ἴσθι μ᾽ ὧν ἀνιστορεῖς.
ΦΙ ὦ πόλλ᾽ ἐγὼ μοχθηρὸς, ὦ πικρὸς θεοῖς,
οὗ μηδὲ κληδὼν ὧδ᾽ ἔχοντος οἴκαδε,
μηθ᾽ Ἑλλάδος γῆς μηδαμοῦ διῆλθέ που,
ἀλλ᾽ οἱ μὲν ἐκβαλόντες ἀνοσίως ἐμὲ,
γελῶσι σῖγ᾽ ἔχοντες. ἡ δ᾽ ἐμὴ νόσος
ἀεὶ τέθηλε, κἀπὶ μεῖζον ἔρχεται.
ὦ τέκνον, ὦ παῖ πατρὸς ἐξ Ἀχιλλέως,
ὅδ᾽ εἴμ᾽ ἐγώ σοι κεῖνος, ὃν κλύεις ἴσως
τῶν Ἡρακλείων ὄντα δεσπότην ὅπλων.

¶ Ἀπηγριωμένον. διὰ γὰρ αὐτὸν ἐξηγριωμένον εἰσφέρειν τῇ ὄψει, καὶ τῷ σχήματι.

¶ Φεῦ, τὸ καὶ λαβεῖν. θαυμαστικὸν μετ᾽ ἐκπλήξεως τὸ φεῦ ἐνταῦθα. λείπει δὲ τὸ στερηθῆναι.

¶ Προσέσχε. προσορμίσαι ἐποίησεν. ¶ Γέγωνέ μοι. εἰπέ μοι.

¶ Ὅπως εἰδῶ. ἵνα μάθω. ¶ Αὐδῶμαι. λέγομαι.

¶ Πῶς εἶπας; θαυμάζων φησίν. ἐπεὶ μὴ εἶδεν αὐτὸν ἐξ ἀρχῆς στρατευσάμενον.

¶ Πικρὸς θεοῖς. ἐχθρός.

¶ Ἀλλ᾽ οἱ μὲν. οἱ Ἀτρεῖδαι.

¶ Χ' ὠ Κεφαλλήνων ἄναξ. ὁ ὀδυσσεύς.

¶ Ἀγρίῳ χαράγματι. δήγματι. τὸ γὰρ δῆγμα τοῦ ὄφεως μόνον χαράσσει. λέγεται γὰρ ὡς ἐν λήμνῳ βουλόμενος ἀναστῆσαι βωμὸν Ἡρακλεῖ παρὰ τὸν αἰγιαλόν, ὑπὸ ὄφεως ἐπλήγη. ¶ Ἐκ τῆς ποντίας. τῆς παραθαλασσίας, ὅτε ἀπὸ Χρύσης ἦλθεν εἰς λῆμνον.

¶ Ἐκ πολλοῦ σάλου. κινήματος. πόνου. ¶ Οἷ' αὐτοῖς τύχοι. καταρᾶται. ¶ Ἀνάστασιν. ἀνάστασιν λέγει νῦν τὴν ἐξ ὕπνου ἔγερσιν.

¶ Τούτου δέ. τοῦ ἀνιᾶσθαι, ἄδειαν καὶ εὐκαιρείαν εὕρισκον πολλήν. ¶ Κἄδει. καὶ ἔδει με ἐμαυτῷ ὑπηρετεῖσθαι. ¶ Σύμφορα. ἀναγκαῖα. ¶ Νευροσπαδής. ὁ ἐπισπώμενος τὴν νευράν. διὰ γὰρ τῶν γλυφίδων ἔρχεται.

¶ Εἰλυόμην. ἐπορευόμην. εἴλυσις γὰρ ἡ πορεία. ¶ Ἄφαντον φῶς. ἀπροσδόκητον. καλῶς εἶπεν ἄφαντον. οὐ φαίνεται γάρ, ἀλλὰ δύναμιν αὐτοῦ ἔχει.

¶ Οἰκουμένη γὰρ οὖν στέγη. ἀντὶ τοῦ ἡ οἰκία ἡ μετὰ πυρὸς οὖσα, καλῶς διοικεῖται.

ὁ τοῦ Ποίαντος παῖς Φιλοκτήτης, ὅν οἱ
δισσοὶ στρατηγοί, χ' ὠ Κεφαλλήνων ἄναξ,
ἔρριψαν αἰσχρῶς ὧδ' ἔρημον, ἀγρίᾳ
νόσῳ καταφθίνοντα, τῆς δ' ἀνδροφθόρου
πληγέντ' ἐχίδνης ἀγρίῳ χαράγματι.
ξὺν ᾗ μ' ἐκεῖνοι παῖ προθέντες ἐνθάδε,
ᾤχοντ' ἔρημον. ἡνίκ' ἐκ τῆς ποντίας
Χρύσης κατέσχον δεῦρο ναυβάτῃ στόλῳ,
τότ' ἄσμενοί μ' ὡς εἶδον ἐκ πολλοῦ σάλου
εὕδοντ' ἐπ' ἀκτῆς ἐν κατηρεφεῖ πέτρῳ,
λιπόντες ᾤχονθ', οἷα φωτὶ δυσμόρῳ
ῥάκη προθέντες βαιά, καί τι καὶ βορᾶς
ἐπωφέλημα σμικρόν, οἷ' αὐτοῖς τύχοι.
σὺ δ' ἢ τέκνον, ποίαν μ' ἀνάστασιν δοκεῖς
αὐτῶν βεβώτων ἐξ ὕπνου στῆναι τότε;
ποῖ' ἐκδακρῦσαι; ποῖ' ἀποιμῶξαι κακά;
ὁρῶντα μὲν ναῦς ἃς ἔχων ἐναυστόλουν
πάσας βεβώσας, ἄνδρα δ' οὐδέν' ἔντοπον.
οὐχ ὅστις ἀρκέσειεν, οὐδ' ὅστις νόσου
κάμνοντι συλλάβοιτο. πάντα δὲ σκοπῶν
εὕρισκον οὐδέν, πλὴν ἀνιᾶσθαι παρόν.
τούτου δὲ πολλὴν εὐμάρειαν ὦ τέκνον,
ὁ μὲν χρόνος δὴ διὰ χρόνου προὔβαινέ μοι,
κἄδει τι βαιᾷ τῇδ' ὑπὸ στέγῃ μόνον
διακονεῖσθαι. γαστρὶ μὲν τὰ σύμφορα
τόξον τόδ' ἐξεύρισκε, τὰς ὑποπτέρους
βάλλον πελείας. πρὸς δὲ τοῦθ', ὅ μοι βάλοι
νευροσπαδὴς ἄτρακτος, αὐτὸς ἂν τάλας
εἰλυόμην δύστηνος ἐξέλκων πόδα
πρὸς τοῦτ' ἄν. εἴτ' ἔδει τι καὶ ποτὸν λαβεῖν,
καί που πάγου χυθέντος οἷα χείματι
ξύλον τι θραῦσαι, ταῦτ' ἂν ἐξέρπων τάλας
ἐμηχανώμην. εἶτα πῦρ ἂν οὐ παρῆν,
ἀλλ' ἐν πέτροισι πέτρον ἐκτρίβων μόλις
ἔφην' ἄφαντον φῶς, ὃ καὶ σῴζει μ' ἀεί.
οἰκουμένη γὰρ οὖν στέγη πυρὸς μέτα,
πάντ' ἐκπορίζει, πλὴν τὸ μὴ νοσεῖν ἐμέ.
φέρ' ὦ τέκνον νῦν καὶ τὸ τῆς νήσου μάθῃς.
ταύτῃ πελάζει ναυβάτης οὐδεὶς ἑκών.

οὐ γάρ τις ὅρμος ἐστίν, οὐδ' ὅποι πλέων
ἐξεμπολήσει κέρδος, ἢ ξενώσεται.
οὐκ ἐνθάδ' οἱ πλοῖ τοῖσι σώφροσιν βροτῶν.
τάχ' οὖν τις ἄκων ἔσχε. πολλὰ γὰρ τάδε
ἐν τῷ μακρῷ γένοιτ' ἂν ἀνθρώπων χρόνῳ.
οὗτοί μ' ὅταν μόλωσιν ὦ τέκνον, λόγοις
ἐλεοῦσι μέν, καί πού τι καὶ βορᾶς μέρος
προσέδοσαν οἰκτείραντες, ἤ τινα στολήν.
ἐκεῖνο δ' οὐδεὶς ἡνίκ' ἂν μνησθῶ θέλει
σῶσαί μ' ἐς οἴκους. ἀλλ' ἀπόλλυμαι τάλας
ἔτος τόδ' ἤδη δέκατον, ἐν λιμῷ τε καὶ
κακοῖσι βόσκων τὴν ἀδηφάγον νόσον.
τοιαῦτ' Ἀτρεῖδαί μ', ἥ τ' Ὀδυσσέως βία
ὦ παῖ δεδράκασ', οἷς Ὀλύμπιοι θεοὶ
δοῖέν ποτ' αὐτοῖς ἀντίποιν' ἐμοῦ παθεῖν.
Χο. Ἔοικα κἀγὼ τοῖς ἀφιγμένοις ἴσα
ξένοις, ἐποικτείρειν σε Ποίαντος τέκνον.
Νε. Ἐγὼ δὲ καὐτὸς τοῖσδε μάρτυς ἐν λόγοις,
ὡς εἴσ' ἀληθεῖς, οἶδα συντυχὼν κακῶν
ἀνδρῶν Ἀτρειδῶν, τῆς τ' Ὀδυσσέως βίας.
Φι. ἦ γάρ τι καὶ σὺ τοῖς πανωλέθροις ἔχεις
ἔγκλημ' Ἀτρείδαις, ὥστε θυμοῦσθαι παθών;
Νε. θυμῷ γένοιτο χεῖρα πληρῶσαί ποτε,
ἵν' αἱ Μυκῆναι γνοῖεν, ἡ Σπάρτη θ' ὅτι
χἠ Σκῦρος ἀνδρῶν ἀλκίμων μήτηρ ἔφυ.
Φι. Εὖ γ' ὦ τέκνον. τίνος γὰρ ὧδε τὸν μέγαν
χόλον κατ' αὐτῶν ἐγκαλῶν ἐλήλυθας;
Νε. ὦ παῖ Ποίαντος, ἐξερῶ. μόλις δ' ἐρῶ
ἅ γωγ' ὑπ' αὐτῶν ἐξελωβήθην μολών.
ἐπεὶ γὰρ ἔσχε μοῖρ' Ἀχιλλέα θανεῖν.
Φι. οἴμοι. φράσῃς μοι μὴ πέρα, πρὶν ἂν μάθω.
πρῶτον τόδ', εἰ τέθνηχ' ὁ Πηλέως γόνος.
Νε. τέθνηκεν, ἀνδρὸς οὐδενός, θεοῦ δ' ὕπο,
τοξευτὸς ὡς λέγουσιν ἐκ Φοίβου δαμείς.
Φι. ἀλλ' εὐγενὴς μὲν ὁ κτανών τε, χ' ὠ θανών.
ἀμηχανῶ δὲ πότερον ὦ τέκνον τὸ σὸν
πάθημ' ἐλέγχω πρῶτον, ἢ κεῖνον στένω.
Νε. οἶμαι μὲν ἀρκεῖν σοί γε καὶ τὰ σ' ὦ τάλας

¶ Ἐξεμπολήσει. πωλήσει. πραγματεύσεται. ἐμπορεύσεται.
¶ Ἢ ξενώσεται. καταχθήσεται ὡς ξένος.
¶ Σῶσαί μ' εἰς οἴκους. ἀποφέρειν με εἰς τὴν πατρίδα.
¶ Ἀντίποινα. ἀμοιβαῖα.
¶ Ἔοικα κἀγώ. οἷον, κἀγὼ δοκῶ συνελεῶ σε τοῖς ἀφιγμένοις ἐνταῦθα. ὥσπερ οἱ ἄλλοι ξένοι φησί, περὶ ὧν ἔλεγον. ¶ Ἐγὼ δὲ καὐτός. κἀγὼ νῦν μάρτυς εἰμὶ τοῖς ὑπὸ σοῦ λεγομένοις.
¶ Ὡς εἴσ' ἀληθεῖς. οἱ σοὶ λόγοι δηλονότι. ¶ Ἀνδρῶν Ἀτρειδῶν. περὶ τῶν Ἀτρειδῶν καὶ τοῦ Ὀδυσσέως. ¶ Θυμῷ γένοιτο. εἴθε γένοιτό μοι ὀργιζομένῳ ὁρμῆσαι κατ' αὐτῶν, καὶ τὴν δύναμιν ἐνδείξασθαι. ¶ Μόλις δ' ἐρῶ. ὑπὸ τῆς ὀργῆς.
¶ Ἀλλ' εὐγενής. ἀντὶ τοῦ ἀνδρεῖος, εἴ τε καὶ γενναῖος ὁ εὐγενής.
¶ Ἐλέγχω. κείνω. ἐρωτῶ.
¶ Οἶμαι μέν. οἶμαι μέν σε ἱκανὸν ἔχειν κακὸν τὴν νόσον.

Αὖθις πάλιν μοι. τὸ χ, ὅτι δὶς τὸ αὐτὸ εἶπεν. αὖθις ἢ πάλιν.

Ἄθαπτον. ζῶντα.

Πικρὸν Σίγειον. ἤγουν διὰ τὸν θάνατον τοῦ Ἀχιλλέως, ἢ διὰ τὸ δυσχείμερον τοῦ τόπου. ¶ Οὐρίῳ πλάτῃ. τῷ αἰσίῳ πλῷ.

¶ Οἱ δ᾽ εἶπον, οἴμοι. διὰ μέσου τὸ οἴμοι, ὡς ὀδυρόμενός φησιν.

¶ Ὦ σχέτλιε. πρὸς τὸν Ἀγαμέμνονα. ¶ Πρὶν μαθεῖν ἐμοῦ. ἀντὶ τοῦ, πρὶν ἐμοῦ πυθέσθαι.
¶ Ἤρασσον. ἔβαλλον. κατηγόρουν. ὕβριζον. ¶ Οὐδὲν ἐνδεές. οὐδὲν ὕβρεως παραλιμπάνων.
Οὐκ ἦσθ᾽ ἵν᾽ ἡμεῖς. τότε φησὶν ἡνί-

ἀλγήμαθ᾽, ὥστε μὴ τὰ τῶν πέλας στένειν.
Φι ὀρθῶς ἔλεξας. τοιγαροῦν τὸ σὸν φράσον
αὖθις πάλιν μοι πρᾶγμ᾽, ὅτῳ σ᾽ ἐνύβρισεν.
Νε ἦλθόν με νηὶ ποικιλοστόλῳ μέτα
δῖός τ᾽ Ὀδυσσεὺς χὠ τροφεὺς τοὐμοῦ πατρός,
λέγοντες, εἴτ᾽ ἀληθὲς, εἴτ᾽ ἄρ᾽ οὖν μάτην,
ὡς οὐ θέμις γίνοιτ᾽, ἐπεὶ κατέφθιτο
πατὴρ ἐμὸς, τὰ πέργαμ᾽ ἄλλον ἢ μ᾽ ἑλεῖν.
ταῦτ᾽ ὦ ξέν᾽ οὕτως ἐννέποντες, οὐ πολὺν
χρόνον μ᾽ ἐπέσχον μή με ναυστολεῖν ταχύ.
μάλιστα μὲν δὴ τοῦ θανόντος ἱμέρῳ,
ὅπως ἴδοιμ᾽· ἄθαπτον οὐ γὰρ εἰδόμην.
ἔπειτα μέντοι χὠ λόγος καλὸς προσῆν,
εἰ τἀπὶ Τροίᾳ πέργαμ᾽ αἱρήσοιμ᾽ ἰών.
ἦν δ᾽ ἦμαρ ἤδη δεύτερον πλέοντί μοι,
κἀγὼ πικρὸν Σίγειον οὐρίῳ πλάτῃ
κατηγόμην. καί μ᾽ εὐθὺς ἐν κύκλῳ στρατὸς
ἐκβάντα, πᾶς ἠσπάζετ᾽ ὀμνύντες βλέπειν,
τὸν οὐκέτ᾽ ὄντα, ζῶντ᾽ Ἀχιλλέα πάλιν.
κεῖνος μὲν οὖν ἔκειτ᾽. ἐγὼ δ᾽ ὁ δύσμορος
ἐπεὶ δάκρυσα κεῖνον οὐ μακρῷ χρόνῳ,
ἐλθὼν Ἀτρείδας πρὸς φίλους, ὡς εἰκὸς ἦν,
τάθ᾽ ὅπλ᾽ ἀπῄτουν τοῦ πατρὸς, τά τ᾽ ἄλλ᾽ ὅσ᾽ ἦν.
οἱ δ᾽ εἶπον οἴμοι τλημονέστατον λόγον.
ὦ σπέρμ᾽ Ἀχιλλέως, τἄλλα μὲν πάρεστί σοι
πατρῷ᾽ ἑλέσθαι. τῶν δ᾽ ὅπλων κείνων, ἀνὴρ
ἄλλος κρατύνει νῦν ὁ Λαέρτου γόνος.
κἀγὼ δακρύσας, εὐθὺς ἐξανίσταμαι
ὀργῇ βαρείᾳ. καὶ καταλγήσας λέγω.
ὦ σχέτλι᾽, ἦ τολμήσατ᾽ ἀντ᾽ ἐμοῦ τινι
δοῦναι τὰ τεύχη τἀμὰ, πρὶν μαθεῖν ἐμοῦ;
ὁ δ᾽ εἶπ᾽ Ὀδυσσεὺς, πλησίον γὰρ ὢν κυρεῖ.
ναὶ παῖ δεδώκασ᾽ ἐνδίκως οὗτοι τάδε.
ἐγὼ γὰρ αὔτ᾽ ἔσωσα, κἀκεῖνον παρών.
κἀγὼ χολωθεὶς εὐθὺς, ἤρασσον κακοῖς
τοῖς πᾶσιν, οὐδὲν ἐνδεὲς ποιούμενος,
εἰ τἀμὰ κεῖνος ὅπλ᾽ ἀφαιρήσοιτό με.
ὁ δ᾽ ἐνθάδ᾽ ἥκων, καίπερ οὐ δύσοργος ὢν,
δηχθεὶς πρὸς ἃ ᾽ξήκουσεν, ὧδ᾽ ἠμείψατο.

οὐκ ἦσθ᾽ ἵν᾽ ἡμεῖς, ἀλλ᾽ ἀπῆσθ᾽ ἵν᾽ οὔ σ᾽ ἔδει.
καὶ ταῦτ᾽ ἐπειδὴ καὶ λέγεις θρασυστομῶν,
οὐ μή ποτ᾽ ἐς τὴν Σκῦρον ἐκπλεύσῃς ἔχων.
τοιαῦτ᾽ ἀκούσας, κἀξονειδισθεὶς κακά,
πλέω πρὸς οἴκους τῶν ἐμῶν τητώμενος,
πρὸς τοῦ κακίστου κἀκ κακῶν Ὀδυσσέως.
κοὐκ αἰτιῶμαι κεῖνον, ὡς τοὺς ἐν τέλει.
πόλις γάρ ἐστι πᾶσα τῶν ἡγουμένων,
στρατός τε σύμπας. οἱ δ᾽ ἀκοσμοῦντες βροτῶν,
διδασκάλων λόγοισι γίγνονται κακοί.
λόγος λέλεκται πᾶς. ὁ δ᾽ Ἀτρείδας στυγῶν,
ἐμοί θ᾽ ὁμοίως, καὶ θεοῖς εἴη φίλος.

Χο. Ὀρεστέρα παμβῶτι γᾶ
μᾶτερ αὐτοῦ Διός,
ἃ τὸν μέγαν Πακτωλὸν εὔχρυσον νέμεις,
σὲ κἀκεῖ μᾶτερ
πότνι᾽ ἐπηυδώμαν,
ὅτ᾽ ἐς τόνδ᾽ Ἀτρειδᾶν
ὕβρις πᾶσ᾽ ἐχώρει,
ὅτε τὰ πάτρια τεύ-
χεα παρεδίδοσαν.
ἰὼ μάκαιρα ταυρο-
κτόνων λεόντων ἔφε-
δρε, τῷ Λαρτίου
σέβας ὑπέρτατον.

Φι. Ἔχοντες ὡς ἔοικε σύμβολον σαφὲς
λύπης, πρὸς ἡμᾶς ὦ ξένοι πεπλεύκατε.
καί μοι προσᾴδεθ᾽, ὥστε γιγνώσκειν, ὅτι
ταῦτ᾽ ἐξ Ἀτρειδῶν ἔργα, κἀξ Ὀδυσσέως.
ἔξοιδα γάρ νιν παντὸς ἂν λόγου κακοῦ
γλώσσῃ θιγόντα, καὶ πανουργίας, ἀφ᾽ ἧς
μηδὲν δίκαιον ἐς τέλος μέλλει ποιεῖν.
ἀλλ᾽ οὔ τι τοῦτο θαῦμ᾽ ἔμοιγ᾽. ἀλλ᾽ εἰ παρὼν
Αἴας ὁ μείζων, ταῦθ᾽ ὁρῶν ἠνείχετο.

Νε. οὐκ ἦν ἔτι ζῶν ὦ ξέν᾽. οὐ γὰρ ἄν ποτε
ζῶντός γ᾽ ἐκείνου, ταῦτ᾽ ἐσυλήθην ἐγώ.

Φι. πῶς εἶπας; ἀλλ᾽ ἦ χοὖτος οἴχεται θανών;

Νε. ὡς μηκέτ᾽ ὄντα κεῖνον ἐν φάει νόει.

καὶ τὰ ἀχιλλέως προεκινδύνευον, οὐ παρῆς ἔνθα ἔδει σε παρεῖναι, ἀλλ᾽ ἀπῆς, ὅπου οὐκ ὤφειλες. ¶ Ἐκπλεύσῃς ἔχων. λείπει ὅπλα. ℂ Κοὐκ αἰτιῶμ᾽ ἐκεῖνον. καὶ οὐ μέμφομαι τοσοῦτον τὸν Ὀδυσσέα, ὅσον τοῖς περὶ ἀγαμέμνονα, ἃ τοῖς τῶν πάντων κρατοῦσι. καὶ ἐν ἀρχῆς ἦν σε ἐμὲ λαβεῖν. ¶ Ἀκοσμοῦντες: ἄτακτα ἐργαζόμενοι. κακῶς φρονοῦντες, ὥσπερ ὁ ὀδυσσεὺς κακῶς φρονεῖ. ἐπὰν γὰρ οἱ βασιλεῖς κακῶς φρονῶσι, κακῶς δηλονότι καὶ οἱ ὑπήκοοι. ¶ Ὀρεστέρα ὀρεία. ἡ αὐτὴ δέ ἐστι τῇ γῇ. ἐν ᾗ τοῖς ὄρεσι τὰ μυστήρια αὐτῆς γίνεται. ℂ Παμβῶτι γᾶ. πολύτροφε, πάντας βέφουσα. παρὰ τὸ ὁμηρικόν, ζείδωρος ἄρουρα. Λέγει δὲ ταύτην τὴν θεὸν τιμᾶσθαι παρὰ φρυξί, πρὸς αὐτὴν τὸν λόγον ποιεῖται. ¶ Μᾶτερ αὐτοῦ Διός. ὅτι αὕτη ἐστὶ ῥέα, καὶ γῆ. ℂ Ἃ τὸν μέγαν Πακτωλόν. πακτωλός, ποταμὸς λυδίας. ἔνθα ἡ ῥέα τιμᾶται. χρυσᾶ δὲ ψήγματα ἀπὸ τοῦ τμώλου τοῦ ὄρους, διὰ τοῦ πακτωλοῦ καταφέρεται. ℂ Σὲ κἀκεῖ μᾶτερ. καὶ τότε σε ἐπεκαλούμην, ἢ ἐπεκαλεσάμην, ἵνα τιμωρήσῃ τοὺς περὶ τὸν ἀγαμέμνονα, ὅτε προεδίδοσαν τὰ ὅπλα τοῦ ἀχιλλέως. καὶ νῦν δὲ καλῶ, ἵνα τούτους τιμωρήσῃ. ¶ Ὅτε τὰ πάτρια. τὰ ἑξῆς. ὅτε τὰ πατρικὰ ὅπλα προεδίδοσαν τῷ Λαερτίου υἱῷ δηλονότι. ¶ Μάκαιρα ταυροκτόνων λεόντων. τὸ ἅρμα γὰρ λεόντων ὀχεῖται ἡ ῥέα. ¶ Σέβας ὑπέρτατον. ὦ ῥέα. ἢ νοητέον παρὰ τοῦ ὅπλων. ℂ Προεδίδοτε. συμφωνεῖτε.

Ὁ Τυδέως γόνος. ὃν Ὀδυσσεῖ γὰρ αὐτὸν ἐξέβαλε Διομήδης. ¶ Σισύφου Λαερτίου. ἐκ Σισύφου γὰρ κύουσα ἡ Ἀντίκλεια ἐγαμήθη Λαέρτῃ. διὰ τοῦτό φησιν αὐτὸν ὥσπερ πεπρᾶσθαι, ἐπειδὴ Λαέρτης πολλὰ δοὺς χρήματα, ἠγάγετο τὴν Ἀντίκλειαν. τὸ χ. δὲ, ὅτι πάλιν Λαερτίου κτητικὸν, ἀντὶ πρωτοτύπου Λαέρτου. ¶ Κείνων κακ᾽ ἐξήρυκε. γράφεται καὶ ἐξεκήρυξεν. ¶ Ὅσπερ ἦν μόνος. οἱ μὲν γράφοντες μόνος, πρὸς ἱστορίαν φασὶν, εἶχε γὰρ καὶ ἄλλους. οἱ δὲ γόνος, τῷ ποιητῇ ἀκολουθοῦντες λέγουσιν. ¶ Δύ᾽ αὔτως δεῖν ἔλεξας. γράφεται δύ᾽ αὐτὼ δ᾽ ἐξέδειξας δεικτικῶς. ¶ Τεθνᾶσ᾽. Ὀδυσσεὺς δ᾽ ἔστιν αὖ κἀνταῦθ᾽, ἐν τοῖς ζῶσι. ¶ Σοφὸς παλαιστής. σοφὸς μὲν ἐστιν, ἀλλ᾽ οὐ δόλου ἔσται. αἱ γὰρ τοιαῦται γνῶμαι, καταβάλλονται πολλάκις.

Ὃς οὐκ ἂν εἵλετο. ἀντὶ τοῦ, ἃ οὐκ ἤθελέ τις ἅπαξ ἀκοῦσαι, ταῦτα πολλάκις ἔλεγε. ¶ Μηδεὶς ἐῶν. γράφεται ἐῴη. ¶ Ἠσθόμην δ᾽ ἔτ᾽ ὄντα νιν. κατὰ τὴν ἱστορίαν. λέγεται γὰρ ὑπὸ Ἀχιλλέως ἀναιρεθῆναι, καθ᾽ ὃν χρόνον καὶ τὴν Πενθεσίλειαν ἀνεῖλε. φονευθείσης γὰρ ὑπὸ Ἀχιλλέως τῆς Πενθεσιλείας, ὁ Θερσίτης δόρατι ἐπάταξε τὸν ὀφθαλμὸν αὐτῆς. διὸ ὀργισθεὶς ὁ Ἀχιλλεὺς, κονδύλοις αὐτὸν ἀνεῖλε. λέγεται γὰρ μετὰ θάνατον ἐρασθῆναι αὐτῆς. ¶ Ἐπεὶ οὐ. συνίζησις. ¶ Καὶ παλιντριβῆ. τετριμμένα τοῖς κακοῖς. ταῦτα τὰ γινόμενα. ¶ Ἀναστρέφοντες ἐξ ἄδου. σώζουσιν ἐξ ἄδου, τοὺς ἐπιτρίπτους καὶ δολερούς.

ΦΙ. οἴμοι τάλας. ἀλλ᾽ οὐχ ὁ Τυδέως γόνος,
οὐδ᾽ οὑμπολητὸς Σισύφου Λαερτίου,
οὐ μὴ θάνωσι. τούσδε γὰρ μὴ ζῆν ἔδει.
ΝΕ. οὐ δῆτ᾽ ἐπίστω τοῦτό γ᾽. ἀλλὰ καὶ μέγα
θάλλοντές εἰσι νῦν ἐν Ἀργείων στρατῷ.
ΦΙ. τί δ᾽ ὃς παλαιὸς κἀγαθὸς φίλος τ᾽ ἐμὸς
Νέστωρ ὁ Πύλιος ἔστιν; οὗτος γὰρ τά γε
κείνων κακ᾽ ἐξήρυκε βουλεύων σοφῶς.
ΝΕ. κεῖνός γε πράσσει νῦν κακῶς. ἐπεὶ θανὼν
Ἀντίλοχος αὐτῷ φροῦδος, ὅσπερ ἦν γόνος.
ΦΙ. οἴμοι. δύ᾽ αὔτως δεῖν ἔλεξας, οἷν ἐγὼ
ἥκιστ᾽ ἂν ἠθέλησ᾽ ὀλωλότοιν κλύειν.
φεῦ φεῦ. τί δῆτα δεῖ σκοπεῖν, ὅθ᾽ οἵδε μὲν
τεθνᾶσ᾽, Ὀδυσσεὺς δ᾽ ἔστιν αὖ κἀνταῦθ᾽, ἵνα
χρῆν ἀντὶ τούτων αὐτὸν αὐδᾶσθαι νεκρόν;
ΝΕ. σοφὸς παλαιστὴς κεῖνος. ἀλλὰ χ᾽ αἱ σοφαὶ
„ γνῶμαι Φιλοκτῆτ᾽, ἐμποδίζονται θαμά.
ΦΙ. φέρ᾽ εἰπὲ πρὸς θεῶν ποῦ γὰρ ἦν ἐνταῦθά σοι
Πάτροκλος, ὃς σοι πατρὸς ἦν τὰ φίλτατα;
ΝΕ. χοὗτος τεθνηκὼς ἦν. λόγῳ δέ σε βραχεῖ
τοῦτ᾽ ἐκδιδάξω. πόλεμος οὐδέν᾽ ἄνδρ᾽ ἑκὼν
αἱρεῖ πονηρὸν, ἀλλὰ τοὺς χρηστοὺς ἀεί.
ΦΙ. ξυμμαρτυρῶ σοι. καὶ κατ᾽ αὐτὸ τοῦτό γε
ἀναξίου μὲν φωτὸς ἐξερήσομαι,
γλώσσῃ δὲ δεινοῦ καὶ σοφοῦ, τί νῦν κυρεῖ;
ΝΕ. ποίου γε τούτου, πλήν γ᾽ Ὀδυσσέως ἐρεῖς;
ΦΙ. οὐ τοῦτον εἶπον. ἀλλὰ Θερσίτης τις ἦν,
ὃς οὐκ ἂν εἵλετ᾽ εἰσάπαξ εἰπεῖν ὅπου
μηδεὶς ἐῴη, τοῦτον οἶσθ᾽ εἰ ζῶν κυρεῖ.
ΝΕ. οὐκ εἶδον αὐτὸν, ᾐσθόμην δ᾽ ἔτ᾽ ὄντα νιν.
ΦΙ. ἔμελλ᾽. ἐπεὶ οὐδέπω κακόν γ᾽ ἀπώλετο,
ἀλλ᾽ εὖ περιστέλλουσιν αὐτὰ δαίμονες.
καί πως τὰ μὲν πανοῦργα καὶ παλιντριβῆ
χαίρουσ᾽ ἀναστρέφοντες ἐξ ἄδου. τὰ δὲ
δίκαια, καὶ τὰ χρήστ᾽, ἀποστέλλουσ᾽ ἀεί.
ποῦ χρὴ τίθεσθαι ταῦτα; ποῦ δ᾽ αἰνεῖν ὅταν

τὰ θεῖ' ἐπαινῶν, τοὺς θεοὺς εὕρω κακούς;
Νε Ἐγὼ μὲν ὦ γένεθλον Οἰταίου πατρὸς,
τὸ λοιπὸν ἤδη τηλόθεν τό, τ' Ἴλιον
καὶ τοὺς Ἀτρείδας εἰσορῶν, φυλάξομαι.
„ ὅπου θ' ὁ χείρων τἀγαθοῦ μεῖζον σθένει,
„ κἀποφθίνει τὰ χρηστὰ, χὠ δειλὸς κρατεῖ,
„ τούτους ἐγὼ τοὺς ἄνδρας οὐ στέρξω ποτέ.
ἀλλ' ἡ πετραία Σκῦρος ἐξαρκοῦσά μοι
ἔσται τὸ λοιπὸν, ὥστε τέρπεσθαι δόμῳ.
νῦν δ' εἶμι πρὸς ναῦν. καὶ σὺ Ποίαντος τέκνον
χαῖρ' ὡς μέγιστα χαῖρε. καί σε δαίμονες
νόσου μεταστήσειαν, ὡς αὐτὸς θέλεις.
ἡμεῖς δ' ἴωμεν, ὡς ὁπηνίκ' ἂν θεὸς
πλοῦν ἡμὶν εἴκῃ, τηνικαῦθ' ὁρμώμεθα.
Φι ἤδη τέκνον στέλλεσθε; Νε καιρὸς γὰρ καλεῖ
πλοῦν μὴ 'ξ ἀπόπτου μᾶλλον, ἢ 'γγύθεν σκοπεῖν.
Φι πρὸς νῦν σε πατρὸς, πρός τε μητρὸς ὦ τέκνον,
πρός τ' εἴ τί σοι κατ' οἶκόν ἐστι προσφιλὲς,
ἱκέτης ἱκνοῦμαι, μὴ λίπῃς μ' οὕτω μόνον
ἔρημον ἐν κακοῖσι τοῖς δ', οἵοις ὁρᾷς,
ὅσοισί τ' ἐξήκουσας ἐνναίοντά με.
ἀλλ' ἐν παρέργῳ θοῦ με. δυσχέρεια μὲν
ἔξοιδα πολλὴ τοῦδε τοῦ φορήματος.
ὅμως δὲ τλῆθι. τοῖσι γενναίοισί τοι,
τό, τ' αἰσχρὸν ἐχθρὸν, καὶ τὸ χρηστὸν εὐκλεές.
σοὶ δ' ἐκλιπόντι, τοῦτ' ὄνειδος οὐ καλόν.
δράσαντι δ' ὦ παῖ, πλεῖστον εὐκλείας γέρας
ἐὰν μόλω 'γὼ ζῶν πρὸς Οἰταίαν χθόνα.
ἴθ'. ἡμέρας τοι μόχθος οὐχ ὅλης μιᾶς.
τόλμησον, ἐμβαλοῦ μ' ὅπῃ θέλεις ἄγων.
ἐς ἀντλίαν. ἐς πρῷραν. ἐς πρύμναν, ὅποι
ἥκιστα μέλλω τοὺς ξυνόντας ἀλγυνεῖν.
νεῦσον πρὸς αὐτοῦ Ζηνὸς ἱκεσίου τέκνον.
πείσθητι. προσπίτνω σε γόνασι, καίπερ ὢν
ἀκράτωρ ὁ τλήμων, χωλός. ἀλλὰ μή μ' ἀφῇς
ἔρημον οὕτω, χωρὶς ἀνθρώπων στίβου.
ἀλλ' ἢ πρὸς οἶκον τὸν σὸν ἔκσωσόν μ' ἄγων,
ἢ πρὸς τὰ Χαλκώδοντος Εὐβοίας σταθμά.

¶ Τὰ θεῖα. ἔργα δηλονότι. νοσῶν δὲ δυσφημεῖ.

¶ Οἰταίου πατρός. ὄρος ἐστὶ τραχίνος ἡ Οἴτη. τραχίνιος δὲ ἦν καὶ μηλιεύς. ¶ Ὅπου θ' ὁ χείρων. ὅπου ὁ κακὸς πλέον ἰσχύει.

¶ Χὠ δειλὸς κρατεῖ. καὶ ὁ κακὸς νικᾷ τὸν ἀγαθόν. ἡσίοδος. βλάπτει δ' ὁ κακὸς τὸν ἀρείονα φῶτα. καὶ ὅμηρος. ἐπὶ τὰ χείρονα νικᾷ.

¶ Μεταστήσειαν. ἀπαλλάξειαν.

¶ Πλοῦν ἡμὶν εἴκῃ. δίδῳ. συγχωρήσῃ.

¶ Μᾶλλον ἢ 'γγύθεν. μᾶλλον ἐκ τοῦ σύνεγγυς. μὴ ἐξ ἀπόπτου τὸν πλοῦν περιμένειν.

¶ Ὅσοισί τ' ἐξήκουσας. κακοῖς δηλονότι.

¶ Ἀλλ' ἐν παρέργῳ. οἷον, οὐκ ἐντετιμημένῳ μέρει τῆς νεώς, ἀλλ' ὅπῃ βούλει. δηλοῖ δὲ ταῦτα ἐν τοῖς ἑξῆς. ¶ Ὅμως δὲ τλῆθι. ὅμως δὲ σῶσόν με, γινώσκων ὅτι τοῖς εὐγενέσι τὸ αἰσχρὸν ἐχθρόν ἐστι. καὶ τὸ καλὸν ἔνδοξον.

¶ Εἰς ἀντλίαν. εἰς πρῷραν. τὸ ἐν παρέργῳ νῦν ἐνεφάνισεν.

¶ Ἀκράτωρ. ἀσθενής. κρατεῖν ἐμαυτοῦ μὴ δυνάμενος.

¶ Χαλκώδοντος. ὁ ὅμηρος. Χαλκωδοντιάδης μεγαθύμων ἀρχὸς

ἐκβάντων. ¶ Ὃν δὴ παλαί' ἄν. δι' ὃν δὴ περὶ πολλοῦ χρόνου εὐλαβήθην. ¶ Τοῖς ἱκμένοις. ἀντὶ τοῦ διὰ τῶν ἱκμένων, καὶ παρερχομένων.

κἀκεῖθεν οὔ μοι μακρὸς εἰς Οἴτην στόλος,
Τραχινίαν τε δειράδα, καὶ τὸν εὔροον
Σπερχειὸν ἔσται, πατρί μ' ὡς δείξῃς φίλῳ.
ὃν δὴ παλαί' ἂν ἐξότου δέδοικ' ἐγὼ
μή μοι βεβήκοι. πολλὰ γὰρ τοῖς ἱκμένοις
ἔστελλον αὐτὸν ἱκεσίους πέμπων λιτὰς
αὐτόστολον πέμψαντά μ' ἐκσῶσαι δόμοις.
ἀλλ' ἢ τέθνηκεν, ἢ τὰ τῶν διακόνων,
ὡς εἰκὸς οἶμαι τοὐμὸν ἐν σμικρῷ μέρει
ποιούμενοι, τὸν οἴκαδ' ἤπειγον στόλον.
νῦν δ' εἰς σὲ γὰρ πομπόν τε καὐτὸν ἄγγελον
ἥκω, σὺ σῶσον, σύ μ' ἐλέησον εἰσορῶν.

Σὺ σῶσον. σῶσόν με, γινώσκων τὰ ἀνθρώπινα πράγματα μεταβαλλόμενα.

Ὡς πάντα δεινὰ κἀπικινδύνως βροτοῖς
κεῖται. παθεῖν μὲν εὖ, παθεῖν δὲ θἄτερα.
Χρὴ δ' ἐκτὸς ὄντα πημάτων, τὰ δείν' ὁρᾶν.
χ' ὤταν τις εὖ ζῇ, τηνικαῦτα τὸν βίον
σκοπεῖν μάλιστα, μὴ διαφθαρεὶς λάθῃ.

Χο. οἴκτειρ' ἄναξ. πολλῶν ἔλε-
ξε δυσοίστων πόνων
ἆθλ', ὅσσα μηδεὶς τῶν ἐμῶν τύχοι φίλων.
εἰ δὲ πικροὺς ἄναξ
ἔχθεις Ἀτρείδας.
ἐγὼ τὸ κείνων
κακὸν, τῷδε κέρδος
μέγα τιθέμενος ἔν-
θαπερ ἐπιμέμονεν
ἐπ' εὐστόλου ταχείας
νεὼς, πορευσαίμ' ἂν ἐς
δόμους, τὰν ἐκ θεῶν
νέμεσιν ἐκφυγών.

Δυσοίστων. ἀφορήτων. δυσυπομονήτων. ¶ Ἐγὼ μὲν τὸ κείνων κακόν. τὸ ἐκείνους λυπεῖν. τούτῳ κέρδος καὶ ὠφέλειαν μεταποιῶν. ἢ τὸ κακὸν τὸ ἀπὸ τῶν Ἀτρειδῶν μετατιθέμενος τῷ Φιλοκτήτῃ. οἷον εἰς ἀγαθὸν μεταποιῶν καὶ μεταβάλλων, καὶ ἐπανορθῶν. λέγει γὰρ ὅτι βοηθήσω αὐτῷ, ἵνα ἐκείνους λυπήσω, ἐπανορθῶν αὐτῷ συμφορὰν τὴν ὑπὸ τῶν Ἀτρειδῶν γεγενημένην. ¶ Ἀλλ' αἰσχρὰ μέν τοι. ἀλλ' αἰσχρόν ἐστιν ἐνδεέστερόν σου εἶναί με ἐν τῷ βοηθεῖν τοῖς φίλοις. ἢ οὕτως. αἰσχρόν ἐστιν, εἰ ἐνδεέστερόν σου διατεθήσομαι, πρὸς τὴν εἰς τοὺς ξένους εὐεργεσίαν, οὐ παραιτήσομαι τοῦτο.

Νε. ὅρα σὺ, μὴ νῦν μέν τις εὐχερὴς παρῇς.
ὅταν δὲ πλησθῇς τῆς νόσου ξυνουσίᾳ,
τότ' οὐκέθ' αὑτὸς τοῖς λόγοις τούτοις φανῇς.
Χο. ἥκιστα. τοῦτ' οὐκ ἔσθ' ὅπως ποτ' εἰς ἐμὲ
τοὔνειδος ἕξεις ἐνδίκως ὀνειδίσαι.
Νε. ἀλλ' αἰσχρὰ μέντοι σοῦ γέ μ' ἐνδεέστερον
ξένῳ φανῆναι πρὸς τὸ καίριον πονεῖν.
ἀλλ' εἰ δοκεῖ πλέωμεν, ὁρμάσθω ταχύς.

χ' ἠ ναῦς

χ' ἡ ναῦς γὰρ ἄξει κοὐκ ἀπεξυνηθήσεται.
μόνον θεοὶ σώζοιεν ἔκ γε τῆσδε γῆς
ἡμᾶς, ὅποι τ' ἐνθένδε βουλοίμεσθα πλεῖν.
Φι ὦ φίλτατον μὲν ἦμαρ, ἥδιστος δ' ἀνήρ,
φίλοι δὲ ναῦται, πῶς ἂν ὑμὶν ἐμφανὴς
ἔργῳ γενοίμην ὥς μ' ἔθεσθε προσφιλῆ;
ἴωμεν ὦ παῖ προσκύσαντε τὴν ἔσω
ἄοικον εἰσοίκησιν, ὥς με καὶ μάθῃς
ἀφ' ὧν διέζων, ὥς τ' ἔφυν εὐκάρδιος.
οἶμαι γὰρ οὐδ' ἂν ὄμμασιν μόνην θέαν
ἄλλον λαβόντα πλὴν ἐμοῦ, τλῆναι τάδε.
ἐγὼ δ' ἀνάγκῃ προὔμαθον στέργειν τάδε.
Χο ἐπίσχετον, μάθωμεν. ἄνδρε γὰρ δύο,
ὁ μὲν, νεὼς σῆς ναυβάτης, ὁ δ' ἀλλόθρους
χωρεῖτον, ὧν μαθόντες, αὖθις εἴσιτον.
Εμ Ἀχιλλέως παῖ, τόνδε τὸν ξυνέμπορον,
ὃς ἦν νεὼς σῆς σὺν δυοῖν ἄλλοιν φύλαξ,
ἐκέλευσ' ἐμοί σε ποῦ κυρῶν εἴης φράσαι,
ἐπείπερ ἀντέκυρσα, δοξάζων μὲν οὔ,
τύχῃ δέ πως πρὸς ταὐτὸν ὁρμισθεὶς πέδον.
πλέων γὰρ ὡς ναύκληρος οὐ πολλῷ στόλῳ
ἀπ' Ἰλίου πρὸς οἶκον, ἐς τὴν εὔβοτρυν
Πεπάρηθον, ὡς ἤκουσα τοὺς ναύτας ὅτι
σοὶ πάντες εἶεν οἱ νενανστοληκότες,
ἔδοξέ μοι, μὴ σῖγα, πρὶν φράσαιμί σοι
τὸν πλοῦν προσέσθαι, προστυχόντι τῶν ἴσων.
οὐδὲν σύ που κάτοισθα τῶν σαυτοῦ πέρι,
ἃ τοῖσιν Ἀργείοισιν ἀμφὶ σοῦ 'νεκα
βουλεύματ' ἐστί. κοὐ μόνον βουλεύματα,
ἀλλ' ἔργα δρώμεν' οὐκέτ' ἐξαργούμενα.
Νε ἀλλ' ἡ χάρις μὲν τῆς προμηθίας ξένε
εἰ μὴ κακὸς πέφυκα, προσφιλὴς μενεῖ.
φράσον δ' ἅπερ γ' ἔλεξας, ὡς μάθω τί μοι
νεώτερον βούλευμ' ἀπ' Ἀργείων ἔχεις.
Εμ φροῦδοι διώκοντές σε ναυτικῷ στόλῳ,
Φοίνιξ θ' ὁ πρέσβυς, οἵ τε Θησέως κόροι.
Νε ὡς ἐκ βίας μ' ἄξοντες, ἢ λόγοισι πάλιν;
Εμ οὐκ οἶδ'. ἀκούσας δ', ἄγγελος πάρειμί σοι.

¶ Πῶς ἂν ὑμῖν. πῶς ἂν ἀποδοίην τὰς εὐεργεσίας ὑμῖν ὡς ἐφιλήσατέ με. ἢ πῶς ἂν τῷ ἔργῳ εὖ πράξαιμι καὶ τῷ λόγῳ ὑμῖν. ¶ Προσκύσαντες τὴν ἔσω. ἀσπασάμενοι τὴν ἑστίαν. ¶ Ἄοικον. δύσοικον. ὥσπερ ἀτυχὴς ὁ δυστυχής. ¶ Εὐκάρδιος. καρτερικός. ¶ Οἶμαι γάρ. ἐγὼ γὰρ ὑπολαμβάνω, μηδένα ἄλλον τὴν θέαν τῆς ἐνθάδε ἐνεγκεῖν πόσῳ μᾶλλον εἰς οἴκησιν. ¶ Στέργειν τάδε. γράφεται, στέργειν κακά. ¶ Ἀχιλλέως παῖ, τόνδε τὸν ξυνέμπορον. οὗτος ὁ ἔμπορος διαπέπλασται ὑπὸ Ὀδυσσέως. ναύκληρος. πραγματευτής. εἰωθὼς τοῖς ἕλλησι τὰ ἐπιτήδεια ἐπάγειν. ἐοικὼς ἐστὶ, καὶ ὡς οἰνεὺς διατυπούμενος πραγματευτήν. ¶ Δοξάζων μὲν οὔ. τύχῃ δέ πως. ἀντὶ τοῦ οὐκ ἐπίτηδες ἐλθὼν ἐνταῦθα, ἀλλὰ πλέων εἰς τὴν πατρίδα, ἰδὼν ὥρμισα, οὐκ οἰόμενός φησι συντεύξεσθαι. κατὰ τύχην δέ. ¶ Εὔβοτρυν Πεπάρηθον. πεπάρηθος δῆμος τῆς ἀττικῆς, καὶ μία τῶν κυκλάδων νήσων. ¶ Προστυχόντι τῶν ἴσων. ἀντὶ τοῦ, εὑρόντι τοὺς σοὺς ναύτας τοὺς ἐμοὶ ἴσους. τοὺς τὴν αὐτήν μοι τέχνην μετερχομένους. ἢ τῶν ἴσων, ἀντὶ τοῦ, ἐκ τῶν ἴσων. παραλέλειπται ἡ ἐκ. ¶ Ἐξαργούμενα. ἀναβολὴν ἔχοντα. ¶ Ἀλλ' ἡ χάρις μέν. ἔσται σοι χάρις τῆς προμηθείας ὕστερον. ¶ Φροῦδοι. ἀφανεῖς. ¶ Οἵ τε Θησέως κόροι. ἀκάμας καὶ δημοφῶν. ὧν οὐ μέμνηται ὅμηρος, ἐν τῷ καταλόγῳ.

Νε. ἢ ταῦτα δὴ Φοῖνίξ τε χ' οἱ ναυβάται,
οὕτω καθ' ὁρμὴν δρῶσιν Ἀτρειδῶν χάριν;
Εμ. ὡς ταῦτ' ἐπίστω δρώμεν', οὐ μέλλοντ' ἔτι.
Νε. πῶς οὖν Ὀδυσσεὺς πρὸς τάδ' οὐκ αὐτάγγελος
πλεῖν ἦν ἕτοιμος; ἢ φόβος τις εἶργέ νιν;
Εμ. κεῖνός γ' ἐπ' ἄλλον ἄνδρ' ὁ Τυδέως τε παῖς
ἔστελλον, ἡνίκ' ἐξανηγόμην ἐγώ.
Νε. πρὸς ποῖον αὖ τόνδ' αὐτὸς οὑδυσσεὺς ἔπλει;
Εμ. ἦν δή τις. ἀλλὰ τόνδε μοι πρῶτον φράσον,
τίς ἐστιν. ἂν λέγῃς δὲ, μὴ φώνει μέγα.
Νε. ὅδ' ἔσθ' ὁ κλεινός σοι Φιλοκτήτης ξένε.
Εμ. μή νύν μ' ἔρῃ τὰ πλείον', ἀλλ' ὅσον τάχος
ἔκπλει, σεαυτὸν ξυλλαβὼν ἐκ τῆσδε γῆς.
Φι. τί φησιν ὦ παῖ; τί με κατὰ σκότον ποτὲ
διεμπολᾷ λόγοισι πρός σ' ὁ ναυβάτης;
Νε. οὐκ οἶδά πω τί φησι. δεῖ δ' αὐτὸν λέγειν
εἰς φῶς ὃ λέξει πρὸς σὲ κἀμὲ, τούσδε τε.
Εμ. ὦ σπέρμ' Ἀχιλλέως, μή με διαβάλῃς στρατῷ
λέγονθ' ἃ μὴ δεῖ. πόλλ' ἐγὼ κείνων ὕπο
δρῶν ἀντιπάσχω χρηστά γ', οἷ' ἀνὴρ πένης.
Νε. ἐγώ εἰμ' Ἀτρείδαις δυσμενής. οὗτος δέ μοι
φίλος μέγιστος, οὕνεκ' Ἀτρείδας στυγεῖ.
δεῖ δή σ' ἔμοιγ' ἐλθόντα, προσφιλῆ λόγον
κρύψαι πρὸς ἡμᾶς μηδέν' ὧν ἀκήκοας.
Εμ. ὅρα τί ποιεῖς παῖ. Νε. σκοπῶ κἀγὼ πάλαι.
Εμ. σὲ θήσομαι τῶνδ' αἴτιον. Νε. ποιοῦ λέγων.
Εμ. λέγω 'πὶ τοῦτον ἄνδρε τώδ' ὥπερ κλύεις,
ὁ Τυδέως παῖς, ἥ τ' Ὀδυσσέως βία
διώμοτοι πλέουσιν. ἢ μὴν ἢ λόγῳ
πείσαντες ἄξειν, ἢ πρὸς ἰσχύος κράτος.
καὶ ταῦτ' Ἀχαιοὶ πάντες ἤκουον σαφῶς
Ὀδυσσέως λέγοντος. οὗτος γὰρ πλέον
τὸ θάρσος εἶχε θατέρου δρᾶσαι τάδε.
Νε. τίνος δ' Ἀτρεῖδαι τοῦδ' ἄγαν οὕτω χρόνῳ
τοσῷδ' ἐπεστρέφοντο πράγματος χάριν,
ὅν γ' εἶχον ἤδη χρόνιον ἐκβεβληκότας;
τίς ὁ πόθος αὐτοὺς ἵκετ', ἢ θεῶν βία,
καὶ νέμεσις, οἵπερ ἔργ' ἀμύνουσιν κακά;

Διεμπολᾷ. λάθρα ἀπατᾷ.

Μή με διαβάλῃς. μὴ διαβάλῃς με φησὶ τῷ τῶν Ἑλλήνων στρατῷ. εὐεργετηθεὶς γὰρ ὑπ' αὐτῶν πολλά. ¶ Πόλλ' ἐγὼ κείνων ὕπο. ὑπ' ἐκείνων εὐεργετούμενος, ἀντευεργετῶ αὐτοὺς ὡς δύναται πένης εὐεργετεῖν δηλονότι ὑπηρετῶν. ¶ Ὅρα τί ποιεῖς παῖ. ταῦτα πλαστῶς νοητέον. ¶ Σὲ θήσομαι τῶνδ' αἴτιον. αἴτιόν σε ποιήσω τῶν πραττομένων. ¶ Ποιοῦ λέγων. ποιοῦ με αἴτιον ὧν μέλλεις λέγειν.

Ἄνδρε τώδε. οὗτοι οἱ ἄνδρες οὓς ἀκούεις. ¶ Ἢ μήν. ὄντως μήν.

Τὸ θάρσος εἶχε θατέρου. τοῦ Διομήδους. εὐτολμότερος ἦν εἰς τὸ δρᾶσαι. ¶ Τίνος δ' Ἀτρεῖδαι. τίνος πράγματος χάριν, διὰ τοσούτου χρόνου ἐπεστράφησαν, καὶ φροντίδα ἐποιήσαντο τοῦ Φιλοκτήτου οἱ Ἀτρεῖδαι, τοῦ πάλαι ὑπ' αὐτῶν ἀποβληθέντος.

Εμ

Εμ. ἐγὼ σοι τοῦτ᾽, ἴσως γὰρ οὐκ ἀκήκοας,
πᾶν ἐκδιδάξω. μάντις ἦν τις εὐγενὴς,
Πριάμου μὲν υἱὸς, ὄνομα δ᾽ ὠνομάζετο
Ἕλενος, ὃν οὗτος νυκτὸς ἐξελθὼν μόνος
ὁ πάντ᾽ ἀκούων αἰσχρὰ καὶ λωβήτ᾽ ἔπη
δόλιος ὀδυσσεὺς, εἷλε. δέσμιον δ᾽ ἄγων,
ἔδειξ᾽ Ἀχαιοῖς ἐς μέσον θήραν καλήν.
ὃς δὴ τά τ᾽ ἄλλ᾽ αὐτοῖσι πάντ᾽ ἐθέσπισε.
καὶ τἀπὶ Τροίᾳ πέργαμ᾽, ὡς οὐ μή ποτε
πέρσοιεν, εἰ μὴ τόνδε πείσαντες λόγῳ
ἄγοιντο νήσου τῆσδ᾽ ἐφ᾽ ἧς ναίει τανῦν.
καὶ ταῦθ᾽ ὅπως ἤκουσεν ὁ Λαέρτου τόκος
τὸν μάντιν εἰπόντ᾽, εὐθέως ὑπέσχετο
τὸν ἄνδρ᾽ ἀχαιοῖς τόνδε δηλώσειν ἄγων.
οἴοιτο μὲν, μάλισθ᾽ ἑκούσιον λαβών.
εἰ μὴ θέλοι δ᾽, ἄκοντα. καὶ τούτων, κάρα
τέμνειν ἐφεῖτο τῷ θέλοντι, μὴ τυχών.
ἤκουσας ὦ παῖ πάντα. τὸ σπεύδειν δέ σοι
καὐτῷ παραινῶ, κεἴ τινος κήδῃ πέρι.

Φι. οἴμοι τάλας. ἦ κεῖνος ἡ πᾶσα βλάβη,
ἔμ᾽ εἰς Ἀχαιοὺς ὤμοσεν πείσας στελεῖν;
πεισθήσομαι γὰρ ὧδε κἀξ ἅδου θανὼν
πρὸς φῶς ἀνελθεῖν, ὥσπερ οὑκείνου πατήρ.

Εμ. οὐκ οἶδ᾽ ἐγὼ ταῦτ᾽. ἀλλ᾽ ἐγὼ μὲν εἶμ᾽ ἐπὶ
ναῦν. σφῷν δ᾽ ὅπως ἄριστα συμφέροι θεός.

Φι. οὔκουν τάδ᾽ ὦ παῖ δεινὰ τὸν Λαερτίου
ἔμ᾽ ἐλπίσαι ποτ᾽ ἂν λόγοισι μαλθακοῖς
δεῖξαι νεὼς ἄγοντ᾽ ἐν Ἀργείοις μέσοις;
οὔ. θᾶσσον ἂν τῆς πλεῖστον ἐχθίστης ἐμοὶ
κλύοιμ᾽ ἐχίδνης, ἥ μ᾽ ἔθηκεν ὧδ᾽ ἄπουν.
ἀλλ᾽ ἔστ᾽ ἐκείνῳ πάντα λεκτά. πάντα δὲ
τολμητά. καὶ νῦν οἶδ᾽ ὁθούνεχ᾽ ἵξεται.
ἀλλ᾽ ὦ τέκνον, χωρῶμεν. ὡς ἡμᾶς πολὺ
πέλαγος ὁρίζῃ τῆς ὀδυσσέως νεώς.

,, ἴωμεν. ἥ τοι καίριος σπουδὴ, πόνου
,, λήξαντος, ὕπνον κἀνάπαυλαν ἤγαγεν.

Νε. οὐκοῦν ἐπειδὰν πνεῦμα τοὐκ πρώρας ἀγῇ,
τότε στελοῦμεν. νῦν γὰρ ἀντιοστατεῖ.

Φι. ἀεὶ καλὸς πλοῦς ἔσθ᾽ ὅταν φεύγῃς κακά.

¶ Ὁ πάντ᾽ ἀκούων αἰσχρά. ὁ ὑπὸ πάντων ὑβριζόμενος. ¶ Θήραν καλήν. οὐχ ἁπλῶς εἶπε τὴν θήραν καλὴν, ἀλλὰ διὰ τὴν πόρθησιν τῆς ἰλίου, αὐτὸς γὰρ ἑρμηνεύει τὸν τρόπον τῆς πορθήσεως. ¶ Δηλώσειν. δείξειν. ¶ Τέμνειν ἐφεῖτο. ὑπέσχετο. ἐπηγγείλατο.

¶ Στελεῖν. πέμψειν. ¶ Ὥσπερ οὑκείνου πατήρ. ὁ Σίσυφος. μέλλων γὰρ τελευτᾶν παρήγγειλε τῇ γυναικὶ αὐτοῦ, ἄταφον καταλιπεῖν. καὶ κατελθὼν εἰς ᾅδου τῶν γε νενομισμένων μὴ τυχὼν, κατηγόρησε τῆς γυναικὸς παρὰ τῷ ἀϊδωνεῖ. ἠξίου τε ἀνελθεῖν, καὶ τὴν γυναῖκα τιμωρήσασθαι. ἀνελθὼν δὲ, οὐκ ἔτι ὑπέστρεψεν, ἕως μετ᾽ ἀνάγκης κατήχθη. ἐκ πατρὸς τοῦ πανούργου ὁ ὀδυσσεύς. Οὔκουν τάδε. ἀποφατικῶς ἢ ἐρωτηματικῶς. ¶ Οὐ θᾶσσον. τάχιον ἂν πεισθείην τῇ ἐχίδνῃ ἢ τῷ ὀδυσσεῖ.
¶ Ὁρίζει. δίιστησιν. ¶ Ἡ καίριος σπουδή. ἡ ἐγκαίρως σπουδάζειν, ἀνάπαυλαν ἄγει ὕστερον.
¶ Τοὐκ πρώρας ἀγῇ. ἤγουν ἐὰν παύσηται ὁ ἄνεμος ἐναντίος ὤν. ¶ Ἀντιοστατεῖ. ἐναντίον πνέει.

Οὐκ. ἀλλὰ κἀκείνοισι. μὴ εὐλαβηθῇς φησι. κἀκείνοις γὰρ τὰ πνεύματα ταῦτα ἐναντία. ἀντὶ τοῦ, τὰ ἡμᾶς ἀπέχοντα, κἀκείνους ἐπέχει. ¶ Οὐκ ἔστι λῃσταῖς. τοῖς γὰρ κακούργοις, οὐκ ἔστιν ἐναντίος ἄνεμος. ἐν τῇ συγχύσει γὰρ μᾶλλον ἰσχύουσι.

Τί τοῦθ' ὅ. τί ἔχεις, ὅπερ ἡ ἐμὴ ναῦς οὐκ ἔχει. ἀντὶ τοῦ οὐδὲν ὑμῖν λείπει. ¶ Κοιμῶ. κατακοιμίζω. πραΰνω. ¶ Παρερρύηκεν. παρεμπέπτωκεν.

Ὃς τῶν ἐμῶν ἐχθρῶν. ὃς ἐποιήσάς με τῶν ἐχθρῶν ὑπερέχειν, ὄντα αὐτῶν ἐλάττονα. ¶ Καὶ δόντι δοῦναι. ἀντὶ τοῦ ἀποδοῦναί μοι τῷ δόντι σοι. ¶ Εὐεργετῶν γάρ. αὐτὸς γὰρ ὑφῆψε τὴν πυρὰν τῷ ἡρακλεῖ. ¶ Λόγῳ μὲν ἐξήκουσα. λόγῳ μὲν ἀκούω τὸ τοῦ Ἰξίονος πάθος ὅτι τροχάζεται. ¶ Τὸν πελάταν λέκτρων. τὸν βουληθέντα ἐπιβῆναι τῇ εὐνῇ τοῦ Διός. ἢ τὸν πειράσαι βουληθέντα τὰ τοῦ Διὸς λέκτρα. ὃν ἔδησεν ὁ Ζεύς. μὴ μέντοι ἑωρακέναι μείζονα τοῦ Φιλοκτήτου νόσου. ¶ Κατ' ἄμπυκα. κατὰ τροχόν. ¶ Δρομάδα δέσμιον. τὸν περιφερόμενον ἐν τῷ δρόμῳ δεδεμένον.

ΝΕ οὐκ. ἀλλὰ κἀκείνοισι ταῦτ' ἐναντία.
ΦΙ οὐκ ἔστι λῃσταῖς πνεῦμ' ἐναντιούμενον,
ὅταν παρῇ κλέψαι τε χ' ἁρπάσαι βίᾳ.
ΝΕ ἀλλ' εἰ δοκεῖ, χωρῶμεν, ἔνδοθεν λαβὼν
ὅτου σε χρεία καὶ πόθος μάλιστ' ἔχει.
ΦΙ ἀλλ' ἔστιν ὧν δεῖ, καίπερ οὐ πολλῶν ἄπο.
ΝΕ τί τοῦθ', ὃ μὴ νεώς γε τῆς ἐμῆς ἔνι;
ΦΙ φύλλον τί μοι πάρεστιν, ᾧ μάλιστ' ἀεὶ
κοιμῶ τόδ' ἕλκος, ὥστε πραΰνειν πάνυ.
ΝΕ ἀλλ' ἔκφερ' αὐτό. τί γὰρ ἔτ' ἄλλ' ἐρᾷς λαβεῖν;
ΦΙ εἴ μοι τι τόξων τῶνδ' ἀπημελημένον
παρερρύηκεν, ὡς λίπω μή τῳ λαβεῖν.
ΝΕ ἦ ταῦτα γὰρ τὰ κλεινὰ τόξα νῦν ἔχεις;
ΦΙ ταῦτ'. οὐ γὰρ ἄλλα γ' ἔσθ' ἃ βαστάζω χεροῖν.
ΝΕ ἆρ' ἔστιν ὥστε κἀγγύθεν θέαν λαβεῖν,
καὶ βαστάσαι με, προσκύσαι θ' ὥσπερ θεόν;
ΦΙ σοί γ' ὦ τέκνον καὶ τοῦτο κἄλλο τῶν ἐμῶν
ὁποῖον ἄν σοι ξυμφέρῃ γενήσεται.
ΝΕ καὶ μὴν ἐρῶ γε. τὸν δ' ἔρωθ' οὕτως ἔχω.
εἴ μοι θέμις, θέλοιμ' ἄν. εἰ δὲ μή, πάρες.
ΦΙ ὅσιά τε φωνεῖς. ἔστι τ' ὦ τέκνον θέμις.
ὅς γ' ἡλίου τόδ' εἰσορᾶν ἐμοὶ φάος
μόνος δέδωκας, ὃς χθόν' Οἰταίαν ἰδεῖν,
ὃς πατέρα πρέσβυν, ὃς φίλους, ὃς τῶν ἐμῶν
ἐχθρῶν μ' ἔνερθεν ὄντ', ἀνέστησας πέρα.
θάρσει. παρέσται ταῦτά σοι καὶ θιγγάνειν,
καὶ δόντι δοῦναι, κἀξεπεύξασθαι βροτῶν
ἀρετῆς ἕκατι τῶνδ' ἐπιψαῦσαι μόνον.
εὐεργετῶν γὰρ αὐτὸς, αὔτ' ἐκτησάμην.
οὐκ ἄχθομαί σ' ἰδών τε καὶ λαβὼν φίλον.
,, ὅστις γὰρ εὖ δρᾶν, εὖ παθὼν ἐπίσταται,
,, παντὸς γένοιτ' ἂν κτήματος κρείσσων φίλος.
ΝΕ χωροῖς ἂν εἴσω. ΦΙ καὶ σέ γ' εἰσάξω. τὸ γὰρ
νοσοῦν, ποθεῖ σε ξυμπαραστάτην λαβεῖν.
ΧΟ λόγῳ μὲν ἐξήκουσ', ὄπωπα δ' οὐ μάλα
τὸν πελάταν λέκτρων
ποτὲ Διὸς Ἰξίονα, κατ' ἄμπυκα δὴ
δρομάδα δέσμιον ὡς
ἔλαβ' ὁ παγκρατὴς Κρόνου παῖς.

ἄλλον δ' οὔτιν' ἔγωγ'
οἶδα κλύων οὐδ' ἐσιδὼν μοίρᾳ
τοῦδ' ἐχθίονι συντυχόντα θνατῶν,
ὃς οὔθ' ἔρξας τιν', οὔτε νοσφίσας,
ἀλλ' ἴσος ἐν ἴσοις ἀνήρ,
ὤλλυθ' ὧδ' ἀναξίως.
τόδε θαῦμ' ἔχει με
πῶς ποτε πῶς ποτ' ἀμφιπλήκτων
ῥοθίων μόνος κλύζων, πῶς
ἄρα πανδάκρυτον οὕτω
βιοτὰν κατέσχεν,
ἵν' αὐτὸς ἦν πρόσουρος, οὐκ ἔχων βάσιν,
οὐδέ τιν' ἐγχώρων,
κακογείτονα παρ' ᾧ στόνον ἀντίτυπον
βαρυβρῶτ' ἀποκλαύ
σειεν αἱματηρόν. οὐδ' ὃς
τὰν θερμοτάταν
αἱμάδα κηκιομέναν ἑλκέων
ἐνθήρου ποδὸς ἠπίοισι φύλλοις
κατευνάσειεν, εἴ τις ἐμπέσοι
φορβάδος ἔκ τε γᾶς ἑλών.
ἕρπει γὰρ ἄλλοτ' ἀλλαχᾷ.
τότ' ἂν εἰλυόμενος
παῖς ἄτερ, ὡς φίλας τιθήνας,
ὅθεν εὐμάρει' ὑπάρχει
πόρων, ἀνίκ' ἐξανίησι

¶ Μοίρᾳ τοῦδ'. τύχῃ. δυστυχίᾳ στυγερωτέρᾳ καὶ ἐχθίονι. ¶ Οὔτε νοσφίσας. ἀποστερήσας. ¶ Εν ἴσοις. ἐν δικαίοις. ¶ Τόδε θαῦμ' ἔχει με. θαυμάζω πῶς ὑπέμεινεν, ἀεὶ κλυζομένοις κύμασιν ἔχων κατ' αὐτὸν καὶ ἔρημος ὢν πανταπᾶσιν. ¶ Ἀμφιπλήκτων. ἑκατέρωθεν πληκτούντων. τὰ γὰρ κύματα κλύζονται κατὰ ἀμφοτέραν ὄχθην θαλάσσης. ¶ Ιν' αὐτός. ὅπου αὐτὸς μόνος ὑπὸ ἀνέμων βαλλόμενος, πρὸς ἄνεμον τετραμμένος ἦν. ¶ Βάσιν. πόδα. ¶ Οὐδέ τιν' ἐγχώρων. λείπει, ἔχων. ¶ Κακογείτονα. οὐ μόνον ὅπου καλὸν οὐκ εἶχε γείτονα, ἀλλὰ οὐδὲ κακόν, παρὰ ὃν ἀμοιβαῖον λόγον στενάζων ἀκούσῃ. τὸ δὲ ἑξῆς οὕτω δεῖ λαβεῖν, οὐδέ τινα ἐγχώρων ἔχων, παρ' ᾧ δὴ τὸν κακὸν γείτονα τὸν αἱματηρὸν στόνον ἀποκλαύσειε. τὸ, κακογείτονα δέ, οὐ πρὸς τοὺς ἐνοικοῦντας, ἀλλ' εἴ περ τις ἐτύγχανεν αὐτῷ συνοικῶν. ὁ τούτου στόνος κακογείτων ἂν ἦν ἐκείνῳ. ¶ Ἀντίτυπον, ἀμοιβαῖον. ¶ Οὐδ' ὃς τὰν θερμοτάταν. οὐδὲ ὅστις τὴν θερμοτάτην καὶ ἀγρίαν αἱμάδα τὴν τοῦ αἵματος ῥύσιν ἀναδιδομένην ἐκ τῶν ἑλκῶν τοῦ θηροδήκτου ποδὸς, ἠπίοις φύλλοις κατευνάσειεν, εἴ τις ἐμπέσοι. ¶ Αἱμάδα κηκιομένων ἑλκέων. παρὰ τὸ, Μέλαν δ' ἀνεκήκιεν αἷμα. ¶ Φύλλοις κατευνάσειεν. ἀντὶ τοῦ ὅλως οὐκ ἔχων οὐδὲ ὅστις ἕλοι φύλλα αὐτῷ ἐκ τῆς γῆς, ἢ ὄρνιν τοξευθεῖσαν ὑπὸ Φιλοκτήτου, καὶ πεσόντα εἰς τὴν γῆν. ¶ Εἰλυόμενος. κυλιόμενος. χερσὶν ἐπερειδόμενος, καὶ ἕλκων τὰ σκέλη ὡς νήπιος παῖς ἄνευ τιθήνης τετραποδηλὸν βαδίζων, ὡς αὐτὸς ἐν τοῖς ἀνωτέρω. πρὸς γὰρ τοῦθ' ὅ, μοι βάλοι. Νευροσπαδὴς ἄτρακτος. αὐτὸς ἂν τάλας Εἰλυόμην δύστηνος ἐξέλκων πόδα. τὸ δὲ ἑξῆς, τότε δὲ ἡνίκα ἐξανίησι δακέθυμος ἄτα, ἕρπει πόρον ἄλλοτ' ἄλλον εἰλυόμενος, ὥσπερ παῖς ἄνευ φίλης τιθήνης ὑπάρχων. οὐ φορβὰν ἱερᾶς γᾶς σπόρον αἴρων. οὐκ ἄλλων ὧν νεμόμεθα ἄνδρες ἀλφησταί. τουτέστιν, οὐ δημητριακὸν καρπὸν, οὐδέ τι τῶν συνήθους ἀνθρώπων διαίτης. ἀλλὰ διὰ τῶν πτηνῶν οἰστῶν, τὴν διὰ τῶν ὀρνέων τροφήν. Ὅθεν εὐμάρεια. ὅπου εὐμαρές ἐστιν αὐτῷ ἀπιέναι. Εξανίησι. ἐνδίδωσι.

δυσκέθυμος ἄτα.
οὐ φορβὰν ἱερᾶς
γᾶς, σπόρον οὐκ ἄλλων
αἴρων, τῶν νεμόμε-
σθ' ἀνέρες ἀλφησταί.
πλὴν ἐξ ὠκυβόλων εἴ ποτε τόξων
πτανῶν, πτανοῖς ἀνύσειε γαστρὶ φορβάν.
ὦ μελέα ψυχά.
ὃς μηδ' οἰνοχύτου πώματος ἥ-
σθη δεκέτη χρόνον.
λεύσσων δ' ὅπου γνοίη στατὸν εἰς ὕδωρ
ἀεὶ προσενώμα.
νῦν δ' ἀνδρῶν ἀγαθῶν
παιδὸς ὑπαντήσας,
εὐδαίμων ἀνύσει.
καὶ μέγας ἐκείνων,
ὅς νιν ποντοπόρῳ δούρατι, πλήθει
πολλῶν μηνῶν πατρῴαν ἄγει πρὸς αὐλὰν
μηλιάδων νυμφᾶν,
Σπερχειοῦ τε παρ' ὄχθαις, ἵν' ὁ χάλ-
κασπις ἀνὴρ θεοῖς
πλάθει πᾶσι θείῳ πυρὶ παμφαής
Οἴτας ὑπὲρ ὄχθων.

Νε. ἕρπ' εἰ θέλεις. τί δή ποθ' ὧδ' ἐξ οὐδενὸς
λόγου σιωπᾷς, κἀπόπληκτος ὧδ' ἔχῃ;
Φι. ἆ, ἆ, ἆ.
Νε. τί ἔστιν; Φι. οὐδὲν δεινόν. ἀλλ' ἴθ', ὦ τέκνον.
Νε. μῶν ἄλγος ἴσχεις τῆς παρεστώσης νόσου;
Φι. οὐ δῆτ' ἔγωγ'. ἀλλ' ἄρτι κουφίζειν δοκῶ.
ἰὼ θεοί.
Νε. τί τοὺς θεοὺς οὕτως ἀναστένων καλεῖς;
Φι. σωτῆρας αὐτοὺς ἠπίους θ' ἡμῖν μολεῖν.
ἆ, ἆ, ἆ.
Νε. τί ποτε πέπονθας; οὐκ ἐρεῖς, ἀλλ' ὧδ' ἔσῃ

Δακέθυμος ἄτα. ἡ νόσος. ¶ Γᾶς σπόρον. σῖτον. ℭ Τῶν νεμόμεσθα. τουτέστιν, ἀφ' ὧν τρεφόμεθα.

Πλὴν δὲ ἐξ ὠκυβόλων. πτηνὰ ἀπὸ τῶν τόξων ἥρει, πλὴν εἴ που τοῖς πτηνοῖς βέλεσιν, δὲ ἐξ ὠκυβόλων τόξων ἀνύσει φορβήν. ¶ Πτανῶν. τουτέστιν ὀρνέων. λείπει δὲ ἡ ἀπό. ἵν' ᾖ, ἀπὸ τῶν πτανῶν. ¶ Οἰνοχύτου πώματος ἥσθη. τουτέστιν οἴνου. περιφραστικῶς, ἐνεπλήσθη. ἢ οὐδὲ οἴνου μετείληφε. ¶ Στατὸν εἰς ὕδωρ. τὸ δὲ ὄμβρου συνεστηκὸς ὕδωρ. ἢ πηγαῖον, ἢ λιμναῖον. παρὰ τὸ ἠρεμεῖν, καὶ μὴ ὑπὸ ἀνέμων κινεῖσθαι. ℭ Προσενώμα. ἑαυτὸν ἐκίνει. ἤγουν, ἐπορεύετο. ¶ Παιδὸς ὑπαντήσας. τυχὼν Νεοπτολέμου. ¶ Εὐδαίμων ἀνύσει. εὐδαιμονήσει. τὸ ἑξῆς, εὐδαίμων καὶ μέγας ἀνύσει. ℭ Ἐκείνων. λείπει ἔσται, τῶν κακῶν δηλονότι.

Πατρῴαν ἄγει πρὸς αὐλάν. εἰς τὴν πατρίδα. ¶ Μηλιάδων νυμφᾶν. περὶ τὴν τραχῖνα γὰρ οἱ μηλιεῖς.

Ἵν' ὁ χάλκασπις. ὅπου ὁ ἐκθεωθεὶς ἀνήρ, πελάζεται πᾶσι. λέγει δὲ τὸν ἡρακλέα. ¶ Πλάθει πᾶσιν. ὡς φαίνεται λαμπρὸς ὢν ὡς πῦρ. ¶ Ἕρπ' εἰ θέλεις. τί δή ποθ' ὧδε. τοῦτό φησιν, ὁρῶν τῇ νόσῳ πληττόμενον, καὶ σιωπῶντα.

Ἆ, ἆ, ἆ. ἐνοχλεῖ τὸν Φιλοκτήτην ἡ συνήθης νόσος, θέλει δὲ κρατῆσαι ἑαυτοῦ, διὸ προσποιεῖται ὅταν λέγῃ, ἀλλ' ἄρτι κουφίζειν δοκῶ. ℭ Ἰὼ θεοί. ὁ Φιλοκτήτης διὰ τὴν εἰς οἶκον ἀνακομιδὴν ἀπαγορεύει τὰς γινομένας ὀδύνας. καὶ λέγει, ἰὼ θεοί, ὡς χαίρων διὰ τὸν Νεοπτόλεμον. οὐ δύναται δὲ ἀληθῶς. ¶ Α, ἆ, ἆ, ἀναστενάζει λοιπὸν τῆς νόσου πλεοναζούσης.

σιγηλός; ἐν κακῷ δέ τῳ φαίνῃ κυρῶν.

Φι. ἀπόλωλα τέκνον, κοὐ δυνήσομαι κακὸν
κρύψαι παρ' ὑμῖν. ἀτταταῖ. διέρχεται,
διέρχεται. δύστηνος. ὦ τάλας ἐγώ.
ἀπόλωλα τέκνον. βρύχομαι τέκνον. παπαῖ.
ἀπαππαπᾶ. παπᾶ. παπᾶ. παπαῖ.
πρὸς θεῶν πρόχειρον εἴ τι σοὶ τέκνον πάρα
ξίφος χεροῖν, πάταξον εἰς ἄκρον πόδα.
ἀπάμησον ὡς τάχιστα. μὴ φείσῃ βίου.
ἴθ' ὦ παῖ.

Νε. τί δ' ἐστὶν οὕτω νεοχμὸν ἐξαίφνης, ὅτου
τοσήνδ' ἰυγὴν καὶ στόνον σαυτοῦ ποιῇς;

Φι. οἶσθ' ὦ τέκνον. Νε. τί ἐστιν; Φι. οἶσθ' ὦ παῖ. Νε. τί σοι;

Φι. οὐκ οἶδα. Νε. πῶς οὐκ οἶδα; Φι. παππᾶ. παπαπᾶ. παῖ.

Νε. δεινόν γε τοὐπίσαγμα τοῦ νοσήματος.

Φι. δεινὸν γὰρ, οὐδὲ ῥητόν. ἀλλ' οἴκτειρέ με.

Νε. τί δῆτα δράσω; Φι. μή με ταρβήσας προδῷς.
ἥκει γὰρ αὕτη διὰ χρόνου πλάνοις ἴσως
ὡς ἐξεπλήσθη. Νε. ἰώ, ἰὼ δύστηνε σύ.
ἰὼ δύστηνε δῆτα διὰ πόνων πάντων φανείς.
βούλει λάβωμαι δῆτα καὶ θίγω τί σου;

Φι. μὴ δῆτα τοῦτό γ'. ἀλλά μοι τὰ τόξα ἑλὼν
τάδ' ὥσπερ ᾔτου μ' ἀρτίως ἕως ἀνῇ
τὸ πῆμα τοῦτο τῆς νόσου τὸ νῦν παρόν,
σῷζ' αὐτά, καὶ φύλασσε. λαμβάνει γὰρ οὖν
ὕπνος μ', ὅταν περ τὸ κακὸν ἐξήκῃ τόδε.
κοὐκ ἔστι λῆξαι πρότερον, ἀλλ' ἐᾶν χρεὼν
ἕκηλον εὕδειν. ἢν δὲ τῷδε τῷ χρόνῳ
μόλωσ' ἐκεῖνοι, πρὸς θεῶν ἐφίεμαι
ἑκόντα μήτ' ἄκοντα, μὴ δέ τῳ τέχνῃ
κείνοις μεθεῖναι ταῦτα. μὴ σαυτόν θ' ἅμα,
κἄμ' ὄντα σαυτοῦ πρόστροπον, κτείνας γένῃ.

Νε. θάρσει. προνοίας οὕνεκ' οὐ δοθήσεται
πλὴν σοί τε κἀμοί. ξὺν τύχῃ δὲ πρόσφερε.
ἰδοὺ δέχου παῖ. τὸν φθόνον δὲ πρόσκυσον,

¶ Ἐν κακῷ δέ τῳ φαίνῃ κυρῶν. ἀντὶ τοῦ ἔοικάς μοι ὀδυνᾶσθαι.

¶ Βρύχομαι. ἐσθίομαι. καταναλίσκομαι.

¶ Ἀπάμησαι. θέρισαι. κόψον.

¶ Ἰυγήν. ὀξεῖαν βοήν.

¶ Οἶσθ' ὦ τέκνον. βούλεται εἰπεῖν τὴν εἰς οἶκον ἀνακομιδήν, ἐν νῷ λαμβάνων μή πως καταλίπῃ αὐτὸν ὁ Νεοπτόλεμος, οὐ λέγει δὲ διὰ τὸ πάθος. ¶ Τοὐπίσαγμα. ἡ ἐπίσοδος, ἢ προσθήκη.

¶ Ἥκει γὰρ αὕτη διὰ χρόνου πλάνοις. δι' ὑπερείας. ἥκει ἡ νόσος ἴσως, ὅτε ἐκορέσθη πλανωμένη. ὡς ἐπὶ θηρὸς δὲ πλέκεται τὸν λόγον.

¶ Ἦτου μ' ἀρτίως. ἠξίωσας, ᾔτησας. ¶ Ἕως ἀνῇ. ἐνδῷ. ¶ Σῷζ' αὐτὰ καὶ φύλασσε. φύλασσέ φησιν αὐτὰ τὰ τόξα. ἅμα γὰρ τῷ πάθει τούτῳ ὕπνος μοι ἐπέρχεται, καὶ οὕτω παύομαι τῆς νόσου. ¶ Οὐκ ἔστι λῆξαι. οὐκ ἔστι τῆς ὀδύνης παύσασθαι πρότερον, πρὶν κοιμηθῆναι.

¶ Μόλωσ' ἐκεῖνοι. οἱ περὶ Ὀδυσσέα. ¶ Πρόστροπον. ἱκέτην.

¶ Τὸν φθόνον δὲ πρόσκυσον. ἱλάσκου τὸν φθόνον, ὥστε αὐτὰ μὴ γενέσθαι σοι πολύστονα, πικρὰ καὶ αἴτια κακῶν.

μή σοι γένοιθ' ἡ πολύπον' αὐτά, μηδ' ὅπως
ἐμοί τε καὶ τῷ πρόσθ' ἐμοῦ κεκτημένῳ.

ΝΕ ὦ θεοί, γένοιτο ταῦτα νῷν. γένοιτο δὲ
πλοῦς οὔριός τε κεὐσταλὴς ὅποι ποτὲ
θεὸς δικαιοῖ, χὡ στόλος πορσύνεται.

ΦΙ ἀλλὰ δέδοικ' ὦ παῖ, μή μ' ἀτελὴς εὐχή.
στάζει γὰρ αὖ μοι φοίνιον τόδ' ἐκ βυθοῦ
κηκῖον αἷμα. καί τι προσδοκῶ νέον.
παπαῖ. φεῦ.
παπαῖ μάλ'. ὦ πούς, οἷά μ' ἐργάσῃ κακά.
προσέρπει.
προσέρχεται τόδ' ἐγγύς. οἴμοι μοι τάλας.
ἔχετε τὸ πρᾶγμα, μὴ φύγητε μηδαμῇ.
ἀτταταῖ.
ὦ ξένε Κεφαλλήν, εἴθε σοῦ διαμπερὲς
στέρνων ἵκοιτ' ἄλγησις ἥδε. φεῦ, παπαῖ.
παπαῖ. μάλ' αὖθις. ὦ διπλοῖ στρατηλάται
Ἀγάμεμνον, ὦ Μενέλαε, πῶς ἂν ἀντ' ἐμοῦ
τὸν ἴσον χρόνον τρέφοιτε τήνδε τὴν νόσον;
ὤμοι μοι.
ὦ θάνατε, θάνατε, πῶς ἀεὶ καλούμενος
οὕτω κατ' ἦμαρ, οὐ δύνῃ μολεῖν ποτε;
ὦ τέκνον, ὦ γενναῖον, ἀλλὰ συλλαβὼν
τῷ Λημνίῳ τῷδ' ἀνακαλουμένῳ πυρὶ,
ἔμπρησον ὦ γενναῖε. κἀγώ τοι ποτὲ
τὸν τοῦ Διὸς παῖδ' ἀντὶ τῶνδε τῶν ὅπλων,
ἃ νῦν σὺ σῴζεις, τοῦτ' ἐπηξίωσα δρᾶν.
τί φῄς παῖ;
τί φῄς; τί σιγᾷς; ποῦ ποτ' ὢν τέκνον κυρεῖς;

ΝΕ ἀλγῶ πάλαι δὴ τἀπὶ σοὶ στένων κακά.

ΦΙ ἀλλ' ὦ τέκνον, καὶ θάρσος ἴσχ' ὡς ἥδε μοι
ὀξεῖα φοιτᾷ, καὶ ταχεῖ' ἀπέρχεται.
ἀλλ' ἀντιάζω μή με καταλίπῃς μόνον.

ΝΕ θάρσει. μενοῦμεν. ΦΙ ἦ μενεῖς; ΝΕ σαφῶς φρόνει.

ΦΙ οὐ μήν σ' ἔνορκόν γ' ἀξιῶ θέσθαι τέκνον.

ΝΕ ὡς οὐ θέμις γ' ἐμοί 'στι σοῦ μολεῖν ἄτερ.

---

Μὴ δ' ὅπως. μηδ' ὁμοίως.
Τῷ πρόσθεν ἐμοῦ κεκτημένῳ. τῷ ἡρακλεῖ δηλονότι.

Κηκῖον αἷμα. ἀναῤῥέον, ἀναδιδόμενον, ὁμιλοῦν, πολὺς δ' ἀνεκήκιεν ἱδρώς.

¶ Ω ξένε κεφαλλήν. ὦ ὀδυσσεῦ.

¶ Τρέφοιτε. λάβοιτε ἀντὶ ἐμοῦ.

Τῷ λημνίῳ τῷδ' ἀνακαλουμένῳ πυρί. τῷ καλουμένῳ ἐν τῇ λήμνῳ, ἐργαστήριον τοῦ ἡφαίστου, ἔνθα ὁ κρατὴρ τοῦ πυρός. ¶ Κἀγώ τοι ποτέ. ὅτε τὴν πυρὰν τοῦ ἡρακλέους ἀνῆψα. ¶ Τοῦτ' ἐπηξίωσα δρᾶν. τὸ καταθοῦσθαι. ¶ Τί σιγᾷς. λαβὼν γὰρ τὰ τόξα ὁ πύῤῥος, ἐσιώπησεν, ἀπορῶν τί ἄρα ποιήσειεν.

¶ Σοῦ μολεῖν. πρὸς τὴν ὑπόθεσιν καὶ τοῦτό φησι, διὰ τὸ τὸν χρησμὸν εἶναι μηδέτερον αὐτῶν μόνον πορθήσειν

σειν τὸ ἴλιον. Ἐκεῖσε νῦν μ' ἐκεῖσε. διὰ τοῦτο νῦν ἔοικεν ὁ Φιλοκτήτης παραφρονεῖν ὑπὸ τῆς νόσου. ¶ Τί παραφρονεῖς. τί ἐκστὰς φρενῶν γέγονας.

Φι ἔμβαλλε χειρὸς πίστιν. Νε ἐμβάλλω μενεῖν.
Φι ἐκεῖσε νῦν μ' ἐκεῖσε. Νε ποῖ λέγεις; Φι ἄνω.
Νε τί παραφρονεῖς αὖ; τί τὸν ἄνω λεύσσεις κύκλον;
Φι μέθες μέθες με. Νε ποῖ μεθῶ; Φι μέθες ποτέ.
Νε οὔ φημι ἐάσειν. Φι ἀπό μ' ὀλεῖς, ἢν προσθίγῃς.
Νε καὶ δὴ μεθίημι. τί δὲ δὴ πλέον φρονεῖς;
Φι ὦ γαῖα, δέξαι θανάσιμόν μ' ὅπως ἔχω.
τὸ γὰρ κακὸν τόδ' οὐκέτ' ὀρθοῦσθαί μ' ἐᾷ.
Νε τὸν ἄνδρ' ἔοικεν ὕπνος οὐ μακροῦ χρόνου
ἕξειν. κάρα γὰρ ὑπτιάζεται τόδε.
ἱδρώς γέ τοι νιν πᾶν καταστάζει δέμας
μέλαινά τ' ἄκρου τις παρέρρωγεν ποδὸς
αἱμορραγὴς φλέψ. ἀλλ' ἐάσωμεν φίλοι
ἕκηλον αὐτὸν, ὡς ἂν εἰς ὕπνον πέσῃ.
Χο Ὕπν' ὀδύνας ἀδαὴς, ὕπνε δ' ἀλγέων, εὐαὴς
ἡμῖν ἔλθοις.
εὐαίων ὦναξ,
ὄμμασιν δ' ἀντέχοις
τάνδ' αἴγλαν, ἃ τέταται τανῦν.
ἴθι ἴθι μοι παιών.
ὦ τέκνον, ὅρα ποῦ στάσῃ,
ποῖ δὲ βάσῃ, πῶς δέ μοι
τἀντεῦθεν φροντίδος ὁρᾷς.
ἤδη πρὸς τί μενοῦμεν
πράσσειν. καιρός τοι πάντων
γνώμαν ἴσχων,
πολὺ παρὰ πόδα κράτος ἄρνυται.
Νε ἀλλ' ὅδε μὲν κλύει οὐδέν. ἐγὼ δ' ὁρῶ οὔ-
(νεκα θήραν

¶ Τί δὲ δὴ πλέον φρονεῖς. ἀντὶ τοῦ, ὠφελιμώτερον ἐμοῦ.
¶ Τὸ γὰρ κακὸν τόδε. εἰπὼν τόδε, ἐκοιμήθη.
Τὸν ἄνδρ' ἔοικεν. ἔοικεν ὁ ὕπνος τὸν ἄνδρα, οὐκ εἰς μακρὰν καταλήψεσθαι. Ὑπτιάζεται. κλίνεται, ἢ ὀπίσω ῥίπτεται. ¶ Μέλαινά τ' ἄκρου. νεῦρον ῥαγὲν ἀπὸ τοῦ ἄκρου ποδὸς αἷμα ἀνίησιν.
¶ Ὕπν' ὀδύνας ἀδαής. ὕπν' ἀλγέων. ἀπὸ κοινοῦ τὸ, ἀδαής, ἤγουν ἄπειρε. ¶ Εὐαὴς ἡμῖν ἔλθοις. εὔπνους. ¶ Εὐαίων ὦναξ. εὐμενὴς, καλῶς ἄγων ἡμῖν τὸν αἰῶνα.
Ὄμμασι δ' ἀντέχοις. ἐναντιωθείης τοῖς ὄμμασι τοῦ Φιλοκτήτου, καὶ μὴ ἐάσῃς αὐτὸν βλέψαι νῦν. ἢ κάτεχε τὸ ὁρατικὸν, ὅπερ νῦν ἥπλωται ἢ διαχεῖται τῇ τοῦ ὕπνου ἀχλύϊ. τοιαύτην δὲ αἴγλην ἥτις νῦν τέταται, ἀντέχοις τοῖς ὄμμασι. λέγει δὲ τὸν ὕπνον, τὸν γενόμενον αὐτῷ παραχρῆμα, ὡς ἔστιν αὐτῷ αἴγλη καὶ φῶς. Ὅρα ποῦ στάσῃ. ποῦ στάσῃ τῆς γνώμης. ποίας γνώμης κρατήσεις. Τἀντεῦθεν φροντίδος. τὰ μετὰ ταῦτα πῶς ὁρᾷς φροντίδος. ἀντὶ τοῦ, ἐννοεῖς. Καιρός τοι πάντων. ἐπεὶ ἡ μετὰ εὐκαιρίας σύνεσις πολλάκις ἐπικρατεῖ καὶ ἐν ἑτοίμῳ καρποῦται. ὁ δὲ νοῦς, ὁ καιρὸς ἐκεῖνος ὁ εὐκαίρως ἐπιτελούμενος, πολλοῖς εὐδοξίαν σύνεγγυς παρέχει. ¶ Παραπόδα, πλησίον. Ἄρνυται, ἀποφέρεται.

Τήνδ᾽ ἁλίως ἔχομεν. τὴν θήραν τῶν τόξων, μάτην ἔχομεν χωρὶς τοῦ Φιλοκτήτου πλέοντες. ¶ Κομπεῖν δ᾽ ἔργ᾽ ἀτελῆ. εὐτελῆ. ἔννοιαν δὲ τὸ ἐπαγγέλλεσθαι ἀτέλεστα τοῦ ψευδομένου, αἰσχρὸν ὄνειδος. ¶ Βαιάν μοι βαιάν. μικρὰ καὶ ἠρεμαῖά μοι φησὶ διαλέγου, μὴ πῶς ἀκούσῃ κοιμώμενος. ℂ Ὡς πάντων ἐν νόσῳ. ἀντὶ τοῦ ἐλαφρὸς πρὸς τὸ ταχὺ ἀναβλέψαι καὶ ἐγερθῆναι. ἀντὶ τοῦ ὁ ὕπνος ἐν τῇ νόσῳ ταχέως βλέπει, ἢ ὁ νοσῶν ταχέως ἀνίσταται. λείπει δὲ τὸ ὡς. βούλεται γὰρ λέγειν, ὥστε λεύσσειν ὁ ὕπνος. ὡς μὴ ἐπεῖσθαι τοῦτον ὕπνον ὑπάρχειν.

Μάκιστον. μέγιστον. εὐσύμβουλον. σύμφορον. ¶ Ἐξιδοῦ ὅπως πράξεις. θεώρησον. βλέψον. πλεονάζει γὰρ ἡ ἐξ. καθάπερ καὶ ἐπὶ τούτων, ἀνεπίστασο, ἀντὶ τοῦ ἐπίστασο. τὸ ἐνδίδαξον, ἀντὶ τοῦ δίδαξον. ¶ Οἶσθα γὰρ ὃν αὐδῶμαι. δι᾽ ὃν λέγω, οἷον τὸν Φιλοκτήτην. ἐν μέσῳ τοῦτο εἴρηκε.

Εἰ ταὐτὰν τούτῳ γνώμαν. εἰ τὴν αὐτὴν τῷ Ὀδυσσεῖ γνώμην ἔχεις, ὥστε ἄρξειν τὸν Φιλοκτήτην ἐντεῦθεν. ℂ Ἄπορα πυκνοῖσιν. ἄπορόν ἐστι τοῖς συνετοῖς ἰδεῖν τὸ πρακτέον. λείπει ἐστὶ καί. γράφεται πυκνοῖσιν, ἵν᾽ ᾖ ἐν πράγμασι πυκνοῖς. συνιδεῖν τὸ πρακτέον, ἄπορον. ¶ Οὖρός τοι. ἐπιτήδειος καιρός. ¶ Ἀνόμματος. ἐστερημένος τοῦ φωτός. Ἐκτέταται νύχιος. ἐπεὶ κατὰ νύκτα καθεύδουσι, παρὰ τοῦτο εἶπε τὴν ἡμέραν νύκτα ἄγων. ἀντὶ τοῦ κοιμώμενος. τὸ δὲ ἑξῆς, ἐκτέταται νύχιος, οὐ χερός, οὐ ποδός, ἄρχων. ἀντὶ τοῦ, οὐδὲ τῶν μελῶν δυνάμενος κινεῖν, οὐδὲ βλέπειν. ¶ Ἀλεὴς ὕπνος ἐσθλός. ὁ ὕπνος ὁ ὑπὸ τὴν ἀλέαν τοῦ ἡλίου ἀλεής. θερμός. παρὰ τὴν ἀλέαν. Ὅμηρος, ἀλέη τε γένηται. τοῦτο δὲ καθ᾽ ἑαυτόν φησιν. ὕπνος σύμφορος ἡμῖν ἐστι, καὶ τοῖς πράγμασιν ἀγαθός. ¶ Τὸ δ᾽ ἁλώσιμον. τὸ δὲ ἀγρεύσιμον, ὅ ἐστι πέρας, ἀνάκειται τῇ ἐμῇ φροντίδι.

τήνδ᾽ ἁλίως ἔχομεν, τόξων δίχα τόνδε πλέοντες.
τοῦδε γὰρ ὁ στέφανος, τοῦτον θεὸς εἶπε κομίζειν.
κομπεῖν δ᾽ ἔργ᾽ ἀτελῆ σὺν ψεύδεσιν αἰσχρὸν ὄνειδος.
Χο. ἀλλὰ τέκνον, τάδε μὲν θεὸς ὄψεται. ὧν δ᾽ ἂν ἀμείβῃ
μ᾽ αὖθις, βαιάν μοι
βαιάν ὦ τέκνον
πέμπε λόγων φήμαν.
ὡς πάντων ἐν νόσῳ εὐδρακὴς
ὕπνος ἄυπνος λεύσσειν.
ἀλλ᾽ ὅ, τι δύνᾳ, μάκιστον,
κεῖνό μοι κεῖνο λαθραίως
ἐξιδοῦ ὅπως πράξεις.
οἶσθα γὰρ ὃν αὐδῶμαι.
εἰ ταύταν τούτῳ γνώμαν
ἴσχεις, μάλα τοι
ἄπορα πυκνοῖσιν ἐνιδεῖν πάθη.
οὖρός τοι τέκνον οὖρος, ἀνὴρ
δ᾽ ἀνόμματος οὐδ᾽ ἔχων ἀρωγὰν
ἐκτέταται νύχιος.
ἀλεὴς ὕπνος ἐσθλός.
οὐ χερός, οὐ ποδός, οὔ τινος ἄρχων.
ἀλλ᾽ ὥς τις Ἀΐδᾳ παρακείμενος,
ὁρᾷ. βλέπει. καίρια φθέγγει.
τὸ δ᾽ ἁλώσιμον ἐμᾷ φροντίδι παῖ,

Πόνος

πόνος ὁ μὴ φοβῶν, κράτιστος.
ΝΕ Σιγᾶν κελεύω, μηδ᾽ ἀφεστάναι φρενῶν.
κινεῖ γὰρ ἀνὴρ ὄμμα, κἀνάγει κάρα.
ΦΙ ὦ φέγγος, ὕπνου διάδοχον. τό, τ᾽ ἐλπίδων
ἄπιστον οἰκούρημα τῶνδε τῶν ξένων.
οὐ γάρ ποτ᾽ ὦ παῖ τοῦτ᾽ ἂν ἐξηύχησ᾽ ἐγὼ
τλῆναί σ᾽ ἐλεινῶς ὧδε τἀμὰ πήματα
μεῖναι παρόντα καὶ ξυνωφελοῦντά μοι.
οὔκουν Ἀτρεῖδαι τοῦτ᾽ ἔτλησαν εὐπόρως
οὕτως ἐνεγκεῖν οἱ ᾽γαθοὶ στρατηλάται.
ἀλλ᾽ εὐγενὴς γὰρ ἡ φύσις, κἀξ εὐγενῶν
ὦ τέκνον ἡ σή. πάντα ταῦτ᾽ ἐν εὐχερεῖ
ἔθου, βοῆς τε καὶ δυσοσμίας γέμων.
καὶ νῦν ἐπειδὴ τοῦδε τοῦ κακοῦ δοκεῖ
λήθη τις εἶναι κἀνάπαυλα δὴ τέκνον,
σύ μ᾽ αὐτὸς ἆρον, σύ με κατάστησον τέκνον.
ἵν᾽ ἡνίκ᾽ ἂν κόπος μ᾽ ἀπαλλάξῃ ποτέ,
ὁρμώμεθ᾽ ἐς ναῦν, μηδ᾽ ἐπίσχωμεν τὸ πλεῖν.
ΝΕ Ἀλλ᾽ ἥδομαι μέν σ᾽ εἰσιδὼν παρ᾽ ἐλπίδα
ἀνώδυνον βλέποντα, κἀμπνέοντ᾽ ἔτι.
ὡς οὐκέτ᾽ ὄντος γὰρ, τὰ συμβόλαιά σου
πρὸς τὰς παρούσας ξυμφορὰς ἐφαίνετο.
νῦν δ᾽ αἶρε σαυτόν. εἰ δέ σοι μᾶλλον φίλον,
οἴσουσί σ᾽ οἵδε. τοῦ πόνου γὰρ οὐκ ὄκνος,
ἐπείπερ οὕτω σοί τ᾽ ἔδοξ᾽ ἐμοί τε δρᾶν.
ΦΙ αἰνῶ τάδ᾽ ὦ παῖ, καί μ᾽ ἔπαιρ᾽ ὥσπερ νοεῖς,
τούτους δ᾽ ἔασον, μὴ βαρυνθῶσιν κακῇ
ὀσμῇ πρὸ τοῦ δέοντος. οὑπὶ νηὶ γὰρ
ἅλις πόνος τούτοισι συνναίειν ἐμοί.
ΝΕ ἔσται τάδ᾽. ἀλλ᾽ ἵστω τε, καὐτὸς ἀντέχου.
ΦΙ θάρσει. τό τοι σύνηθες ὀρθώσει μ᾽ ἔθος.
ΝΕ παπαῖ. τί δῆτα δρῷμ᾽ ἐγὼ τοὐνθένδ᾽ ἔτι;
ΦΙ τί δ᾽ ἐστιν ὦ παῖ; ποῖ ποτ᾽ ἐξέβης λόγῳ;
ΝΕ οὐκ οἶδ᾽ ὅποι χρὴ τἄπορον τρέπειν ἔπος.
ΦΙ ἀπορεῖς δὲ τοῦ, σύ; μὴ λέγ᾽ ὦ τέκνον τάδε.
ΝΕ ἀλλ᾽ ἐνθάδ᾽ ἤδη τοῦδε τοῦ πάθους κυρῶ.
ΦΙ οὐ δή σε δυσχέρεια τοῦ νοσήματος
ἔπεισεν, ὥστε μή μ᾽ ἄγειν ναύτην ἔτι;

Πόνος ὁ μὴ φοβῶν. ὁ πόνος ὁ μὴ φόβον ἔχων, κράτιστός ἐστιν ὁ μὴ πρὸς κίνδυνον ὁρῶν. αὐτὶ τοῦ μὴ φοβηθῶμεν. πάντα γὰρ ἀνύομεν.

Οἰκούρημα. φυλακή. παρουσία.

Ἐξηύχησ᾽ ἐγώ. ἐνόμισα.

Ἐν εὐχερεῖ. ἐν ἐλαχίστῳ.

Καὶ δυσοσμίας γέμων. πεπληρωμένος τῆς ἐμῆς δυσοσμίας. Ἐπειδὴ τοῦδε τοῦ κακοῦ, ὅταν με ὁ κάματος ἀφῇ.

Κόπος μ᾽ ἀπαλλάξῃ. γράφεται κόπου ἀπαλλαχθῶμεν.

Οὑπὶ νηὶ γάρ. ἱκανὸς αὐτοῖς ἐν νήσῳ ὁ πόνος, ὥστε τῇ νηὶ συνεῖναί μοι καὶ συνναίειν ἐμοί.

Ἀλλ᾽ ἵστω τε καὐτός. ἵστασο καὶ ἀντιλαμβάνου. Παπαῖ τί δῆτα. ἀδημονεῖ. ἐννοῶν ὅτι μέλλει ἐξαπατᾶν τὸν Φιλοκτήτην, καὶ ἐπαγγέλλειν εἰς τὴν Ἴλιον. οὐκέτι εἰς τὴν πατρίδα καθάπερ ἐπηγγείλατο.

Πάθους κυρῶ. πάθους λέγει τῆς ἀπορίας, αὐτὶ τοῦ ἀπορῶν τυγχάνω.

Μή μ᾽ ἀγεννεῖν ναύτην ἔτι. ἐρωτηματικῶς.

Τὴν αὑτοῦ φύσιν. λείπει ἡ εἰς. ἵνα ᾖ εἰς τὴν ἑαυτοῦ φύσιν. ἐκείνην φησὶ λέγων δυσχέρειαν προσεῖναι τῷ ἀνδρὶ τῷ ξένον τι τοῦ ἑαυτοῦ διανοίας διαπραττομένῳ.

Τοῦ φυτεύσαντι. τοῦ ἀχιλλέως.

Ἐν οἷς τε δρᾷς. ἐν οἷς πράττεις οὐκ ἔστιν αἰσχρός. ¶ Κρύπτων θ' ἃ μὴ δεῖ. τὰ ἀληθῆ. ¶ Καὶ λέγων αἴσχιστ' ἐπῶν. ἀπατῶν.

Εἰ μὴ κἀγὼ κακός. εἰ μὴ κακὸς ὢν ἀνόητος βουλεύομαι. ¶ Λιπὼν μὲν οὐκ ἔγωγε. οὐχ ὅτι καταλείψω σε ἄχθομαι, ἀλλ' ὅτι λυπηρῶς, καὶ οὐ κατὰ τὴν σὴν γνώμην μέλλω σε ἄγειν. ἐπὶ Τροίαν δέ φησι.

Πολλὴ κρατεῖ. πολλὴ γάρ ἐστιν ἀνάγκη ταῦτα διαπράξασθαι.

Τῶν γὰρ ἐν τέλει. τῶν κρατούντων γὰρ φροντίζω μᾶλλον ἢ σοῦ. διὸ οὐ δώσω σοὶ ταῦτα.

Ὦ πῦρ σύ. παρὰ τὸ ὄνομα. καλεῖται γὰρ πύρρος.

Ἀλλ' ὡς μεθήσων. οὕτω μοι πάλιν προσέχει ἀναιδῶς, ὡς μὴ ἐάσων καὶ δώσων τὰ βέλη.
¶ Ὑμῖν τάδ', οὐ γὰρ ἄλλον. ὑμῖν ταῦτα λέγω. οὐ γὰρ οἶδα πρὸς ἄλλον, ὅν τινα ἀποδύρομαι.

ΝΕ ἅπαντα δυσχέρεια, τὴν αὑτοῦ φύσιν
ὅταν λιπών τις, δρᾷ τὰ μὴ προσεικότα.
ΦΙ ἀλλ' οὐδὲν ἔξω τοῦ φυτεύσαντος σύ γε
δρᾷς, οὐδὲ φωνεῖς, ἐσθλὸν ἄνδρ' ἐπωφελῶν.
ΝΕ αἰσχρὸς φανοῦμαι, τοῦτ' ἀνιῶμαι πάλαι.
ΦΙ οὔκουν ἐν οἷς γε δρᾷς, ἐν οἷς δ' αὐδᾷς, ὀκνῶ.
ΝΕ ὦ Ζεῦ, τί δράσω; δεύτερον ληφθῶ κακός
κρύπτων θ' ἃ μὴ δεῖ, καὶ λέγων αἴσχιστ' ἐπῶν;
ΦΙ ἀνὴρ ὅδ', εἰ μὴ 'γὼ κακὸς γνώμην ἔφυν,
προδούς μ' ἔοικε, κἀκλιπὼν, τὸν πλοῦν στελεῖν.
ΝΕ λιπὼν μὲν οὐκ ἔγωγε. λυπηρῶς δὲ μὴ
πέμπων σε μᾶλλον, τοῦτ' ἀνιῶμαι πάλαι.
ΦΙ τί ποτε λέγεις ὦ τέκνον; ὡς οὐ μανθάνω.
ΝΕ οὐδέν σε κρύψω. δεῖ γὰρ ἐς Τροίαν σε πλεῖν
πρὸς τοὺς Ἀχαιοὺς, καὶ τὸν Ἀτρειδῶν στόλον.
ΦΙ οἴμοι τί εἶπας; ΝΕ μὴ στέναζε πρὶν μάθῃς.
ΦΙ ποῖον μάθημα; τί με νοεῖς δρᾶσαί ποτε;
ΝΕ σῶσαι κακοῦ μὲν πρῶτα τοῦδ', ἔπειτα δὲ
ξὺν σοὶ τὰ Τροίας πεδία πορθῆσαι μολών.
ΦΙ καὶ ταῦτ' ἀληθῆ δρᾶν νοεῖς; ΝΕ πολλὴ κρατεῖ
τούτων ἀνάγκη. καὶ σὺ μὴ θυμοῦ κλύων.
ΦΙ ἀπόλωλα τλήμων. προδέδομαι. τί μ' ὦ ξένε
δέδρακας; ἀπόδος ὡς τάχος τὰ τόξα μοι.
ΝΕ ἀλλ' οὐχ οἷόν τε. τῶν γὰρ ἐν τέλει κλύειν,
τό, τ' ἔνδικόν με καὶ τὸ συμφέρον ποιεῖ.
ΦΙ ὦ πῦρ σὺ, καὶ πᾶν δεῖμα, καὶ πανουργίας
δεινῆς τέχνημ' ἔχθιστον, οἷά μ' εἰργάσω;
οἷ' ἠπάτηκας; οὐδ' ἐπαισχύνῃ μ' ὁρῶν
τὸν προστρόπαιον, τὸν ἱκέτην ὦ σχέτλιε;
ἀπεστέρηκας τὸν βίον, τὰ τόξ' ἑλών.
ἀπόδος ἱκνοῦμαι, ἀπόδος ἱκετεύω τέκνον,
πρὸς θεῶν πατρῴων, τὸν βίον μή μου 'φέλῃς.
ὤμοι τάλας. ἀλλ' οὐδὲ προσφωνεῖ μ' ἔτι.
ἀλλ' ὡς μεθήσων μήποθ' ὧδ' ὁρᾷ πάλιν.
ὦ λιμένες, ὦ προβλῆτες, ὦ ξυνουσίαι
θηρῶν ὀρείων, ὦ καταρρῶγες πέτραι,
ὑμῖν τάδ', οὐ γὰρ ἄλλον οἶδ', ὅτῳ λέγω,
ἀνακλαίομαι παροῦσι τοῖς εἰωθόσιν.

οἷ' ἔργ' ὁ παῖς μ' ἔδρασεν οὑξ Ἀχιλλέως,
ὀμόσας ἀπάξειν οἴκαδ', ἐς Τροίαν μ' ἄγει.
προσθείς τε χεῖρα δεξιάν, τὰ τόξα μου
ἱερὰ λαβὼν τοῦ Ζηνὸς Ἡρακλέους ἔχει.
καὶ τοῖσιν Ἀργείοισι φήνασθαι θέλει
ὡς ἄνδρ' ἑλὼν μ' ἰσχυρὸν, ἐκ βίας ἄγει.
κοὐκ οἶδ' ἐναίρων νεκρὸν, ἢ καπνοῦ σκιὰν
εἴδωλον ἄλλως. οὐ γὰρ ἂν σθένοντά γε
εἷλεν μ', ἐπεὶ οὐδ' ἂν ὧδ' ἔχοντ' εἰ μὴ δόλῳ.
νῦν δ' ἠπάτημαι δύσμορος. τί χρή με δρᾶν;
ἀπόδος. ἀλλὰ νῦν ἔτ' ἐν σαυτοῦ γενοῦ.
τί φής; σιωπᾷς; οὐδέν εἰμ' ὁ δύσμορος.
ὦ χῆμα πέτρας δίπυλον, αὖθις αὖ πάλιν
εἴσειμι πρὸς σὲ ψιλὸς, οὐκ ἔχων τροφήν.
ἀλλ' αὖ θανοῦμαι τῷδ' ἐν αὐλίῳ μόνος.
οὐ πτηνὸν ὄρνιν, οὐδὲ θῆρ' ὀρειβάτην
τόξοις ἐναίρων τοῖσιδ', ἀλλ' αὐτὸς τάλας
θανὼν, παρέξω δαῖθ', ὑφ' ὧν ἐφερβόμην.
καί μ' οὓς ἐθήρων πρόσθε, θηράσουσι νῦν.
φόνον φόνου δὲ ῥύσιον τίσω τάλας.
πρὸς τοῦ δοκοῦντος οὐδὲν εἰδέναι κακόν.
ὄλοιο μή πω, πρὶν μάθοιμ' εἰ καὶ πάλιν
γνώμην μετοίσεις. εἰ δὲ μὴ, θάνοις κακῶς.

Χο. τί δρῶμεν ἐν σοί; καὶ τὸ πλεῖν ἡμᾶς ἄναξ
ἤδη 'στι, καὶ τοῖς τοῦδε προσχωρεῖν λόγοις.

Νε. ἐμοὶ μὲν οἶκτος δεινὸς ἐμπέπτωκέ τις
τοῦδ' ἀνδρὸς, οὐ νῦν πρῶτον, ἀλλὰ καὶ πάλαι.

Φι. ἐλέησον ὦ παῖ πρὸς θεῶν, καὶ μὴ παρῇς
σαυτοῦ βροτοῖς ὄνειδος ἐκκλέψας ἐμέ.

Νέ. οἴμοι, τί δράσω; μή ποτ' ὤφελον λιπεῖν
τὴν Σκῦρον, οὕτω τοῖς παροῦσιν ἄχθομαι.

Φι. οὐκ εἶ κακὸς σύ. πρὸς κακῶν δ' ἀνδρῶν μαθὼν
ἔοικας ἥκειν, αἰσχρά. νῦν δ' ἄλλοισι δοὺς, (θεὼν
οἷς εἰκὸς, ἔκπλει, τἄμα μοι μεθεὶς ὅπλα.

Νε. τί δρῶμεν ἄνδρες; Οδ. ὦ κάκιστ' ἀνδρῶν, τί δρᾷς
οὐκ εἶ, μεθεὶς τὰ τόξα ταῦτ' ἐμοὶ πάλιν;

Φι. οἴμοι. τίς ἁνήρ; ἆρ' Ὀδυσσέως κλύω;

Οδ. Ὀδυσσέως σάφ' ἴσθ' ἐμοῦ γ', ὃν εἰσορᾷς.

Ἐναίρων νεκρόν. σφάττων νεκρὸν κατὰ τὴν παροιμίαν.

Πρὸς σὲ ψιλός. τόξων γυμνός. τὴν δὲ τῶν τόξων μοι γινομένην οὐκ ἔχων τροφήν. ἄνευ τροφῆς ὤν, ἀντὶ τοῦ ἄνευ τόξων.

Ἀλλ' αὖ θανοῦμαι. γράφεται ἀλλ' αὐανοῦμαι. οἷον ξηρανθήσομαι. ¶ Τόξοις ἐναίρων. ἐγὼ εἰωθὼς ἐσθίειν τὰ θηρία, βρωθήσομαι νῦν ὑπ' αὐτῶν.

Φόνου δὲ ῥύσιον. ἐνέχυρον. ἀμοιβὴν ἐκτίσω. ὅμηρος. ῥύσι' ἐλαυνόμενος. ¶ Μετοίσεις. μετανοήσεις. ¶ Προσχωρεῖν. ὑποχωρεῖν. πεισθῆναι.

Νῦν δ' ἄλλοισι δούς. νῦν δὲ ἄλλοις δοὺς τὰ κακὰ οἷς εἰκὸς, ἔκπλει. τὰ ἐμὰ ἐμοὶ δούς.

ΦΙ. οἴμοι. πέπραμαι, κἀπόλωλ'. ὅδ' ἦν ἄρα
ὁ ξυλλαβών με, κἀπονοσφίσας ὅπλων.
ΟΔ. ἐγὼ σάφ' ἴσθ', οὐκ ἄλλος, ὁμολογῶ τάδε.
ΦΙ. ἀπόδος, ἄφες μοι παῖ τὰ τόξα. ΟΔ. τοῦτο μὲν
οὐδ' ἢν θέλῃ δράσει ποτ'. ἀλλὰ καὶ σὲ δεῖ
στείχειν ἅμ' αὐτοῖς, ἢ βίᾳ στελοῦσί σε.
ΦΙ. ἔμ' ὦ κακῶν κάκιστε καὶ τολμήσατε,
οἵδ' ἐκ βίας ἄξουσιν; ΟΔ. ἢν μὴ ἕρπῃς ἑκών.
ΦΙ. ὦ λημνία χθὼν, καὶ τὸ παγκρατὲς σέλας
ἡφαιστότευκτον. ταῦτα δῆτ' ἀνασχετά,
εἴ μ' οὗτος ἐκ τῶν σῶν ἀπάξεται βίᾳ;
ΟΔ. Ζεύς ἐσθ' ἵν' εἰδῇς, Ζεὺς ὁ τῆσδε γῆς κρατῶν.
Ζεὺς, ᾧ δέδοκται ταῦθ'. ὑπηρετῶ δ' ἐγώ.
ΦΙ. ὦ μῖσος, οἷα κἀξανευρίσκεις λέγειν,
θεοὺς προτείνων, τοὺς ψευδεῖς τιθείς.
ΟΔ. οὐκ, ἀλλ' ἀληθεῖς. ἡ δ' ὁδὸς πορευτέα.
ΦΙ. οὔ φημ' ἔγωγε. ΟΔ. φημί. πειστέον τάδε.
ΦΙ. οἴμοι τάλας. ἡμᾶς μὲν ὡς δούλους σαφῶς
πατὴρ ἄρ' ἐξέφυσεν, οὐδ' ἐλευθέρους;
ΟΔ. οὐκ, ἀλλ' ὁμοίους τοῖς ἀρίστοισιν, μεθ' ὧν
Τροίαν σ' ἑλεῖν δεῖ, καὶ κατασκάψαι βίᾳ.
ΦΙ. οὐδέποτέ γ'. οὐδ' ἢν χρῇ με πᾶν παθεῖν κακὸν,
ἕως ἂν ᾖ μοι γῆς τόδ' αἰπεινὸν βάθρον.
ΟΔ. τί δ' ἐργασείεις; ΦΙ. κρᾶτ' ἐμὸν τόδ' αὐτίκα
πέτρᾳ πέτρας ἄνωθεν αἱμάξω πεσών.
ΟΔ. ξυλλάβετέ γ' αὐτὸν, μὴ 'πὶ τῷδ' ἔστω τάδε.
ΦΙ. ὦ χεῖρες, οἷα πάσχετ' ἐν χρείᾳ φίλης
νευρᾶς ὑπ' ἀνδρὸς τοῦδε συνθηρώμεναι.
ὦ μηδὲν ὑγιὲς, μηδ' ἐλεύθερον φρονῶν,
οἷ' αὖ μ' ὑπῆλθες; ὥς μ' ἐθηράσω, λαβὼν
πρόβλημα σαυτοῦ παῖδα τόνδ' ἀγνῶτ' ἐμοὶ,
ἀνάξιον μὲν σοῦ, κατάξιον δ' ἐμοῦ.
ὃς οὐδὲν ᾔδει, πλὴν τὸ προσταχθὲν ποιεῖν.
δῆλος δὲ καὶ νῦν ἐστὶν ἀλγεινῶς φέρων,
οἷς τ' αὐτὸς ἐξήμαρτεν, οἷς τ' ἐγὼ 'παθον,
ἀλλ' ἡ κακὴ σὴ διὰ μυχῶν βλέπουσ' ἀεὶ
ψυχή νιν ἀφυῆ τ' ὄντα, κοὐ θέλονθ', ὅμως
εὖ προυδίδαξεν ἐν κακοῖς εἶναι σοφόν.

¶ Πέπραμαι. πεπραγμάτευμαι.

¶ Τὸ παγκρατὲς σέλας. τὸ ἡφαίστου πῦρ. ἐν γὰρ τῇ Λήμνῳ τὰ τοῦ ἡφαίστου ἐργαστήρια. ἔνθα καὶ κρατῆρές εἰσι πυρός. ¶ Ἐκ τῶν σῶν. λείπει κόλπων.

¶ Οὐκ. ἀλλ' ὁμοίους. ἀντὶ τοῦ οὐ δοῦλον, ἀλλὰ ἄριστον, καὶ μετὰ ἀρίστων τὴν Τροίαν δεῖ σε πορθῆσαι. τοῦτο δὲ προτρεπτικόν.

¶ Πέτρᾳ πέτρας. πρὸς τῇ πέτρᾳ ἐναιμάξω τὴν κεφαλήν μου, ἄνωθεν πεσὼν ἀπὸ πέτρας.

¶ Μὴ 'πὶ τῷδ' ἔστω. μὴ ἔστω ἐπὶ τῷδε Φιλοκτήτῃ ἡ ἐξουσία τοῦ καταχρημνίζεσθαι. ¶ Ὦ χεῖρες. δημοσίᾳ ταῦτά φησιν.

¶ Ὦ μηδὲν ὑγιές. ὦ δόλιε Ὀδυσσεῦ.

¶ Συνθηρώμεναι. ἁλοῦσαι, καὶ συλλαμβανόμεναι.

¶ Ἀφυῆ τ' ὄντα. ἄκακον ἀπὸ φύσεως.

καὶ

καὶ νῦν ἐμ' ὦ δύστηνε συνδήσας, νοεῖς
ἄγειν ἀπ' ἀκτῆς τῆσδ', ἐν ᾗ με προὐβάλου,
ἄφιλον, ἐρῆμον, ἄπολιν, ἐν ζῶσιν νεκρόν.
φεῦ. ὄλοιο. καί σοι πολλάκις τόδ' ηὐξάμην.
ἀλλ' οὐ γὰρ οὐδὲν θεοὶ νέμουσιν ἡδύ μοι.
σὺ μὲν γέγηθας ζῶν. ἐγὼ δ' ἀλγύνομαι
τοῦτ' αὔθ' ὅτι ζῶ σὺν κακοῖς πολλοῖς τάλας,
γελώμενος πρὸς σοῦ τε καὶ τῶν Ἀτρέως
δισσῶν στρατηγῶν, οἷς σὺ ταῦθ' ὑπηρετεῖς.
καίτοι σὺ μὲν κλοπῇ τε κἀνάγκῃ ζυγεὶς,
ἔπλεις ἅμ' αὐτοῖς. ἐμὲ δὲ τὸν πανάθλιον
ἑκόντα πλεύσανθ' ἑπτὰ ναυσὶ ναυβάτην,
ἄτιμον ἔβαλον ὡς σὺ φῄς. κεῖνοι δὲ σέ.
καὶ νῦν τί μ' ἄγετε; τί μ' ἀπάγεσθε; τοῦ χάριν;
ὃς οὐδέν εἰμι, καὶ τέθνηχ' ὑμῖν πάλαι.
πῶς ὦ θεοῖς ἔχθιστε νῦν οὐκ εἰμί σοι
χωλὸς, δυσώδης. πῶς θεοῖς εὔξεσθ', ἐμοῦ
πλεύσαντος, αἴθειν ἱερά; πῶς σπένδειν ἔτι;
αὕτη γὰρ ἦν σοι πρόφασις ἐκβαλεῖν ἐμέ.
κακῶς ὄλοισθ' ὄλοισθε δ' ἠδικηκότες
τὸν ἄνδρα τόνδε, θεοῖσιν εἰ δίκης μέλει.
ἔξοιδά γ' ὡς μέλει γ'. ἐπεὶ οὔποτ' ἂν στόλον
ἐπλεύσατ' ἂν τόνδ' οὕνεκ' ἀνδρὸς ἀθλίου,
εἰ μή τι κέντρον θεῖον ἦγ' ὑμᾶς ἐμοῦ.
ἀλλ' ὦ πατρῴα γῆ, θεοί τ' ἐπόψιοι,
τίσασθε τίσασθ' ἀλλὰ τῷ χρόνῳ ποτὲ
ξύμπαντας αὐτοὺς, εἴ τι κἄμ' οἰκτείρετε,
ὡς ζῶ μὲν οἰκτρῶς. εἰ δ' ἴδοιμ' ὀλωλότας
τούτους, δοκοῖμ' ἂν τῆς νόσου πεφευγέναι.

Χο. βαρύς τε, καὶ βαρεῖαν ὁ ξένος φάτιν
τήνδ' εἶπ' Ὀδυσσεῦ, κοὐχ ὑπείκουσαν κακοῖς.

Οδ. Πόλλ' ἂν λέγειν ἔχοιμι πρὸς τὰ τοῦδ' ἔπη,
εἴ μοι παρείκοι. νῦν δ' ἑνὸς κρατῶ λόγου.
οὗ γὰρ τοιούτων δεῖ, τοιοῦτός εἰμ' ἐγώ.
χ' ὅπου δικαίων κἀγαθῶν ἀνδρῶν κρίσις,
οὐκ ἂν λάβοις μου μᾶλλον οὐδέν' εὐσεβῆ.
νικᾶν γε μέντοι πανταχοῦ χρῄζων ἔφυν,
πλὴν εἰς σέ. νῦν δὲ σοί γ' ἑκὼν ἐκστήσομαι.

¶ Ἐν ζῶσι νεκρόν. ἤτοι ὅτι κοιμώμενον αὐτὸν εἴασαν, ἢ διὰ τὸ πάθος.

¶ Κλοπῇ τε κἀνάγκῃ. καὶ ὅμηρος, κλέπτε νόῳ. ¶ Ζυγείς. ὑποταγείς. ὁ δὲ νοῦς. καίτοι σὺ μὲν ἀναγκασθεὶς, στρατεύῃ. προσποιούμενον γὰρ αὐτὸν μαίνεσθαι Παλαμήδης ἤλεγξεν.

¶ Ὡς σὺ φῄς. οἱ Ἀτρεῖδαι με ἐξέβαλον, ὡς σὺ λέγεις. ¶ Κεῖνοι δὲ σέ. οἱ δὲ σέ φασιν. σὺ μὲν φῄς ἐκείνους αἰτίους. ἐκεῖνοι δὲ σέ.

Πλεύσαντος αἴθειν ἱερά. τοῦ τοῦ προφασισαμένου Ὀδυσσέως, ὅτι οὐκ ἔστι θῦσαι τούτου ὧδε στενάζοντος, ἐξέθηκαν αὐτόν. ¶ Εἰ δίκης μέλει. εἰ φροντίς ἐστι τῆς δίκης τοῖς θεοῖς. ¶ Θεοί τ' ἐπόψιοι. οἱ ἐφορῶντές με δυστυχοῦντα.

¶ Οὐχ ὑπείκουσαν. οὐκ ἀναδυομένην ἐν τοῖς κακοῖς. ¶ Εἴ μοι παρείκοι. εἰ καιρὸς ἐπιτρέπει μοι. ¶ Κρίσις. δοκιμασία. ἐξέτασις. ¶ Χρῄζων ἔφυν. γράφεται, κρείσσων.

Ἐγώ θ' ὃς οἶμαι. οὐ μόνον Τεῦκρός ἐστι τοξότης, ἀλλὰ καὶ ἐγὼ ὑπολαμβάνω ἐμαυτὸν, τούτων ἔμπειρον εἶναι, οὐχ ἧττον σοῦ. Ὅμηρος, εὖ μὲν τόξον οἶδα εὔξοον ἀμφαφάασθαι. ¶ Τούτων κρατύνειν. τῶν τόξων. ¶ Τί δῆτα σοῦ δεῖ. ἀντὶ τοῦ, τίς σου χρεία. ¶ Χαῖρε τὴν Λῆμνον πατῶν. ἤγουν τῇ διατριβῇ τῆς Λήμνου. ¶ Προσφθεγκτός. προσφωνῆναι ἄξιος. ¶ Ἦ καὶ πρὸς ὑμῶν. ἆρα καὶ ὑμεῖς μιμεῖσθε τούτους, καὶ ἀνηλεεῖς γενήσεσθε εἰς ἐμέ. ¶ Ἀκούσομαι μέν. τὸ ἑξῆς, ἀκούσομαι πρὸς τοῦδε, ὡς εἰμὶ οἴκτου μεστός, οἷον, καταγνωσθήσομαι ὡς ἡττῶν οἴκτου. ¶ Τά τ' ἐκ νεώς. τὰ ἐπὶ τῆς νεώς. ¶ Στείλωσι. κοσμήσωσιν. ¶ Ἐν τούτῳ. ἐν τοσούτῳ. ¶ Ταχεῖς. γίνεσθε δηλονότι. ¶ Ὦ κοίλας πέτρας γύαλον. ὦ σπήλαιον θερμὸν διὰ τὸν ἥλιον, ἢ διὰ τὸ ψῦχος παγετῶδες. ἢ οὕτως. ἐν θέρει ψυχρὸν, ἐν δὲ χειμῶνι θερμόν. ἀντὶ τοῦ ἐπιτήδειον εἰς χειμῶνα καὶ θέρος. γύαλον δὲ, ἀντὶ τοῦ κεῦθος. κυρίως δὲ γύαλα, τὰ κοῖλα λέγεται. ἀλλ' ἐὰν οὕτω μεταφράσῃς, ἀπίθανον τὸ κοῖλον, κοίλωμα. διὸ δὴ κεῦθος ἡμεῖς, ἀντὶ τοῦ ἄλσος μεταφράζομεν. ¶ Ἀλλά μοι καὶ θνήσκοντι ξυνοίσῃ. ἀντὶ τοῦ καὶ ἀπολλυμένῳ μοι σύμφορον ἔσῃ καὶ ὠφέλιμον, καὶ δέξῃ με ἀποθανόν

ἄφετε γὰρ αὐτὸν, μὴ δὲ προσψαύσητ' ἔτι.
ἐᾶτε μίμνειν. οὐδὲ σοῦ προσχρήζομεν.
τά γ' ὅπλ' ἔχοντες ταῦτ'. ἐπεὶ πάρεστι μὲν
Τεῦκρος παρ' ἡμῖν τήνδ' ἐπιστήμην ἔχων,
ἐγώ θ', ὃς οἶμαι σοῦ κάκιον οὐδὲν ἂν
τούτων κρατύνειν, μὴ δ' ἐπιθύνειν χερί.
τί δῆτα σοῦ δεῖ; χαῖρε τὴν Λῆμνον πατῶν.
ἡμεῖς δ' ἴωμεν. καὶ τάχ' ἂν τὸ σὸν γέρας,
τιμὴν ἐμοὶ νείμειεν, ἥν σ' ἐχρῆν ἔχειν.
Φι. οἴμοι. τί δράσω δύσμορος; σὺ τοῖς ἐμοῖς
ὅπλοισι κοσμηθεὶς ἐν Ἀργείοις φανῇ;
Οδ. μή μ' ἀντιφώνει μηδὲν, ὡς στείχοντα δή.
Φι. ὦ σπέρμ' Ἀχιλλέως, οὐδὲ σοῦ φωνῆς ἔτι
γενήσομαι προσφθεγκτὸς, ἀλλ' οὕτως ἄπει;
Οδ. χώρει σύ. μὴ πρόσλευσσε, γενναῖός περ ὢν
ἡμῶν, ὅπως μὴ τὴν τύχην διαφθερεῖς.
Φι. ἦ καὶ πρὸς ὑμῶν ὧδ' ἔρημος ὦ ξένοι
λειφθήσομ' ἤδη, κοὐκ ἐποικτερεῖτέ με;
Χο. ὅδ' ἐστὶν ἡμῶν ναυκράτωρ ὁ παῖς, ὅσ' ἂν
οὗτος λέγῃ σοι, ταῦτά σοι χ' ἡμεῖς φαμέν.
Νε. ἀκούσομαι μὲν ὡς ἔφυν οἴκτου πλέως
πρὸς τοῦδ'. ὅμως δὲ μείνατ', εἰ τούτῳ δοκεῖ,
χρόνον τοσοῦτον, εἰς ὅσον τά τ' ἐκ νεὼς
στείλωσι ναῦται, καὶ θεοῖς εὐξώμεθα.
χ' οὗτος τάχ' ἂν φρόνησιν ἐν τούτῳ λάβοι
λῴω τιν' ἡμῖν. νὼ μὲν οὖν ὁρμώμεθον.
ὑμεῖς δ' ὅταν καλῶμεν, ὁρμᾶσθαι ταχεῖς.
Φι. ὦ κοίλας πέτρας γύαλον
θερμόν τε καὶ παγετῶδες, ὥς
σ' οὐκ ἔμελλον ἄρ' ὦ τάλας
λείψειν οὐδέποτε, ἀλλά μοι
καὶ θνήσκοντι ξυνοίσῃ.
οἴ μοι μοι μοι.
ὦ πληρέστατον αὔλιον
λύπας τᾶς ἀπ' ἐμοῦ τάλαν,
τί ποτ' αὖ μοι τὸ κατ' ἦμαρ
ἔσται; τοῦ ποτε τεύξομαι

τα. ἢ οὕτω. καὶ ἐμοὶ ἔσῃ καὶ ὅτε με ἀποθανόντα, καὶ οὐ καταλείψεις με. ¶ Σιτονόμου. σιτονέμοντος. τροφέως. ¶ Τοῦ ποτε τεύξομαι. ἀπὸ ποίας ἐλπίδος. ¶ Εἴθ' αἰθέρος ἄνω. τὸ ἑξῆς, εἴθε αἰθέρος ἄνω ἕλωσί με ὀξύτονοι δρομάδες διὰ πνεύματος. τινὲς δὲ οὕτω. μετὰ ὀξυτόνου πνεύματος ἕλωσί με. ὀξύτονον δὲ λέγει πνεῦμα ἀπὸ τοῦ ὀξυτόνως βοᾶν. γράφεται δρομάδες, αἱ καταπτάδες. τινὲς δὲ πτωχάδες, ἵνα τὰς ἁρπυίας σημαίνωσι, διὰ τὸ ἀεὶ πεινῆν. ℂ Τί ποτ' αὖ μοι τὸ κατ' ἦμαρ. τί ἄρα τρόφιμόν μοι καθ' ἡμέραν ἔσται. οὐ γὰρ ἐπικρατῶ ἐμαυτόν. ἢ οὐδὲ ἐπέχω ἐλπίδα.

σιτονόμου μέλεος; πόθεν ἐλπίδος
εἴθ' αἰθέρος ἄνω
πτωκάδες ὀξυτόνου διὰ πνεύματος
ἕλωσί μ'. οὐ γὰρ ἔτ' ἰσχύω.
Χο. Σύ τοι σύ τοι κατηξίωσας ὦ βαρύποτμε.
οὐκ ἄλλοθεν ἔχει τύχα
τᾷδ' ἀπὸ μείζονος.
εὖτέ γε παρὸν φρονῆσαι
τοῦ λῴονος δαίμονος, εἵλου τὸ κάκιον ἑλεῖν.
Φι. ὦ τλάμων τλάμων ἄρ' ἐγὼ
καὶ μόχθῳ λωβατὸς, ὃς ἤδη μετ' οὐδενὸς ὕστερον
ἀνδρῶν εἰσοπίσω τάλας
ναίων ἐνθάδ' ὀλοῦμαι.
αἶ. αἶ. αἶ. αἶ.
οὐ φορβὰν ἔτι προσφέρων,
οὐ πτανῶν ἀπ' ἐμῶν ὅπλων
κραταιαῖς μετὰ χερσὶν
ἴσχων, ἀλλά μοι ἄσκοπα
κρυπτά τ' ἔπη δολερᾶς ὑπέδυ φρενός.

¶ Πτωκάδες. γράφεται πτωκάδες, πρωτάδες. πτωχάδες δρομάδες. αἱ ἁρπυῖαι ἐπιθετικῶς, διὰ τὸ ἐπιπίπτειν. ἢ διὰ τὴν φωνήν. εἰ δὲ γράφεται πτωχάδες, αἱ ἀεὶ πεινῶσαι. ὥσπερ καὶ πάσχουσιν οἱ πτωχοί. ¶ Σύ τοι σύ τοι κατηξίωσας. σὺ σαυτῷ ἐπεποίησας τὴν νόσον. σὺ σαυτῷ τούτων πρόξενος γέγονε ὦ δυστυχέστατε. σὺ σαυτῷ κατηξίωσας, καὶ οὐκ ἀπό τινος ταύτῃ τῇ τύχῃ ἐνέχῃ, ἢ συνέχῃ ἀπὸ μείζονος σοῦ. διὸ μὴ λέγε ἄλλον αἴτιον, ἀλλὰ σεαυτόν. ἔξην γάρ σοι ἀκολουθήσαντι κακὰ διαφυγεῖν. ¶ Εὖτέ γε παρὸν φρονῆσαι. ὅτε γε παρόντος σοι σωφρονεῖν, τὸ λυσιτελὲς ἀπὸ λῴονος δαίμονος, τὸ κάκιον εἵλου, τὸ μὴ ἐλθεῖν. λῴονος δὲ δαίμονος λέγει, τοῦ λυσιτελεστέρου καὶ συμφόρου. ¶ Λωβατός. ἐπίπονος. ℂ Ὃς ἤδη μετ' οὐδενός. τὸ ἑξῆς. ὃς ἤδη ἐνθάδε ὀλοῦμαι μετ' οὐδενὸς ὕστερον ἀνδρὸς, εἰσοπίσω τάλας ναίων. ὁ δὲ νοῦς. ἄρα ἐγὼ δύστηνος ἐνταῦθα ἀπολοῦμαι ἀνθρώπων κεχωρισμένος. ℂ Οὐ φορβὰν ἔτι προσφέρων. ἀντὶ τοῦ προσφερόμενος. ἐνίοτε δὲ ἔμπαλίν φησι. διακονούμενος, ἀντὶ τοῦ διακονῶν. καὶ στιβαδοποιούμενος, ἀντὶ τοῦ στιβαδοποιῶν. ¶ Ἀλλά μοι ἄσκοπα. ἀπροσδόκητα. δόλια, ἃ οὐκ ἔστι προσκέψασθαι. γράφεται δὲ καὶ ἄψοφα, ἀπὸ τοῦ μὴ ψοφεῖν, ἀντὶ τοῦ λαθραῖα. κρυπτὰ δὲ ἔπη φησὶ τὰ τοῦ Ὀδυσσέως. Εἰς τὸ αὐτό. ἀλλά μοι τὰ ἀφανῆ καὶ κρυπτὰ δολίας φρενὸς ὑπέδυ με. τὸ δὲ ἑξῆς, ἀλλά μοι ὑπέδυ ἄσκοπα, κρυπτά τε ἔπη, δολερᾶς φρενός.

Ἰδοίμαν δέ νιν. ὡς κατευχόμενος. γένοιτο δή μοι τὸν παραίτιον τούτων, ἴσον χρόνον δυστυχῆσαι, τῆς ἐμῆς λαχόντα ἀνίας. δεῖ δὲ καὶ κατὰ πληθυντικὸν ἀκούεσθαι, ἐμὰς λαχόντ' ἀνίας. ἀλλὰ διὰ ποιητικωτέρας ἡ τοιαύτη φράσις. ¶ Πότμος σε δαιμόνων. λείπει ἡ δέ. ἐκ θεῶν γὰρ τύχη τις τοῦτο κεκλήρωκε, καὶ οὐχ ὑπ' ἐμοῦ δεδόλωσαι κατὰ κοινοῦ τὸ ἔχει. τὸ δ' ἑξῆς, πότμος σε δαιμόνων τάδ' ἔχει. οὐδέ σε δόλος ἔχει ὑπὸ χειρὸς ἐμᾶς. ὁ δὲ νοῦς, παῦσαι τῶν καταρῶν τούτων ὦ Φιλοκτῆτα. μὴ διὰ τούτων κτήσῃ ἡμᾶς ἐχθρούς, θεὸς γὰρ τῆς δυστυχίας ταύτης παραίτιος, οὐχ ἡμεῖς γεγόναμεν, οὔτε δόλῳ ὑπεισελθόντων, οὔτε ἄλλῳ τινὶ πράγματι. ¶ Ἀρὰν ἀρὰν ἐπ' ἄλλοις. δεῖ ἀκούεσθαι ἰθὺ τῶν ματαίων καταρωμένων. σὺν τῷ ἐπένευσ' αὐτός. δεῖ δὲ τὸ οὕτω. καταρῶ τοῖς ἄλλοις καὶ μὴ ἡμῖν. K καὶ γὰρ ἐμοὶ τοῦτο μέλει. μέλει μοι τὸ παραινέσαι σοι ἵνα μὴ ἀπώσῃ τὴν φιλίαν, οἷον, οὐ θέλω σε ἐχθρὸν ἡμῖν καταστῆσαι. ἢ ὡς παραινοῦντές φησι, μὴ ἀπώσῃ τὴν φιλίαν ἡμῶν. ¶ Ἔχεις τὸν ἡράκλειον ἄθλον. ἀντὶ τοῦ, ἐμὲ τὸν τοῦ Ἡρακλέους ἀθλοῦχον. ἢ ἐμὲ τὸν τῷ Ἡρακλέους ἄθλῳ ποιήσαντα τὴν πυρὰν, καὶ ὑφάψαντα αὐτήν. ¶ Ἀνδρός τοι τὸ μὲν εὖ. ἀγαθοῦ ἀνδρός ἐστι, τὸ ἀληθὲς ἐν καιρῷ λέγειν. δίκαιον γὰρ νῦν φησι τὸ ἀληθές. εὖ δὲ, τὸ ἐν καιρῷ. ὀφείλει δὲ καὶ ὁ ἀκούων μὴ ἐκφαυλίζειν τὰ λεγόμενα. τοῦτο δέ φησιν, ὅτι ὁ μὲν Νεοπτόλεμος τὸ ἀληθὲς εἶπεν. ὁ δὲ Φιλοκτήτης ἐξευτέλισεν. εἰς τὸ αὐτό. ἀγαθοῦ μὲν ἀνδρός ἐστι τὸ δίκαιον εἰπεῖν, εἰπόντα δὲ μὴ φθονεῖσθαι, ὅτι οὐκ ἔδει σε τῷ Νεοπτολέμῳ φθονεῖν, εἰπόντι

ἰδοίμαν δέ νιν
τὸν τάδε μησάμενον, τὸν ἴσον χρόνον
ἐμὰς λαχόντ' ἀνίας.
Χο Πότμος σε δαιμόνων τάδ' οὐ
δέ σέ γε δόλος ἔσχ' ὑπὸ
χειρὸς ἐμᾶς, στυγερὰν
ἔχε δύσποτμον
ἀρὰν ἀρὰν ἐπ' ἄλλοις.
καὶ γὰρ ἐμοὶ τοῦτο μέλει
μὴ φιλότητ' ἀπώσῃ.
Φι οἴμοι μοι. καί που πολιᾶς
πόντου θινὸς ἐφήμενος
γελᾷ μου χερὶ πάλλων
τὰν ἐμὰν μελέου τροφὰν,
τὰν, οὐδείς ποτ' ἐβάστασεν.
ὦ τόξον φίλον, ὦ φίλων
χειρῶν ἐκβεβιασμένον,
ἦ που ἐλεεινὸν ὁρᾷς, φρένας εἴ τινας
ἔχεις τὸν ἡράκλειον
ἄθλον ὧδέ σοι
οὐκέτι χρησόμενον τὸ μεθύστερον,
ἀλλ' ἐν μεταλλαγῇ
πολυμηχάνου ἀνδρὸς ἐρέσσῃ,
ὁρῶν μὲν αἰσχρὰς ἀπάτας,
στυγνόν τε φῶτ' ἐχθοδοπὸν
μυρί' ἀπ' αἰσχρῶν ἀνατέλλοντα, ὅσ' ἐφ' ἡ
μῖν κάκ' ἐμήσατ' Ὀδυσσεύς.
Χο Ἀνδρός τοι τὸ μὲν εὖ, δίκαιον εἰπεῖν.
„ εἰπόντος δὲ, μὴ φθονερὰν
„ ἐξῶσαι γλώσσας ὀδύναν.
κεῖνος δ' εἷς ἀπὸ πολλῶν

τὰ δίκαια. κατὰ κοινοῦ δὲ, τὸ δίκαιον. ἀγαθοῦ ἀνδρός ἐστι τὸ λέγειν τὸ δίκαιον.
δίκαιον δὲ τὸ σὲ ὁμολογεῖν, ὅτι εὖ πέπρακται. ἀκούοντα δὲ τούτων, μὴ φθονερόν τι
καὶ ὀδυνηρὸν ἐπιφθέγξασθαι. ¶ Εἷς ἀπὸ πολλῶν. εἷς ἀπὸ πολλῶν συμμάχων.
Τοῦ δ' ἐφημοσύνᾳ. τὸ ἑξῆς, τοῦ δ' ἐφημοσύνᾳ ἤνυσε κοινὰν ἐς φίλους ἀρωγάν.
Ω πτηναὶ θῆραι. ἀντὶ τοῦ, ὦ πτηνῶν ἄγραι. ἀγρεύει γὰρ τὰ πτηνά. ¶ Φυγᾷ μ' οὐκέτ' ἀπ' αὐλίων. ἀντὶ τοῦ, οὐκέτι φεύξεσθέ με. οὐκέτι μου φυγῆς τὸν φόβον περιαπελάζετέ μοι.

ταχθεὶς, τοῦδ' ἐφημοσύνᾳ
κοινὰν ἤνυσεν ἐς φίλους ἀρωγάν.
Φι ὦ πταναὶ θῆραι, χαροπῶν
τ' ἔθνη θηρῶν, οὓς ὅδ' ἔχει
χῶρος οὐρεσιβώτας,
φυγᾷ μ' οὐκέτ' ἀπ' αὐλίων
πελᾶτ'. οὐ γὰρ ἔχω χεροῖν
τὰν πρόσθε βελέων ἀλκάν.
ὦ δύστανος ἐγὼ τανῦν.
ἀλλ' ἀνέδην. ὅδε χῶρος ἐρύκεται,
οὐκέτι φοβητὸς ὑμῖν.
ἕρπετε νῦν καλὸν
ἀντίφονον κορέσαι στόμα πρὸς χάριν
ἐμᾶς σαρκὸς αἰόλας.
ἀπὸ γὰρ βίον αὐτίκα λείψω.
πόθεν γὰρ ἔσται βιοτά.
τίς ὧδ' ἐν αὔραις τρέφεται,
μηκέτι μηδενὸς κρατύνων ὅσα πέμ-
πει βιόδωρος αἶα
Χο πρὸς θεῶν εἴ τι σέβῃ ξένον πέλασον
εὐνοίᾳ πάσᾳ πελάταν.
ἀλλὰ γνῶθ' εὖ γνῶθ' ὅτι σοὶ
κῆρα τάνδ' ἀποφεύγειν.
οἰκτρὰ γὰρ βόσκειν, ἀδαὴς
δ' ἔχειν μυρίον ἄχθος, ᾧ ξυνοικεῖ.
Φι πάλιν πάλιν παλαιὸν ἄλημμ' ὑπέ-

¶ Ἀλλ' ἀνέδην. ὅδε χῶρος. ἀνειμένος καὶ ἠπλωμένος, ἢ ἐπ' ἐξουσίας ὁ τόπος ὑμῖν οὗτος ἀφεῖται. ἀντὶ τοῦ ἀδεῶς ὑπὸ τῶν θηρῶν ὁ τόπος κατασχεθήσεται.
¶ Φοβητός. φόβον ἐμποιῶν.
¶ Σαρκὸς αἰόλας. ποικίλης, διὰ τὰ τραύματα. ¶ Τίς ὧδ' ἐν αὔραις. τίς τρέφεται ἐξ ἀνέμων, μηδενὸς τῶν ἐκ γῆς τροφίμων ἐπικρατῶν. ¶ Κρατύνων. ἐγκρατὴς ὢν, ἐπικρατῶν. ¶ Εἴ τι σέβῃ ξένον. ἑαυτὸν δέ φησιν ὁ χορός. ὅτι ἐμοὶ τῷ ξένῳ μετ' εὐνοίας πρόσελθε. ἀντὶ τοῦ φίλος ἡμῖν γενοῦ.
¶ Ἀλλ' γνῶθ', εὖ γνῶθι. οὕτω τινὲς στίζουσιν. ἀλλὰ γνῶθ', εὖ γνῶθι, οἷον, τὰ ὄντα σοὶ μάνθανε τὰ περὶ τῆς νόσου. ὁ δὲ ἀλλά, ἀντὶ τοῦ δέ. γνῶθι δέ. ἵν' ᾖ οὕτω. πρὸς θεῶν, εἴ τι σέβῃ ξένον πελάταν, πέλασον πάσῃ εὐνοίᾳ. γνῶθι ὅτι κῆρα τήνδ' ἀποφυγεῖν σοι πάρεστιν εἰ πεισθείης ἡμῖν, ὅ ἐστι, τὴν νόσον. οὗτος δὲ

ταῦτα λεγόντων, συνίησιν ὅτι παραινοῦσιν αὐτῷ εἰς Ἴλιον ἐλθεῖν. πρὸς ὃ ἀνακράζει τό, Πάλιν πάλιν. πάλιν τῶν ἐπ' Ἰλίου μετόπων ἀνέμνησας. ἢ τῶν οἰκείων κακῶν, ὑπῶς δὲ ἔχει περιτιθούσης ἐπὶ τὸ ἐν προθέσεως. ¶ Ω λῷστε τῶν πρὶν ἐντόπων. ὦ βέλτιστε, τῶν πλησιασάντων μοι πρότερον. ἢ τῶν περὶ Ὀδυσσέα.

Εἰ σὺ τὰν ἐμοί. λείπει ἡ εἰς. ἵν' ᾖ, εἰς τὴν μισουμένην μοι. Φίλα μοι φίλα. φίλα μοι βουλομένῳ. ἡδέως ἀποπλεῦσαι κελεύεις. Ἴωμεν ναὸς ἵν' ἡμῖν. ὅπου ἡμῖν ἀφῖκται ἡ ναῦς. ἤτοι τοῦ ναὸς, ἀντὶ τοῦ εἰς τὴν ναῦν. Μὴ πρὸς ἀραίου. ἀρὰ ἡ εὐχή. ἀραῖος δὲ, ᾧ πάντες προσευχόμεθα, ἢ ὃν ἐπικαλούμεθα ἀρώμενοι. ὥσπερ δὲ ἱκέσιον λέγεται τὸν τοὺς ἱκέτας ἐποπτεύοντος, οὕτως ἀραῖον, τὸν τοὺς ἀρωμένους ἐπισκοποῦντος.

Ἔλθῃς. ἀντὶ τοῦ ἀπέλθῃς. Τὸ μετόπιν. μετὰ ταῦτα, μετόπισθεν. Ἐπήλυδες. αὐτόματοι. Τί ῥέξοντες. τί πράξοντες, ἐναντίᾳ γνώμῃ, ἑτέρᾳ παρὰ τὴν πρότερον. Χειμερίῳ λύπᾳ. ταραχώδει πάθει, μεταφορικῶς. οὐκ ἔστι φησὶ μεμπτὸν τῷ δυστυχοῦντι, καὶ παραφθέγγεσθαι. Ἴσθι τόδ' ἔμπεδον. τοῦτο γίνωσκε, ὅτι οὐκ ἔρχομαι, οὐδ' εἰ αὐτὸς ὁ Ζεὺς μετέλθοι με ταῖς βρονταῖς, τουτέστιν, οὐδ' εἰ κεραυνοῖ με ὁ Ζεὺς ἂν μὴ ἔλθω. γράφεται καὶ αὐγαῖς. ταῖς βροντῶν αὐγαῖς ταῖς κεραυνίαις. ἔστι μὲν λαβεῖν καὶ βροντᾶς, ἀντὶ τοῦ βροντήσας, καθάπερ καὶ ἐν ὑδροφόροις τὸν Διόνυσον εἶπε βακχᾶν, ἀντὶ τοῦ βακχευτάν.

μνάσεσθ' ὦ λῷστε τῶν πρὶν εὐτόπων.
τί μ' ὤλεσας; τί μ' εἴργασαι;

Χο. τί τοῦτ' ἔλεξας;

Φι. εἰ σὺ τὰν ἐμοὶ στυγερὰν
Τρῳάδα γαῖάν μ' ἤλπισας ἄξειν.

Χο. τόδε γὰρ νοῶ κράτιστον.

Φι. ἀπό νύν με λείπετ' ἤδη.

Χο. φίλα μοι φίλα ταῦτα παρήγγει-
λας ἑκόντι τε πράσσειν.
ἴωμεν, ἴωμεν
ναὸς ἵν' ἡμῖν τέτακται.

Φι. μή, πρὸς ἀραίου
Διὸς ἔλθῃς ἱκετεύω.

Χο. μετρίαζε.

Φι. ὦ ξένοι,
μείνατε πρὸς θεῶν.

Χο. τί θροεῖς;

Φι. αἶ. αἶ. αἶ. αἶ.
δαίμων, δαίμων.
ἀπόλωλ' ὦ τάλας.
ὦ πούς, πούς, τί σ' ἔτ' ἐν βίῳ
τεύξω τῷ μετόπιν τάλας.
ὦ ξένοι, ἔλθετ' ἐπήλυδες αὖθις.

Χο. τί ῥέξοντες ἀλλοκότῳ γνώμᾳ,
τῶν πάρος, ὧν προὔφανες;

Φι. οὔτοι νεμεσητὸν
ἀλύοντα χειμερίῳ λύπᾳ,
καὶ παρὰ νοῦν θροεῖν.

Χο. βᾶθι νῦν ὦ τάλαν, ὥς σε κελεύομεν.

Φι. οὐδέποτ' οὐδέποτ', ἴσθι τόδ' ἔμπεδον,
οὐδ' εἰ πυρφόρος ἀστεροπητὴς
βρονταῖς αὐταῖς μ' εἶσι φλογίζων.
ἐῤῥέτω Ἴλιον, οἵ θ' ὑπ' ἐκείνῳ
πάντες, ὅσοι τόδ' ἔτλασαν ἐμοῦ ποδὸς
ἄρθρον ἀπῶσαι. ἀλ-
λ' ὦ ξένοι, ἕν γέ μοι
εὖχος ὀρέξατε.

Χο. ποῖον ἐρεῖς τόδ' ἔπος;

Φι. ξίφ

ΦΙ. ξίφος εἴ ποθεν
ἢ γένυν, ἢ βελέων τι προπέμψατε.
ΧΟ. ὡς τίνα ῥέξῃς
παλάμαν ποτέ;
ΦΙ. κρᾶτ' ἀπὸ πάντα καὶ ἄρθρα τέμω χερί.
φονᾷ φονᾷ νόος ἤδη.
ΧΟ. τί ποτε;
ΦΙ. πατέρα ματεύων.
ΧΟ. ποῖ γᾶς;
ΦΙ. ἐς ἅδου. οὐ γὰρ
ἐς ἐν φάει γ' ἔτι.
ὦ πόλις, ὦ πόλις πατρία,
πῶς ἂν εἰσίδοιμί σ' ἄ-
θλιός γ' ἀνήρ, ὅς γε σὰν
λιπὼν ἱερὰν λιβάδ', ἐχθροῖς ἔβαν
Δαναοῖς ἀρωγός. ἔτ' οὐδέν εἰμι.
ΧΟ. Ἐγὼ μὲν ἤδη καὶ πάλαι νεὼς ὁμοῦ
στείχων ἂν ἦν σοι τῆς ἐμῆς, εἰ μὴ πέλας
Ὀδυσσέα στείχοντα, τόν τε Ἀχιλλέως
γόνον πρὸς ἡμᾶς δεῦρ' ἰόντ' ἐλεύσσομεν.
ΟΔ. οὐκ ἂν φράσειας ἥντιν' αὖ παλίντροπος
κέλευθον ἕρπεις ὧδε σὺν σπουδῇ ταχύς;
ΝΕ. λύσων ὅσ' ἐξήμαρτον ἐν τῷ πρὶν χρόνῳ.
ΟΔ. δεινόν γε φωνεῖς. ἡ δ' ἁμαρτία τίς ἦν;
ΝΕ. ἣν σοὶ πιθόμενος τῷ τε σύμπαντι στρατῷ
ΟΔ. ἔπραξας ἔργον ποῖον, ὧν οὔ σοι πρέπον
ΝΕ. ἀπάταισιν αἰσχραῖς ἄνδρα καὶ δόλοις ἑλών.
ΟΔ. τὸν ποῖον; ὤμοι. μῶν τι βουλεύῃ νέον;
ΝΕ. νέον μὲν οὐδέν, τῷ δὲ Ποίαντος τόκῳ.
ΟΔ. τί χρῆμα δράσεις; ὥς μ' ὑπῆλθέ τις φόβος.
ΝΕ. παρ' οὗπερ ἔλαβον τάδε τὰ τόξ' αὖθις πάλιν.
ΟΔ. ὦ Ζεῦ, τί λέξεις; οὔ τί που δοῦναι νοεῖς;
ΝΕ. αἰσχρῶς γὰρ αὐτά, κοὐ δίκῃ λαβὼν ἔχω.
ΟΔ. πρὸς θεῶν, πότερα δὴ κερτομῶν λέγεις τάδε;
ΝΕ. εἰ κερτόμησίς ἐστι τἀληθῆ λέγειν.
ΟΔ. τί φῄς Ἀχιλλέως παῖ; τίν' εἴρηκας λόγον;
ΝΕ. δὶς ταῦτα βούλει καὶ τρὶς ἀναπλεῖν μ' ἔπη;
ΟΔ. ἀρχὴν κλύειν ἂν οὐδ' ἅπαξ ἐβουλόμην.

¶ Ἡ γένυν, ἢ βελέων τι. ἀντὶ τοῦ πέλεκυν, ἢ γλῶσσαν, ἢ ἀξίνην.
Παλάμαν. πρᾶξιν, ὅθεν καὶ παλαμᾶσθαι, ἢ τέχνην. Φονᾷ φονᾷ. θανατιᾷ, θανάτου ἐπιθυμεῖ.

¶ Ὅς γε σὰν λιπών. ὅστις ποτὲ καταλιπὼν τὴν πατρίδα, βοηθεῖν τοῖς Ἕλλησιν, οὐκ ἔτι οὐδέν εἰμι.
¶ Ἱερὰν λιβάδα. τὴν τοῦ ἐπιχωρίου ποταμοῦ. ¶ Ἐγὼ μὲν ἤδη. ἐντεῦθεν διπλοῦν ἐστὶ τὸ ἐπεισόδιον. ¶ Στείχων ἂν ἦν σοι. ἐπορευόμην ἄν. τὸ δέ σοι περιέλκει.
Ἥντιν' αὖ. ἀντὶ τοῦ εἰς ποῖον τόπον ἀπέρχῃ. ¶ Παλίντροπος. διὰ ἀποστροφῆς. ὅτι δὲ ὁ Νεοπτόλεμος ἀποδοῦναι βουλόμενος τὰ τόξα τῷ Φιλοκτήτῃ, ἐπιπλήσσεται ὑπὸ τοῦ Ὀδυσσέως.

¶ Ἀναπλεῖν μ' ἔπη. τὰ αὐτὰ λέγειν. ἀπὸ τῶν δεύτερον ἀναπλούντων τὴν κεκονιασμένην γῆν.

Νε. εὖ νῦν ἐπίστω, πάντ' ἀκήκοας λόγον.
Οδ. ἔστιν τις ἔστιν, ὅς σε κωλύσει τὸ δρᾶν.
Νε. τί φῄς; τίς ἔσται μ' οὑπικωλύσων τάδε;
Οδ. ξύμπας Ἀχαιῶν λαός, ἐν δὲ τοῖσδ', ἐγώ.
Νε. σοφὸς πεφυκὼς, οὐδὲν ἐξαυδᾷς σοφόν.
Οδ. σὺ δ' οὔτε φωνεῖς, οὔτε δρασείεις σοφόν.
Νε. ἀλλ' εἰ δίκαια, τῶν σοφῶν κρείσσω τάδε.
Οδ. καὶ πῶς δίκαιον ἅ γ' ἔλαβες βουλαῖς ἐμαῖς
πάλιν μεθεῖναι ταῦτα; Νε. τὴν ἁμαρτίαν
αἰσχρὰν ἁμαρτὼν, ἀναλαβεῖν πειράσομαι.
Οδ. στρατὸν δ' Ἀχαιῶν οὐ φοβῇ πράσσων τάδε;
Νε. ξὺν τῷ δικαίῳ τὸν σὸν οὐ ταρβῶ φόβον.
ἀλλ' οὐδέ τοι σῇ χειρὶ πίθομαι τὸ δρᾶν.
Οδ. οὔτ' ἄρα Τρωσὶν, ἀλλὰ σοὶ μαχούμεθα.
Νε. ἔστω τὸ μέλλον. χεῖρα δεξιὰν ὁρᾷς
κώπης ἐπιψαύουσαν; Οδ. ἀλλὰ κἀμέ τοι
ταυτὸν τόδ' ὄψει δρῶντα, κοὐ μέλλοντ' ἔτι.
καίτοι σ' ἐάσω, τῷ δὲ σύμπαντι στρατῷ
λέξω τάδ' ἐλθὼν, ὅς σε τιμωρήσεται.
Νε. ἐσωφρόνησας. κἂν τὰ λοίφ' οὕτω φρονῇς,
ἴσως ἂν ἐκτὸς κλαυμάτων ἔχοις πόδα.
σὺ δ' ὦ Ποίαντος παῖ, Φιλοκτήτην λέγω,
ἔξελθ' ἀμείψας τάσδε πετρήρεις στέγας.

Ἀμείψας. καταλιπών.

Φι. τίς αὖ παρ' ἄντροις θόρυβος ἵσταται βοῆς;
τί μ' ἐκκαλεῖσθε; τοῦ κεχρημένοι ξένοι;
ὤμοι. κακὸν τὸ χρῆμα. μῶν τί μοι μέγα
πάρεστε πρὸς κακοῖσι πέμποντες κακόν;
Νε. θάρσει. λόγους δ' ἄκουσον, οὓς ἥκω φέρων.
Φι. δέδοικ' ἔγωγε. καὶ τὰ πρὶν γὰρ ἐκ λόγων
καλῶν, κακῶς ἔπραξα, σοῖς πεισθεὶς λόγοις.
Νε. οὔκουν ἔνεστι καὶ μεταγνῶναι πάλιν;
Φι. τοιοῦτος ἦσθα τοῖς λόγοισι, χ' ὥτε μου
τὰ τόξ' ἔκλεπτες, πιστὸς, ἀτηρὸς λάθρα.
Νε. ἀλλ' οὔ τι μὴν νῦν. βούλομαι δέ σου κλύειν,
πότερα δέδοκταί σοι μένοντι καρτερεῖν,
ἢ πλεῖν μεθ' ἡμῶν; Φι. παῦσαι. μὴ λέξῃς πέρα.
μάτην γὰρ ἂν εἴπῃς γε, πάντ' εἰρήσεται.
Νε. οὕτω δέδοκται; Φι. καὶ πέρα γ' ἴσθ' ἢ λέγω.

Ἀλλ' οὔτι μὴν νῦν. δόλιος φανοῦμαι δηλονότι. ¶ Μὴ λέξῃς πέρα. μὴ περαιτέρω εἴπῃς. ὅσα γὰρ ἂν εἴπῃς, μάταια λέξεις.

Νε ἀλ

Νε ἀλλ' ἤθελον μὲν ἄν σε πεισθῆναι λόγοις
ἐμοῖσιν. εἰ δὲ μή τι πρὸς καιρὸν λέγων
κυρῶ, πέπαυμαι. Φι. πάντα γὰρ φράσεις μάτην.
οὐ γάρ ποτ' εὔνουν τὴν ἐμὴν κτήσει φρένα,
ὅστις γ' ἐμοῦ δόλοισι τὸν βίον λαβὼν,
ἀπεστέρηκας, κᾆτα νουθετεῖς ἐμὲ
ἐλθὼν, ἀρίστου πατρὸς ἔχθιστος γεγώς;
ὄλοισθ' Ἀτρεῖδαι μὲν μάλιστ'. ἔπειτα δὲ
ὁ Λαρτίου παῖς, καὶ σύ. Νε μὴ 'πεύχου πέρα.
δέχου δὲ χειρὸς ἐξ ἐμῆς βέλη τάδε.
Φι πῶς εἶπας; οὐκ ἆρα δεύτερον δολούμεθα;
Νε ἀπώμοσ' ἁγνοῦ Ζηνὸς ὑψίστου σέβας.
Φι ὦ φίλτατ' εἰπὼν, εἰ λέγεις ἐτήτυμα.
Νε τοὔργον παρέσται φανερόν. ἀλλὰ δεξιὰν
πρότεινε χεῖρα, καὶ κράτει τῶν σῶν ὅπλων.
Οδ Ἐγὼ δ' ἀπαυδῶ γ' ὡς θεοὶ ξυνίστορες
ὑπέρ τ' Ἀτρειδῶν, τοῦ τε σύμπαντος στρατοῦ.
Φι τέκνον, τίνος φώνημα; μῶν Ὀδυσσέως
ἐπῃσθόμην; Οδ σάφ' ἴσθι. καὶ πέλας γ' ὁρᾷς
ὅς σ' ἐς τὰ Τροίας πεδί' ἀποστελῶ βίᾳ.
ἐάν τ' Ἀχιλλέως παῖς, ἐάν τε μὴ θέλῃ.
Φι ἀλλ' οὔ τι χαίρων, ἢν τόδ' ὀρθωθῇ βέλος.
Νε ἆ ἆ. μηδαμῶς μὴ πρὸς θεῶν μεθῇς βέλος.
Φι μέθες με πρὸς θεῶν χεῖρα φίλτατον τέκνον.
Νε οὐκ ἂν μεθείην. Φι φεῦ. τί μ' ἄνδρα πολέμιον,
ἐχθρόν τ' ἀφείλου μὴ κτανεῖν τόξοις ἐμοῖς.
Νε ἀλλ' οὔτ' ἐμοὶ καλὸν τοῦτ' ἐστὶν, οὔτε σοί.
Φι ἀλλ' οὖν τοσοῦτόν γ' ἴσθι, τοὺς πρώτους στρατοῦ,
τοὺς τῶν Ἀχαιῶν ψευδοκήρυκας, κακοὺς
ὄντας πρὸς αἰχμὴν, ἐν δὲ τοῖς λόγοις, θρασεῖς.
Νε εἶεν. τὰ μὲν δὴ τόξ' ἔχεις. κοὐκ ἔσθ' ὅπου
ὀργὴν ἔχοις ἂν, οὐδὲ μέμψιν εἰς ἐμέ.
Φι Ξύμφημι. τὴν φύσιν δ' ἔδειξας ὦ τέκνον,
ἐξ ἧς ἔβλαστες, οὐχὶ Σισύφου πατρὸς,
ἀλλ' ἐξ Ἀχιλλέως, ὃς μετὰ ζώντων θ' ὅτ' ἦν,
ἤκου' ἄριστα, νῦν δὲ τῶν τεθνηκότων.
Νε ἥσθην πατέρα τε τὸν ἐμὸν εὐλογοῦντά σε,
αὐτόν τέ μ'. ὧν δέ σου τυχεῖν ἐφίεμαι,

¶ Δολούμεθα. ἀπατώμεθα.

¶ Ὡς θεοὶ ξυνίστορες. μαρτύρομαι τοὺς θεοὺς, ὅτι ὃ ποιῶ εἰς χάριν καὶ σωτηρίαν ποιῶ τῶν Ἀτρειδῶν.

¶ Ἀχιλλέως παῖς, ἐάν τε μὴ θέλῃ. οὐκ εἶπε εἰ θέλει, ἵνα μὴ δόξῃ συμψηφίζεσθαι αὐτοῦ τῷ βουλήματι.

¶ Ἀλλ' οὖν τοσοῦτος. ἀλλ' οὐ γενναῖον ἄνδρα φονεῦσαι. πάντες γὰρ οἱ κήρυκες τῶν ἑλλήνων ἀσθενεῖς εἰσι. καὶ ἡ ἀνδρεία αὐτῶν, ἄχρι τοῦ λέγειν.

Ἀνθρώποισι τὰς μὲν ἐκ θεῶν. πᾶς ἄνθρωπος ἐκ θεοῦ παθὼν ἀνέγκλητός ἐστιν. ὅσοι δὲ διὰ τὴν ἰδίαν προαίρεσιν νοσοῦσιν ὥσπερ σὺ, οὐδὲ ἐλέους ἄξιοι τυγχάνουσι.

ἄκουσον. Ἀνθρώποισι τὰς μὲν ἐκ θεῶν
,, τύχας δοθείσας, ἔστ' ἀναγκαῖον φέρειν.
,, Ὅσοι δ' ἑκουσίοισιν ἔγκεινται βλάβαις,
,, ὥσπερ σὺ, τούτοις οὔτε συγγνώμην ἔχειν
,, δίκαιόν ἐστιν, οὔτ' ἐποικτείρειν τινά.
σὺ δ' ἠγρίωσαι. κοὔτε σύμβουλον δέχῃ.
ἐάν τε νουθετῇ τις εὐνοίᾳ λέγων,
στυγεῖς, πολέμιον δυσμενῆ θ' ἡγούμενος.
ὅμως δὲ λέξω, Ζῆνα δ' ὅρκιον καλῶ.
καὶ ταῦτ' ἐπίστω. καὶ γράφου φρενῶν ἔσω.

Σὺ γὰρ νοσεῖς. σὺ γὰρ Φιλοκτῆτα νοσεῖς ἐκ θείας προνοίας, πλησίον ἀπελθὼν τοῦ ὄφεως, τοῦ φυλάττοντος τὸ ἱερὸν τῆς Ἀθηνᾶς, καὶ οὐκ ἔστιν ἴασις, εἰ μὴ ὑπὸ τῶν Ἀσκληπιαδῶν.

Ταύτῃ μὲν αἴρῃ. ταύτῃ μὲν ἀνατέλλῃ, ταύτῃ δὲ δύνῃ, ὅ ἐστι διὰ παντός.

σὺ γὰρ νοσεῖς τόδ' ἄλγος ἐκ θείας τύχης,
Χρύσης πελασθεὶς φύλακος, ὃς τὸν ἀκαλυ
σηκὸν φυλάσσει κρύφιος οἰκουρῶν ὄφις. (φῆ
καὶ παῦλαν ἴσθι τῆσδε μή ποτ' ἐντυχεῖν
νόσου βαρείας, ὡς ἂν αὑτὸς ἥλιος
ταύτῃ μὲν αἴρῃ, τῇδε δ' αὖ δύνῃ πάλιν,
πρὶν ἂν τὰ Τροίας πεδί' ἑκὼν αὐτὸς μόλῃς.
καὶ τῶν παρ' ἡμῖν ἐντυχὼν Ἀσκληπιδῶν,
νόσου μαλαχθῇς τῆσδε, καὶ τὰ πέργαμα
ξὺν τοῖσδε τόξοις, ξύν τ' ἐμοὶ πέρσας φανῇς.
ὡς δ' οἶδα ταῦτα τῇδ' ἔχοντ', ἐγὼ φράσω.
ἀνὴρ γὰρ ἡμῖν ἐστιν ἐκ Τροίας ἁλοὺς,
Ἕλενος ἀριστόμαντις, ὃς λέγει σαφῶς
ὡς δεῖ γενέσθαι ταῦτα. καὶ πρὸς τοῖσδ' ἔτι,
ὡς ἔστ' ἀνάγκη τοῦ παρεστῶτος θέρους,
Τροίαν ἁλῶναι πᾶσαν. ἢ δίδωσ' ἑκὼν
κτείνειν ἑαυτὸν, ἢν τάδε ψευσθῇ λέγων.
Ταῦτ' οὖν ἐπεὶ κάτοισθα, συγχώρει θέλων,

Καλὴ γὰρ ἡ 'πίκτησις. ἡ κτῆσις τῆς δόξης. καλὸν τὸ χρῆμα ὠφεληθῆναί σε κλέος κτώμενον ἐκ τῆς πορθήσεως τοῦ Ἰλίου καὶ θεραπευόμενον.

καλὴ γὰρ ἡ 'πίκτησις, Ἑλλήνων ἕνα
κριθέντ' ἄριστον, τοῦτο μὲν παιωνίας
εἰς χεῖρας ἐλθεῖν. εἶτα τὴν πολύστονον
Τροίαν ἑλόντα, κλέος ὑπέρτατον λαβεῖν.
ΦΙ Ὦ στυγνὸς αἰὼν, τί με, τί δῆτ' ἔχεις ἄνω
βλέποντα, κοὐκ ἀφῆκας εἰς ᾅδου μολεῖν;
οἴμοι. τί δράσω; πῶς ἀπιστήσω λόγοις
τοῖς τοῦδ', ὃς εὔνους ὢν ἐμοὶ παρῄνεσεν;
ἀλλ' εἰκάθω δῆτ'. εἶτα πῶς ὁ δύσμορος
εἰς φῶς τάδ' ἔρξας εἶμι; τῷ προσήγορος;

πῶς

πῶς ὦ τὰ πάντ' ἰδόντες ἀμφ' ἐμοῦ κύκλοι,
ταῦτ' ἐξανασχήσεσθε τοῖσιν Ἀτρέως
ἐμὲ ξυνόντα παισὶν, οἵ μ' ἀπώλεσαν;
πῶς τῷ πανώλει παιδὶ τῷ Λαερτίου;
οὐ γάρ με τἄλγος τῶν παρελθόντων δάκνει.
ἀλλ' οἷα χρὴ παθεῖν με πρὸς τούτων ἔτι,
δοκῶ προλεύσσειν. οἷς γὰρ ἡ γνώμη κακῶν
μήτηρ γένηται, τἄλλα παιδεύει κακά.
καὶ σοῦ δ' ἔγωγε θαυμάσας ἔχω τόδε.
χρῆν γάρ σε μήτ' αὐτόν ποτ' ἐς Τροίαν μολεῖν,
ἡμᾶς τ' ἀπείργειν, οἵ τέ σου καθύβρισαν
πατρὸς γέρας συλῶντες, οἳ τὸν ἄθλιον
Αἴανθ' ὅπλων σοῦ πατρὸς ὕστερον δίκῃ
Ὀδυσσέως ἔκρειναν. εἶτα τοῖσδε σὺ
εἶ ξυμμαχήσων, κἄμ' ἀναγκάζεις τάδε;
μὴ δῆτα τέκνον. ἀλλ' ἅ μοι ξυνώμοσας,
πέμψον πρὸς οἴκους. καὐτὸς ἐν Σκύρῳ μένων
ἔα κακῶς αὐτοὺς ἀπόλλυσθαι κακούς.
χ' οὕτω διπλῆν μὲν ἐξ ἐμοῦ κτήσῃ χάριν,
διπλῆν δὲ πατρός. κοὐ κακοὺς ἐπωφελῶν,
δόξεις ὅμοιος τοῖς κακοῖς πεφυκέναι.

ΝΕ λέγεις μὲν εἰκότ'. ἀλλ' ὅμως σε βούλομαι
θεοῖς τε πιστεύσαντα, τοῖς τ' ἐμοῖς λόγοις
φίλου μετ' ἀνδρὸς τοῦδε, τῆσδ' ἐκπλεῖν χθονός.

ΦΙ ἦ πρὸς τὰ Τροίας πεδία καὶ τὸν Ἀτρέως
ἔχθιστον υἱὸν τῷδε δυστήνῳ ποδί;

ΝΕ πρὸς τοὺς μὲν οὖν σε τήνδε τ' ἔμπυον βάσιν
παύσοντας ἄλγους, κἀποσώζοντας νόσου.

ΦΙ ὦ δεινὸν αἶνον αἰνέσας, τί φῂς ποτε;

ΝΕ ἃ σοί τε κἀμοὶ κάλλ' ὁρῶ τελούμενα.

ΦΙ καὶ ταῦτα λέξας, οὐ καταισχύνει θεούς;

ΝΕ πῶς γάρ τις αἰσχύνοιτ' ἂν ὠφελούμενος;

ΦΙ λέγεις δ' Ἀτρείδαις ὄφελος, ἢ 'π' ἐμοὶ τόδε;

ΝΕ σοί που φίλος γ' ὤν, χὠ λόγος τοιόσδε μου.

ΦΙ πῶς, ὅς γε τοῖς ἐχθροῖσιν ἐκδοῦναι θέλεις;

ΝΕ ὦ τᾶν. διδάσκου μὴ θρασύνεσθαι κακοῖς.

ΦΙ ὀλεῖς με, γινώσκω σε τοῖσδε τοῖς λόγοις.

ΝΕ οὔκουν ἔγωγε. φημὶ δ' οὔ σε μανθάνειν.

¶ Πῶς ὦ τὰ πάντα ἰδόντων. τὰ περὶ ἐμὲ πάθη εἰδότες ἐνιαυτοὶ τοῦ αἰῶνος χρόνοι.

¶ Οὐ γάρ μ' ἔτ' ἄλγος. οὐ λυπεῖ με τὰ φθάσαντα, ἀλλὰ δὴ τὰ μέλλοντα δυσφορῶ. οἱ γὰρ ἔχοντες φαύλην τὴν γνώμην, ἀκόλουθα τῷ λογισμῷ διαπράττονται.

¶ Θαυμάσας ἔχω. θαυμάζω σου, ὃ καταγινώσκω σου.

¶ Θεοῖς τε πιστεύσαντα. δηλονότι τὴν Ἑλένου μαντείαν. ¶ Ἔμπυον. δύυγρον. δηλονότι τὸ ἕλκος πύου πεπληρωμένην, ὅ ἐστι σήψεως. ὁ δὲ νοῦς, ἀλλ' οὐδὲ πρὸς ἐκείνους ἄπει, ἀλλὰ καὶ τοὺς θεραπεύσοντάς σε.

¶ Ὦ τᾶν διδάσκου. μάνθανέ φησι μὴ ἐν τοῖς κακοῖς ἐπαίρεσθαι.

Φι. ἔγωγ' Ἀτρείδας ἐκβαλόντας οἶδά με.
Νε. ἀλλ' ἐκβαλόντες, εἰ πάλιν σώσουσ' ὅρα.
Φι. οὐδέποθ' ἑκόντα γ' ὥστε τὴν Τροίαν ἰδεῖν.
Νε. τί δῆτ' ἂν ἡμεῖς δρῷμεν, εἰ σέ γ' ἐν λόγοις
πείσειν δυνησόμεσθα μηδὲν ὧν λέγω;
ὡς ῥᾷστ' ἐμοὶ μὲν τῶν λόγων λῆξαι, σὲ δὲ
ζῆν ὥσπερ ἤδη ζῇς ἄνευ σωτηρίας.
Φι. ἔα με πάσχειν ταῦθ', ἅπερ παθεῖν με δεῖ.
ἃ δ' ᾔνεσάς μοι δεξιᾶς ἐμῆς θιγών,
πέμπειν πρὸς οἴκους, ταῦτά μοι πρᾶξον τέκνον,
καὶ μὴ βράδυνε, μηδ' ἐπιμνησθῇς ἔτι
Τροίας. ἅλις γάρ μοι τεθρήνηται γόοις.
Νε. εἰ δοκεῖ, στείχωμεν.
Φι. ὦ γενναῖον εἰρηκὼς ἔπος.
Νε. ἀντέρειδε νῦν βάσιν σήν.
Φι. εἰς ὅσον γ' ἐγὼ σθένω.
Νε. αἰτίαν δὲ πῶς Ἀχαιῶν φεύξομαι;
Φι. μὴ φροντίσῃς.
Νε. τί γὰρ ἐὰν πορθῶσι χώραν τὴν ἐμήν;
Φι. ἐγὼ παρών.
Νε. τίνα πρὸς ὠφέλησιν ἔρξεις;
Φι. βέλεσι τοῖς ἡρακλείοις.
Νε. πῶς λέγεις;
Φι. εἴρξω πελάζειν σῆς πάτρας.
Νε. ἀλλ' εἰ δρᾷς ταῦθ' ὥσπερ αὐδᾷς,
στεῖχε προσκύσας χθόνα.
Ηρα. Μή πω γε πρὶν ἂν τῶν ἡμετέρων
ἀΐῃς μύθων παῖ Ποίαντος.
φάσκειν δ' αὐδὴν τὴν Ἡρακλέους,
ἀκοῇ τε κλύειν, λεύσσειν τ' ὄψιν.
τὴν σὴν δ' ἥκω χάριν, οὐρανίας
ἕδρας προλιπών,
τὰ Διός τε φράσων βουλεύματά σοι,
κατερητύσων θ' ὁδὸν, ἣν στέλλῃ.
σὺ δ' ἐμῶν μύθων ἐπάκουσον.
Καὶ πρῶτα μέν σοι τὰς ἐμὰς λέξω τύχας,
ὅσους πονήσας καὶ διεξελθὼν πόνους,
ἀθάνατον ἀρετὴν ἔσχον, ὡς πάρεσθ' ὁρᾷν.

Ἅλις γάρ μοι τεθρήνηται λόγοις. γράφεται γόοις. τὰ περὶ Τροίαν τέθρηνται φησιν. ¶ Εἰ δοκεῖ στείχωμεν. ἤγουν τὴν πατρίδα. ἀπατᾷ δὲ ὃ θέλει ἄξαι εἰς τὴν Τροίαν. ¶ Αἰτίαν δὲ πῶς. πῶς φησιν ἀναίτιος γένωμαι τοῖς Ἕλλησι. ¶ Χώραν τὴν ἐμήν. τὴν Σκῦρον.

Λεύσσειν τ' ὄψιν. ἀπολάμβανε ὁρᾷν τὸν ἡρακλέα.

καὶ

καὶ σοὶ σάφ' ἴσθι τοῦτ' ὀφείλεται παθεῖν,
ἐκ τῶν πόνων τῶνδ' εὐκλεᾶ θέσθαι βίον.
ἐλθὼν δὲ σὺν τῷδ' ἀνδρὶ πρὸς τὸ Τρωϊκὸν
πόλισμα, πρῶτον μὲν νόσου παύσει λυγρᾶς,
ἀρετῇ τε πρῶτος ἐκκριθεὶς στρατεύματος,
Πάριν μὲν, ὃς τῶνδ' αἴτιος κακῶν ἔφυ,
τόξοισι τοῖς ἐμοῖσι νοσφιεῖς βίου,
πέρσεις τε Τροίαν, σκῦλά τ' εἰς μέλαθρα σὰ
πέμψεις ἀριστεῖ' ἐκβαλὼν στρατεύματος
Ποίαντι πατρὶ πρὸς πάτρας Οἴτης πλάκα.
ἃ δ' ἂν λάβῃς σὺ σκῦλα τοῦδε τοῦ στρατοῦ
τόξων ἐμῶν μνημεῖα, πρὸς πυρὰν ἐμὴν
κόμιζε. καὶ σοὶ ταῦτ' Ἀχιλλέως τέκνον,
παρῄνεσ'. οὔτε γὰρ σὺ τοῦδ' ἄτερ σθένεις
ἑλεῖν τὸ Τροίας πεδίον, οὔθ' οὗτος σέθεν.
ἀλλ' ὡς λέοντε συννόμω φυλάσσετον
οὗτος σέ, καὶ σὺ τόνδ'. ἐγὼ δ' Ἀσκληπιὸν
παυστῆρα πέμψω σῆς νόσου πρὸς Ἴλιον.
τὸ δεύτερον γὰρ τοῖς ἐμοῖς αὐτὴν χρεὼν
τόξοις ἁλῶναι. τοῦτο δ' ἐννοεῖσθ', ὅταν
πορθῆτε γαῖαν, εὐσεβεῖν τὰ πρὸς θεούς.
ὡς τἄλλα πάντα δεύτερ' ἡγεῖται πατὴρ
,, Ζεύς. Ἡ γὰρ εὐσέβεια συνθνήσκει βροτοῖς.
,, Κἂν ζῶσι, κἂν θάνωσιν, οὐκ ἀπόλλυται.
Φι. ὦ φθέγμα ποθεινὸν ἐμοὶ πέμψας,
χρόνιός τε φανείς,
οὐκ ἀπιθήσω τοῖς σοῖς μύθοις.
Νε. Κἀγὼ γνώμῃ ταύτῃ τίθεμαι.
Ηρ. Μὴ νῦν χρόνιοι μέλλετε πράττειν,
καιρὸς καὶ πλοῦς
ὅδ' ἐπείγει γὰρ κατὰ πρύμναν.
Φι. Φέρε νῦν στείχων, χώραν καλέσω.
χαῖρ' ὦ μέλαθρον ξύμφρουρον ἐμοί,
νύμφαι τ' ἔνυδροι λειμωνιάδες,
καὶ κτύπος ἄρσην πόντου προβλής,
οὗ πολλάκι δὴ τοὐμὸν ἐτέγχθη
κρᾶτ' ἐνδόμυχον πληγῇσι νότου.
πολλὰ δὲ φωνῆς τῆς ἡμετέρας

¶ Τόξων ἐμῶν μνημεῖα. ἀντὶ τοῦ ἐκ τῶν ἀριστείων κἀμὲ τίμησον.

¶ Πρὸς πυρὰν ἐμήν. τὴν ἐπὶ τῇ Οἴτῃ.

¶ Εὐσεβεῖν τὰ πρὸς θεούς. αἰνίττεται εἰς Νεοπτόλεμον. ἐν τῇ τοῦ Ἰλίου ἁλώσει, ἀπέκτεινε τὸν Πρίαμον, προσφυγόντα τῷ βωμῷ τοῦ Ἑρκίου Διός.

¶ Τίθεμαι. συγκατατίθεμαι.

¶ Φέρε νῦν στείχων χώραν καλέσω. ἀσπάσομαι. ἀναχωρῶν.

¶ Ξύμφρουρ' ἐμοί. τὸ φρουρῆσάν με καὶ φυλάξαν.

¶ Καὶ κτύπος ἄρσην. ὁ ἰσχυρὸς, ἔνρυθμος.

Ἑρμαῖον ὄρος. δύναται πάντα τὰ ὄρη ἕρμαια καλεῖσθαι, ὅτι νόμιος ὁ θεός. ἢ ὄρειος ὁ Ἑρμῆς. ἔστι δὲ καὶ ἕρμαιον, οὕτως ἐν λήμνω καλούμενον. ἐμοὶ δέ φησι πολλὰ βοῶντι, καὶ τὸ ἕρμαιον ὄρος ἀντεφθέγξατο. ¶ Νῦν δ' ὦ κρῆναι λύκιόν τε ποτόν. ἢ λύκιον, ἢ οὕτω καλουμένη κρήνη ἐν λήμνῳ, λοκίου ἀπόλλωνος. ἢ οἷον ἐν ἐρημίᾳ ὑπὸ λύκων πινόμενον. ¶ Ἀντίτυπον. ἀμοιβαῖον. ἀντίμιμον. ¶ Δόξης οὔποτε. τῆς οἰκήσεως. ἀντὶ τοῦ οὐδέποτε ταύτην οἰηθέντες, οὐδὲ ἐλπίζοντες τελειοῦσθαι, ὥστε ἀπελθεῖν εἰς τροίαν. ¶ Γνώμη τε φίλων. τοῦ ἡρακλέους. ἢ τοῦ Νεοπτολέμου. ¶ Δαίμων. ὥς τινες τὸν ἡρακλέα, ἔνιοι τὴν τύχην.

Ἑρμαῖον ὄρος παρέπεμψεν ἐμοὶ
στόνον ἀντίτυπον χειμαζομένῳ.
νῦν δ' ὦ κρῆναι γλύκιόν τε ποτόν.
λείπομεν ὑμᾶς λείπομεν ἤδη,
δόξης οὔποτε τῆσδ' ἐπιβάντες.
Χαῖρ' ὦ λήμνου πέδον ἀμφίαλον,
καί μ' εὐπλοίᾳ πέμψον ἀμέμπτως,
ἔνθ' ἡ μεγάλη μοῖρα κομίζει,
γνώμη τε φίλων, χὠ πανδαμάτωρ
δαίμων, ὃς ταῦτ' ἐπέκρανεν.
Χο. χωρῶμεν ἰδοὺ πάντες ἀολλεῖς,
νύμφαις ἁλίαισιν ἐπευξάμενοι,
νόστου σωτῆρας ἱκέσθαι.

ΤΕΛΟΣ ΣΟΦΟΚΛΕΟΥΣ.